IOANNIS STOBAEI

ANTHOLOGIVM

RECENSVERVNT

CVRTIVS WACHSMVTH ET OTTO HENSE

VOLVMEN PRIMVM

ANTHOLOGII LIBRVM PRIMVM

A CVRTIO WACHSMVTH

EDITVM CONTINENS

BEROLINI

APUD WEIDMANNOS

MDCCCLXXXIV

IOANNIS STOBAEI

ANTHOLOGII

LIBRI DVO PRIORES

QVI INSCRIBI SOLENT

ECLOGAE PHYSICAE ET ETHICAE

RECENSVIT

CVRTIVS WACHSMVTH

VOLVMEN I

BEROLINI
APVD WEIDMANNOS
MDCCCLXXXIV

HERMANNO · VSENER

GRAECAE · SAPIENTIAE · INTERPRETI · ATQVE · VINDICI · PRIMARIO

PER · QVINQVE · LVSTRA · ET · QVOD · EXCEDIT

AMICO · INTEGRO

DIEM · II · MENSIS · MARTII · A · CIↃIↃCCCLXXXIII

EX · SENTENTIA · GRATVLATUR

EDITOR

PROLEGOMENA

Florilegii quod Ioannes Stobensis ad Septimium filium misit memoria omnis proficiscitur a Photii testimonio (bibl. cod. 167). Felici enim casu factum est, ut inter ducentos et octoginta libros per itineris Assyriaci opportunitatem lectos, quos ut Tarasii fratris *διαπύρῳ πόθῳ* satisfaceret ille in bibliotheca sua breviter descripsit, essent etiam *ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ἐκλογῶν ἀποφθεγμάτων ὑποθηκῶν βιβλία τέσσαρα*. Quorum argumentum non satis habuit Photius paucis significasse, sed — tam utilia collectanea ista ipsi visa sunt — et omnium totius libri 208 capitum titulos enumeravit et subiecit laterculos auctorum quorum nomina singulis eclogis apposita erant, digestos eos in quinque philosophorum, poetarum, rhetorum et historicorum, regum et imperatorum, ceterorum denique 'variorum' classes et primae litterae ratione habita secundum alphabeticum ordinem discriptos. Enotata uero sunt in his laterculis nomina quae ab eadem littera incipiunt a librario quodam cuius operam Photius simpliciter descripsit eo ordine quo se in florilegii lemmatis excipiebant, sed semel tantum i. e. eo loco posita, quo primum afferebantur. [1]) Sic patriarchae doctissimi industria ut per se sterili ita nobis fructuosissima effectum est, ut certam huius codicis Photiani imaginem refingere possimus.

---

[1]) Hac regula, quam primus Elterus 'de Stobaei codice Photiano' (Bonn. 1880) sagaciter detexit, sane circumspiciendum est ne abutamur: admittit enim haud paucas exceptiones, ut recte monuit Dilesius Mus. Rhen. XXXVI p. 343 sq.; sed cautione adhibita horum indicum usum minime contemnendum esse et Dilesius concessit et ipse aliquotiens expertus sum.

236202

Atque primum sat certa coniectura videtur constitui posse totam rationem, ex qua in illo codice singulae eclogae discriptae erant, plane similem fuisse libris florilegiorum Graecorum quos nos novimus omnibus. In quibus moris erat capitis uniuscuiusque eclogas omnes deinceps fere nullo spatio vacuo relicto continua quasi oratione describi, praeterquam quod litterae initiales a rubricatore depingebantur et finem eclogarum puncta duo significabant aliquotiens etiam lineola traversa vel cruce adiecta (: vel: — vel: +). [In 'Florilegii' codice antiquissimo Vindobonensi versus (hexametri, disticha, trimetri iambici potissimum) ita scripti, ut bini unum versum explerent parvolo spatio vacuo interiecto: qui mos videtur ex duarum columnarum codicibus servatus esse.] Lemmata autem afferendi quamquam in nostris codicibus non prorsus constans est consuetudo — leguntur enim modo tota margine, modo aliqua ex parte (sive nomina sive cetera tituli verba margine reliqua in contextu), modo tota in contextu (ita tamen aliquotiens, ut margine nomina iterentur); modo atramento nigro praeter rubras verborum gravissimorum litteras initiales, modo tota rubra scribuntur—, sat certis tamen indiciis probatur, antiquum usum fuisse ut lemmata margini insigniore quodam modo appingerentur. Inde praeter alia factum, ut in codicibus nostris lemmata vel ad inferiores vel ad superiores eclogas attracta suis sententiis desint — quod in omnibus anthologiis, etiam in his 'Eclogis' vitium longe frequentissimum —; inde ut sententiarum contiguarum compluria lemmata consociata falso loco interponerentur, velut quattuor in Ecl. I 5, 3 p. 74, 21. Vnum permemorabile est, quod in Vindobonensi antiquissimo Florilegii codice nomen quod ad complures eclogas pertinet margine ita litteris una infra alteram positis diducuntur, ut lemma revera ad omnes suas eclogas velut *τοῦ Εὐριπίδου* ad flor. 39, 6—10 adscriptum sit: etiam hoc antiqui moris esse contendo et inde repeto quod haud raro in codicibus nostris eiusdem auctoris complurium quae se excipiunt eclogarum primae tantum praescriptum est nomen, ceterae aut omni lemmate carent aut habent solam reliquam lemmatis partem velut fabulae titulum. Praeter

lemmata denique — certe in 'Eclogarum' libris — etiam alia nomina graviora, si quae in sententiis aderant, philosophorum potissimum ad quos singula placita referebantur in margine rubre scribi solebant. [1])

Eandem rationem in Photiano codice valuisse, cum per se probabile est — nam Maximi eclogarum codices qui eum in modum descripti paene usque ad Photii aetatem (sat multi certe ad saeculum ipsum decimum) ascendunt —, tum ipsis nominum indicibus Photianis evincitur. Quos qui confecit minime ipsum Stobaei contextum perlegit, ne initia quidem sententiarum — id quod Elterus p. 35 adn. 1 probare studuit exemplis allatis, quae codicibus nostris inspectis concidunt [2]) —, sed ipsa tantum nomina marginibus posita corrasit (cf. Dilesius Mus. Rhen. XXXVI p. 346).

Quodsi laterculi Photiani nominibus quibusdam carent, credi quidem potest, nonnulla eorum, ea potissimum quae saepius a Stobaeo allata sunt, apud ipsum Photium olim fuisse, nunc excidisse culpa librariorum in nominibus continuis describendis dormitantium; praeterea interdum pinacographo, quamquam ut videtur satis religioso, certe diligentiori multo quam doctiori, humani aliquid accidisse; postremo idque saepissime in Stobaei codice Photiano illis eclogis margini nomina adpicta non fuisse (nihil certe tali rubricatorum sive oscitantia sive desidia frequentius): sed minime Eltero p. 36 concedendum illas sententias ad quas spectant a librario Stobaei Photiani omissas esse, nedum cum eodem conicere liceat hic illic folium totum in illo codice iam defuisse. [3])

---

[1]) Molestum sane erat semper accurate ex FP huiusmodi notas in adnotatione critica adscribere; sed nolui huic officio deesse, cum in nulla dum editione de his rebus aliqua cum diligentia relatum sit.

[2]) Nomina nimirum Diodori, Hippali, Hecataei pinacographus ex lemmatis haurire potuit: nam I 1, 29[b] p. 35, 5 huius ed. lemma in FP est *χριτολάου καὶ διοδώρου*, I 10, 14 p. 126, 7 *ἡράκλειτος καὶ ἵππαλος* in F, *ἡρακλείτου καὶ ἱππάλου* in P, I 25, 1ε p. 209, 5 *ἡρακλείτου καὶ ἑκαταίου* in P.

[3]) 'Velut Ecl. I 3 [i. e. prooem. coroll. 5 p. 18, 14 h. ed.] nomen *Βουθήρου*, ibid. I 5 [i. e. ibid. 8 p. 21, 6] *Μοδεράτου* non invenit, non

Sic iam delapsi sumus ad alteram eamque gravissimam quaestionem. Nam ante omnia quaerendum est, num Stobaeani thesauri integrae copiae Photio praesto fuerint. Quod negavit nuper Lortzingius *Philol. Rundschau* II p. 168 sq. et *Philol. Anzeiger* suppl. I (1883) p. 688 sq.; conglutinatas enim esse in libri primi capitibus duobus, quae in Photii conspectu collocantur sexagesimum (ultimum) et quinquagesimum septimum, res plane inter se dissimiles, ut in ipsis titulis male consociatas Aetianorum quorundam capitum inscriptiones. Nam verbis *περὶ ἀναπνοῆς καὶ παθῶν* quae capiti ultimo apud Photium inscribuntur titulos Aetii capitum duorum IV 22 *περὶ ἀναπνοῆς* et IV 23 *περὶ παθῶν σωματικῶν* conflari; et quod pariter atque in nostris libris capiti 57 praepositum apud Photium legimus *περὶ φωνῆς καὶ εἰ ἀσώματος ἡ φωνὴ καὶ τί αὐτῆς τὸ ἡγεμονικόν*, in eo non solum duos titulos Placitorum componi IV 19 *περὶ φωνῆς* et IV 20 *εἰ ἀσώματος ἡ φωνή*, verum adici etiam tertium IV 21 *πόθεν αἰσθητικὴ γίνεται ἡ ψυχὴ καὶ τί αὐτῆς τὸ ἡγεμονικόν*, eum tamen tam stulte truncatum ut ne intellegi quidem possit. Tales autem ineptias ad Stobaeum pertinere non posse, immo probabiliter ita explicari, ut statuamus in fine libri primi iam ante Photii aetatem nonnulla una cum capitum inscriptionibus ipsis intercidisse atque librarium quendam fortasse capitum summario antiquo adhibito mutila aliquo modo in ordinem redegisse, bina vero finitima capita confudisse ipsumque incredibiles illos titulos excogitasse. Longe aliter ego sentio et nego ullo loco evinci posse Photii exemplum iam mancum fuisse; facile certe Lortzingio omnis scrupulus euelletur.

Primum enim ne verum quidem est in sexagesimo capite plane diversa componi; immo recte ἡ ἀναπνοή numeratur inter *τὰ πάθη σωματικά*, ut ait Plato Timae. p. 79[A] (i. e. in ipsa unica illa quae nunc superstes est huius capitis ecloga): *τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος*. Neque inconcinnius in 57

---

invenit ea fortasse quae intersunt inter hos', item 'Flor. IV 81 [i. e. Flor. 100] praeter Sophronem [30] et Cratetem [31] deest nomen *Μενεκράτους* [27]'.

capite tria illa Aetiana coeunt, cum secundum Stoicos quorum potissimum placita Aetius IV 21 enarravit inter *τὸ ἡγεμονικόν* (quae ipsa est notio Stoica) et *τὴν φωνήν* arctior ratio intercedat, quippe ex cuius origine sedes *τοῦ ἡγεμονικοῦ* agnoscatur. Dein memorabile est quod duo illa quae inepte addita dicuntur capita Aetiana IV 23 et IV 21 — si ex Plutarcho coniecturam facere licet — fuere brevissima, neque Stobaeus videtur ex propria doctrina quidquam adspersisse ne Platonica quidem vel Hermetica ulla, quae epitomatorem Platonis et Hermetis studiosissimum non facile effugerint; ita ut appendicis loco utrumque a Stobaeo potuerit adnecti.

Quibus argumentis multo gravius accedit tertium, generale illud et ex constanti quodam Stobaei usu petitum. Summa enim licentia — id quod iam Dilesius Doxogr. p. 66 sqq. demonstravit — Stobaeus grassatus est in Aetii Placitorum capitibus concinnandis, interdum discerpsit continentia velut Aetii II 4 verba partim Ecl. I 20 partim I 21 inveniuntur, saepius capita cognata in unum conflavit, velut Placitorum II 20. 21. 22. 23. 24 uno Eclogarum capite I 25 comprehenduntur, item uno Ecl. I 26 Aetii II 25. 26. 27. 28. 29. 30. 31. Addo — quod huc potissimum spectat — vel diversi argumenti capita Aetiana apud Stobaeum coniuncta legi. Habes Ecl. I 22 *περὶ τάξεως κόσμου· εἰ ἓν τὸ πᾶν* id est conglutinata duo Aetiana II 7 *περὶ τάξεως τοῦ κόσμου* et alterum I 5 *εἰ ἓν τὸ πᾶν*. Quid quod apud Stobaeum I 14 *περὶ σωμάτων καὶ περὶ τῆς τούτων τομῆς καὶ περὶ ἐλαχίστου* legimus, Aetius de hoc argumento tribus egit capitibus I 12 *περὶ σωμάτων*, I 16 *περὶ τῆς σωμάτων τομῆς*, I 13 *περὶ ἐλαχίστου*.

Quid igitur? etiam in hac libri primi parte, quam omnium maxime integram esse omnes consentiunt, laceras tantum reliquias et male conglutinatas contendet Lortzingius et nunc exhiberi et iam Photii aetate exhibitas esse?

Una relinquitur offensio in eo posita, quod *αὐτῆς* in titulo Ecl. I 57 sane ineptissime legitur. Verum id ne illius quidem culpa viri docti qui, si Lortzingio credimus, reconcinnandi operam susceperit scriptum fuerit; sed simpliciter sta-

tuendum est per homoioteleuton factum esse, ut post verba *καὶ ἀσώματος ἡ φωνή* interciderint quae Stobaeus scripsit *καὶ πόθεν αἰσθητικὴ ἡ ψυχή*.[1])

Quodsi huius mendi communionem inter Photianum codicem esse et nostrorum librorum archetypum conicimus, id minime sine exemplo fit. Plane simile est quod titulum capitis 14 libri I et Photius p. 112[b] 11 et nostri codices exhibent sic scriptum: *περὶ σωμάτων καὶ τῆς περὶ* (pro *περὶ τῆς*) *τούτων τομῆς καὶ περὶ ἐλαχίστου*. Compluria dein vitia in nominibus communia; duo tantum promo, nam plura petenti Elteri dissertatio sufficiet: unum *Ἱππάλου* in philosophorum laterculo ex lemmate Ecl. I 10, 14 ortum, ubi in F mrg *Ἡράκλειτος καὶ Ἵππαλος*, in P *ἡράκλειτον καὶ ἱππάλου*; alterum maxime conspicuum, *Θελέροφος* in catalogo poetarum a Photio positus cuius nomen fluxit ex Floril. 100, 3. 4 ecloga Euripideae Bellerephontis, eidem vero in optimis nostris libris adscriptum *Εὐριπίδου* et *Θελλέροφος* (cf. Elter p. 7).

Inde profectus haud improbabiliter sane quispiam coniciat inter Photianum codicem et nostros libros arctiorem necessitudinem intercedere. Etiam longius progressus est Lortzingius (‘*Philol. Anzeiger*’ suppl. I p. 689 sq.), cum Photianum codicem archetypum esse coniecit, ad quem et ‘Eclogarum’ et ‘Florilegii’ libri nostri omnes redeant et ille codex qui expilatus est in florilegio Laurentiano. Atque quadam tenus fulciri videtur haec suspicio ipsa ea re quae ultimo loco commemoranda est, quod codicem Photianum compertum habemus scriptum fuisse *ἐν τεύχεσι δυσί* (p. 112[a] 15) i. e. in duobus binorum librorum voluminibus membranaceis; sic enim facile, ait Lortzingius, fieri potuisse, ut postea duo ‘Eclogarum’ et ‘Florilegii’ opera separata prorsus extiterint et propagata sint. Sed utrum ex ipso illo codice quem lectitavit Photius an ex simili quodam antiquiore codice, qui cum isto ex eodem archetypo descriptus erat, nostra memoria fluxerit prorsus nequit

[1]) Novo exemplo in ipsis ‘Eclogarum’ libris obvio (I 49, 54 p. 429, 1 *ψυχῆς* legitur in F, *ψωνῆς* in P) comprobatur quam proclivis sit iste error; ceterum cf. praeter alios Dilesium in ‘Comment. soc. philol. Bonn.’ (1873) p. 63.

disceptari. Non obsto tamen, si ita deflexam coniecturam Lortzingii amplecti malis quam opinionem a me in *Comm. de Stob. eclogis* p. 10 (= *Stud.* p. 69) propositam. Vbi cum uno volumine nostrorum librorum archetypum totum anthologium comprehendisse statui, credidi faciliorem sic habere explicatum, quomodo tria illa, de quibus diu est quod disserui [1]), folia ex Eclogis soluta in Florilegium transvolaverint.

Hoc igitur ut necessario in medio relinquendum est, ita potest paulo accuratius exemplar illud antiquum describi, ex quo et compilator gnomologii Laurentiani sua hausit et nostri libri deducti sunt, omnis igitur memoria praeter capitum titulos et lemmata pendet, sive idem fuit atque codex Photianus sive alius.

Iam nuper (*De eclog. Stob.* p. 9 = *Stud.* p. 68) demonstravi, hoc exemplum constitisse e foliis, quorum paginae fere ambitum septuagenorum senorum versuum talium quales in exemplis bibliothecae Teubnerianae imprimi solent habebant; quod iam pro certo affirmo, cum ex eis quae supra dixi consectaneum sit, ampliora spatia vacua inter singulas sententias in eo non fuisse.

Nunc unum possum addere. Haud paucae omissiones nostris libris sunt communes, pleraeque ita comparatae ut propter homoeoteleuta vel homoearcta eas ortas esse pateat, sed nonnullae tamen vix aliter natae nisi ita ut versus unus praetermissus sit vel duo. Haec oscitantia librario exempli antiqui tribui nequit; nam quamquam vel Laurentianus lacunis laborat et in eis capitibus quae solus servavit (velut II p. 231, 19; 237, 9. 10. 18 al.) et in reliquis ibique in mendo consentiens cum FP (velut II p. 14, 4; 6. 7; I p. 139, 1. 2), tamen multo rariores et minus graves sunt. Epitomatori igitur de quo dicturus sum talem in describendo levitatem potius tribueris: quod si recte statuis, e nonnullis quibusdam exemplis videtur effici posse, eum in suo exemplo i. e. in ipso de quo nunc agitur 'antiquo exemplo' versus 46—52 litterarum legisse; nam ubi certa est comparatio aliorum quae etiam nunc tenemus scriptorum semel 46 (I p. 259,

[1]) Mus. Rhen. XXVII p. 73 = *Stud.* p. 45

3. 4 cf. Arist. de mund. 3); bis 47 (I p. 268, 13. 14 cf. Arist. de mund. c. 4; I p. 240, 5. 6 cf. Plut. plac. III 5), semel 52 litterae (I p. 433, 1. 2 cf. Plat. Phaed. p. 81^{D}) desunt. Accedit fortasse alterum. Archetypo librorum nostrorum proprium esse nuper docui (*Stud.* p. 66 sq.), quod non raro eiusdem loci binae lectiones exhibentur, quarum una coruptam altera coniectura mutatam (interdum recte emendatam) praebeat scripturam. [1]) Ne hoc quidem abfuit ab antiquo illo exemplo. Etenim iam in codice Laurentiano similes binae lectiones apparent. Ecl. I c. 38 p. 252, 13 legitur *ἡνιος μεσήνιος*; periit igitur littera initialis nominis rarissimi, quod *Εὐήνιος* esse ex pinacographo Photiano constat; iam non solum *ἡνιος* quod traditum erat scriptum est, sed addita etiam altera lectio, qua truncatum illud nomen satis infeliciter sane nescio quis supplere conatus erat, *⟨μεσ⟩ήνιος*. Ecl. II c. 31 p. 241, 15 in Laurentiano est *οὐν οὐκ*, alterum corruptam alterum emendatam exhibens scripturam; item Ecl. II c. 31 p. 230, 15 in eodem legimus *φάμες εν ἐνέργειαν*, i. e. doricam formam *φάμες*, quam non novit qui emendasse sibi visus est *εν* supra *ες* suprascripto; et quae sunt similia.

Hoc igitur antiquum exemplar folio — quoad scimus — tantum uno in Eclog. II 1 soluto legit et usurpavit (i. e. pleraque omnia capita descripsit) auctor florilegii Laurentiani, cuius ipsius tamen perexigua tantum pars aetatem tulit; nam codex unicus Laur. plut. VIII n. 22 quamquam olim totum videtur continuisse gnomologium sacroprofanum, nunc non habet nisi capita litterae *A* 1—44, *N* 1—*Π* 5 et indicem capitum litterae *A*—*M* (a me editum duobus progr. Gotting. 1871 = *Stud.* p. 1 sqq.); sed vel ex his exiguis reliquiis optimus fructus in Stobaeum redundavit. Inde enim — ut de 'florilegio'

[1]) Praeter ea exempla, quae l. s. s. congessi mentione inprimis dignum illud est, quod legitur I p. 261, 3 ex Aristotelis de mundo c. 3 petitum, ubi Aristotelicum *Φεβόλ* lenissima mutatione abierat in *Φοβέα*, id ipsum vero infelicissima coniectura aliquis ex *Εὔβοια* ortum esse credidit et si Dis placet reposuit ita ut in FP legeretur *Φοβέα καὶ Εὔβοια*. Ceterum haec omnia 'antiquo exemplo' tribuere minime ausim; fortasse aliqua ex parte sunt culpa 'epitomatoris' exorta.

taceam —, potuerunt huic Eclogarum editioni addi capita libri alterius 15. 31. 33. 46; dein ditari capita libri primi 31 (ubi additae ecl. 1—8 p. 242, 21—247, 13); 38 (ubi additae ecl. 2—4. 6—9 p. 252, 13—253, 3; 253, 8—21), 50 (ubi additae ecl. 1. 3. 4. 6—26; 28—35 p. 472, 6; 473, 1—6; 473, 17—476, 16; 476, 18—417, 19); 51 (ubi additae ecl. 1. 2. 4. 7 p. 481, 4—18; p. 482, 6—19; p. 483, 1—3); 52 (ubi additae ecl. 1—6; 8; 10—18; 21 p. 483, 6—484, 6; 484, 13; 484, 22—486, 17; 490, 16); 53 (ubi additae ecl. 1—4 p. 491, 7—19); 54 (ubi additae ecl. 1—3 p. 492, 12—22); denique scriptura capitum I 13. 23; II 1 et titulorum capitum I 1. 3. 5. 9. 10. 12. 17. 18. 19. 20—22. 24. 25. 27—30. 32—37. 42. 43. 55. 56. 59. 60; II 2. 4. 7. 8. 9. 13. 16. 17. 20. 21. 25—30. 40—45 confirmari.

Eo tamen tempore quo componebatur florilegium Laurentianum (quod saeculo exeunte decimo vel undecimo factum esse *Stud.* p. 11 [cf. p. 109] probavi) in antiquo exemplo malum iam ultra processerat: nam tria folia initio libri alterius (non solum ex c. 1 sed etiam ex c. 2 et 4) soluta et in librum quartum post c. 24 importune intrusa; praeterea ipsum anthologium bipartitum in duas partes discesserat ita ut separati bini libri describerentur. Cuius seiunctionis et confusionis testis antiquissimus Vindobonensis prodit 'Florilegii' codex, qui eodem fere tempore scriptus est [non potuit igitur auctor flor. Laur. ipsum de quo sermo est exemplum antiquum adhibere [1]), sed usurpavit eius apographon iam ante maiorem eius labem confectum].

Sed 'Florilegii' separati fata enarrabit qui poterit (potest vero hodie nemo praeter Ottonem Hense qui iam in eo est ut malorum seriem haud parvam describat); ego me intra 'Eclogarum' fines contineo, quae etiam magis adversa fortuna usae

[1]) Nam caput alterum alterius libri nondum mutilatum fuisse in eius codice aperte demonstrat titulus capitis litt. *Δ* n. 17 *περὶ διαλεκτικῆς διάφοροι δόξαι τῶν παλαιῶν τῶν μὲν αὐτὴν ἀναγκαίαν τῶν δ' ἀνωφελῆ ἀποφηναμένων*, quem non potuit scribere nisi qui plenum legit caput (quod iam *Comm. de ecl.* p. 9 [= *Stud.* p. 69] monui, itero propter dubitationes Elteri p. 27 adn. 1).

sunt. Nam iam non totae describebantur, sed in epitomae angustiores terminos ab homine Platonis Aristotelisque amantissimo redactae.

Vt accuratius loquar, triginta priora capita libri primi plena vel paene plena descripsit ille praeterquam quod caput alterum *περὶ τῶν νομιζόντων μὴ εἶναι πρόνοιαν καὶ ἑπομένας ταύτῃ θείας ἐπὶ τῇ τοῦ παντὸς διοικήσει δυνάμεις* propter nimis impium argumentum, opinor, respuit; posteriorem vero dimidiam partem (c. 31—60) deplorandum in modum excerpsit: nam praeter Platonica et Aristotelia quae corradere studuit industrie [1]) solum adiecit Hermetis, Archytae, Porphyrii fragmenta; praeterea Aetii et Didymi eclogas ad philosophorum historiam spectantes apposuit (quas sine nomine Stobaeus ponere solebat), sed vel in his Platonem Aristotelemque potissimum curavit. Inde factum est, ut ex compluribus capitibus nil praeter Platonis et Aristotelis aliquotiens satis pusillas eclogas exhiberet et capita 33—35, 37, 44, 46 prorsus praetermitteret idcirco, quod in Aetianis ex quibus Stobaeus petierat argumentum capitibus III 9 et 11; 10; 13; III 16; V 24; V 27 nec Platonis nec Aristotelis ulla mentio facta erat.[2]) Largius vero quae excerperentur posteriorum capitum solum duo illi propter argumentum gravissimum digna visa sunt: *περὶ νοῦ* (48), *περὶ ψυχῆς* (49).

Item in altero libro cap. 1 plenum descripsit, ex proximis quinque capitibus Platonica tantum et unum locum Archytae agnovit, cap. 7 Arii ethica dedit, cap. 8 et 9 iterum tota, ut videtur, exhibuit; de reliquis capitibus dici nequit quid-

---

[1]) Vel Platonis et Aristotelis quaedam eum fugisse docet Elter p. 23 adn. 1 (cf. *Stud.* p. 67 n. 1).

[2]) Quantum ex Plutarchi excerptis diiudicare licet; ceterum apud Aetium V 24 nunc etiam hac argumentatione confirmatur, *Πλάτων* quod traditum est cum Corsino in *Στράτων* mutandum esse. Num Stobaeus cap. 44 praeter Aet. V 24 etiam V 25 expilaverit, nunc in dubio relinquendum, quamvis initio Aristotelis placitum legatur, quod vix praetermisisset epitomator, si in suo exemplo repperisset: potuit vero Stobaeus capitis ambitum amplificare additis sententiis talibus quales legimus in 'parallelorum' capitibus *περὶ ὕπνου* (Max. 29; Anton. I 42; Mel. Aug. 21) et *περὶ θανάτου* (Max. 36; Anton. I 58; Mel. Aug. 47).

quam, cum in nostrorum librorum archetypo de quo dicturus sum omnia interciderint. Ne id quidem constat num fortasse iam in fine exempli illius antiqui quaedam capita defuerint.

Ad huius igitur epitomatoris operam etiam illa vestigia revocanda sunt, quae cum aliquotiens in primo libro (velut in Arrhiani fragmentis 31, 2 p. 229, 11; 230, 21; 31, 8 p. 246, 2; 247, 5. 8), tum in Didymi compendio ethico obvia produnt, non verba auctoris ipsius integra sed excerpta tantum et ea interdum satis male excerpta dari. Fortasse sic difficultates quaedam quae etiam in eclogis aliis expediri non potuerunt simpliciter explicantur.

Quodsi reputamus philosophiae Graecae studia apud Byzantinos iacuisse, donec a Michaele Psello qui exeunte saeculo undecimo floruit resuscitata sunt, ipsumque Psellum *πρόεδρον τῶν φιλοσόφων* praecipue Platonicam Aristoteliamque philosophiam docuisse, sed etiam Plutarchi placita philosophorum lectitasse et Stobaei 'Eclogas', potissimum quae ad caput *περὶ ψυχῆς* pertinebant [1]), non temere coniciamus a Pselli quodam discipulo epitomen illam confectam esse.

Sed vel hanc epitomam mira constantia Fortuna mala persecuta est. Nostri enim libri, ut *Comm. de Stob. ecl.* p. 6 sqq. (= *Stud.* p. 58 sqq.) et nuperis additamentis (*Stud.* p. 60 sqq.) docui, fluxere omnes e duobus codicibus Farnesino et Parisino; hi ipsi vero deducti sunt ex uno archetypo, qui epitomam illam continuit, sed minime ex eo integro. Nam 'iam saeculo XIV quo Farnesinus describebatur, admodum male tractatus erat, sive madore corruptus sive tineis corrosus; compage enim soluta et principii compluria folia (quae prooemii capita duo et corollarii maiorem partem complectebantur) et alterius libri posterior pars tota inde a capitis noni ecloga octava pessumdata erant; praeterea compluribus locis scriptura legi iam non potuit, qua de causa in Farnesino aliquotiens spatium vacuum a librario relictum est. Sed per centum et

[1]) Praeter cetera compares Didascaliae cap. 47 Fabr. cum Porphyrii eclogis (I 49, 17. 18) p. 343, 14 et 19 vel eiusd. c. 39 F. cum Stob. I 49, 39 p. 378, 8.

quod excedit annos qui sequebantur, donec descriptus est Parisinus, malum ultra gliscere, initio etiam plura folia solvi, nonnulla perire, item unum in fine (fortasse duo quoque vel tria in medio codice I p. 188, 5—191, 19 h. ed. et I p. 331, 1—335, 21); etiam lacunae illae minores augeri et dilatari. Itaque factum est, ut librarius Parisini et quae temere corripuit folia prima soluta sine ordine describeret et, ut hoc utar, I p. 68 et 69 h. ed. praeter lacunas quae p. 68, 5 et 69, 23 iam in Farnesino notantur etiam p. 68, 12 ὅσα et p. 69, 20 *βιάζονται* legere non posset et quae sunt similia'.[1])

Nihil igitur coniectu proclivius quam ad archetypum varie truncatum et perturbatum referre etiam turbas, quas in ethico Didymi compendio inesse primus Spengelius docuit, et statuere omnem de virtutibus expositionem, quae nunc inter duas bonorum malorumque divisiones (quibus distribuuntur in *τελικά* et *ποιητικά* atque in *δι' αὑτὰ αἱρετά* et *ποιητικά*) sine ulla ratione interiecta est, transponendam in primam capitis particulam esse. Atque talis coniectura ut aliqua cum confidentia proferri possit, faciunt computationes quaedam, ex quibus probatur archetypum constitisse e foliis quae versus septuagenos singulos exemplorum bibliothecae Teubnerianae exaequarent. In fine alterius libri quod in Parisino deest folium II p. 182, 8—184, 17 h. ed. tot versus continet, totidem quod praetermissum I p. 188, 5—191, 19; triginta quinque vel sex versus explet spatium quod interest inter lacunas p. 68, 5 et 69, 23 in utroque codice signatas (quae eundem locum folii in parte antica et postica tenuere).

Hanc igitur rationem si adhibueris et virtutum vitiorumque expositionem in eum locum, quo maxime congrua est,[2])

---

[1]) Haec ex *Stud.* p. 66 iterata sunt.

[2]) i. e. post primam virtutum vitiorumque mentionem (sect. 5[b] p. 59, 3); quamquam potuit illa expositio apte etiam collocari post sect. 6[e] p. 78, 6 (ut apud Laert. VII 81—89 *τέλους* definitio antecedit virtutum enumerationem). Ceterum ne quis credat hanc argumentationem everti verbis p. 64, 15 *ἐν τῇ προειρημένῃ διαιρέσει*, moneo haec non ad eam divisionem bonorum in *τελικά* et *ποιητικά* quae in codicibus praecedit nunc autem transposita sequitur p. 71, 15 spectare (quae fuit opinio

transposueris, videbis eam (II p. 59, 4—68, 23 h. ed.) exaequare 213 versus, i. e. tria folia, ea quae nunc interposita leguntur (p. 68, 24—72, 13) ad amussim 71 versus, i. e. unum folium, ita ut unum quaternionis folium similiter in archetypo transpositum videatur atque alio huius compendii loco in Farnesino factum esse docui (*Stud.* p. 59).

Difficilior sane est quaestio de eis quae Parisinus omisit I p. 331, 1—335, 21 et de exordio.

Priorem locum, quo capitis undequinquagesimi eclogae nonae finis, 10—12 totae, 13^{mae} initium hausta sunt, neglegentius nuper calculi errore admisso a me tractatum esse aegre fero; non 71, sed 124 versus explent verba in Parisino omissa. Quod quomodo explicarem, sane non haberem, nisi hic iam in Farnesino aliquid turbatum esse simplicissima observatione demonstraretur. Per totam enim hanc capitis 49 partem accuratissime digesta procedunt excerpta ex Platonis Phaedone, ex quo deinceps proferuntur p. 69^{E} — 70^{B} (ecl. 7^{c}), p. 70^{C}—71^{A}. 71^{C}—72^{A} (ecl. 8), 78$^{B.C}$. 79^{A}—80^{D} (ecl. 9), 91^{E}—95^{A} (ecl. 13), 95^{E}—96^{C} (ecl. 14), 99^{B}—100^{A} (ecl. 15), 105^{C}—107^{A} (ecl. 16); sed importune interpositae sunt non solum duae eclogae ex aliis Platonis dialogis petitae (10. 11), sed una etiam ex Herodoto (12); quas si subduxeris et solas quae in Parisino desunt particulas eclogarum 9 et 13 computaveris, rursus 71 (sive 72) versus aderunt, ita ut suspicari liceat illas eclogas 10. 11. 12 ex alio huius capitis folio et soluto et truncato quod falso huc traxerit Farnesinum descripsisse, ipsum vero hoc truncatum folium et alterum illud iusto ordine hic positum Phaedonis excerpta continuans (ecl. 9 extr. et 13 init.) iam deperdita fuisse, cum Parisinus describeretur.

In exordio vero omnia sic turbata, ut ne coniecturam quidem ullam proferre ausim. Ea enim, quae in Farnesino iusto ordine procedunt (quamquam ne ea quidem integritatis speciem praebentia), in Parisino sic confusa et mutilata vides:

Hirzelii '*Unters. zu Cic. phil. Schr.*' II p. 817 n. 1), sed ad totam de virtutibus quae antecedit disputationem, id quod comprobatur coll. p. 135, 12.

f. 1^{r}—3^{r} med. = *Ζεύς* p. 11, 30 Mein. — *τὸ μὲν ἓν* 15, 10 (p. 31, 8 h. ed. — 35, 18) = circa 91 versus Teubn.

f. 3^{r} med. — 5^{r} med. = *τὴν δὲ* p. 4, 12 M. — *ἔχουσιν* 7, 32 (p. 20, 3 h. — 24, 9) = 94 versus (fort. plures, cum capitis titulus occurrat, qui maius sibi spatium vindicaverit et in hoc capite extent poetarum eclogae, quae paullo minus presse fortasse scriptae erant (vide quae supra p. VIII de Vindobonensi 'Florilegii' dixi).

f. 5^{r} med. — 6^{v} med. = *ποιητικῆς* p. 24, 4 M. — *νόθον* 26, 12 (p. 47, 2 h. — 56, 7) = 71 versus.

f. 6^{v} med. — 10^{r} med. = *τὴν ἀνάγκην* p. 15, 10 M. — *οἰκονομεῖ τὰ* 21, 13 (p. 35, 18 h. — 43, 26) = 169—170 versus vel plures, cum poetica insint.

f. 10 med. et reliqua = *ὅλως* p. 26, 12 M. (p. 50, 7 h.) etc.

Vbi duae partes prorsus desunt *ἡμὲν κυδῆναι* p. 8, 1 M. — *ἀεὶ τὸ ζῆν* 11, 18 = p. 24, 10 h. — 31, 6 = circa 96 vers. (fort. plures, cum nihil nisi poetarum eclogae contineantur) et *κατὰ τὴν πολιτείαν* p. 21, 13 M. — *προνοητικὸν* 24, 2 (p. 43, 26 h. — 46, 31) = 97 versus; sed quamquam ultima transposita particula (p. 24, 4 M. — 26, 12) 71 versuum numerum i. e. folii unius magnitudinem habeat, reliquae et cum hac et inter se prorsus sunt incongruae: videntur igitur foliorum rudera, quae descripserat Farnesinus, etiam magis mutilata esse et inter se confusa priusquam Parisinus exaratus est.

Ceterum archetypi versus intra 44—50 litterarum terminos videntur se tenuisse; omisit enim 45 litteras I p. 270, 10. 11 et p. 500, 2. 3 Parisinus, 44 litt. Farnesinus II p. 64, 7. 8; iteravit 100 litteras (i. e. duos versus) idem I p. 430, 14—17; taceo vero permultas omissiones (iterationesque) quae per homoioteleuta vel homoiarcta ortae videntur, quamquam inter eas haud paucae ab hac norma non distant.

Ex hoc archetypo ut descripti sunt Farnesinus et Parisinus, ita ex ipsis reliqui qui hodie extant libri cuncti: omnis igitur traditionis auctoritas hodie in his posita est, id quod enucleatius enarratum *Stud.* p. 58 sqq. Ibidem demonstratum, multis quidem nominibus praestare Farnesinum ita tamen, ut Parisino nequaquam carere possimus, quippe ex quo et lacunae

minores Farnesini nonnullae expleantur vel lemmata addantur et singula quaedam rectius quam in altero scribantur.

Iam id quoque quaerendum, num aliorum Stobaei codicum praeter eos qui nunc sunt vestigia lateant et isti quid valeant.

Ac primum quidem Hermetici libri *Κόρης κόσμου* reliquias, quas Stobaeus libri I capiti undequinquagesimo inseruit, Patricius expressis verbis enarrat se in singulari quodam codice repperisse (v. adn. I p. 385, 11). Quodsi haec quoque ut reliqua quae apud Stobaeum leguntur Hermetica Patricium e Canteriana descripsisse suspiceris, obstant praeter ipsius verba supra significata scripturae quaedam: nam ut alia taceam I p. 409, 8 verba *δικαστικοί, τότε* quae in Canteriana nescio qua socordia desunt recte cum FP exhibet; itaque quamquam Canterianam quoque procul dubio adhibuit adscitis potissimum Canteri coniecturis, omnem memoriam inde petere non potuit. Vsus igitur est codice quodam, in quo tamen descriptae erant simpliciter e Stobaeo hae Hermeticae reliquiae; apographon vero quod in his expilatum Parisino fuit simillimum, corruptelis tamen quibusdam codicis P immune (velut I p. 412, 18 recte cum F *πάχνης* scribit quod P corrupit in *τέχνης*), nonnullis praeterea locis singulares, paucis vel bonas lectiones exhibuit, quamquam apud Patricium certo discerni nequit, quid ex libro deprompserit, quid coniectura mutaverit.

E pleniore vero Stobaei codice Meinekio adn. ad Stob. p. CLXIII visus est hausisse scholiasta Luciani, qui vol. IV p. 209—212 ed. Iacobitz. (ad vol. III p. 84, 6) multa deinceps nostrorum librorum ordinem secutus ex ecloga Didymea de Stoicorum placitis ethicis expilavit (suo quaeque loco adscripsi); tamquam limpidissimum fontem certe scholiastam ad corrigenda Laertii et Stobaei verba adhibuit Otto Heine annal. philol. 1869 p. 626 et progr. Hirschberg. 1869 p. 5 sq., ut locupletem auctorem eundem Hirzelius ‘*Unters. zu Cic. philos. Schr.*’ II p. 807 et 831 n. 1 identidem usurpavit.

Atque verum est placita Stoica ita ibi enarrata esse ut verba Didymi ubique appareant additis tamen aliquotiens quae enucleatius sententiam describant; primoque obtutu, praesertim cum nunc constet epitomen solam Stobaei in nostris libris esse, facile

talia crediderit quispiam primaria Stobaei verba exhibere. Sed haec additamenta si quis paullo accuratius examinaverit, verba et commenta magistelli Byzantini agnoscet qui plerumque ne sententiam quidem Stoicorum assecutus sit. Graviora quaedam promam. Doctrina Stoica de eis quae sunt *ληπτά* totidem verbis quot apud Didymum II p. 82, 21—83, 7 exponitur a scholiasta p. 211, 33—212, 2; sed in fine post exempla adlata eorum quae *δι' ἕτερα ληπτά* sunt, *'οἷον πλοῦτον, δόξαν καὶ τὰ τούτοις ὅμοια'* addit: *οὐδὲν γὰρ τούτων δι' ἑαυτὸ αἱρετόν ἐστιν, ἀλλ' ὁ μὲν πλοῦτος διὰ τρυφὴν ἢ εὐεργεσίαν τοῦ πέλας, ἡ δὲ δόξα δι' ἀλαζόνειαν, ἡ δὲ ὑγίεια καὶ εὐαισθησία δι' ἑαυτὰ αἱρετά.* Quid igitur? E Stoicorum doctrina *τρυφή* et *ἀλαζόνεια* numerantur inter *αἱρετά* vel *ληπτά*, ut ad haec impetranda quae inserviant recte *δι' ἕτερα ληπτά* dicantur? Paullo ante de eis bonis et malis, quae *τελικά* sunt vel *ποιητικά* vel utrumque, dixit scholiasta p. 209, 36—210, 11 eadem plane atque Didymus II p. 71, 15—72, 13; sed cum apud Stobaeum p. 72, 9. 10 eorum quae *τελικὰ κακά* sunt haec tantum exempla legantur *λύπη καὶ φόβος καὶ κλοπὴ καὶ ἄφρων ἐρώτησις*, scholiasta haec habet: *λύπη καὶ δυσελπιστία καὶ φόβος καὶ ἀφρονικὴ περιπάτησις καὶ πλημμελὴς κίνησις καὶ κλοπὴ καὶ ἄφρων ἐρώτησις*, quorum *δυσελπιστία* non male quidem excogitatum ut respondeat *εὐφροσύνῃ* quae antea inter bona *τελικά* posita est; sed quid tandem sibi velint *ἀφρονικὴ περιπάτησις καὶ πλημμελὴς κίνησις*, prorsus te latebit, nisi comparaveris quod inter bona *τελικά* optime antea numeratur *φρονίμη περιπάτησις*: audin hominem ineptum qui *φρονίμην περιπάτησιν* ad philosophorum disputationem spectare ignoravit et ei contrarium aliquid inter mala opponendum esse ratus 'dementem ambulationem' et 'improbam motionem' adscripsit? Quae praeterea accuratius inter se comparentur digna sunt potissimum haec.

Stob. II p. 69, 17—70, 7.

Τὸ δ' ἀγαθὸν λέγεσθαί φασι πλεοναχῶς, τὸ μὲν πρῶτον, οἷον

Schol. Lucian. p. 209, 10—19.

Τριχῶς ἔλεγον οἱ Στωικοὶ τὸ ἀγαθόν. Τὸ μὲν γὰρ πρῶτον καὶ οἷον πηγῆς ἔχον χώραν, ὃ καὶ ἀφο-

πηγῆς ἔχον χώραν, ὅπερ οὕτως ἀποδίδοσθαι· 'ἀφ' οὗ συμβαίνει ὠφελεῖσθαι ἢ ὑφ' οὗ' (τὸ δὲ πρώτως εἶναι αἴτιον)· τὸ δεύτερον 'καθ' ὃ συμβαίνει ὠφελεῖσθαι'· κοινότερον δὲ καὶ ἐπιδιατεῖνον καὶ ἐπὶ τὰ προειρημένα τὸ 'οἷον ὠφελεῖν'. Ὁμοίως δὲ καὶ τὸ κακὸν κατὰ τὴν τοῦ ἀγαθοῦ ἀναλογίαν ὑπογράφεσθαι. Τὸ μὲν οὖν 'ἀφ' ου συμβαίνει βλάπτεσθαι ἢ ὑφ' οὗ'· τὸ δὲ 'καθ' ὃ συμβαίνει βλάπτεσθαι'· κοινότερον δὲ τούτων τὸ 'οἷον βλάπτειν'.

ρίζονται ἀγαθὸν εἶναι λέγοντες ἀφ' οὗ συμβαίνει ὠφελεῖσθαι τῷ πρώτως εἶναι αἰτίαν καὶ ὑφ' οὗ· δεύτερον καθ' ὃ συμβαίνει ὠφελεῖσθαι, ὥσπερ εἰ θερμαινόμενός τις ψύχους τῆς νόσου ἀπαλλάττεται· οὐ γὰρ τὸ θερμαῖνον ἀλλὰ τὸ θερμαίνεσθαι αἴτιον τῆς ὠφελείας· καὶ τρίτον ἔλεγον ἀγαθὸν κοινότερον καὶ ἐπὶ τὰ εἰρημένα διατεῖνον, τὸ οἷονεὶ ὠφελοῦν, ὅπερ οὐ τοῦ ὄντως ὄντος περιδράττεται ἀλλὰ τοῦ ἐν ὑπολήψει. Ὁμοίως τούτοις καὶ τὸ κακὸν εἶναι τριττόν· τό τε ἀφ' οὗ συμβαίνει βλάπτεσθαι, ὡς δ καιόμενος ἀπὸ πυρός, καὶ τὸ καθ' ὅ, ὡς ὁ χειμῶνος ὕπαιθρος διανυκτερεύσας· τὸ κοινότερον καὶ ἐπὶ τὰ ὄντως (an τὰ οὐκ ὄντως ὄντα?) ἀναφερόμενον, ὡς εἰ φάσκοι τις πρὸς τὴν αἴσθησιν ἀποβλέπων τὸν σωφροσύνης ἕνεκεν πόνοις ἑαυτὸν ἐκδόντα ἀνιαρῶς διακεῖσθαι.

Nonne vides quomodo homo Byzantinus se torserit in explicandis Stoicis terminis, quos prorus non intellegeret? Quid Stoici voluerint ut per se manifestum, ita disertis verbis Sexti Empirici Pyrrh. hypot. III 171 confirmatum. Maxime conspicua hominis stultitia in boni definitionis tertio membro, quod cum descriptum fuerit verbis *τὸ οἷον ὠφελεῖν*, pro captu suo mutavit in *τὸ οἱονεὶ ὠφελοῦν* (nam non licet pro his cum Heinio in ann. phil. 1869 p. 626 *οἷόν τε ὠφελεῖν* restituere, cum adiecta interpretatio illud ipsum necessario flagitet); iam igitur *ἡ ἀρετή, ἡ κατ' ἀρετὴν πρᾶξις, ὁ σπουδαῖος, ὁ φίλος, οἱ θεοί* reliqua quae secundum Sextum l. s.

huius generis sunt, haec omnia revera non extant ex Stoicorum doctrina! ac talia Didymum tradidisse ut credamus serio quis postulet! Et superatur vel haec stultitia in tertio, quod huic respondet, mali genere. Sed taedet enarrare commenta hominis, qui philosophiam ne primis quidem labris attigisse videatur. Accedit vero quod plerumque ipsa verba Byzantinum produnt: an apud veteres unquam quis talia legerit, qualia sunt p. 209, 34 *φρονίμευσις* et *δικαίωσις* eo sensu dicta, quo Stoici dixerunt *φρονίμευμα* et *δικαίωμα* (cf. Stob. II p. 97, 9 et 11), vel p. 211, 9 *ἀπροκοπία* et ibid. 10 *πήρωσις τεκνοποιίας*, reliqua?

Vsurpavit igitur scholiasta exemplum Stobaei — si minima quaedam exceperis, quae hic illic paullo emendatiora in eo fuisse credi potest quamquam nequit demonstrari [1]) — prorsus nostris simile, sed addidit quae ad rectius intellegendas definitiones ipsi utilia visa sunt, exempla potissimum aut futilia aut prorsus inepta.

Haec de codicum memoria habeto. De editionibus paucis defungar.

Princeps fuit Canteriana (Antverp. ex offic. Christ. Plantini a. 1575). Quae quomodo ex apographo Parisini fluxerit, quod in bibliotheca Sambuci tum asservabatur, nunc videtur deperditum esse, nuper *Stud.* p. 61 sqq. disserui. [2]) Gulielmus Canterus ipse trita prorsus et levia quaedam peccata a librario in interpungendo vel scribendo commissa statim in contextu emendavit, graviora pauca in ora, alia in interpretatione Latina tacite correxit.

Secuta est plus centum annis interiectis Arn. Herm.

---

[1]) Nequaquam enim accurate semper descripsit Stobaei verba, sed si quae inerant difficultates ea ex arbitrio mutavit, velut Stob. II p. 169, 19 sq. tam inepte invertit ut tautologia evaderet.

[2]) Quodsi interdum Canterus in ora 'Farnesii codicem' laudat (p. 11 = I p. 75, 2 h. ed.; p. 16 = I p. 93, 4. 5; p. 17 = I p. 94, 11; p. 18 = I p. 100, 13), id quod Heerenum proleg. p. LI torsit, scito hanc memoriam omnem petitam esse ex Vrsini libro 'Carmina novem illustr. femin. et lyric. etc.' (Antverp. 1568), ubi primum ex Farnesino quaedam poeticae eclogae editae (v. ib. p. 333).

Ludov. Heereni editio, quae Gottingae apud Van den Hoek et Ruprecht a. 1792—1801 prodiit amplo apparatu critico instructa, qui ex Grotii collatione Parisini scripturas, ex Tychseniana Escurialensis, ex propria Augustani et Vaticani continuit. In ea multis quidem eclogis ex meliore codicum familia additis, multis etiam locis ex eadem emendatis alia neque ea pauca ex coniectura sagaciter Heerenus restituit; alia sane corrupit pessime, cum inter codices quae intercederet ratio plane eum fugeret (quamvis Farnesinum ipse inspexisset), neque Graecae linguae esset peritissimus et 'veteris philosophiae plane ignarus', quamquam paullo acerbius Madvigius ad Cic. de fin. III 18, 61 p. 418[3] in eum invectus est (rectius iudicavit Meinekius praefat. p. V).

Tertius accessit Thomas Gaisford (Oxon. 1850), qui subiecit plane inutiliter accuratius excussas Augustani scripturas neque suopte ingenio quidquam fere laudabile praestitit: vide recte iudicantem Leonhardum Spengelium doct. nunt. Monac. a. 1850 vol. XXXI p. 250 sqq.; ne typotheta quidem usus est ea diligentia, quam par est in clarissimo typographeo academico adhiberi.

Augustus Meineke denique, qui in 'bibliotheca Teubneriana' praeter 'Florilegium' etiam 'Eclogas' (a. 1860. 1863) recensuit et singularem adnotationis criticae libellum subiecit, ut fuit feraci admodum ingenio et optime calluit linguam Graecam, egregia aliquammulta, in poetarum potissimum eclogis attulit; sed idem codicum ratione non perspecta haud pauca corrupit ut Augustani potissimum scripturis satisfieret, nec ei ut aperte loquar cum philosophis Graecis arctior familiaritas intercessit.

Ad hanc editionem instruendam adhibiti sunt duo illi codices, ex quibus reliqua omnia apographa pendent, Farnesinus et Parisinus, praeterea in eis quae supra significavi capitibus Laurentianus, qui continet Ioannis Damasceni qu. d. florilegium. Hos igitur tres nunc breviter describam.

Farnesinus (F) aemulo Parisino longe melior, olim in bibliotheca Farnesina *a Capo di Monte* asservatus, paullo

post in bibliothecam musei Burbonici, quod nationale nunc dicitur, transportatus ibique III D 15 signatus (n. 299 in Cyrilli catalogo descriptus), chartaceus est et saeculo XIV me iudice scriptus (vide *Stud.* p. 59). In eo fol. 1 usque ad fol. 174^{r} Stobaei eclogae leguntur, sequuntur *προλεγόμενα εἰς τὸ τοῦ Γαληνοῦ περὶ στοιχείων κτλ.* Litterae initiales et lemmatum et ipsarum eclogarum rubricatori relictae sunt et ab eo plerumque atramento subrubro, aliquotiens colore miniaceo vel viridi expletae, nonnullae tamen neglectae; neglectas supplevit lurido atramento saec. XVI s. XVII vir doctus quidam, qui praeterea margine ea notavit quae in Canteriana desunt et hic illic omissa quaedam verba adiecit (hanc manum littera *x* significavi). Alia manus (*y*) praeterea badio atramento in ora emendationes quasdam adscripsit, interdum etiam verba ipsa in contextu correxit (has correctiones suffecit plerumque F^2 significare). Singuli versus fere 46—50 litteris constant in rationem non ductis compendiis quorum magnus numerus usurpatus est.

Contuli ipse hunc codicem antea non usurpatum Neapoli hieme anni 1860/1.

Praeterea sciendum est in Farnesino a rubricatore eodem subrubro atramento quo rubricas plerumque pinxit adscripta esse margini hic illic scholia quaedam, quae eadem iam ex archetypo repetita esse ex mendis quibusdam et transpositionibus coniceres, nisi contrarium inde appareret quod pleraque adscripta sunt in fine codicis ubi spatium vacuum suppetebat, non suppetebat in archetypo; neque in Parisino horum scholiorum vestigium ullum. Edidit ea multis tamen et in legendo et in corrigendo peccatis commissis Heerenus adnexa editionis alteri volumini p. 442—465. Quae quidem tantum non omnia cum hausta sint e Michaelis Pselli 'Omnifaria doctrina' (*παντοδαπὴ διδασκαλία*) [quod cum Heerenum fugerit, primus Spengelius Monac. nunt. doct. vol. XXXI (1850) p. 245 animadvertit], iteranda ea non duxi; ne tamen quidquam deesse videatur, brevem indicem locorum excerptorum adiectis scripturae discrepantiis in fine Eclogarum (vol. II p. 265 sq.) subnexui, praesertim cum libri Pselliani — qui Byzantinis mirum quantum pla-

cuerit — hactenus integra memoria non extet; pleniorem enim multo eum fuisse apographo Lindenbrogiano mendoso et mutilo ex quo edidit Fabricius bibl. Graec. libr. V ad Allatii diss. de Psellis p. 70 sqq., probatur et Allatiano codice (i. e. eo codice cuius indicem edidit Leo Allatius 'de Psellis et eorum scriptis diatriba' cap. LXXII = p. 51 ed. Fabric.) et Parisini codicis excerptis apud Cramerum An. Paris. I p. 345 sqq. et Taurinensibus codicibus (cf. Doehner philol. XIV p. 408; quaest. Plut. III p. 17 sqq.) et ipsis his Farnesini scholiis. [1])

Parisinus (P) n. 2129 signatus chartaceus saec. XV, quadratus minor, constat ex 29 quaternionibus, quorum numeri a bibliopego magnam partem amputati hic illic etiam nunc apparent [2]), quorum singula folia sunt 20 versuum, 50 fere litteras continentium, nitide exaratus. Per totum codicem persequi licet vestigia non unius sed duorum vel trium virorum doctorum, quorum scripturae et atramento lurido vel nigrescente et ipsa scribendi ratione aliquotiens bene (velut fol. 167[r]), saepius tamen difficile distingui possunt. Hi omnes Graecae linguae et philosophiae gnari haud raro sat felici eventu verba corrupta correxerunt; singulos tamen accuratius significare operae pretium non visum est, cum omnia e coniectura sint nata, nihil ex alia memoria haustum. Ceterum festinantius hunc librum Grotius contulerat ad marginem Stobaei sui, quod exemplum a Wyttenbachio possessum in bibliothecam academicam Leidensem transiit (= XVIII. Wyttenb. 2): cf. Geel, catal. cod. Leidens. N. 303; Heeren praefat. p. XXXIX sq. Totum denuo excussi auctumno a. 1881 liberaliter a praefectis bibliothecae Parisinae Heidelbergam transmissum.

---

[1]) Ceterum cf. de hoc libello quae exposuit Dilesius Doxogr. p. 29 sq.

[2]) In superiore margine f. 25 videre est $\overline{\vartheta}$, f. 41 $\overline{\varsigma}$, f. 57 $\overline{\eta}$, f. 65 hastam litterae $\overline{\vartheta}$, f. 73 $\overline{\iota}$, f. 81 $\overline{\iota\alpha}$, f. 89 $\overline{\iota\beta}$, f. 97 prioris (duobus enim foliis 97 numerus adscriptus est, itaque plenus etiam hic quaternio) et f. 104 hastas, f. 112 $\overline{\iota\varepsilon}$, f. 120 hastam, f. 128 $\overline{\iota\zeta}$, f. 152 hastam, f. 176 $\overline{\varkappa\gamma}$, f. 184 $\overline{\varkappa\delta}$, f. 192 $\overline{\varkappa\langle\varepsilon\rangle}$, f. 250 $\overline{\varkappa\langle\varsigma\rangle}$; etiam ultimus quaternio absolutus est, nam superest post ultimum Eclogarum folium (230) unum integrum.

Laurentianus (L) Florentinus plutei VIII n. 22 saec. XIV continet gnomologium sacrorum profanorumque scriptorum, de quo accuratius rettuli in duobus Gottingensibus programmatis a. 1871 (= *Stud.* p. 1 sq.) et *Comment. de Stob. ecl.* p. 22 (= *Stud.* p. 83).

Insignis est codex rubricatoris socordia, quam eleganter Cobetus *Var. lect.* p. 11 sq. ita descripsit:

'In quemcunque locum codicis primum incideris, videbis passim litteris rubricatis distinctum. Non tantum quod assolet novi argumenti aut loci aut sententiae initium rubrica notatur sed identidem in medio versu apparet littera discolor, ut credas eam rem aut ioci causa aut forte ornamenti librario placuisse*). Non movet ea res magnam admirationem nec multum laboramus, cur id ei studio fuerit vel oblectamento. At aliud quid est quod nos magno opere in ea re moveat et advertat. Qui eas litteras post librum descriptum de more adpinxit et immiscuit sive idem librarius sive alius, quod mihi ex scriptura non satis compertum [v. infra p. XXIX], incredibili socordia ac temeritate usus litteras adpinxit non quas omissas esse cuivis apparebat sed quas casus aut lubido subiecit. Si quis linguae Graecae plane ignarus et nil nisi elementorum Graecorum figuras calamo ducere doctus ea intervalla suo arbitratu littera discolori qualibet explevisset, non poterat ineptius errare et omnia corrumpere, quam istum hominem id fecisse comperi . . . . . Dedit librarius pro *Δίωνος τίωνος*, *τιήρουν* pro *διήρουν*, *τρύγες* pro *φρύγες*, *κύκιοι* pro *Δύκιοι*, *ζίνου* pro *Εὐήνου*, *φύσων* pro *Μύσων*, *ὀξίθεος* si Musis placet pro *Εὐξίθεος*, *παμβλίων* saepius pro *Ἰάμβλιχος*, *θέλων* pro *Γέλων*, *βέλει* pro *μέλει*, *μιλήτου* pro *Φιλητοῦ*, *καιάνων* pro *παιάνων*, *ξάθωνος* pro *Βάθωνος*, Solon fit *φόλων*, Eryximachus appellatur *ὀρυξίμαχος*, Cato denique repente mutatus est in *τάτων*. Idem subinde officii immemor litterulam addere supervidit: apparet *ρατῖνος*, *λάτων*, *υμεών*, *άλευκος*, *οσίδιππος*, *έναιχμος* et *οφῶν*.'

*) [Quod in medio versu rubrica adhibita est, id fortasse ex archetypo fluxit siquidem similiter scriptus erat atque Vindobonensis Florilegii: vide supra p. VIII. C. W.]

Sciendum tamen est, hanc rubricatoris socordiam solum fol. 74—125 et 163^{v}—189 animadverti, prorsus deesse in fol. 126—163^{r}, quibus librarius ipse etiam rubricandi munus suscepit (ceterum colore minus vivido usus quam ille homo ineptus).

Descripserat hunc codicem satis neglegenter a. 1781 Antonius Sarti, cuius schedas ipsas accurate demum a. 1850 in secundo Eclogarum volumine edidit Gaisfordus (cf. *Stud.* p. 1); ipse Februario a. 1862 accuratius eum excussi; praeterea praesto mihi fuit Rudolfi Schöllii amici collatio, quam aliquanto post me fecerat. Platonicas denique quasdam eclogas, quas uterque nostrum praetermiserat, insigni liberalitate in meum usum perlustravit Hieronymus Vitellius Florentinus.

Praeterea tria, quae nunc feruntur in 'Florilegio' capita 80. 81. 82, in antiquam sedem reduxi (flor. c. 80, 1—14 in II 1 p. 6, 20—14, 1; 80, 15—81, 16 in II 4 p. 26, 8—32, 24; 81, 17—82, 16 in II 2 p. 18, 11—24, 14); de hac transpositione eis quae *Studiis* p. 45 sqq. exposui nunc haec addo. Primum in Escurialensi (M) tria illa capita nec in conspectu capitum Florilegio praemisso afferuntur vel numerantur nec suo loco singulariter exhibentur sed cohaerent cum antecedente capite *ὅτι χρὴ τοὺς γονεῖς κτλ.* Deinde ne in Parisino quidem codice (A) capita sunt separata nec numerata [1]), sed recentissima demum manus f. 156^{v} med. initio capitis lineolam appinxit et adscripsit *λείπει*, infra *περὶ θεῶν καὶ ἐπιστημῶν καὶ διαλεκτ⟨ικῆς⟩* (non *περὶ γραμμάτων*), quem generalem titulum vir quidam doctus voluerit esse cap. 80—82; ceterum hic quoque exordium capitis 80 continua oratione cum ultima capitis 79 ecloga copulatum est; praeterea recens alia manus quae semper capitum numerum adscripsit superiori margini foliorum rectorum, eadem quae in fine Florilegii fol. 215 capitulationis fragmentum subiecit, appinxit f. 156 ξϑ′, f. 157 (ξϑ′ deleto) *ο′*, f. 158—160 *ο′*, f. 161 *οα′*, itaque tria illa capita pro uno numeravit. Denique — id quod Hense

[1]) Immo cap. 79 fol. 151^{r} est *οϛ′ ὅτι χρὴ τοὺς γονεῖς κτλ.*, cap. 83 fol. 160^{v} *οζ′ ὁποίους τινὰς χρὴ εἶναι κτλ.*

demonstrabit — titulus *περὶ θεῶν καὶ τῆς περὶ τὸν οὐρανὸν καὶ κόσμον φυσιολογίας* ab Gesnero ipso in editione altera fictus est. [1])

In his igitur tribus capitibus quae nunc Eclogis accesserunt Florilegii codices quos potui adhibui, Parisinos duos, Escurialensem Mendozae, Vindobonensem Sambuci, Trincavellianam codicis instar habendam, quamquam ne sic quidem certum ubique iudicium fieri potuit de 'vulgatae' origine, quae admodum impedita est quaestio neque a me solvenda. De singulis codicibus haec pauca habeto.

Parisinus prior (A) cod. Graec. 1984 chartac. saec. XIV praebet capita 80—82 f. 156^{v} med. — 160^{v} med.; Gaisfordus primus eum usurpavit; post eum ipse contuli capita tria, de quibus sermo est.

Parisinus alter (B) cod. Gr. 1985 (antea Colbert. 503) saec. XVI scriptus (quem a G. Maino sibi 1564 legatum Morellus 1578 Lutetiam deferendum curavit); ab homine docto audacter interpolatus; ceterum, ut Hense me docuit, Trincavellianae prosapiae. Collatum eum per Graeculum quendam habuit Gaisfordus, sed haud raro *A* et *B* notas duorum Parisinorum in adscribendis lectionibus confudit.

Escurialensis (M) LXXXX (Σ II 14), codex Mendozae, membran. saec. XII ineuntis; eum adhibuit quidem iam Gesnerus; nostris temporibus Duebneri collationem Nauckius usurpavit in Tragicorum Graecorum fragmentis (vide praef. p. VIII sq.), sed praeter eum quantum scio nemo, neque mihi cum haec capita recenserem haec vel Dindorfi collatio (cf. Philol. XVII p. 337) praesto fuit. Nunc tandem Ottoni Hense per itineris Hispanici opportunitatem contigit, ut huius quoque codicis describeret accurate lectiones; eas quae ad tria illa capita spectant amice mecum ab illo communicatas nunc in Addendis exhibebo.

---

[1]) Ceterum verba *εἰς τὸ ἐναντίον*, quae nunc leguntur in titulo Flor. cap. 82 et fuerant olim singulariter alteri parti Ecl. II c. 2 inscripta (vide II p. 21, 15), servata quidem sunt in libris, plerumque tamen non intellecta, sed in Parisino cum ultima ecloga capitis 81, in Escurialensi cum lemmate eclogae primae capitis 82 coaluerunt.

Ceterum nunc unusquisque videt Parisini codicis Escurialensem fratrem germanum esse.

Vindobonensis (S) cod. philos. et philol. Gr. LXVII (sec. Lambec. philos. LXXXI) olim Sambuci, membran. saec. XI ineuntis [1]), omnium librorum quos novimus et antiquissimus et optimus, quamquam ne ille quidem integram sententiarum servavit copiam. Primus eius lectiones Gaisfordus in Eclogarum editionis appendice vol. II p. 860 sqq. communicavit; mihi licuit adhibere operam Segofredi Mekleri Vindobonensis, qui accuratissime totum codicem in Hensei usum excussit.

Trincavelliana (T) est editio princeps Florilegii quae Venetiis a. 1536 prodiit et accuratissime expressa est e codice Veneto Marciano class. IV cod. XXIX [olim LXIX 1. LXXXIX 3] membran. fol. saec. XV vel XVI, ut quaerenti mihi liberaliter affirmavit Ed. Schwartz.

Nunc vero ex eis quae Hense benigne ex lucubrationibus suis de Florilegii memoria mecum communicavit constat, omne hoc codicum genus ex ipso Vindobonensi fluxisse: quod si antea cognitum fuisset, supersedere potui Trincavellianae lectionibus afferendis.

Ex his igitur codicibus recognovi Stobaei verba; cui fundamento certo speramus fore ut iam multi suam emendandi operam superstruant; nam permultos philosophorum potissimum locos etiamnunc medicina egere nemo me melius intellegit. Quodsi in hac editione non improbabiliter emendationem incohatam esse confido, id prorsus debetur amicitiae Hermanni Vseneri mei qui non solum per maximam editionis partem taedium singulos quaterniones, dum prelo subiciuntur, perlegendi et corrigendi sustinuit sed tam strenue ipsius editoris munus suscepit, ut antiquae sodalitatis consilium, quod ad Graecorum philosophorum historicos spectabat, nunc aliqua saltem ex parte expletum sit; qua in societate quanto huius amici sagacissimi et doctissimi commenta et numero et divinandi arte meis praestent, nulla plagula non docet.

---

[1]) cf. Schenkl in Vindob. acad. relat. 1875 p. 100 sq. et Xenophontis sui (Berol. 1876) vol. II p. IX.

Ceterum quam rationem secutus sim in duabus rebus fortasse non supervacaneum paucis exponere. Primum enim in afferendis verbis eorum scriptorum, quorum libri ipsi aetatem tulerunt, hanc normam tenui, ut non ea quae ipsos scripsisse probabile esset, sed ea tantum quae in exemplo suo Stobaeus legisse videretur restituerem. Dein si ad recte intellegendas philosophorum sententias utiliter alii loci conferri posse videbantur, eos aliquotiens adscripsi, aequabilitatis tamen, quam in tali scriptorum varietate nemo expectabit, minime studiosus et maiore testimoniorum copia solum ad Didymi ethicam epitomen adhibita.

Praeterea tandem aliquando in hac editione Photiani capitum numeri revocati sunt, ita tamen ut in superiore margine non solum hos apponerem, sed etiam quotquot apud Heerenum et Gaisfordum Meinekiumque discrepant (qua de re cf. *Stud.* p. 71). Eclogarum numeros primus Heerenus adiecerat, quosdam mutaverat Gaisfordus: quae omnia quamquam haud raro sine ratione vel etiam contra rationem instituta erant, tamen praeter ea capita, in quibus ex 'Florilegio' Stobaei vel ex gnomologio Laurentiano novae multae accesserant eclogae, nihil in his novavi, ne omnia turbarentur; sed Gaisfordi numeros (additis ubicumque discrepabant Heerenianis) servavi. Vbicunque tamen nimis inepta erat divisio ab illis exhibita, id est nimis multa in unam eclogam comprehensa erant, subdivisionem adhibui adscriptis litterulis $^{a\,b\,c\,d}$ etc. Semel tantum quia prorsus intolerabilis erat distributio numerorum, Didymi dico epitomen ethicam (II 7) inde a § 6, quam potui lenissime quaedam mutavi: sed hic quoque antiquos numeros in superiore margine addendos curavi.

Paginas vero Canterianae in margine exteriore simpliciter adnotavi, velut *p. 1 C.*, Heerenianae ibidem ita significavi, ut numeros ponerem inclusos rectis cancellis, velut *[2]*, in altero volumine etiam 'II' praeposito, velut *[II 2]*.

Vnum restat, quod ignorari nolim. Alterius voluminis, quod inprimendum curavi ante prius, cum iam sextus septimusque quaternio prelum exercerent, prodiit Rudolfi Hirzelii liber cui inscripsit '*Untersuchungen zu Cicero's philo-*

sophischen Schriften. Zweiter Theil. De finibus. De officiis.' In quo quas protulerat coniecturas ad priorem Didymi partem spectantes eae praeter unam (p. 86, 20) iam non poterant suo loco commemorari. Nunc omnes in ADDENDIS composui, etiam eas in quibus idem atque in quod ipse incideram invenit, praetermissis tamen in quibus iam diu a Cantero Heereno aliisve occupata protulit.

Eisdem autem Addendis Escurialensis quoque scripturas (v. supra p. XXX) et Platonici Phaedri quae interim per Schanzium innotuerunt lectiones communicandas duxi, ut uno certe conspectu omnia postliminii iure recipienda comprehendi possint. Denique quibus Hermetica fragmenta duo et obscuritate et corruptione insignia (I 49, 44. 45) sagaciter admodum illustravit et emendavit coniecturarum egregiam copiam misit mihi nuperrime Usenerus meus, qui ne Arentiani quidem e morbo gravissimo iamiam feliciter convalescens Stobaeo meo deesse voluit: sic factum est, ut vel in 'Addendis' huius amicissimi viri nomine nullum vel frequentius appareat vel magis conspicuum.

Heidelbergae, mense Decembri a. 1883.

CORRIGENDA ET ADDENDA

IN VOLVMINE I

35 n. 9 post *κόσμον* interpungi iubet Hirzel '*Unters. zu Cic. phil. Schr.*' II p. 220, 2

37, 20 pro *νοηρόν* lege *νοερόν*

54 n. 17 h. v. spurium iudicat Herwerden, qui v. 19 coni. *πέμπων ϑ'*

61, 5 pro *41, 9* lege *419*

87 n. 6 *ταῦτα*] *πάντα* Gomperz *Herodot. Stud.* II p. 39

104, 18 pro *ἀποεχομένου* lege *ἀποιχομένου*

114 n. 20 post *Plat.* adde *B*

114 n. 22 *δ' ἤτοι* Plat. *T*

114 n. 23 *πτερόφοιτον* Plat. *T*

126, 5 pro *τἆλλα* lege *τἄλλα*

134, 17 pro *5* lege *3*

157, 5 pro *τἆλλα* lege *τἄλλα*

171, 9 pro *6. 10* lege *6—10*

172, 19 praestat *περιαγεόμενος* quod libri praebent servare coll. infra p. 355, 11

187, 3 pro *II 5, 16* lege *II 4, 16*

191 n. 4 pro *FP* lege *F*

204 n. 1 dubitanter prolatae quaestioni rectissime iam responsum est a Dilesio Doxogr. p. 31

208, 15 pro *II 20, 1* lege *II 20, 2*, et pro *348, 2* lege *348, 8*

209 n. 18 pro *seclucit* lege *seclusit*

238, 22 pro *III 5, 1—10* lege *III 5, 1—18*

248 n. 252 n. 297 n. 298 n. quod generaliter iam in progr. Gott. *De Stob. ecl.* p. 12 (= *Stud.* p. 73), singulariter ibid. p. 14. 15 (= *Stud.* p. 75—77) monueram, id non inutile fuit per singula nunc persequi, id est adnotare ad 248, 15. 18. 21 argumentum capitum 33. 34. 35 ex Aetii III 9 et 11; 10; 13 petitum esse; item ad 252, 12 argumentum capitis 37 ex Aetii III 16, ad 297, 10 argumentum capitis 44 ex Aetii V 24 et 25 (? cf. Prolegom. p. XVI n. 2), ad 298, 4 argumentum capitis 46 ex Aetii V 27 et 28

281 n. 10 *οἷα* (pro *ϑέα*) coni. Holsten

282 n. 21 pro *282, 21* lege *278, 16*

290, 25 *πρὸς Ἄμμωνα* verba ut ex titulo eclogae antecedentis male iterata secludere et debui et volui, quod nescio quomodo praetermissum

295 n.—297 n. potui adnotare in partibus deperditis capitis 42 praeter singulares titulos, quos ex flor. Laur. deprompsi, certo pinacographi Photiani testimonio constare etiam de tribus sententiis a Stobaeo transcriptis; ecl. 5 (p. 295, 10) ex Aetio V 7 (§ 3. 7; 5) petiit Hipponactis (i. e. Hipponis) et Leophanis placita (*Ἱππώνου* et *Λεωφάνους* est apud Photium): cf. Elter p. 45, Diels Mus. Rhen. XXXVI p. 347 et Elter p. 46, Diels Doxogr. p. 420; item ecl. 13 (p. 296, 18) ex Aetio V 18, 3 Polybi Dioclis Empiricorum (?) dogmata ut ex Photianis nominibus *Διοκλέους* et *Πολυβίου* (sic!) patet: cf. Elter p. 42 et 47

314, 16 dele cancellos quibus (Usenerum festinantius secutus) *καὶ* ante *τοίνυν* saepsi

319 n. pro **2. 3** lege **1. 2**

320, 1 pro *Ἡρακλειτος* lege *Ἡρακλείδης*

320 n. 15 mentio fieri potuit Elteri,

qui p. 45 coniecit excerptam esse a Stobaeo ex Aetii IV 3 etiam *Κριτίου* (§ 4; Theodor. V 18) sententiam; quod sane minime certum

320 n. 21 *ψυχῇ οὖσα* Plat. *B*

325, 10 pro *IV 3, 2* lege *IV 6, 2*

325, 17 pro *IV 3, 1* lege *IV 6, 1*

332 n. 20 *ἀδιάφθορον* Plat. *T*, *ἀδιάφορον* Plat. *B*

332 n. 25 pro *vulg.* lege *BT*

333 n. 9 *ἔοικε τῷ* Plat. *B*, *ἐοικε τῳ* Plat. *T*

347 n. 17 pro *Κόρον* Creuzer in Plotini Porphyriique Didotiana p. XXIX coll. Plat. Symp. p. 203B coni. *Πόρον*, quod et ipse olim coniecceram sed abieci, cum intellegerem de Heraclito sermonem esse

382, 25 *ἄλλοι* vulgaribus, non diductis litteris imprimendum erat; supplendum enim necessario est *βίοι*

383, 2 item *ἄλλοι* vulgariter imprimendum et colon ante *ἄλλοι* in comma mutandum

383 n. 11 *ἔχοντες* falso in suspicionem vocavi

385, 10 *κοινοῖς* cum Usenero ut glossema secludas

385, 15 post *θεῶν* punctum pone, ut a v. *καὶ οὕτως* nova incipiat sententia; sic *Ἶσις* post *ἄρχεται* servari potest

386, 2 pro *διαμονὴν* corrige cum Usenero *διανομήν*

386, 10 pro *οἵτος* corrige cum eodem *οὕτως*

386, 17 pro *δ' ἄν* corrige item *δ' αὖ*

386, 18 pro *τὴν* item *τῆς*

386, 23 pro *καὶ* lege cum FP *ἢ* (i. e. *'tacuit magis quam dixit'*)

386 n. 25 *δορυφορῶν* coni. Usener, cum Mercurius sit *θεῶν ὑπομνηματογράφος*

387 n. 6 pro *περιέχοντι* coni. Usener *ὑπερέχοντι* et ad summatem deum refert

387, 8 inde a v. *ἐμοὶ δὲ* usque ad *σύμβολα* (12) Mercurii purgationem ad verbum referri optime idem monuit, itaque "*ἐμοὶ δὲ* et *σύμβολα*" scribendum neque v. 11 *Ἑρμῆν* intrudendum

387, 12 et 14 cancellos falso posui; *τοὺς λόγους τούσδε* spectat ad v. 8—12

387, 20 *χρόνους* servare potui

388 n. 4 *τὰς βίβλους* secludit, *καὶ* servat Usener

388 n. 5 pro *ζώναις* coni. idem *ζωθήκαις*

388 n. 6 *ἐκέκρυπτο* delet idem

388 n. 17 post *γεννητικὴν* gravius interpungas

389 n. 1 non *τὸ* sed *σοφὴν* vel simile quid supplet Usener

389, 7 *εἰς ταῦτα ἤρξατο τεχνιτείας, οὐσίαις* corrige cum eodem

389 n. 20 ab *ἐξ οὗ δὴ* apodosin incipere credit idem, qui pro *δὴ* coni. *ἔδει* vel tale quid

390, 2 pro *ὡς μηδέ τι* corrige cum eodem *ᾧ* [scil. *λόγῳ*] *μέγα τι*

390, 11 pro *εἶδη τελειοῖ* corrige cum eodem *ἤδη τελείωμα*

390 n. 15 pro *στάσει* coni. idem *στὰς ⟨βάσ⟩ει*

391, 5 pro *εὐβαφῆ* corrige cum eodem *εἰαφῆ*

391, 7 pro *ζῴων* corrige *ζῳδίων* cum eodem

391 n. 10 pro *πλάσσετε* coni. idem *ἀλλ' ἄγετε*

391 n. 17 pro *οἷον* coni. Usener *ἐννέα* et pro *τὰς* idem *αὐτοῖς*

391 n. 22. 23 *αὐτὰ γοῦν οὐκέτι [ἀνάγκην ἔχουσιν] ἄλλο τι ποίημα ἐφείθησαν* coni. idem

392 n. 3 pro *πρῶτον* coni. *πρὶν* idem

392, 16 post *ἤδη* commate distingue

392, 21. 22 *ὡς Καμῆφιν λέγων. Καὶ* cum Usenero scribas coll. p. 394, 27 sq.

397, 16 debui *προελθοῦσαι* servare; item enim dixit Hermes p. 459, 10 *τῶν σωμάτων προελθοῦσα*

398, 6. 7 vix recte haec tractavi, videntur potius omnia sana esse

398 n. 16 pro *ἐστὶ* coni. Usener *ἔς τι*

399, 8 pro *τοῦ* corrige cum eodem *τούτου*

399 n. 12 pro *ὃ καίπερ εἰδὸς* coni. idem *καὶ προειδός*

399, 15 non opus erat *ὃ δὴ* in *τὸ δὲ* mutare

399 n. 18 pro *ἔφης· ἔφη* coni. Usener *φθάσας ἔφη*

399, 22 nunc scribo *καταχρᾶναι* a *καταχραίνω* derivandum
400 n. 6 *καὶ δυνάμεις· ἀνατεμοῦσι* coni. Usener
400 n. 9 pro *καὶ τὰς* coni. idem *ἑκαστοχοῦ τὰς*
400 n. 14 pro *τούτων* coni. idem *τούτου* et 15 *τῷ θράσει*
400 n. 16 *ἀληθείας* optimi libri scriptura praeferenda erat ei quod P praebet *ἀλυπίας*
401 n. 15 *οὐκέτ' ἀργὴ* pro *οὐκ ἐναργῆ* coni. Usener, recte opinor
401 n. 18 *ἐπόπτειρά τε τῆς συνταγῆς* coni. Usener
401 n. 19 post *Ἀδράστεια* colon ponas
401 n. 19—25 scriptor *τὴν ἄτρακτον* Reipubl. Platonicae respexisse videtur
402 n. 6 sufficiat *αὐτὰ* scripsisse
402, 6 pro *ἀντιπαραδίδοντα* lege *ἀντιπαραδιδόντα*
402 n. 7 *τῆς* transpon. ante *ἡγεμονίας* (8) Usener
402 n. 10 *τῷ δινεῖσθαι* coni. idem
402, 12 post *δοξάτω* addas cum Usenero *τὸ*
402 n. 13 *κόσμιος* coni. idem
402 n. 16 ante *ἔτι* add. *θ'* idem
402 n. 21 *τὰς ὁσίας* et *περιόντι* coni. idem
402 n. 26 *ἐν* del. idem
403, 3 post *δημιουργοῦ* cum Usenero fortius distinguas et scribas *ἑστασίαζον ⟨οὖν⟩*
403 n. 3 *λυπουμένοις* coni. idem
403 n. 12 *τῷ θεῷ* delet idem
403 n. 19 *χρήζοντι* coni. idem, ut mihi videtur, optime
404, 7 post *ἀπὸ* adde cum eodem *τῆς ἀπὸ*
404, 10. 11 pro *διά σε* lege *διὰ σὲ*
404 n. 16 *καὶ τάξίωμα τῶν ὅλων* coni. Usener, ratus *τῆς ἀπὸ* huc delatum esse ex v. 7.; Tellurem enim desiderium omnium elementorum ad deum referre
404 n. 17 *καὶ* del. idem
404, 22 Meinekianum *ἐπέστη* nunc praefero meae coniecturae
405, 4. 5 cum Usenero corrige *διαφθειρομένων*
405, 8 pro *γάρ σε* lege *γὰρ σὲ* et 10 pro *ἀπό σου* item *ἀπὸ σοῦ*
405 n. 20 *τύραννος* ante *ἀλλὰ* transponit Usener
406 n. 5 in *τὶ* putat idem *Γῇ* latere
406 n. 7 *δεομένων* quod libri habent revoces cum eodem; spectat enim ad elementa omnia
406 n. 13 *καταχώσουσιν* coni. Usener
406, 22 *ἔχουσαν* traditum tenendum erat et 23 cum Usenero corrigendum *λειποθυμίαν*
406, 23 comma ante *παρὰ* ponas
406, 30 corrige cum Usenero *προσκαταθέτους*
407 n. 2 *προφητειῶν* coni. Usener
407, 30 corrige cum eodem *μονῆς. Καὶ εἰσὶν οἱ ἄρχοντες θεοῦ βασιλέως*
408, 12 corrige pro *γὰρ* cum eodem *μέν*
408 n. 16 *ἔνδοθεν* coni. idem
408 n. 18 *διὰ ⟨δὲ⟩ δόξαν καὶ* coni. idem
409, 6 *τῶν ⟨ἀπὸ⟩ τῆς ἱερᾶς συνόδου* coni. idem
409 n. 23 *δουλοποιεῖται* coni. idem
411, 7 *καὶ κεῖται* secludas cum P
411, 13 nefas fuit traditum *τὰς ἄρκτους* cum Heereno mutare
412, 1 pro *κλῖμα* lege *κλίμα*
412, 7 pro *ἐπ' αὐτῶν* corrige cum Usenero *ἐπ' αὐτοῖς*
412 n. 19 *τροπὴν* coni. idem
413 n. 4 *συμφύτῳ* coni. idem
413 n. 7 *προτερεῖ* coni. idem
413 n. 27 non debuit *πολιτεύεται* temptari, quod sero intellexi coll. p. 469, 18
414, 10 pro *σωμάτων* corrige cum Usenero *σώματι*
425, 27 male pro *ἁμαρτημάτων* interpolavi *ἱματίων*; repone cum Usenero *ἀναρτημάτων* (i. e. = *συμβεβηκότων*).

IN VOLVMINE II

6 n. 20 in A rec. m. flor. cap. 80 inscribitur *περὶ θεῶν καὶ ἐπιστημῶν καὶ διαλεκτ⟨ικῆς⟩* (non *καὶ γραμμάτων*); in M ut in AS verba *σοφίας· τῶν δὲ* cohaerent cum ultimis verbis antec. capitis 79 *χάριν ἀπολήψεσθαι*, capitis vero inscriptio vel numerus neque hic neque post *Πύρρων* (p. 7, 4) legitur; item *τῆς σοφίας*, quod vulgo post *θήραμα* (p. 7, 1) legitur, om. M
7 n. 2 *ἀκμὴν* delet Cobet Mnemos. n. s. II p. 433
7 n. 6 *εἰπόντων* om. M
7 n. 10 *εἰκόνας* M
7 n. 12 *ὥστε περὶ* est in M | *τοῦτον* M
7 n. 16 *παρ ποσι* M
7 n. 18 lemma habet M
8 n. 1 lemma habet M, in quo *σερίνου*
8 n. 2 *εἰς βόθρον* coni. etiam Cobet l. s.
8 n. 3 *θράττα οὖσα* M
8 n. 5 lemma habet M
8 n. 12 lemma habet M
8 n. 14 *μηδὲν*] *μὴ* coni. Cobet l. s. | *πρὸς ἡμᾶς — ὑπὲρ ἡμᾶς* (15) om. M
8 n. 16 *μὴ*] *μηδὲν* coni. Cobet l. s.
8 n. 18 *οὔτε* et *παρέχει* etiam M
8 n. 19 lemma habet M
8 n. 20 *ὅτι* et *δίζεσθαι* etiam M
9 n. 4 *μὲν νοῆσαι* M
9 n. 7 *ὁ μὲν* M
9 n. 18 lemma habet M
9 n. 19 *δὴ* M
10 n. 5 *ἑμαυτὸν* M
10 n. 10 lemma totum habet M
10 n. 12 *γὰρ* habet M | *τίμαι ἐλεγοντά τι* M
10 n. 17 lemma habet M
10 n. 22 *διέτριβον* M
11 n. 4 *δούλοις* M
11 n. 8 *μέχρι* M
11 n. 12 *μύθων* M
11 n. 14 *οὖν* M
11 n. 16 *δὲ κτείναντες* M
11 n. 18 *τετρατώδους* M
11 n. 21 *σικελιώτις* corr. ut vid. ex *σικελιώτης* M
11 n. 22 lemma habet M in quo *σωκρατικῶν* post *ἀπομνημευμάτων*
11 n. 24 *ἥπερ* M
12 n. 4 *ἐπεδείκνυεν* M
12 n. 11. 12 *οὐδεξιτητέον* M
12 n. 13 *θεῶν* M
13 n. 3. 4 lemma totum habet M, in quo *περιουσέας*
13 n. 4 post *οὐσίας* add. Lortzing *philol. Anz.* suppl. I (1883) p. 685 n. 1 *τῶν πάντων μὴ πολυπραγμονεῖν κελεύοντα*
13 n. 10 *ἃ* M
13 n. 11 *εἰ δὴ* M
13 n. 15 *μή τε* M
13 n. 18 *οὐκ ἄν*] nunc *οὔκουν* malo | *προσεῖχε⟨ν οἴει αὐ⟩τὸ⟨ν⟩ ἐπιστραφῆναι* coni. Lortzing l. s.
14 n. 2 *συμφωνίας; — Φησίν. — Εἰ δὲ* coni. Lortzing l. s.|post *στρατιώτῃ* lacunam statuit Lortzing p. 686
16 n. 26 *τῷ λόγῳ* Plat. *BT*
16 n. 28 *πέφυκες καὶ ἃ* Plat. *B* | *τάδε ἢ* Plat. *BT*
17 n. 1 pro *vulg.* lege *BT* | *ἡγησαμένῳ* etiam Plat. *T* | *τῷ λόγῳ* Plat. *BT*
17 n. 11 *πεφυκός* etiam Plat. *BT*
18 n. 11. 12 lemma habet M in quo *Δέξιππον. περὶ διαλεκτικῆς*
18 n. 14 *καὶ* om. M | *τοῖς* om. M
19 n. 3 *ὁμωνομία* M
19 n. 4 *καὶ* M
19 n. 7 *βραχίδη* M
19 n. 12. 13 lemma totum habet M, in quo *Σώπατρον. περὶ διαλεκτικῆς*
19 n. 22 *ἀνευρίσκων* M
19 n. 26 *δεῖ* ex *δὴ* corr. M
20 n. 4 *χρῆναι* om. M
20 n. 7 *εἴτε μὲν ἡ πάντα* M
20 n. 8 *δὲ* om. M
20 n. 9 *προέχοντες* (erasa post prius *o* una littera et accentu supra alt. *o*) M
20 n. 10 *ἀνθρωπίνης* M
20 n. 11 *καταυτὸν* (om. *τὰ*) M
20 n. 12 *αὐτὸν* (sed *τὸ* ras. m. 2) M
20 n. 17 lemma *ἐν ταυτῷ* habet M
20 n. 19 *ταῦτα* M
21 n. 1 *ἐκφαινόμενα* M

21 n. 1. 2 *δ' ἂν εἶαιν ἐμαιίασ* M
21 n. 2 *προσαγόμενα* M
21 n. 5 *αὗται*] *ταύτας* M
21 n. 6 *καθάρσει* M
21 n. 9 *τοῖς ἐπηκόοις* M
21 n. 11 *δίχα* vel *ἄνευ* om. M
21 n. 15 *εἰς τὸ ἐναντίον* ad lemma v. 16 trahit M
21 n. 16 lemma totum habet M
21 n. 17 *πρᾶγμά τ'* corr. in *πράγματ'* m. 1 M
21 n. 19 *εὐρύθμοις* (corr. m. 1 ex *εὐρύθμους*) *πιστώμασι* M
22 n. 1 lemma habet M
22 n. 4 lemma habet M
22 n. 6 *τοῦτ' ἐνέθει* M
22 n. 7 *ὡς ἀπαλαιός* M
22 n. 8 *ἔστιν* M
22 n. 12 lemma habet M
22 n. 13 *δικαίοις* M
22 n. 16 lemma habet M
22 n. 20 *ἐκβάλλῃ* M
22 n. 22 lemma habet M
22 n. 23 *διαλεκτικὴ* M | *μασωμένοις* M
23 n. 3 lemma habet M
23 n. 7 lemma habet M
23 n. 11 lemma habet M, in quo *σερίνου*
23 n. 14 lemma habet M
23 n. 18 lemma habet M
23 n. 19 *συντεταμένως* M
23 n. 23 lemma habet M
23 n. 24 *τοὺς διαλεκτικοὺς* coni. etiam Cobet Mnemos. n. s. II p. 134
24 n. 1 *ἐκεῖνον* (supra *o* superscr. *ω* m. 1) M
24 n. 2 *τούτους* M [ex sil.]
24 n. 4 lemma habet M
24 n. 7 lemma habet M
24 n. 8 *Ἀρίστων* hic om., sed post *εἴκαζεν* habet *ὁ Ἀρίστων* M | *εἴκαζεν* hic M
24 n. 11 lemma habet M
24 n. 13 *σμικρὰ* M
26 n. 8 idem valet de M atque de AST
26 n. 9 *πάντες δ' ἐς* M
26 n. 10 *δικης* M
26 n. 11 *ἐπιστάμενος* M
26 n. 13 *μετατροπᾶ* M
26 n. 15 *θεῶν* M | *ἰλάσκονται* M
26 n. 17 capitis inscriptio et numerus deest in M, qui totum lemma habet
27 n. 1 *σύνθεσις* M
27 n. 2 *μουσομήτερ* M
27 n. 3 *φιλῆτα* M
27 n. 4 *ἀρ'* (*α* rubr.) *ἔστι* M | *λόγος τοῖς νοσοῦσι χρήσιμος* M
27 n. 5 *πλήνιον* M
27 n. 7 lemma habet M
27 n. 9 *λόγου γὰρ ἐσθλοῦ* M
27 n. 10 lemma habet M in quo *φιλήτα*
27 n. 11 *οὖ* M
27 n. 12 *μακέλην* M [ex sil.]
27 n. 15 lemma habet M
27 n. 17 *συγκαταμιγνῦς* M
28 n. 1 et 4 lemma habet M
28 n. 5 *μόνον* M
28 n. 8 *ὑπερπλοκὰς* M
28 n. 14 lemma habet M in quo *β̃*
28 n. 15 *τὰ μὲν νόσσα* M | *καρήατις* M
28 n. 16 *ἀβραλιπῃ* M
28 n. 17 *ἄπνο ἅπαντ'* M
28 n. 18 *νειέραν* M
29 n. 1 lemma habet M
29 n. 2 *λαλήσωμεν* M
29 n. 4 *εἰς* M
29 n. 5 *ἐπιλήψεθ'* M
29 n. 8 totum lemma habet M, in quo *ἐν ἀγορᾶ*
29 n. 9 *νικόκλης* M
29 n. 13 lemma habet M | *δημοκρίτου* habet M
29 n. 14 *ἰσχυρὸν ἐπεὶ θῶ* M
29 n. 15 lemma habet M
30 n. 3 et 6 lemma habet M
30 n. 8 *θευθ* M
30 n. 13 *ἀφ' ὧν* M
30 n. 15 *αὐτὸν* om. M
30 n. 16 *ἐνίοτε* M
30 n. 19 *τὸν* M
31 n. 1 lemma habet M
31 n. 2 *ξυμπλοκὴν* M
31 n. 4 *γνωστά* M
31 n. 11 lemma habet M
31 n. 14 *δὴ* M
31 n. 19 *συνεχείᾳ* M
31 n. 20 *εἶπας* M
31 n. 25 *δν* M | *ῥῆμα ποῦ* M | *λεγόμενον* M
31 n. 27 *οὐκ οὖν* M
32 n. 1 *ἔπειτ' οὐ ταυτὸ* M
32 n. 3 *πράξις* M
32 n. 4 *ταῦτα* M
32 n. 5 *δοκοῦν* M

32 n. 8 *ξυνέχειαν* M
32 n. 9 *οὐδ' ἀπραξίαν* M
32 n. 13 *τὲ καὶ* M
32 n. 13. 14 *πῶς ἀνῶ δὲ λέγης* M
32 n. 19 ante *αὐτὸν* add. *καὶ* M [ex sil.]
33 n. 3 *πῃ* etiam Plat. *BT*
33 n. 5 *θεῷ* Plat. *BT*
33 n. 9 *ἐπέδειξεν* etiam Plat. *T*
33 n. 26 *παρέξοι* Plat. *B*, *παρέξειν* Plat. *T*
34 n. 2 *τῆς* add. solus Plat. *B*
34 n. 15 *ἔφησαν* etiam Plat. *B*, *ἔφασαν* Plat. *T*
35 n. 2 *γραφὴν* Plat. *BT*
35 n. 8 *γράφῃ* Plat. *B*
39, 4 sero intellexi corrigendum esse *οἱ μὲν οὖν Περιπατητικοὶ*
47 n. 10 *πρὸς* delet Hirzel *Unters.* II p. 556 n. 1
47 n. 21. 22 hic quaedam turbata esse statuit idem II p. 835 n. 1
50 n. 11. 12 post *ἐν* etiam Hirzel II p. 811 n. 1 add. *βίῳ τελείῳ*
50 n. 12 de usu verbi *προηγούμενος* quod hic et aliis congruis locis me iudice corruptum (fortasse epitomatori debetur) Hirzel II p. 811sqq. ita disputavit ut plane contrariam ei quae constat significationem nescio unde conflatam esse contenderet (cf. p. 821)
62 n. 12 verba tradita tuetur Hirzel II p. 472 n. 1
62 n. 15 pro *τελείας* Hirzel, qui II p. 349 sq. et 350 n. 1 haec nondum tetigerat, *τέχνας* coni. II p. 482 n. 1, vereor ut recte; cf. Schuchhardt 'Andronici qu. f. *π. παθῶν* pars altera' p. 62 n. 1
64 n. 8 *τόπον* coni. Hirzel II p. 434 n. 1, non male
65 n. 15. 16 *ὅτι ὁ νοῦν ἔχων* coni. etiam Hirzel II p. 479 n.
65 n. 18 pro *ποιὸν* Hirzel II p. 399 n. 1 coni. *ἐν ἐπαίνῳ*, quod mihi quoque olim in mentem venerat sed ut nimis violentum neque necessarium, ne idoneum quidem postea repudiatum
65 n. 20 *ἔρωτα* delet Hirzel II p. 399 n. 2, qui *ἔτι δ'* in libris esse credit
78 n. 15 *ὠφελήματα* corr. etiam Hirzel II p. 537 n. 1
78 n. 16 post *ἐμμενετέα* Hirzel II p. 540 n. 1 lacunam statuit qua hausta sint talia fere qualia leguntur infra p. 98, 10—12
78 n. 17 *τὰς κακίας* corr. etiam Hirzel l. s.
80 n. 6 pro *ποιεῖσθαι* coni. Hirzel II p. 830 n. 1 *προηγεῖσθαι*
80 n. 7 pro *τῶν πρώτων* coni. Hirzel l. s. *τὸν περὶ τῶν*
81 n. 9. 10 *περί τε σῶμα καὶ τοῖς ἐκτὸς προηγμένοις* delet Hirzel II p. 806 sq.
82 n. 15 *ἰσχύς* coni. etiam Hirzel II p. 831 n. 1
83 n. 12 ante *τὴν δὲ δόσιν* lacunam statuit Hirzel II p. 564 n.
84 n. 3 vel *πρώτης* delet vel *ἀξίαν* mutat in *τάξεως* vel etiam gravius corrupta haec putat Hirzel II p. 577 n.
84 n. 12 *καὶ ἀξίαν* delet Hirzel II p. 563 n. 1
85 n. 7 de Madvigii emendatione certissima dubitat Hirzel II p. 823 et *προηγουμένων* (quod ne traditum quidem est) praetulerit
86 n. 14 *εὐφυίαν* defendit Hirzel II p. 250 n., a quo allati Epictetei loci nihil valent
86 n. 20 pro *382* lege *384*
88 n. 6 Meinekii coniecturam defendit Hirzel II p. 544 n. 1
92 n. 6 *φόβος κινῶν* (vel *ἐκκινῶν*) *λόγον* dubitanter coni. Hirzel II p. 595 n.
103 n. 14 *εἰ* addendum esse negat Hirzel p. 87 n. 2
109 n. 10 pro *προηγορουμένους* lege *προηγορευμένους*
109 n. 14 *⟨ἢ συνὼν βασιλεῦσι⟩ καὶ μοναρχικοῖς χρημάτων* coni. Hirzel II p. 809 n.
124 n. 18 adscriptam quaestionem deleas; ceterum de *ἀρετῶν* vocabuli origine disputantem Hirzelium II p. 700 n. 1 non probo
177 n. 7 pro *μὴ πστῆται* lege *μὴ 'πιστῆται*
185 n. 8 veri non est dissimile Stobaeum argumentum capitis 13 aliqua ex parte petiisse ex Aetii V 1 *περὶ μαντικῆς* (cf. Diels Doxogr. p. 61 et 415)

NOTARVM TABVLA

F = codex Farnesinus 'Eclogarum' (v. Proleg. p. XXV)
P = codex Parisinus 'Eclogarum' (v. Proleg. p. XXVII)
L = codex Laurentianus sacro-profani florilegii (v. Proleg. p. XXVIII)

A = codex Parisinus prior 'Florilegii' (v. Proleg. p. XXX)
B = codex Parisinus alter 'Florilegii' (v. Proleg. p. XXX)
M = codex Mendozae Escurialensis 'Florilegii' (v. Proleg. p. XXX et Add.)
S = codex Vindobonensis Sambuci 'Florilegii' (v. Proleg. p. XXXI)
T = Trincavelliana Florilegii editio Venet. a. 1536

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

ΕΚΛΟΓΩΝ

ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ

ΒΙΒΛΙΑ ΤΕΣΣΑΡΑ

IOANNIS STOBAEI
EPISTVLA AD SEPTIMIVM FILIVM

Epistulae quae in libris deest argumentum descripsit Photius biblioth. p. 112ª 16 his verbis: *προσφωνεῖ δὲ ταῦτα (ἐκλογῶν ἀποφθεγμάτων ὑποθηκῶν βιβλία τέσσαρα) δι' ὃν καὶ τὴν συνάθροισιν φιλοπονῆσαι λέγει (Ἰωάννης Στοβαῖος), Σεπτιμίῳ ἰδίῳ υἱῷ. ἡ δὲ συναγωγὴ αὐτῷ ἔκ τε ⟨φιλοσόφων καὶ⟩*) ποιητῶν καὶ ῥητόρων καὶ τῶν κατὰ τὰς πολιτείας λαμπρῶς βεβιωκότων ἐγένετο· ὧν, ὡς καὶ αὐτός φησι, τῶν μὲν τὰς ἐκλογὰς τῶν δὲ τὰ ἀποφθέγματα καί τινων ὑποθήκας συλλεξάμενος ἐπὶ τῷ ὀνῆσαι καὶ βελτιῶσαι τῷ παιδὶ τὴν φύσιν ἀμαυρότερον ἔχουσαν πρὸς τὴν τῶν ἀναγνωσμάτων μνήμην στείλειεν.*

Huic epistulae videntur ab ipso Stobaeo subiuncta fuisse summaria totius operis quae descripsit Photius l. s. (cf. Elter de Stob. cod. Photiano p. 16 et 68 sqq., 'studia' mea p. 47 n. 1); sunt vero haec:

Τὸ μὲν πρῶτον ἔχει μὲν κεφάλαια ξ'... ταῦτα δέ εἰσι μετὰ τὸ

(I 1) *Περὶ θεοῦ διαλαβεῖν, ὅτι δημιουργὸς τῶν ὄντων καὶ διέπει τὸ ὅλον τῷ τῆς προνοίας λόγῳ* [eclog. lib. I c. III Heer., II Gaisf. et Mein.]· *δεύτερον*

(I 2) *Περὶ τῶν νομιζόντων μὴ εἶναι πρόνοιαν καὶ ἑπομένας ταύτῃ θείας ἐπὶ τῇ τοῦ παντὸς διοικήσει δυνάμεις* [deest in libris]· *εἶτα*

(I 3) *Περὶ δίκης παρὰ τοῦ θεοῦ τεταγμένης ἐποπτεύειν τὰ γινόμενα ὑπὸ τῶν ἀνθρώπων, τιμωρὸν οὖσαν τῶν ἁμαρτανόντων* [eclog. lib. I c. IV Heer., III Gaisf. et Mein.]· *καὶ*

(I 4) *Περὶ ἀνάγκης θείας, καθ' ἣν ἀπαραιτήτως τὰ κατα τὴν τοῦ θεοῦ γίνεται βούλησιν* [V H., IV G. M.]·

(I 5) *Περί τε εἱμαρμένης καὶ τῆς τῶν γινομένων εὐταξίας* [VI H., V G. M.]·

(I 6) *Περί τε τύχης ἢ ταὐτομάτου* [VII H., VI G. M.]· *καὶ*

---

*) *φιλοσόφων καὶ* add. Elter p. 17

(I 7) *Ὅτι ἀλόγιστος ἡ φορὰ τῆς τύχης* [VIII H., VII G. M.]·
(I 8) *Περί τε χρόνου οὐσίας καὶ μερῶν καὶ πόσων εἴη αἴτιος* [IX H., VIII G. M.]· *καὶ*
(I 9) *Περὶ Ἀφροδίτης οὐρανίας καὶ ἔρωτος θείου* [X H., IX G. M.]· *δέκατον*
(I 10) *Περὶ ἀρχῶν καὶ στοιχείων καὶ τοῦ παντός* [XI H.,
(I 11) *Περὶ ὕλης* [XII H., XI G. M.]· X G. M.]· *εἶτα*
(I 12) *Περὶ ἰδέας* [XIII H., XII G. M.]·
(I 13) *Περὶ αἰτίων* [XIV H., XIII G. M. = flor. Laur. *A* 29 p. 238, 6. 7 M.]·
(I 14) *Περὶ σωμάτων καὶ περὶ τῆς τούτων τομῆς καὶ περὶ ἐλαχίστου* [XV H., XIV G. M.]·
(I 15) *Περὶ σχημάτων* [XVI H., XV G. M.]·
(I 16) *Περὶ χρωμάτων* [XVII H., XVI G. M.]·
(I 17) *Περὶ μίξεως καὶ κράσεως* [XVIII H., XVII G. M.]·
(I 18) *Περὶ κενοῦ καὶ τόπου καὶ χώρας* [XIX H., XVIII G. M.]·
(I 19) *Περὶ κινήσεως* [XX H., XXI G. M.]· *εἰκοστὸν δὲ*
(I 20) *Περὶ γενέσεως καὶ φθορᾶς* [XXI H., XX G. M.]·
(I 21) *Περὶ κόσμου καὶ εἰ ἔμψυχος καὶ προνοίᾳ διοικούμενος καὶ ποῦ ἔχει τὸ ἡγεμονικὸν καὶ πόθεν τρέφεται* [XXII H., XXI G. M.]·
(I 22) *Περὶ τάξεως τοῦ κόσμου· εἰ ἓν τὸ πᾶν* [XXIII H., XXII G. M.]·
(I 23) *Περὶ τῆς οὐρανοῦ οὐσίας καὶ διαιρέσεως* [XXIV H., XXIII G. M. = flor. Laur. *O* 15 p. 176, 3 M.]·
(I 24) *Περὶ οὐσίας ἄστρων καὶ σχημάτων, κινήσεώς τε καὶ ἐπισημασίας* [XXV H., XXIV G. M.]·
(I 25) *Περὶ οὐσίας ἡλίου καὶ μεγέθους, σχήματός τε καὶ τροπῶν καὶ ἐκλείψεως καὶ σημείων καὶ κινήσεως* [XXVI H., XXV G. M.]·
(I 26) *Περὶ σελήνης οὐσίας μεγέθους καὶ σχήματος φωτισμῶν τε καὶ περὶ ἐκλείψεως καὶ ἐμφάσεως καὶ περὶ ἀποστημάτων καὶ σημείων* [XXVII H., XXVI G. M.]·
(I 27) *Περὶ γάλακτος* [XXVIII H., XXVII G. M.]·
(I 28) *Περὶ κομητῶν καὶ διαττόντων καὶ τῶν τοιούτων* [XXIX H., XXVIII G. M.]·
(I 29) *Περὶ βροντῶν ἀστραπῶν κεραυνῶν πρηστήρων τυφώνων* [XXX H., XXIX G. M.]· *τριακοστὸν δὲ*
(I 30) *Περὶ ἴριδος, περὶ ἅλω καὶ παρηλίου καὶ ῥάβδων* [XXXI H., XXX G. M.]· *καὶ δὴ καὶ*
(I 31) *Περὶ νεφῶν ὁμίχλης ὑετῶν δρόσου χιόνος πάχνης χαλάζης* [XXXII H., XXXI G. M. et flor. Laur. *N* 6 p. 151, 8—155, 23 M.]·

(I 32) *Περὶ ἀνέμων* [XXXIII H., XXXII G. M.]·
(I 33) *Περὶ γῆς, εἰ μία καὶ πεπερασμένη καὶ ποίου μεγέθους καὶ περὶ θέσεως αὐτῆς* [deest in libris]· *καὶ*
(I 34) *Περὶ σχήματος γῆς* [deest in libris]· *καὶ*
(I 35) *Πότερα μένει ἡ γῆ ἢ κινεῖται* [deest in libris]·
(I 36) *Περί τε σεισμῶν γῆς* [XXXVIII et XXXIX H., XXXII 2 et XXXIII 1 G. M.]· *καὶ*
(I 37) *Περὶ θαλάττης* [deest in libris]·
(I 38) *Πῶς ἄμπωτις καὶ πλημμῦραι γίνονται* [XLI H., XXXIII 2. 3 G. M. et flor. Laur. *A* 38 p. 244, 5—245, 6 M.]·
(I 39) *Περὶ ὑδάτων* [XLII 1 H., XXXIV 1 G. M.]·
(I 40) *Περὶ τοῦ παντός* [XLII 2 H. (XLIV), XXXIV 2 G. M.]·
(I 41) *Περὶ φύσεως καὶ τῶν συμβαινόντων ἐξ αὐτῆς αἰτίων* [XLIII H., XXXV G. M.]·
(I 42) *Περὶ τῆς τῶν ζῴων γενέσεως καὶ τὰ ἑξῆς* [XLV H., XXXVI G. M.]·
(I 43) *Πόσα γένη ζῴων καὶ εἰ πάντα λογικὰ καὶ αἰσθητά* [XLVI H., XXXVII G. M.]·
(I 44) *Περὶ ὕπνου καὶ θανάτου* [deest in libris]·
(I 45) *Περὶ φυτῶν* [XLVIII H., XXXVIII G. M.]·
(I 46) *Περὶ τροφῆς καὶ ὀρέξεως τῶν ζῴων* [deest in libris]·
(I 47) *Περὶ φύσεως ἀνθρώπων* [L H., XXXIX G. M.]·
(I 48) *Περὶ νοῦ* [LI H., XL G. M.]·
(I 49) *Περὶ ψυχῆς* [LII H., XLI G. M.]·
(I 50) *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν καὶ εἰ ἀληθεῖς αἱ αἰσθήσεις* [LIII H., XLII G. M. et flor. Laur. *A* 27 p. 232, 7—236, 19 M.]·
(I 51) *Πόσαι εἰσὶν αἱ αἰσθήσεις καὶ ποίας οὐσίας καὶ ἐνεργείας ἑκάστη* [LIV H., XLIII G. M. et flor. Laur. *A* 28 p. 236, 22—238, 5 M.]·
(I 52) *Περὶ ὁράσεως καὶ κατοπτρικῶν ἐμφάσεων* [LV H., XLIV G. M. et flor. Laur. *O* 14 p. 172, 17—176, 2 M.]·
(I 53) *Περὶ ἀκοῆς* [LVI 1. 2 H., XLV 1. 2 G. M. et flor. Laur. *A* 30 p. 238, 9—24 M.]·
(I 54) *Περὶ ὀσφρήσεως* [LVI 3 H., XLV 3 G. M. et flor. Laur. *O* 16 p. 176, 5—18 M.]·
(I 55) *Περὶ γεύσεως* [LVI 4—6 H., XLV 4—6 G. M.]·
(I 56) *Περὶ ἁφῆς* [LVI 7 H., XLV 7 G. M.]·
(I 57) *Περὶ φωνῆς καὶ εἰ ἀσώματος ἡ φωνὴ καὶ τί αὐτῆς τὸ ἡγεμονικόν* [LVII H., XLVI G. M.]·
(I 58) *Περὶ φαντασίας καὶ κριτηρίου* [LVIII H., XLVII G. M.]· *καὶ νϑ′*
(I 59) *Περὶ δόξης* [LIX H., XLVIII G. M.]· *καὶ ξ′*

(I 60) *Περὶ ἀναπνοῆς καὶ παθῶν* [LX H., XLIX G. M.].

Καὶ τὰ μὲν τοῦ πρώτου βιβλίου κεφάλαια τοσαῦτα καὶ περὶ τούτων· . . . . ἐν μέντοι τούτῳ τῷ βιβλίῳ, πρὸ τοῦ τοῖς εἰρημένοις κεφαλαίοις ἐπιβαλεῖν, περὶ δύο κεφαλαίων διαλαμβάνει· ὧν τὸ μὲν (I Prooem. c. 1) *ἔπαινός ἐστι φιλοσοφίας καὶ οὗτος ἐκ διαφόρων αὐτῷ συνηρανισμένος* [deest in libris], *τὸ δὲ* (I Prooem. c. 2) *περὶ τῶν κατ' αὐτὴν συνεστηκυιῶν αἱρέσεων, ἐν ᾧ καὶ περὶ γεωμετρίας καὶ μουσικῆς καὶ ἀριθμητικῆς δόξας παλαιὰς συναναγράφει* [II H., I G. M.].

Τὸ δὲ δεύτερον βιβλίον συμπληροῦται μὲν κεφαλαίοις ς' καὶ μ'. Διαλαμβάνει δὲ πρῶτον μὲν

(II 1) *Περὶ τῶν τὰ θεῖα ἑρμηνευόντων καὶ ὡς εἴη ἀνθρώποις ἀκατάληπτος ἡ τῶν νοητῶν κατὰ τὴν οὐσίαν ἀλήθεια* [eclog. edit. lib. II c. I 1—20 = flor. Laur. *A* 31 p. 238, 26. 27 M. et floril. edit. c. 80, 1—14]· *εἶτα*

(II 2) *Περὶ διαλεκτικῆς* [eclog. lib. II c. I 21. 22; c. II et flor. c. 81, 17—19; 82]· *καὶ*

(II 3) *Περὶ ῥητορικῆς* [eclog. lib. II c. III.]· *καὶ*

(II 4) *Περὶ λόγου καὶ γραμμάτων* [flor. 80, 15; 81, 1—16 et eclog. lib. II c. VI 1. 2 H., c. V 1. 2 G. M.]·

(II 5) *Περὶ ποιητικῆς* [eclog. lib. II c. V H., IV G. M. et VI 3 H., V 3 G. M.]·

(II 6) *Περὶ χαρακτῆρος τῶν παλαιῶν* [VI 4 H., V 4 G. M.]·

(II 7) *Περὶ τοῦ ἠθικοῦ εἴδους τῆς φιλοσοφίας* [VII H., VI G. M.]·

(II 8) *Περὶ τῶν ἐφ' ἡμῖν* [VIII H., VII G. M.]·

(II 9) *Ὅτι οὐδεὶς ἑκὼν πονηρός* [IX H., VIII G. M.]·

(II 10) *Ὁποῖον χρὴ εἶναι τὸν φιλόσοφον* [deest in libris]·

(II 11) *Ὅτι χρὴ σέβειν τὸ θεῖον* [deest in libris]·

(II 12) *Ὅτι τοῖς εὐσεβέσι καὶ δικαίοις βοηθεῖ τὸ κρεῖττον* [deest in libris]·

(II 13) *Περὶ μαντικῆς* [deest in libris]·

(II 14) *Ὅτι χρὴ περὶ πολλοῦ ποιεῖσθαι τὰς τῶν σοφῶν συνουσίας, ἐκκλίνειν δὲ τοὺς φαύλους καὶ ἀπαιδεύτους* [deest in libris]·

(II 15) *Περὶ τοῦ δοκεῖν καὶ τοῦ εἶναι, καὶ ὅτι οὐ τῷ λόγῳ χρὴ κρίνειν τὸν ἄνθρωπον, ἀλλὰ τῷ τρόπῳ* [deest in libris; = flor. Laur. *O* 2 p. 156, 8—166, 14 M].

(II 16) *Ὅτι οἱ ἄλλοις ἐπιβουλεύοντες ἑαυτοὺς λανθάνουσι καταβλάπτοντες* [deest in libris]·

(II 17) *Περὶ εὐδοξίας* [deest in libris]·

(II 18) *Περὶ φήμης* [deest in libris]·
(II 19) *Ὅτι μέτρον ἄριστον* [deest in libris]·
(II 20) *Ὅτι δυσκατόρθωτον ἡ ἀρετή, εὐμεταχείριστον δὲ ἡ κακία* [deest in libris]·
(II 21) *Ὅτι οὐ χρὴ λόγον ποιεῖσθαι τῆς τῶν ἀσυνέτων δοκιμασίας* [deest in libris]·
(II 22) *Ὅτι τὴν ὑπόκρισιν, τοῖς κεχρημένοις ἐπιβλαβῆ οὖσαν καὶ πρὸς οὓς γίνεται, τῆς ψυχῆς ἐκβλητέον* [deest in libris]·
(II 23) *Ὅτι οὐ χρὴ πολυπραγμονεῖν, φθόνου γὰρ καὶ διαβολῆς αἴτιον γίνεται τὸ τοιοῦτον* [deest in libris]·
(II 24) *Ὅτι ἐν οἷς πλημμελεῖ τις τὸ μεταμελεῖσθαι κάλλιστον* [deest in libris]·
(II 25) *Περὶ λοιδορίας, ὡς οὐκ ἀγαθόν* [deest in libris]·
(II 26) *Ὅτι ἐν τῷ λοιδορεῖσθαι χρὴ σκοπεῖν, μὴ τοῖς αὐτοῖς περιπεπτώκαμεν ἐλαττώμασι* [deest in libris]·
(II 27) *Περὶ ἀνάγκης τῆς κατὰ τὸν βίον* [deest in libris]·
(II 28) *Ὅτι εὐκαίρως δεῖ πράττειν* [deest in libris]·
(II 29) *Περὶ τοῦ βούλεσθαι, ὅτι οὐ δεῖ ὡς ἔτυχεν ἀναβάλλεσθαι* [deest in libris]·
(II 30) *Ὅτι τὸ δυστυχῆσαι πολλάκις ἐπωφελὲς γίνεται καὶ μάλιστα τοῖς ἄφροσι* [deest in libris]·
(II 31) *Περὶ ἀγωγῆς καὶ παιδείας* [deest in libris = flor. Laur. *A* 14 p. 188, 7—225, 14 M.]·
(II 32) *Ὅτι κάλλιστον ἡ φιλία τῶν ἀγαθῶν* [deest in libris]·
(II 33) *Ὅτι ἡ ὁμοιότης τῶν τρόπων φιλίαν ἀπεργάζεται* [deest in libris; = flor. Laur. *O* 5 p. 167, 2—169, 13 M.]·
(II 34) *Ὅτι χρὴ ἐν ταῖς δυστυχίαις καὶ τοῖς κινδύνοις μὴ περιορᾶν τοὺς φίλους* [deest in libris]·
(II 35) *Ὅτι οὐ χρὴ συναδικεῖν τοῖς φίλοις* [deest in libris]·
(II 36) *Περὶ γνησίων καὶ ἀβεβαίων φίλων* [deest in libris]·
(II 37) *Ὅτι χρὴ ταχείας ποιεῖσθαι τὰς πρὸς τοὺς φίλους διαλλαγάς, τὰ ἁμαρτήματα αὐτῶν ῥᾷον φέροντας μετὰ τῆς ἀμνηστίας* [deest in libris]·
(II 38) *Ὅτι ἐν ταῖς ἀτυχίαις τοὺς γνησίους τῶν φίλων διαγινώσκομεν* [deest in libris]·
(II 39) *Φιλικὰ παραγγέλματα* [deest in libris]·
(II 40) *Περὶ ἔχθρας καὶ τοῦ ὁποῖόν τινα χρὴ εἶναι πρὸς τοὺς ἐχθρούς* [deest in libris]·
(II 41) *Περὶ τοῦ πῶς ἔστιν ἀπ᾽ ἐχθρῶν ὠφεληθῆναι* [deest
(II 42) *Περὶ τοῦ εὐεργετεῖν* [deest in libris]· in libris]·
(II 43) *Ὅτι μείζων ἡ χάρις ἐν καιρῷ δοθεῖσα* [deest in libris]·
(II 44) *Περὶ τοῦ ἀντευεργετεῖν* [deest in libris]·

(II 45) *Ὅτι τοὺς πονηροὺς οὐ χρὴ εὖ ποιεῖν, οὐδὲ παρ' αὐτῶν εὐεργετεῖσθαι* [deest in libris]· *καὶ τὸ τελευταῖον,*
(II 46) *Περὶ ἀχαριστίας* [deest in libris; = flor. Laur. *A* 11 p. 184, 11—187, 24 M.]·
ἐν οἷς καὶ τὰ τοῦ δευτέρου κεφάλαια.

Ἐν δὲ τῷ τρίτῳ περιέχεται κεφάλαια μβ'· πρῶτον
(III 1) *Περὶ ἀρετῆς* [floril. edit. 1]· *εἶτα*
(III 2) *Περὶ κακίας* [2]·
(III 3) *Περὶ φρονήσεως* [3]·
(III 4) *Περὶ ἀφροσύνης* [4]·
(III 5) *Περὶ σωφροσύνης* [5 = flor. Laur. *Π* 1 p. 177, 25—178, 15 M.]·
(III 6) *Περὶ ἀκολασίας* [6 = flor. Laur. *A* 34 p. 240, 21—
(III 7) *Περὶ ἀνδρίας* [7]· 241, 7 M.]·
(III 8) *Περὶ δειλίας* [8]·
(III 9) *Περὶ δικαιοσύνης* [9 = flor. Laur. *Π* 2 p. 179, 14—16 M]·
(III 10) *Περὶ πλεονεξίας καὶ ἀδικίας* [10]·
(III 11) *Περὶ ἀληθείας* [11 = flor. Laur. *A* 35 p. 242, 4—
(III 12) *Περὶ ψεύδους* [12]· 243, 14 M.]·
(III 13) *Περὶ παρρησίας* [13 = flor. Laur. *Π* 2 p. 180, 5—
(III 14) *Περὶ κολακείας* [14]· 182, 6 M.]·
(III 15) *Περὶ ἀσωτίας* [15]·
(III 16) *Περὶ φειδωλίας* [16]·
(III 17) *Περὶ ἐγκρατείας* [17]·
(III 18) *Περὶ ἀκρασίας* [18]·
(III 19) *Περὶ ἀνεξικακίας* [19]·
(III 20) *Περὶ ὀργῆς* [20]·
(III 21) *Περὶ τοῦ γνῶθι σαυτόν* [21]·
(III 22) *Περὶ ὑπεροψίας* [22]·
(III 23) *Περὶ φιλαυτίας* [23]·
(III 24) *Περὶ τοῦ συνειδότος* [24]·
(III 25) *Περὶ μνήμης* [25]·
(III 26) *Περὶ λήθης* [26]·
(III 27) *Περὶ ὅρκου* [27 = flor. Laur. *O* 10 p. 171, 12—15 M.]·
(III 28) *Περὶ ἐπιορκίας* [28 = flor. Laur. *O* 11 p. 171, 18—
(III 29) *Περὶ φιλοπονίας* [29]· 172, 12 M.]·
(III 30) *Περὶ ὀργίας* [30].
(III 31) *Περὶ αἰδοῦς* [31 = flor. Laur. *A* 24 p. 229, 20—25 M.].
(III 32) *Περὶ ἀναιδείας* [32 = flor. Laur. *A* 25 p. 230, 3—
(III 33) *Περὶ σιγῆς* [33]· 231, 4 M.]·
(III 34) *Περὶ τοῦ εὐκαίρως λέγειν* [34].
(III 35) *Περὶ βραχυλογίας* [35[·

(III 36) *Περὶ ἀδολεσχίας* [36]·
(III 37) *Περὶ χρηστότητος* [37]·
(III 38) *Περὶ φθόνου* [38]·
(III 39) *Περὶ πατρίδος* [39]·
(III 40) *Περὶ ξένης* [40 = flor. Laur. Ξ 3 p. 155, 30—156, 1 M.]·
(III 41) *Περὶ ἀπορρήτων* [41]· *καὶ μβ'*
(III 42) *Περὶ διαβολῆς* [42].

Τὰ δὲ τοῦ τετάρτου βιβλίου ἐστὶ ταῦτα· πρῶτον
(IV 1) *Περὶ πολιτείας* [floril. edit. 43]· *δεύτερον*
(IV 2) *Περὶ νόμων καὶ ἐθῶν* [44 = flor. Laur. *N* 5 p. 150, 20—151, 6 M.]·
(IV 3) *Περὶ δήμου* [deest in codicibus*)]·
(IV 4) *Περὶ τῶν ἐν ταῖς πόλεσι δυνατῶν* [45]·
(IV 5) *Περὶ ἀρχῆς καὶ περὶ τοῦ ὁποῖον χρὴ εἶναι τὸν ἄρ-*
(IV 6) *Ὅτι κάλλιστον ἡ μοναρχία* [47]· *χοντα* [46]·
(IV 7) *Ὑποθῆκαι περὶ βασιλείας* [48]·
(IV 8) *Ψόγος τυραννίδος* [49]·
(IV 9) *Περὶ πολέμου* [50]·
(IV 10) *Περὶ τόλμης* [51. 53]·
(IV 11) *Περὶ νεότητος* [52 = flor. Laur. *N* 1 p. 147, 4—9 M.]·
(IV 12) *Περὶ στρατηγῶν καὶ περὶ τῶν κατὰ πόλεμον χρειῶν*
(IV 13) *Περὶ εἰρήνης* [55]· *ὑποθῆκαι* [54]·
(IV 14) *Περὶ γεωργίας* [56. 57]·
(IV 15) *Περὶ ἡσυχίας* [58]·
(IV 16) *Περὶ ναυτιλίας* [59]·
(IV 17) *Περὶ τεχνῶν* [60. 61]·
(IV 18) *Περι δεσποτῶν καὶ δούλων* [62]·
(IV 19) *Περὶ Ἀφροδίτης πανδήμου καὶ περὶ ἔρωτος τῶν κατὰ τὸ σῶμα ἡδονῶν* [63. 64]·
(IV 20) *Περὶ κάλλους* [65. 66]·
(IV 21) *Περὶ γάμου καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου*
(IV 22) *Γαμικὰ παραγγέλματα* [74]· *καὶ* [67—73]·
(IV 23) *Περὶ παίδων καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου* [75—78]· *καὶ*
(IV 24) *Ὅτι χρὴ τοὺς γονεῖς τῆς καθηκούσης τιμῆς καταξιοῦσθαι παρὰ τῶν τέκνων* [79]·
(IV 25) *Ὁποίους χρὴ εἶναι τοὺς πατέρας περὶ τὰ τέκνα* [83]·
(IV 26) *Ὅτι κάλλιστον ἡ φιλαδελφία καὶ ἡ περὶ τοὺς συγγενεῖς διάθεσις* [84 = flor. Laur. *Λ* 19 p. 228, 24—229, 9]·

*) sed fuit in codice pinacographi Photiani, qui in poetarum laterculo Pherecratis nomen ex hoc capite hausit (cf. Elter p. 58).

(IV 27) *Οἰκονομικός* [85]·
(IV 28) *Περὶ εὐγενείας καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου* [86—89]·
(IV 29) *Περὶ δυσγενείας* [90]·
(IV 30) *Περὶ πλούτου καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου* [91—94]·
(IV 31) *Περὶ πενίας* [95. 96]·
(IV 32) *Σύγκρισις πενίας καὶ πλούτου* [97]·
(IV 33) *Ὅτι ὁ βίος βραχὺς καὶ φροντίδων ἀνάμεστος* [98]·
(IV 34) *Περὶ λύπης ὅτι λίαν μοχθηρά* [99]·
(IV 35) *Περὶ νόσου καὶ ἰάσεως* [100]·
(IV 36) *Περὶ ὑγιείας καὶ διαμονῆς αὐτῆς* [101]·
(IV 37) *Περὶ ἰατρῶν* [102].
(IV 38) *Περὶ εὐδαιμονίας* [103]·
(IV 39) *Περὶ κακοδαιμονίας* [104]·
(IV 40) *Ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία* [105]·
(IV 41) *Περὶ τῶν παρ' ἀξίαν εὐτυχούντων* [106]·
(IV 42) *Περὶ τῶν παρ' ἀξίαν δυστυχούντων* [107]·
(IV 43) *Ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα* [108]·
(IV 44) *Ὅτι δεῖ τὰς εὐτυχίας προφαίνειν, τὰς δὲ ἀτυχίας κρύπτειν* [109]·
(IV 45) *Περὶ ἐλπίδος* [110]·
(IV 46) *Περὶ τῶν παρ' ἐλπίδα* [111]·
(IV 47) *Ὅτι οὐ χρὴ ἐπιχαίρειν τοῖς ἀτυχοῦσιν* [112]·
(IV 48) *Ὅτι οἱ ἀτυχοῦντες χρῄζουσι τῶν συμπασχόντων* [113]·
⟨(IV 49) *Ὅτι ῥᾷον ἄλλον παραινεῖν ἢ ἑαυτόν* [114]·⟩*)
(IV 50) *Περὶ γήρως καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου* [115—117]·
(IV 51) *Περὶ θανάτου* [118]·
(IV 52) *Περὶ ζωῆς* [119. 120]·
(IV 53) *Σύγκρισις ζωῆς καὶ θανάτου* [121]·
(IV 54) *Περὶ πένθους* [122]·
(IV 55) *Περὶ ταφῆς* [123]·
(IV 56) *Παρηγορικά* [124]·
(IV 57) *Ὅτι οὐ χρὴ παροινεῖν εἰς τοὺς τετελευτηκότας* [125]·
(IV 58) *Ὅτι τῶν πλείστων μετὰ θάνατον ἡ μνήμη διαρρεῖ ταχέως* [126].

Ὁμοῦ τὰ κεφάλαια τοῦ τετάρτου νι'· τῶν δὲ τεσσάρων βιβλίων σή.

*) Hunc titulum ipse addidi cf. Mus. Rh. XXVII p. 76 = 'studia' p. 49.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

ADNOTATIO CRITICA

TITVLVM generalem cum inscriptione *περὶ ἀριθμητικῆς* (v. infra) coniunxit F (*φυσικὰ Ἰωάννου Στωβαίου βιβλίον πρῶτον* cod. Aug. e coni.); titulus deest in P, sed manus recentissima quae in folio praemisso capitum indicem composuit hic inscripsit: *ἰωάννου στωβαίου φυσικῶν γνωμῶν ἐκλογή* ‖ **1** *στωβαίου* F ‖ **2** **ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ** addidi Photium secutus et inscriptionem alterius libri in FP, quarti (ante 'florilegii' c. 43) in Vindobonensi

PROOEMIVM

Bipertitum fuit teste Photio l. s. p. 112^{b} 41 prooemium ita ut priore capite per diversorum sententias ἔπαινον φιλοσοφίας exhiberet, altero de sectis philosophorum ageret Stobaeus, in eodemque corollarii instar proponeret veterum placita de geometria musica arithmetica. Quae omnia in libris nunc deperdita sunt praeter ultimam corollarii partem περὶ ἀριθμητικῆς quae infra legitur. Evincitur autem ordine eo quo apud Photium l. s. p. 114^{a} 17 sqq. secundum antiquam pinacographi cuiusdam operam in singulis indicum litteris auctores proferuntur, in hoc prooemio scriptam fuisse eximiam sententiarum copiam. Quod Elterus, qui primus recte illos indices adhibuit, per singula ‘de Stob. cod. Phot.’ p. 40 sqq. persecutus est aliqua cum probabilitate. Nam quamquam recte Dilesius mus. Rhen. XXXVI p. 344 monuit, ordinem variis ex causis non semper strenue in illis servatum esse, hic tamen ne turbas admittamus dissuadet id ipsum, quod non in una, sed in quattuordecim litteris philosophorum, duabus poetarum eodem loco nomina illa leguntur. Fuerunt igitur in prooemio sententiae philosophorum *Αἰσχίνου τοῦ Σωκρατικοῦ*, *Ἀναξάρχου*, *Ἀναχάρσιδος*, *Ἀριστωνύμου*, *Ἀπολλωνίου*, *Ἀντισθένους*, *Ἀριστίππου*, *Ἀρίστωνος*, *Ἀριστοξένου*, *Ἀρχύτου· Δημώνακτος*, *Δημητρίου· Εὐκλείδου*, *Εὐφράτου*, *Ἐπιχάρμου*, *Ἐπανδρίδου*, *Ἐρασιστράτου*, *Ἑκπώλου* (immo fuit *ἐκ Πώλου Πυθαγορείου*), *Ἐπικούρου Γαργηττίου*, *Ἐπικτήτου· Ζαλεύκου· Ἡρακλείδου· Θεμιστίου*, *Θεοβούλου*, *Θεανοῦς*, *Θεάγους*, *Θεοφράστου*, *Θεοδώρου· Ἱερωνύμου*, *Ἱππίου*,

Ἰαμβλίχου (fort. ἐκ τῶν προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων et Εὐσταθίῳ περὶ μουσικῆς)· Κρίτωνος, Κλεοβούλου, Κέβητος, Κυρίσκου, Κλειτομάχου, Κριτολάου, Κλινέου, Καρνεάδου· Μεναίχμου, Μητροκλέους, Μετώπου, Μενεδήμου, Μουσωνίου· Πανακέου, Πιττακοῦ, Περιάνδρου, Πυθαγόρου, Πλουτάρχου, Πεμπέλου, Πλάτωνος, Παναιτίου, Ποσειδωνίου, Περικτιόνης· Σόλωνος, Σωτίωνος, Σωσιάδου, Σερήνου, Σωκράτους, Σιλλωνος· Τίμωνος· Φιλοξένου. Χίωνος; quibus accesserunt sive antecesserunt poetae Ἀριστεῖος, Ἀντίμαχος, Ἀντιφάνης, Ἀρίσταρχος, Ἀρχίλοχος, Ἀχαιός· Σοφοκλῆς, Σωτάδης. Praeterea aut ad prooemium aut ad libri primi caput secundum (item deperditum) referendi sunt poetae Ἀίφιλος, Κλεαίνετος, Καλλίμαχος, Πίνδαρος (?). Φιλήτας, Φιλόξενος. Φιλιππίδης, Φρύνιχος, Φιλωνίδης et duces Ἰφικράτης, Ἵππαρχος. Denique in altero prooemii capite vetusti cuiusdam scriptoris de cynicorum secta dissertatio videtur excerpta fuisse, unde hausit pinacographus Photianus nomina cynicorum antiquissimorum Ἀντισθένους, Διογένους, Κράτητος, Ἡγησιάνακτος, Ὀνησικρίτου, Μενάνδρου, Μονίμου, Πολυζήλου, Ξανθίππου, Θεομνήστου (cf. Elter l. s. p. 49 sq.).

COROLLARII VLTIMA PARS

(Cap. II Heeren., I Gaisford. Meinek.)

[pag. ed. Heer.]

ΠΕΡΙ ΑΡΙΘΜΗΤΙΚΗΣ [2]

1 *Αἰσχύλου ἐκ Προμηθέως* (454—459).

Ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ
οὔτ' ἀνθεμώδους ἦρος, οὔτε καρπίμου
θέρους βέβαιον· ἀλλ' ἄτερ γνωμης τὸ πᾶν [4]
ἔπραττον, ἕς τε δή σφιν ἀντολὰς ἐγὼ
ἄστρων ἔδειξα τάς τε δυσκρίτους ὁδούς,
ἀριθμὸν εὑρών, ἔξοχον σοφισμάτων.

1ª [*Τοῦ αὐτοῦ Παλαμήδους* (fr. trag. adesp. 393 N.).]

ἔπειτα πάσης Ἑλλάδος καὶ ξυμμάχων
βίον διῴκησ' ὄντα πρὶν πεφυρμένον
θηρσίν θ' ὅμοιον· πρῶτα μὲν τὸν πάνσοφον
ἀριθμὸν εὗρηκ' ἔξοχον σοφισμάτων.

. . . . . .

COROLLARII eclogae 1—5 desunt in P ‖ 4 *αἰσχύλου ἐκ προμηθέως, φιλολάου* F mrg ‖ 6 *ἀνθεμώδους* Aesch. *M* (Medic.), *ἀνθεμώδεος* F | *καρπίμου* Aesch. *M*, *κάρπιμον* F ‖ 7 *θέρους* Aesch. *M*, *θέρος* F | *ἄτερ* etiam F ‖ 8 *ἕς τε* Aesch. *M*, *ἔστι* F ‖ 9 *ὁδούς* F, *δύσεις* Aesch. *M* et Achill. Tat. ad Arat. 4: *φύσεις* G. Hermann ‖ 10 *καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων* | *ἐξεῦρον* (*ἐξηῦρον*) *αὐτοῖς* Aesch. in cod. et ap. Stob. flor. LXXXI 1: totum v. delevit Heeren ut 'sensus optime procederet' ‖ 11 *τοῦ αὐτοῦ Παλαμήδους* addidi ad Aeschyli Palamedem hos versus referens collato Aeschyli Palam. fr. 176 Nauck. et Plat. de rep. VII p. 522 D; seiungendos eos ab antecedentibus post Heerenum intellexit G. Hermann ad Aeschyl. Prometh. v. 460, qui tamen de Euripide cogitavit; inter adespota posuit Nauck p. 713; num *φιλολάου* quod supra (v. 4) post *προμήθεως* additum est in F, corruptum ex *παλαμήδους*? ‖ 14 *θερσί* F

[6] 2 ⟨*Πλουτάρχου.*⟩

Ὅτι καὶ τὴν περὶ τοὺς ἀριθμοὺς θεωρίαν Ὅμηρος ἠπίστατο, τοὺς μὲν ἐχθροὺς καὶ πολεμίους ἀναρσίους προσαγορεύων,

ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου (κ 459)· *τὸν δὲ ἵλεω καὶ φιλικὸν ἄρθμιον·*

ἦκαχε Θεσπρωτούς, οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν (π 427)· *καὶ πάλιν·*

ἦ μὲν ἐμαρνάσθην ἔριδος περὶ θυμοβόροιο·
ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε (*H* 301. 302)· *ἀναρμοστίαν μὲν τὴν ἔχθραν ἡγούμενος, ἁρμονίαν δὲ τὴν φιλίαν· τὸ γὰρ ἄρθμιον ἐναρμόνιόν ἐστιν, ἅτε δὴ πάσης ἁρμονίας ἐν λόγοις ἀριθμῶν τὴν γένεσιν ἐχούσης.*

Ἡ μονὰς γονὴ ὑπὸ Τιμαίου τοῦ Λοκροῦ προσαγορεύεται, ὡς ἄρχουσα τῆς τῶν ἀριθμῶν γενέσεως.

[8] *Τοῦ περισσοῦ καὶ ἀδιαιρέτου λόγου Ἀριστοτέλης ἀπεφήνατο πρῶτον καὶ ἀμέριστον εἶδος τὸ ἕν· κατὰ δὲ τὴν τούτου ποίησιν εἰδοποιουμένη μονὰς ἀρχὴ καὶ στοιχεῖον τῶν ἀριθμῶν.*

3 *Φιλολάου* (fr. 18 Chaign., 13 Mullach.).

Θεωρὲν δεῖ τὰ ἔργα καὶ τὰν ἐσσίαν τῶ ἀριθμῶ κὰττὰν δύναμιν ἅ τις ἐντὶ ἐν τᾷ δεκάδι. Μεγάλα γὰρ καὶ παν-

---

1 Plutarcho personato sane illi adscripsi cum Dilesio doxogr. p. 96 et 99 | **2** *ἐπὶ* F: *περὶ* Heeren ‖ **3**–**13** intelleges coll. Syriano ad Arist. metaph. p. 891ᵇ 9—20 ‖ **5** *ὁμήρου* F add. mrg | *ἠδ' ὅσ' ἀνάρσιοι* Hom., *ἤεσαν ἄρσιοι* F ‖ **6** *τὸ* F: corr. Meineke | *ἀρίθμιον* F: corr. Heeren ‖ **7** et **9. 10** locis inter se mutatis affert F: corr. Meineke ‖ **7** *ἦκαχε* Hom., *ἤπαφε* F | *ἄρθμιοι* Hom., *ἄρσιοι* F ‖ **9** *ἐμαρνάσθην* Hom., *ἐμαρνάσθην* F ‖ **10** *ἦ δ' αὖτε* F | *διέτμαγεν* Hom., *διέταττον* F | *ἀρθμήσαντε* Hom., *ἀριθμήσαντε* F ‖ **12** *ἀρίθμιον* F: corr. Heeren | *δὴ δεῖ* F: corr. Gaisford ‖ **16** F add. mrg *ἀριστοτέλους* ‖ **18**—**20** *μονάς, ἀρχὴ καὶ στοιχεῖον τῶν ἀριθμῶν φιλολάου* F: corr. Heeren ‖ **20** secrevi quinque Philolai fragmenta vulgo in unum contracta ‖ **21** *θεωρεῖν* F: corr. Meineke | *τὴν* F | *ὐσσίαν* F: corr. Boeckh, *Philolaus* p. 139 n. 1 | *τῶν ἀριθμῶν* F: corr. Boeckh | *κατὰ* F: *καττὰν* Boeckh ‖ **22** *ἐστὶν* F: corr. Boeckh

τελὴς καὶ παντοεργὸς καὶ θείω καὶ ὡρανίω βίω καὶ ἀνθρωπίνω ἀρχὰ καὶ ἁγεμὼν κοινωνοῦσα . . . δύναμις ἁ τᾶς δεκάδος. Ἄνευ δὲ ταύτας πάντ᾽ ἄπειρα καὶ ἄδηλα καὶ ἀφανῆ.

Κανονικὰ γὰρ ἁ φύσις ἁ τῶ ἀριθμῶ καὶ ἁγεμονικὰ καὶ διδασκαλικὰ τῶ ἀπορουμένω παντὸς καὶ ἀγνοουμένω παντί. Οὐ γὰρ ἦς δῆλον οὐδενὶ οὐδὲν τῶν πραγμάτων, οὔτε αὐτῶν ποθ᾽ αὑτά, οὔτε ἄλλω ποτ᾽ ἄλλο, αἰ μὴ ἦς ἀριθμὸς καὶ ἁ τούτω ἐσσία. Νῦν δὲ οἷτος κἀττὰν ψυχὰν ἁρμόσδων αἰσθήσι πάντα γνωστὰ καὶ ποτάγορα ἀλλάλοις [10] κατὰ γνώμονος φύσιν ἀπεργάζεται, σωματῶν καὶ σχίζων τὼς λόγως χωρὶς ἑκάστως τῶν πραγμάτων, τῶν τε ἀπείρων καὶ τῶν περαινόντων.

Ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν, ἀλλὰ καὶ ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις πᾶσι παντᾶ καὶ κἀττὰς δαμιουργίας τὰς τεχνικὰς πάσας καὶ κἀττὰν μουσικάν.

Ψεῦδος δὲ οὐδὲν δέχεται ἁ τῶ ἀριθμῶ φύσις, οὐδὲ ἁρμονία, οὐδὲ γὰρ οἰκεῖον αὐτοῖς ἐντι.

---

1 οὐρανίω F ‖ **2** post κοινωνοῦσα lacuna 12 litterarum in F: κοινῶς ἐοῦσα φαίνεται Heeren, κοινωνίας ἁ Badham ad Platonis Phileb. p. 99, καὶ γνώμων ἁ Iacobs epist. crit. ap. Heeren. vol. II 2 p. 224, καὶ κανὼν ἁ ἐσσία καὶ Meineke, καὶ κοσμήτειρα ἁ Mullach; κανὼν ἐοῦσα πάντων ἁ Usener | ἁ τᾶς corr. Heeren pro καὶ τᾶς ‖ **3** τούτας F | πάντα F | ἄπορα Iacobs | ἀφανέα Meineke ‖ **4** γνωμικὰ F: κανονικὰ Meineke, νομικὰ d'Orvillius in Observ. Misc. Belg. vol. VII p. 182 et Boeckh p. 141 n. 1, γνωμονικὰ Iacobs l. s. | ἡγεμονικὰ F ‖ **6** παντί] πάρεντι Badham l. s. | εἰς F: ἦς Koen ad Gregor. Corinth. p. 259 Schaefer., ἐντι Heeren | οὐθενὶ οὐθὲν Boeckh ‖ **7** αὐτοῖς F: αὐτῶν Heeren | αὐτὰ F | πρὸς ἄλλο F: corr. Heeren | εἰ F: corr. Meineke | εἰς F: ἦς Koen l. s. ‖ **8** τούτοις F: corr. Heeren | οὐσία F | κατὰ σπουδὴν Heeren, κατὰ φιλίαν Iacobs l. s. p. 225 | κατὰν F: corr. Boeckh, ποττὰν Mullach ‖ **9** ἁρμόζων F | αἰσθήσει F ‖ **10** σωμάτων F: corr. Boeckh ‖ **11** τοὺς λόγους et ἑκάστους F ‖ **13** δὲ καὶ F: corr. Meineke ‖ **14. 15** ἰσχύοισαν Meineke ‖ **15** ἀνθρωπίνοις Meineke ‖ **16** πάντα F: corr. Boeckh | κατὰ τὰς F | δημιουργίας F ‖ **17** κατὰ τὰν F | μουσικάν (quod Heeren coni.) habet F ‖ **18** αὖ F: ἁ Iacobs ep. crit. p. 225 ‖ **19** οὐδὲ corr. Badham pro οὐ | οἰκῆον Meineke | ἐστι F

Τᾶς τῶ ἀπείρω καὶ ἀνοάτω καὶ ἀλόγω φύσιος τὸ ψεῦδος καὶ ὁ φθόνος ἐντί. Ψεῦδος δὲ οὐδαμῶς ἐς ἀριθμὸν ἐμπιτνεῖ, πολέμιον γὰρ καὶ ἐχθρὸν τᾷ φύσι τὸ ψεῦδος, ἁ δ' ἀλάθεια οἰκεῖον καὶ σύμφυτον τᾷ τῶ ἀριθμῶ γενεᾷ.

(Fr. 20 Mull.) *Καὶ τὰ ἐν τᾷ σφαίρᾳ σώματα πέντε ἐντί· τὰ ἐν τᾷ σφαίρᾳ, πῦρ, ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὁ τᾶς σφαίρας ὁλκὰς πέμπτον.*

[12] 4 *Ἐκ τῶν Ἀρχύτου διατριβῶν* (Mull. Phil. I p. 565).

Καὶ δοκέει ἁ λογιστικὰ ποτὶ τὰν ἄλλαν σοφίαν τῶν μὲν ἄλλων τεχνῶν κὰπ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γαμετρικᾶς ἐναργεστέρως πραγματεύεσθαι ἃ θέλει. καὶ ἃς ἐκλείπει αὖ ἁ γαμετρικὰ ἀποδείξιας, ἁ λογιστικὰ ἐπιτελέει καὶ ὁμῶς, αἰ μὴν εἰδέων ἐντὶ ἁ πραγματεία, καὶ τὰ ἐπὶ τοῖς εἴδεσιν.

5 *Βουθήρου περὶ ἀριθμῶν* (Mull. Phil. II p. 50).

Ἀριθμὸς ἐκ μονάδων σύγκειται . . . . ὅπερ ἐστὶν ἀρχὴ

---

1 *τῶ* F: *γὰρ* Heeren | *ἀνοήτω* F ‖ **2** *φθόρος* Meineke, *θόλος* (immo *θολός*?) Badham, *φοῖτος* Hense; sed sanum est *φθόνος* | *ἐστι* F | *ψεῦδος – γενεᾷ* (4) separavit a reliquis Boeckh p. 145 ‖ **3** *ἐπιπνεῖ* F: *ἐμπιτνεῖ* Iacobs p. 225, *ἐμπίπτει* Heeren | ante *τᾷ φύσι* add. Boeckh *αὐτῶ* | *φύσει* F ‖ **4** *ἀλήθεια* F ‖ **5** *καὶ τὰ*] *κἀν τῶ αὐτῶ* Meineke et tamquam titulum praefixit ‖ **6** *ἐντι τὰ ἐν τᾷ σφαίρᾳ πῦρ* F: *ἐντὶ πῦρ* deletis verbis *τὰ ἐν τᾷ σφαίρᾳ* Heeren, *ἐντί. τὰ ἐν τᾷ σφαίρᾳ πῦρ* Boeckh p. 160; num *ἐντί· τὸ ἐν* ⟨*μέσᾳ*⟩ *τᾷ σφαίρᾳ πῦρ*? ‖ **6. 7** *ἁ – ὁλκάς* vel *ἁ – ὁλκὰ* vel *ὁ – ὅλκος* (immo *ὁλκὸς*) vel *ὁ – ὅλμος* Heeren, *ἁ – κυκλὰς* Meineke, *ὁ – κύκλος* vel *τὸ – ὅλας* Zeller, phil. Gr. I⁴ p. 376 n. 3; *ὁ – ὄγκος* vel *ἁ – ὁλότας* Schaarschmidt, *Frgg. d. Philol.* p. 50, *ὁ – ὁλκὸς* ⟨*αἰθήρ*⟩ Mullach; num *ἁ – ὁρκάνα*? ‖ **8** lemma in mrg hab. F ‖ **9** *δοκεῖ* F | an *ἄλλαν* delendum? ‖ **9. 10** *τῶν – τεχνῶν* del. Meineke ‖ **10** *καὶ* F: *κὰπ* scripsi, *κατὰ* Iacobs ep. cr. p. 225 | *διαφέρειν* F ‖ **10. 11** *τὰς γεωμετρικὰς* F: *τᾶς γαμετρικᾶς* (coll. ecl. I 35, 5 et I 40, 6) Meineke, *τᾶς γεωμετρικᾶς* Heeren ‖ **11** *ἐναργεστέρω* F: *ἐναργεστέρως* Mullach | *καὶ ἃ* F: *καὶ ἃς* Meineke, *καθ' ἃ* Heeren ‖ **12** *αὖ* F: *γὰρ* Heeren | *ἁ γεωμετρία καὶ* F: corr. Meineke, *ἁ γεωμετρία τὰς* Heeren | *ἀπόδειξις* F: corr. Meineke | *ἐπιτελεῖ* F | post *ἐπιτελέει* gravius interpungunt editores ‖ **12. 13** *ὅμως εἰ μὲν* F: corr. Meineke, *ὁμοῦ ἐντι μὲν* Heeren ‖ **13** *ἐντὶ* corr. pro *τε* Meineke, qui etiam *ἁ* delet | *ἐπὶ* corr. pro *περὶ* Meineke, qui in fine *πραγματεύεται* addidit | *τῶν περὶ τὰ εἴδη* Heeren ‖ **14** *Βουθήρου* habet F mrg, *περὶ ἀριθμῶν* in textu ‖ **15** lacunam signavi; fortasse sufficit *ὅπερ* (*ὅπέρ* F) mutare in *τὸ δ' ἓν*

τῶν ὄντων καὶ ⟨νοητῶν⟩ μέτρον καὶ ἀσύνθετον καὶ ἀγένητον καὶ ἀίδιον καὶ μόνον καὶ εἰλικρινές.

Τὸ ⟨ἓν⟩ χωρὶς τῶν ἄλλων ἐστὶ καὶ αὐτὸ καθ' ἑαυτὸ καὶ ἀρχὴ καὶ πρώτη φύσις καὶ μαθεῖν ⟨ἔστιν⟩ αὐτὸ μηδ' ἄλλο [14]
⟨*τι*⟩ *διορισαμένους.*

. . . . . μόνον ἐστὶν εἰλικρινὲς αὐτό ⟨τε ἑαυτὸ⟩ δηλοῦν.

Ὁ περισσὸς τοῦ ἀρτίου τελεώτερός ἐστιν. ὃ μὲν γὰρ ἀρχὴν καὶ τέλος καὶ μέσον ἔχει, ὃ δὲ τοῦ μέσου στερεῖται. Καὶ ὃ μέν, ὁπόταν γεννῶνται ἀνὰ λόγον καὶ πρὸς μονάδας, ταῖς αὐτοῦ χώραις καταλαμβάνει τὰς ταῖς γραμμαῖς περιεχομένας· ὃ δ' ἐν οἰκείᾳ μὲν γινόμενος οὐδέποτε περαίνεται, ὅταν δ' ἐν περισσῇ γένηται, αὐτός τε πέρατος τυγχάνει καὶ τὴν πλευρὰν λόγον ἔχουσαν ἴσχει.

Τὸ ἓν οὐσία καὶ φύσις καὶ νοῦς καὶ μήνυμα· ἀρχὴν γὰρ καὶ μέσον καὶ πέρας ἔχον ἐστί· καὶ τὰ ἄλλα δὲ [16]
τούτου μετείληφεν ἃ ἔστι καὶ νοεῖται τῇ τούτου φύσει ἕκαστον ἀπὸ τῶν ἄλλων εἰλικρινούμενον καὶ εἰκών τε καὶ εἴδωλα τοῦ ἑνὸς γιγνόμενα.

---

1 *νοητῶν* addidi coll. Syriano in metaph. XIV 1 p. 927a 23 | *γεννητὸν* F: corr. Heeren ‖ **3** *ὃ* F: *τὸ ⟨ἓν⟩* scripsi (et alterius excerpti initium significavi), *δι' ὃ* Meineke ‖ **4** ante *μαθεῖν* add. *ὅτι* Mullach | *ἔστιν* add. Meineke, *ἔξεστιν* add. Heeren ‖ **4. 5** *μηδὲν ἄλλο διορισαμένῳ* Heeren ‖ **5** *τι* add. Meineke | *διορισάμενος* F: *διορισαμένους* Meineke, *διορισαμένῳ* Heeren ‖ **6** inde a *μόνον* tertiam eclogam inchoari credo; lacuna 6—8 litterarum in F, *ὃ* suppletum in apogr. Vossiano | *τε ἑαυτὸ* addidi coll. Syriano l. s. (ubi cum Bagolino Zeller phil. Gr. I4 p. 334 n. 1 corr. *αὐτό τε ἑαυτό*) | post *αὐτὸ* add. *καθ' ἑαυτὸ* Mullach, qui coni. *δῆλον* ‖ **7** ab *ὁ περισσὸς* nova sectio incipit in F ‖ **8** *στερεῖται* F, quod non in *ἑστέρηται* mutandum, vide Meinek. add. p. CCIX ‖ **9** *γένωνται* Meineke, sed cf. Hippol. ref. VI 23; *γέννηται* Mullach | *ἀνάλογον* F: corr. Heeren | num post *λόγον* addendum *τῆς δυάδος*? ‖ **9. 10** *μονάδα* Mullach ‖ **10** *αὐτοῦ* F | *τοὺς* F: *τὰς* scripsi, *τόπους* Heeren, *τὰ* Mullach ‖ **11** *περιεχομένους* F: *περιεχομένας* scripsi, *περιεχόμενα σχήματα* Mullach ‖ **13** *λόγον*] num *ὅρον*? ‖ **14** nova incipit ecloga in F | *τῇ ἐν* F: *τὸ ἓν* Heeren | *μήνωμα* F: *μήνυμα* scripsi coll. v. 6 et Sext. Emp. adv. math. X 217, *πλήρωμα* Heeren (coll. Plut. vit. Hom. c. 145) ‖ **15** *διὰ* (post *ἀλλὰ*) F: *δὲ* Usener, delet Mullach; cf. Sext. Emp. adv. math. X 261, Pyrrh. hyp. III 158sq.

6 *Ἐκ τῶν Ἀριστοξένου περὶ ἀριθμητικῆς* (fr. 81 ap. Müller F. H. G. II p. 289).

p. 2,46 Cant. *Τὴν δὲ περὶ τοὺς ἀριθμοὺς πραγματείαν μάλιστα πάντων τιμῆσαι δοκεῖ Πυθαγόρας καὶ προαγαγεῖν εἰς τὸ πρόσθεν, ἀπαγαγὼν ἀπὸ τῆς τῶν ἐμπόρων χρείας, πάντα τὰ πράγματα ἀπεικάζων τοῖς ἀριθμοῖς. Τά τε γὰρ ἄλλα ἀριθμὸς ἔχει καὶ λόγος ἐστὶ πάντων τῶν ἀριθμῶν πρὸς ἀλλήλους. Αἰγύπτιοι δὲ Ἑρμοῦ φασὶν εὕρημα, ὃν καλοῦσι Θώθ· οἱ δὲ ἐκ τῶν θείων περιφορῶν ἐπινοηθῆναι. Μονὰς μὲν οὖν ἐστιν ἀρχὴ ἀριθμοῦ, ἀριθμὸς δὲ τὸ ἐκ τῶν μονάδων πλῆθος συγκείμενον. Τῶν δὲ ἀριθμῶν ἄρτιοι μέν εἰσιν οἱ εἰς ἴσα διαιρούμενοι, περισσοὶ δὲ οἱ εἰς ἄνισα καὶ μέσον ἔχοντες. Οὕτως ἐν περισσαῖς ἡμέραις αἱ κρίσεις τῶν νοσημάτων γίνεσθαι δοκοῦσι καὶ αἱ μεταβολαί,*

[18] p. 3 C. *ὅτι ὁ περισσὸς καὶ ἀρχὴν καὶ τελευτὴν καὶ μέσον ἔχει, ἀρχῆς καὶ ἀκμῆς καὶ παρακμῆς ἐχόμενα.*

7 *Πλάτωνος ἐκ τοῦ ε τῶν Νόμων* (p. 747^{AB}).

Καὶ κοινῷ λόγῳ νομίσαντα πρὸς πάντα εἶναι χρησίμους τὰς τῶν ἀριθμῶν διανομὰς καὶ ποικίλσεις, ὅσα τε αὐτοὶ ἐν ἑαυτοῖς ποικίλλονται καὶ ὅσα ἐν μήκεσι παρέχονται καὶ ἐν βάθεσι ποικίλματα καὶ δὴ καὶ ἐν φθόγγοις ⟨καὶ κινήσεσι⟩, ταῖς τε κατὰ τὴν εὐθυπορίαν τῆς ἄνω καὶ κάτω φορᾶς ⟨καὶ τῆς κύκλῳ περιφορᾶς⟩. πρὸς γὰρ ταῦτα πάντα δεῖ βλέψαντα τόν γε νομοθέτην προστάττειν πᾶσι τοῖς πολίταις εἰς δύναμιν τούτων μὴ ἀπολείπεσθαι τῆς συντάξεως. πρός τε γὰρ οἰκονομίαν καὶ πρὸς πολιτείαν

---

1 lemma habet F mrg ‖ **3** a verbis *τὴν δὲ* incipit P f.3^{r} ‖ **4** *προαγαγεῖν* (ut coni. Meineke) F, *προαγεῖν* P ‖ **7** *ἔλει* P ‖ **8** ante *Αἰγύπτιοι* complura (velut *καὶ Ἕλληνες μὲν Προμηθέως*) intercidisse putat Meineke | *φασὶν* FP ‖ **9** *οἱ δὲ*] ut Philippus Op. Epinom. p. 978^{C} sq. ‖ **10** *μὲν*] *δὲ* P ‖ **13** ante *οὕτως* complura intercidisse putat Meineke ‖ **15** *περιττὸς* FP ‖ **16** *ἐχόμενα* FP: corr. Meineke ‖ **17** lemma habet F mrg, P in textu | *ἐκ τοῦ* om. P ‖ **20. 21** *παρέχονται* om. Plat. Paris. ‖ **21** *βάθεσι* Plat. Paris., *πλάτεσι καὶ πάθεσι* FP; cf. *Stud.* p. 66 sq. ‖ **22** *καὶ κινήσεσι* om. FP, add. Plat. Par. ‖ **23. 24** *καὶ τῆς κύκλῳ περιφορᾶς* om. FP, add. Plat. Par. ‖ **24. 25** *τοῖς πολίταις πᾶσιν* Plat. Par.

καὶ πρὸς τὰς τέχνας πάσας, ἓν οὐδὲν οὕτω δύναμιν παρέχει παιδείας μάθημα μεγάλην, ὡς ἡ περὶ τοὺς ἀριθμοὺς διατριβή. τὸ δὲ μέγιστον, ὅτι τὸν νυστάζοντα καὶ ἀμαθῆ φύσει ἐγείρει καὶ εὐμαθῆ καὶ μνήμονα καὶ ἀγχίνουν ἀπεργάζεται παρὰ τὴν αὐτοῦ φύσιν ἐπιδιδόντα θεία τέχνῃ.

8 Ἐκ τῶν Μοδεράτου Πυθαγορείου (fr. 1 Mull. Phil. II p. 48).

Ἔστι δὲ ἀριθμός, ὡς τύπῳ εἰπεῖν, σύστημα μονάδων, ἢ προποδισμὸς πλήθους ἀπὸ μονάδος ἀρχόμενος καὶ ἀναποδισμὸς εἰς μονάδα καταλήγων. Μονάδες δὲ περαίνουσι ποσότηθ', ἥ τις μειουμένου τοῦ πλήθους κατὰ τὴν ὑφαίρεσιν παντὸς ἀριθμοῦ στερηθεῖσα μονήν τε καὶ στάσιν λαμβάνει· περαιτέρω γὰρ ἡ μονὰς τῆς ποσότητος οὐκ ἰσχύει ἀναποδίζειν· ὥστε μονὰς ἤτοι ἀπὸ τοῦ ἑστάναι καὶ κατὰ ταὐτὰ ὡσαύτως ἄτρεπτος μένειν, ἢ ἀπὸ τοῦ διακεκρίσθαι καὶ παντελῶς μεμονῶσθαι τοῦ πλῆθους εὐλόγως ἐκλήθη.

9 ⟨Eiusdem (fr. 2 Mull. Phil. II p. 48).⟩ [20]

Τινὲς τῶν ἀριθμῶν ἀρχὴν ἀπεφήναντο τὴν μονάδα, τῶν δὲ ἀριθμητῶν ἀρχὴν τὸ ἕν. Τοῦτο δὲ σῶμα τεμνόμενον εἰς ἄπειρον· ὥστε τὰ ἀριθμητὰ τῶν ἀριθμῶν ταύτῃ διαλλάττειν, ᾗ διαφέρει τὰ σώματα τῶν ἀσωμάτων. Εἰδέναι δὲ καὶ τοῦτο χρή, ὅτι τῶν ἀριθμῶν εἰσηγήσαντο τὰς ἀρχὰς οἱ μὲν νεώτεροι τήν τε μονάδα καὶ τὴν δυάδα, οἱ δὲ Πυθαγορικοὶ πάσας παρὰ τὸ ἑξῆς τὰς τῶν ὅρων ἐκθέσεις, δι' ὧν ἄρτιοί τε καὶ περιττοὶ νοοῦνται.

10 ⟨Πλουτάρχου.⟩

Πυθαγόρας πλείστῃ σπουδῇ περὶ τοὺς ἀριθμοὺς ἐχρήσατο, τάς τε τῶν ζῴων γενέσεις ἀνῆγεν εἰς ἀριθμοὺς καὶ

---

1. 2 ἔχει παίδειον Plat. Par. ‖ 3 νυστάξαντα P ‖ 5 αὐτοῦ FP ‖ 6 lemma hab. F mrg, P in textu | μοδεράστου F ‖ 8 ἔστι δὲ FP ‖ 9 ἀναποδισμὸς] cf. Diels, Doxogr. p. 51 n. 3 ‖ 10 καταλήγων FP ‖ 10. 11 μονάδας δὲ περαίνουσα ποσότης FP: corr. Usener | περαίνουσά ἐστι Heeren ‖ 12 μόνην m. 2 corr. in μονήν P ‖ 13 an τῆς μονάδος ἡ ποσότης? ‖ 15 ταῦτα FP: corr. Vatic. ‖ 18 ἀρχὴν om. P ‖ 21 ἥ P ‖ 24 Πυθαγορικοὶ FP | παρὰ] κατὰ Meineke | quid sibi velint αἱ τῶν ὅρων ἐκθέσεις vide apud Nicomach. arithm. intr. I 8, 10 | τὰς FP², τὰ P¹ ‖ 26 Plutarcho adscripsi cum Dilesio Doxogr. p. 96 ‖ 28 ἰσαριθμοὺς F

τῶν ἀστέρων τὰς περιόδους. Ἔτι δὲ τοῖς θεοῖς ἀπεικάζων ἐπωνόμαζεν, ὡς Ἀπόλλωνα μὲν τὴν μονάδα οὖσαν,
[22] Ἄρτεμιν δὲ τὴν δυάδα . . . . . τὴν δὲ ἑξάδα Γάμον καὶ Ἀφροδίτην, τὴν δὲ ἑβδομάδα Καιρὸν καὶ Ἀθηνᾶν, Ἀσφάλειον δὲ Ποσειδῶνα τὴν ὀγδοάδα καὶ τὴν δεκάδα Παντέλειαν. Αὐτοῦ δὲ πάλιν τοῦ ἀριθμοῦ τὸν μὲν ἄρτιον ἀτελῆ, πλήρη δὲ καὶ τέλειον ἀπέφηνε τὸν περιττόν, ὅτι μιγνύμενός τε πρὸς τὸν ἄρτιον ἀεὶ ποιεῖται ἐπικρατεῖν τὸν ἐξ ἀμφοῖν περισσόν, αὐτῷ τε πάλιν συντιθέμενος γεννᾷ τὸν ἄρτιον, ὁ δ' ἄρτιος οὐδέποτε τὸν περισσόν, ὡς οὐ γόνιμος ὢν οὐδὲ ἔχων δύναμιν ἀρχῆς· ὥστε ἐν τῷ διαιρεῖσθαι δίχα πολλοὶ τῶν ἀρτίων εἰς περισσοὺς τὴν ἀνάλυσιν λαμβάνουσιν, ὡς ὁ ἓξ καὶ ὁ δέκα, τῶν δὲ περισσῶν εἰς ἀρτίους οὐθείς· ἀδιαίρετον γὰρ ἡ ἀρχὴ καὶ τὸ
[24] στοιχεῖον εἰς ἕτερα· τοῖς δὲ ἄλλοις εἰς τὰ αὐτὰ πᾶσιν αἱ διαλύσεις. Ἔτι δὲ τῇ μονάδι τῶν ἐφεξῆς περισσῶν γνωμόνων περιτιθεμένων ὁ γινόμενος ἀεὶ τετράγωνός ἐστι· τῶν δὲ ἀρτίων ὁμοίως περιτιθεμένων ἑτερομήκεις καὶ ἄνισοι πάντες ἀποβαίνουσιν, ἴσος δὲ ἰσάκις οὐδείς. Καὶ μὴν εἰς δύο διαιρουμένων ἴσα τοῦ μὲν περισσοῦ μονὰς ἐν μέσῳ περίεστι, τοῦ δὲ ἀρτίου κενὴ λείπεται χώρα καὶ ἀδέσποτος καὶ ἀνάριθμος, ὡς ἂν ἐνδεοῦς καὶ ἀτελοῦς ὄντος. Περὶ δὴ τοῦ κοινοῦ λόγου τῶν ἀριθμῶν τοῦτον διέξεισι τὸν τρόπον.

---

2 *ἐπωνομάζομεν* FP¹ (*ομ* ante *εν* del. P²) | *ὡς* del. P² | *οὖσαν* del. P² ‖ **3** lacunam signavit Meineke ‖ **4. 5** *Ασφάλιον* FP ‖ **5** *δὲ καὶ* Meineke ‖ **7** *ἀπέφηνε* F et Plutarch. vit. Hom. c. 145, *ἀπέφαινε* P ‖ **8** *ἀεὶ – ἄρτιον* (10) om. P, sed m. 2 add. mrg *γεννᾷ τὸν περιττόν* | *ποιεῖ* Mullach phil. Gr. II p. 50 | *ἐπικρατεῖν* corr. Mullach l. s. pro *περικρατεῖν* coll. Plut. vit. Hom. c. 145 ‖ **9** *αὐτῷ* F | post *περισσὸν* add. P *αὐτῷ τε πάλιν συντιθέμενος γεννᾷ τὸν ἄρτιον, ὁ δ' ἄρτιος οὐδέποτε τὸν περισσὸν* ‖ **11** *ὥστε* F, *ὅθεν* P ‖ **13** *ἀνάλυσιν* Vatic., *ἄλυσιν* FP¹, *διάλυσιν* P² | *ὁ ἓξ καὶ ὁ δέκα* P², *ὁ ἑξκαίδεκα* FP¹: *ὁ ἓξ καὶ δέκα* Zeller phil. Gr. I⁴ p. 321 n. 2 ‖ **14** *οὐθεὶς* FP ‖ **15** *πᾶσιν* FP: *πάλιν* Heeren ‖ **17** *ὁ γινόμενος – περιτιθεμένων* (18) om. P | *αἰεὶ* F ‖ **19** *ἶσος* P, *ἶσον* F ‖ **22** *ἂν ἐνδεοῦς* P², *ἀνενδεοῦς* FP¹: *δὴ ἐνδεοῦς* Meineke ‖ **23** *δὴ* P² sprscr., *δὲ* FP | *τὸν ἀριθμὸν* P¹ (*ἀριθμῶν* P²)

CAPVT I (III Heer., II Gaisford. Meinek.).

ὅτι θεὸς δημιουργὸς τῶν ὄντων καὶ διέπει τὸ ὅλον τῷι τῆς προνόιας λόγωι καὶ πόιας οὐσίας ὑπάρχει. p. 3, 28 C.

1 *Θεοδέκτου* (fr. 7 N. p. 625).

Ἀπὸ τῶν θεῶν ἀρχὴν δὲ ποιεῖσθαι πρέπον.

2 *Εὐριπίδου* (fr. inc. 935 N.) [26]

Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα,
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

3 *Ἀράτου* (Phaen. 1—9).

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
ἄρρητον, μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα
καὶ λιμένες, πάντῃ δὲ Διὸς κεχρήμεθα πάντες.
τοῦ γὰρ καὶ γένος ἐσμέν, ὁ δ' ἤπιος ἀνθρώποισι
δεξιὰ σημαίνει, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει
μιμνήσκων βιότοιο, λέγει δ' ὅτε βῶλος ἀρίστη
βουσί τε καὶ μακέλῃσι, λέγει δ' ὅτε δεξιαὶ ὧραι
καὶ φυτὰ γυρῶσαι καὶ σπέρματα πάντα βαλέσθαι.

4 ⟨*Ὁμήρου* (*Υ* 242. 243)⟩

Ζεὺς δ' ἀρετὴν ἀνδρεσσιν ὀφέλλει τε μινύθει τε
ὅππως κεν ἐθέλῃσιν, ὁ γὰρ κάρτιστος ἁπάντων.

---

2 *περὶ τοῦ ὅτι θεὸς* ind. floril. Laur. litt. *Δ* n. 7, *περὶ θεοῦ ὅτι* Photius p. 112ª 30 Bekk. ‖ **3** *καὶ – ὑπάρχει* (4) om. Photius ‖ **4** *ὑπάρχοι* F ‖ **6** *δὲ ποιεῖσθαι* FP: *πεποιῆσθαι* Meineke ‖ **7** *Εὐριπίδου* om. FP¹, add. P² mrg ‖ **9** *τὸν γῆν* Musgrave, *γαῖαν* Meineke ‖ **11** hi novem versus Arati pariter atque Homeri qui sequitur locus recurrunt apud Theophilum ad Autolyc. II 8 p. 86ᶜ, qui ex eodem florilegio hausit atque Stobaeus | *Ἀράτου* om. FP¹, add. P² mrg ‖ **12** *ἀρχώμεσθα* Arati codd., *ἀρχώμεθα* F, *ἀρχόμεθα* P | post *τὸν* add. *δ'* FP | *ἀνδρῶν ὦμεν* P ‖ **13** *δὲ*] *μὲν* F, *δὲ* P² in ras. ‖ **16** *εἰμὲν* Arati codd. meliores, sed *ἐσμὲν* etiam Catenae Crameri t. VII p. 90, 27. 29 | *ἤπιος* FP ‖ **17** *ἔργων* FP ‖ **19** *μακέλλῃσι* F ‖ **20** *βάλλεσθαι* F, *βάλεσθαι* P ‖ **21** vide supra adnotata ad v. 11 ‖ **22** *ἄνδρεσιν* FP ‖ **23** *ὅπως* FP | *κράτιστος* FP

5 ⟨Tragici ignoti (fr. adesp. 394 N.).⟩

Ὁ γὰρ θεὸς μέγιστος ἀνθρώποις νόμος.

6 ⟨Elegiaci ignoti.⟩

Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

[28] 7 ⟨*Ὁμήρου* (ζ′ 188).⟩

Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν ἑκάστῳ.

8 ⟨*Ὁμήρου* (π′ 212).⟩

Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανον εὐρυν ἔχουσιν,
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.

9 ⟨Poetae ignoti.⟩

Ζεὺς ὁ καὶ ζωῆς καὶ θανάτου πείρατα νωμιῶν.

10 *Σιμωνίδου* (fr. 61 B.).

Οὔτις ἄνευ θεῶν
ἀρετὰν λάβεν, οὐ πόλις, οὐ ⟨βροτός⟩.

---

2 *μόνος* P¹ ‖ **3** Simonidi hunc versum tribuit primus Grotius in 'dictis poetarum' (1623), quem secuti sunt Brunckius gnom. poet. p. 137 (1817) Bergkius fr. 87 alii, mera coniectura ille Simonideis adnectens adiecto titulo 'excerpt. de r. n. tit. III' i. e. tertio capite Canterianae in qua tamen nomen deest pariter atque in FP; in codicibus Vaticano Augustanoque Simonidi adscribi Heerenus affirmat falsus procul dubio. sed legitur infra ad versum Menandreum p. 25, 2 in F (idem testor de Vaticano) margine adscriptum *συνά*, pariter atque Cleanthis versui trito quarto quinto adscripta sunt nomina *σιμωνίδου μενάνδρου κλεάνθους*: quae omnia errore frequentissimo delapsa sunt aliquantulum; itaque ut *σιμωνίδου* debuit apponi ad v. 14, *μενάνδρου* ad p. 25, 2, *κλεάνθους* ad hymni initium, ita *συνάδ* videtur pertinere ad hunc versum (quem Homerica secuntur), ac latet fortasse in hac corruptela *σιμωνίδου* nomen ‖ **4** *πάντως* FP: *πάντων* Grotius (falso Parisini auctoritatem testans) ‖ **7** *ἠδὲ* FP | *ἑκάστῳ* om. F (man. x add.) P (m. 2 add.) ‖ **9** *τοὶ* P², *τὸν* FP¹ | post *ἔχουσιν* spatium 12 litt. in F | hic explicit P f. 5ʳ, in quo desunt quae sequuntur usque ad p. 31, 8 ‖ **10** *ἠ μὲν* F | *βροτὸν ὅδε* et spatium 6 litt. (om. *κακῶσαι*) F ‖ **11** inter tragicorum adespota n. 395 posuit Nauckius p. 714, lyrici potius esse iudicat Meineke, qui *ζωᾶς* coni., Hense metrum dactylo-epitriticum restituit cum scribit *ζωᾶς θανάτοιο τε πείρατα* ‖ **13** Simonidi adscripsit hos versus qui ex eodem florilegio petiit atque Stobaeus Theophilus ad Autolycum II 8; de lemmate vide quae supra ad v. 4 adnotavi ‖ **15** *ἀρετὰν* Theophili codd., *ἀρετὴν* F | post *οὐ πόλις* ex edit. Theoph.

11 *Μενάνδρου* (Com. IV p. 293, fr. 280).

Ἅπαντα σιγῶν ὁ θεὸς ἐξεργάζεται.

12 *Κλεάνθους.* [30]

Κύδιστ' ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεί,
Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν,
χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾶν.
ἐκ σοῦ γὰρ γένος ἐσμέν, † ἴχου μίμημα λαχόντες
μοῦνοι, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν·
τῷ σε καθυμνήσω καὶ σὸν κράτος αἰὲν ἀείδω.
σοὶ δὴ πᾶς ὅδε κόσμος, ἑλισσόμενος περὶ γαῖαν,
πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται·
τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν
ἀμφήκη, πυρόεντ', αἰειζώοντα κεραυνόν·
τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ' ἐρρίγα⟨σιν⟩·
ᾧ σὺ κατευθύνεις κοινὸν λόγον, ὃς διὰ πάντων

Heeren interpolavit *οὕτις*, quod etiam illius codd. ignorant | *βροτός* om. F (in quo spatium 8 litt.), add. Theoph.

1 et **3** de lemmate vide supra ad p. 24, 3 adnotata | tractarunt Cleanthis hymnum post Fulv. Ursinum, qui in *carm. illust. fem.* (1568) p. 272 ex ipso F primus eum edidit, praeter ceteros Scaliger in Stephani libro '*ποίησις φιλόσοφος*' p. 217, Brunckius gnom. poet. Gr. 1784 p. 141 sq., singulari libello Chr. Petersen 1829 et cum Sturzio Merzdorfius 1835, quibus ipse accessi in ind. schol. hib. Gotting. a. 1874/5 'comm. II de Zenone et Cleanthe' p. 17 sq. ‖ **4** *κύδιστε* F ‖ **5** *Ζεὶς* F: corr. Brunck ‖ **6** *πᾶσι* F: corr. Scaliger ‖ **7** *γενόμεσθα* Meineke | *ἴχου*] *λόγου* Meineke, *ὅλου* Bergk (ind. schol. aest. Hal. 1861 p. III), *ὑδῆς* (coll. *ὑδεῖν* sim.) Usener, 'cum appareat *ἴχου* ex glossemate natum esse'; *νοῦ σοῦ* vel *ἃ δὴ σοῦ* olim conieceram | *μίμημα* F: fort. *τίμημα* coll. p. 27, 1 scribendum (i. e. linguae honorem, de sermone enim humano dicit poeta); *τμῆμα* olim conieceram coll. Zellero phil. Gr. III 1 p. 184 n. 2 ed. alt. ‖ **8** *μοῦνοι* F ‖ **9** *ἀίδω* F: *ἀείσω* vulgo ‖ **10** *δὲ* F: *δὴ* Scaliger | *ἑλισσόμενος* F ‖ **11** *σοῖο* F: corr. Ursinus ‖ **12** *ἔχοις* F | *ὑπὸ ἔργον* F | *ὑπὸ* (ante *χερσὶν*) F: *ἐνὶ* Brunck, *μετὰ* Meineke ‖ **13** *πυρόεντα ἀειζώοντα* F: correxi ‖ **14** *πληγῆς* F: corr. Brunck | *ἔρηγα* F in quo postea spatium 10 litt.: *ἐρρίγασιν* Ursinus; num fuit *Ζεῦ, πάντ' ἔρριγεν*? ‖ ante **15** lacunam olim signaveram, sed *ᾧ* ad *κεραυνον* recte referri demonstravit Hirzel, *Unters. z. Cic. phil. Schr.* II p. 118 n. 1 | *κατευθυνεῖς* F: corr. Brunck | *λόγον κοινὸν* F: corr. Ursinus | post *διὰ πάντων* in F spatium 6 fere litt.

φοιτᾷ, μιγνύμενος μεγάλοις μικροῖς τε φάεσσι
. . . . . .
ὡς τόσσος γεγαὰς ὕπατος βασιλεὺς διὰ παντός,
[32] οἰδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῖ δίχα, δαῖμον,
οὔτε κατ' αἰθέριον θεῖον πόλον οὔτ' ἐνὶ πόντῳ.
πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις·
ἀλλὰ σὺ καὶ τὰ περισσά ⟨τ'⟩ ἐπίστασαι ἄρτια θεῖναι.
καὶ κοσμεῖν τἄκοσμα καὶ οὐ φίλα σοὶ φίλα ἐστίν.
ὧδε γὰρ εἰς ἓν πάντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,
ὥσθ' ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα,
ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσι,
δύσμοροι, οἵ τ' ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες
οὔτ' ἐσορῶσι θεοῦ κοινὸν νόμον οὔτε κλύουσιν,
ᾧ κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν.
αὐτοὶ δ' αὖθ' ὁρμῶσιν ἄνοι κακὸν ἄλλος ἐπ' ἄλλο,
οἱ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες,
οἱ δ' ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ,
ἄλλοι δ' εἰς ἄνεσιν καὶ σώματος ἡδέα ἔργα
. . . . . ἐπ' ἄλλοτεν ἄλλα φέρονται,
σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι.
ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφές, ἀργικέραυνε,
[34] ἀνθρώπους ⟨μὲν⟩ ῥύου ἀπειροσύνης ἀπὸ λυγρῆς,
ἣν σύ, πατήρ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι
γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς,

---

1 *μεγάλων μικροῖσι* F: *μεγάλοις μικροῖς τε* Brunck | *φά' ἐσσί* F, in quo postea intervallum 8 litt. || **2** lacunam signavit Meineke || **3** *ὡς* F: *ὅς* Ursinus, *ὣς* Petersen | post *διὰ παντὸς* lacunam signavit Brunck || **4** *δαῖμον* F || **5** *ἐπὶ* F: *ἐνὶ* Brunck || **6** *σφετέραισιν* F || **7** *τ'* add. Sauppe || **8** *τὰ ἄκοσμα* F: corr. Sauppe || **9** *πάντα* F: *ἅπαντα* Brunck || **10** *λόγων* F: corr. Ursinus | *ἐόντων* F: corr. Brunck || **13** *οἵτ' ἐκλίουσιν* F || **14** *οἵ κεν* F: corr. Ursinus || **15** *αὖθ'* F | *ἄνευ* F: *ἄνοι* scripsi ut oppositum sit verbis *σὺν νῷ* (v. 14) | *κακοῦ* F: corr. Sauppe, *καλοῦ* Ursinus | *ἄλλα* F: corr. Sauppe || **19** initio in F spatium 16 litt., quod variis modis explevere: alii totum v. ut glossemate ortum delent | *ἄλλοτε δ'* F: *ἄλλοτεν* Usener coll. ann. phil. 1878 p. 62 sqq., *ἄλλοτέ γ'* Heeren | *φέροντες* F: corr. Meineke || **20** *γενέσθαι*] num *πένεσθαι*? || **21** *ἀρχικέραυνε* F: corr. Meineke || **22** *μὲν* add. Scaliger; *εἴρυσσαι* maluit Petersen || **24** *ᾗ* F: corr. Ursinus

ὅφρ᾽ ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ,
ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκές, ὡς ἐπέοικε
θνητὸν ἐόντ᾽, ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον,
οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.

13[a] ⟨Tragici ignoti (fr. adesp. 396 N.).⟩
Θεοῦ θέλοντος εὖ τὰ πάντα γίγνεται.

13[b] ⟨Tragici ignoti (fr. adesp. 397 N.).⟩
Τί δ᾽ οὐ γένοιτ᾽ ἂν θεοῦ ⟨γ᾽⟩ ἐφιέντος τύχῃ;

13[c] ⟨*Σοφοκλέους* (Ai. 383).⟩
Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κἀδύρεται.

13[d] ⟨Poetae ignoti.⟩
Γεννᾷ τὸ θεῖον εὐτυχῆ δωρήματα.

13[e] ⟨Tragici ignoti (fr. adesp. 398 N.).⟩
Ζεὺς ἔσθ᾽ ὁ πέμπων τὴν ἐφήμερον τροφήν.

13[f] ⟨Tragici ignoti (fr. adesp. 399 N.).⟩
Ἄνευ θεοῦ γὰρ οὐδὲ εἷς ἀνὴρ σθένει.

13[g] ⟨Tragici ignoti (fr. adesp. 400 N.).⟩
Θείᾳ προνοίᾳ πάντ᾽ ἐγέννησεν φύσις. [36]

13[h] ⟨Poetae ignoti.⟩
Θεὸς μόνος πέφυκεν ἐν βροτοῖς μέγας.

14 ⟨*Ὁμήρου* (ρ΄ 485—487).⟩
Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι
παντοῖοί τ᾽ ἐλθόντες ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.

---

1 *ἀμειβώμεθα* F ‖ **3** *ἐόντα* F | *οὔτοι* F: *οὔτε* Cudworth, *the true intell. systeme* 1678 p. 433, *οὔτι* Stephanus | *ἄλλοτε* F: *ἄλλο τι* Brunck ‖ **6** *μετὰ* F: *εὖ τὰ* Heimsöth ind. lect. aest. Bonn. 1867 p. XX, *ἔργματα* vel *ἔργα* Iacobs ep. crit. p. 226, *ἀνυτὰ* Nauck, *μέγαλα* vel *κεδνὰ* Meineke, *εὐκτὰ* Weber in phil. XXIX p. 468 ‖ **7** hic in F interpositi sunt tres Homerici versus quos rectius infra v. 22—24 posuit Heeren ‖ **8** *γ᾽* add. Nauck | *τύχῃ* F: corr. Gaisford, *τύχην* Heeren ‖ **10** *κἀδύρεται* Soph. Laur., *κἀδύρεται* F ‖ **11** tragici videtur, deest tamen apud Nauckium ‖ **12** *εὐτυχῆ*] an *οὐ τύχῃ*? ‖ **16** *οὐδ᾽ ἂν εἷς ἀνὴρ σθένοι* vel *οὐδὲν ἄνθρωπος σθένει* Meineke ‖ **18** *ἐγέννησεν* F ‖ **22** *τε* Hom., *σε* F ‖ **23** *τ᾽ ἐλθόντες*] *τελέθοντες* Hom. | *ἐπιστραφῶσι πόλιας* F ‖ **24** *εὐφορῶντες* F

15 ⟨Ὁμήρου (σ 135. 136).⟩

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.

16 ⟨Poetae ignoti.⟩

Πάντῃ πάρεστι καὶ βλέπει πάντῃ θεός.

17 ⟨*Εὐριπίδου* (fr. inc. 1014 N.).⟩

Θεοῦ γὰρ οὐδεὶς χωρὶς εὐτυχεῖ βροτῶν,
οὐδ' εἰς τὸ μεῖζον ἦλθε, τὰς θνητῶν δ' ἐγὼ
χαίρειν κελεύω θεῶν ἄτερ προμηθίας.

[38] 18 ⟨*Ἀρχιλόχου* (fr. 70 B. [3]).⟩

Τοῖος ἀνθρώποισι θυμός, Γλαῦκε, Λεπτίνεω πάι,
γίνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐφ' ἡμέρην ἄγῃ.

19 ⟨*Εὐριπίδου Θυέστῃ* (fr. 401 N.).⟩

Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.

20 ⟨Tragici ignoti (fr. adesp. 401, 1 N.).⟩

Θνητοῖσιν ἀνθρώποισι καταφυγὴ θεοί.

21 ⟨Tragici ignoti (fr. adesp. 401, 2—4 N.).⟩

Καὶ τἀμπλακήματ' ἔρχεται θεὸς μέτα,

---

4 cf. Menandri monost. v. 698 (*πάντῃ γάρ ἐστι* ⟨corrigas *πάρεστι*⟩ *πάντα τε βλέπει θεός*) ‖ **5** *θεὸς βλέπει τὰ πάντα καὶ πάρεστι πανταχοῦ* Valckenaer | *πανταχοῦ πάρεστι* F: *πάντῃ πάρεστι* scripsi | *πάντα* F: *πάντῃ* scripsi, ⟨*τὰ*⟩ *πάντ'* ⟨*ἀεί*⟩ Meineke ‖ **6** Euripidi attribuit primum versum Anthol. Pal. X 107 ‖ **7** *μὲν ἐκτὸς οὐδεὶς* Anth. l. s., *γὰρ ἐκτὸς οὐδεὶς* Lydus de mens. IV 7 et Boisson. An. G. I p. 255, *γὰρ χωρὶς οὐδεὶς* Menandri monost. 250 ‖ **8** *μεῖον* F: corr. Valckenaer ‖ **9** *προθυμίας* F: *προμηθίας* Valckenaer ‖ **10** Archilocho hos versus tribuunt Theo progymn. I p. 153 Walz., Laert. Diog. IX 71, Sext. Empir. adv. mathem. VII 128, alii ‖ **11** *τοῖος* reliqui testes quos vide ap. Bergk., *τοῖς* F ‖ **12** *ὁκοίην* (vel *ὁκεῖον*) reliqui testes, *οἰκοίην* F | *ἐφ'* F, *ἐπ'* Laert. ‖ **13** Thyestae (Euripidis procul dubio) adscribit hunc v. Orion flor. V 6 et Theophil. ad Autol. II 9 — uterque eodem florilegio usus atque Stobaeus, Theophilus inepte poetam 'Thyestem' (in codd. *Θέστιος*) odoratus — Pindaro Plut. Mor. p. 405[B], Menandro monost. 671, Sophocli vel Simonidi nuper viri docti coll. Arist. Pac. 699 ‖ **14** post *θέλοντος* add. Theoph. *σώζῃ* ‖ **18** hunc versum spurium iudicat Nauckius l. s., cum versus duos proximos cum antecedenti cohaerere putet; ego propter tmesin adhibitam Euripideum versum esse crediderim | *θεὸς ἐπὶ* F: *θεὸς μέτα* scripsi, *θεοὶς ἔπι* Iacobs ep. cr. p. 226

ὅθεν λαβόντες οἱ κακῶς πεπραγότες
ἱκετηρίαν ἀπῆλθον ἐκ δυσπραξίας.

22 ⟨Tragici ignoti (fr. adesp. 402 N.).⟩ [40]

Νῦν οὐκέτι μοι δίχα θυμός,
ἀλλὰ σαφὴς ⟨φάτις ἔσθ'⟩, ὅτι πάντα βροτοῖς
Ζεὺς ἐπικάρσια τέμνει,
καθελὼν μὲν δοκέοντ',
ἀδόκητον δ' ἐξαείρων.

23 ⟨Ὀρφέως (fr. VI, 9—42 Hermann. Orph. p. 457).⟩

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος,
Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται·
Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄμβροτος ἔπλετο νύμφη, [42]
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος·
Ζεὺς βασιλεύς, Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος·
ἓν κράτος, εἷς δαίμων γένετο, μέγας ἀρχὸς ἁπάντων·
ἓν ⟨δὲ⟩ δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθήρ, νύξ τε καὶ ἦμαρ·
καὶ Μῆτις, πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής· [44]

---

2 *ἱκετηρίαν* scripsi pro *σωτηρίαν* ‖ **3** Euripideos esse versus probabiliter consociandos cum frg. adesp. 72 N. suspicatur Bergk Lyr. Gr. p. 1361[3] ‖ **4** *οὐκ ἐστι* F: corr. Heeren ‖ **5** *φάτις ἔσθ'* post *σαφὴς* add. Meineke, *λόγος ἔσθ'* add. vel *σάφ' οἶδ'* corr. Bergk | *καὶ τὰ* F: *πάντα* Bücheler et Meineke, *καὶ τἀν* Bergk ed. 2 | *βροτοῖς* F: *βρότεια* Meineke ‖ **8** *ἐπαείρων* Heeren ‖ **9** post Ursinum, qui in *carm. ill. fem.* p. 270 primus hunc hymnum (ex ipso F) edidit, eum praecipue tractarunt Heringa observ. c. II p. 95 et Gesnerus frg. Orph. p. 365 | lemma add. Gaisford; *τὰ Ὀρφικὰ* laudat Arist. de mundo 7 p. 401[a] 27, qui primos quinque et ultimos duos affert versus, *τοὺς τοῦ Ὀρφέως εἰπόντας* Eusebius praep. evang. III 9 p. 100[B] (I p. 215 Gaisf.), qui habet omnes; *τῷ θεολόγῳ* Proclus in Timae. II p. 95[F], qui affert octo primos versus; idem I p. 50[A], II p. 94[B] alias quosdam horum versuum Orpheo tribuit ‖ **10** *ἀργικέραυνος* F ‖ **11** *μέσα* F | *τέτυκται* Arist., *τέτεκται* F ‖ **12** et **13** permutat Aristot., 12 om. Procl. in Tim. l. s. ‖ **13** *πυθμὴν* Arist. Euseb. Procl., *λιμὴν* F ‖ post **13** add. duos versus Aristoteles ‖ **14** *αὐτὸς ἁπάντων* Procl. l. s. Euseb.; *αὐτὸς πάντων* F, *ἀρχὸς ἁπάντων* Arist. | *ἀργικέραυνος* Arist. ‖ **16** *δὲ* om. F., add. Eus. | *ἓν δέμας ἔν* Heringa | *ἓν ᾧ* F | *πάντω* F ‖ **18** *πρῶτος γενέτωρ* Proclus in Tim. II p. 102[E] et III p. 156[A], *πρωτογενέτωρ* F, Euseb. *A* (Paris. optim.)

πάντα γὰρ ἐν Ζηνὸς μεγάλῳ τάδε σώματι κεῖται·
τοῦ δή τοι κεφαλὴ μὲν ἰδεῖν καὶ καλὰ πρόσωπα
οὐρανὸς αἰγλήεις, ὃν χρύσεαι ἀμφὶς ἔθειραι
ἄστρων μαρμαρέων περικαλλέες ἠερέθονται·
ταύρεα δ' ἀμφοτέρωθε δύο χρύσεια κέρατα
ἀντολίη τε δύσις τε, θεῶν ὁδοὶ οὐρανιώνων.
ὄμματα δ' ἠέλιός τε καὶ ἀντιόωσα σελήνη·
οὖς δέ οἱ ἀψευδὲς βασιλήϊον ἄφθιτος αἰθήρ,
ᾧ δὴ πάντα κλύει καὶ φράζεται· οὐδέ τίς ἐστιν
αὐδὴ οὐδ' ἐνοπὴ οὐδὲ κτύπος οὐδὲ μὲν ὅσσα,
ἣ λήθει Διὸς οὖας ὑπερμενέος Κρονίωνος.
ὧδε μὲν ἀθανάτην κεφαλὴν ἔχει ἠδὲ νόημα·
σῶμα δέ οἱ περιφεγγές, ἀπείριτον, ἀστυφέλικτον,
ἄτρομον, ὀβριμόγυιον, ὑπερμενὲς ὧδε τέτυκται·
ὤμοι μὲν καὶ στέρνα καὶ εὐρέα νῶτα θεοῖο
ἀὴρ εὐρυβίης, πτέρυγες δέ οἱ ἐξεφύοντο,
[46] τῆς ἐπὶ πάντα ποτᾶθ', ἱερὴ δέ οἱ ἔπλετο νηδὺς
γαῖά τε παμμήτωρ ὀρέων τ' αἰπεινὰ κάρηνα,
μέσση δὲ ζώνη βαρυηχέος οἶδμα θαλάσσης
καὶ πόντου· πυμάτη δὲ βάσις χθονὸς ἔνδοθι ῥίζαι,
τάρταρά τ' εὐρώεντα καὶ ἔσχατα πείρατα γαίης.

---

1 *μεγάλου* Procl. in Tim. II p. 94^{B} | *σώματι* Eus., *σώματα* F, *δώματι* Procl. ‖ **2** *τοῦ δή τοι κεφαλὴν* Euseb., *τοῦ δ' ἤτοι κεφαλὴ* Procl. in Tim. I p. 50^{A}, *τοῦ δὴ τὸ κεφαλὴν* F ‖ **3** *χρύσιαι αἰμφὶς αἴθαιραι* F ‖ **4** *ἠερέθονται* Euseb., *ἠγερέθεντο* F ‖ **5** *ταύρια* F | *ἀμφοτέρωθεν* F ‖ **6** *ἀντολίη τε* Euseb., *ἀντολίη δὲ* F ‖ **7** *ἠέλιος* F | *ἀνταυγοῖσα* Heringa ‖ **8** *νοῦς* F et Procl. in Tim. III p. 164^{C}: *οὖς* Heringa | *οἱ* om. F, Euseb., add. Procl. | *ἀψευδὲς βασιλήιον* corr. Heringa pro *ἀψευδὴς βασιλήιος* ‖ **9** *κλύει* F, *κυκλεῖ* Euseb. ‖ **10** *οὔτ' ἐνοπὴ* Euseb. | *οὐδ' αὖ κτύπος* Procl., *οὔτε κτύπος* Euseb. | *οὐδὲ μὲν ὅσσα* Procl., *οὐδὲν· οὐ μένος* F, *οὔτε μὲν ὅσσα* Euseb. ‖ **11** *ἣ* om. F, add. Procl. l. s. (*ἠλίθιος* Euseb. *A*) ‖ **12** *ἔχει ἠδὲ νόημα* Euseb., *ἔχειν. ἠδ' ἐνι· σῆμα* F: *ἔχει ηδ' ἐπίσημον* Heringa ‖ **13** *σῶμα* Euseb. et Procl. in Tim. III p. 153^{A}, *σῆμα* F | *πυριφεγγὲς* Procl. ‖ **14** *ὀβριμόγυιον* Euseb., *ὁμβρίγυιον* F | *τέτυκται* Euseb. *CFGH*, *τετύχθαι* F ‖ **16** *δὲ οἰεξεφύοντο* F ‖ **17** *τῆς* Euseb., *τῇ* F | *ποτᾶθ'* Euseb., *ποτᾶται* F ‖ **18** *παμμήτειρα* Euseb. ‖ **19** *βαθυηχέος* Procl. in Tim. III p. 155^{A} ‖ **20** *ῥίζαι* Euseb., *ῥῆξαι* F

πάντα δ' ἀποκρύψας αὖθις φάος ἐς πολυγηθὲς
μέλλεν ἀπὸ κραδίης προφέρειν πάλι θέσκελα ῥέζων.

. . . . . .

24 ⟨Philosophi incerti.⟩

Τί πότ' ἐστὶ θεός; νοῦς. τί δὲ νοῦς ἐστι; φρόνησις. Ζῆνα δὲ σὺ νόμιζε τοῦτον, ὅθεν ἔχομεν ἀεὶ ⟨τὸ⟩ ζῆν.

25 *Πορφυρίου ἐκ τοῦ Περὶ ἀγαλμάτων.*

Ζεὺς οὖν ὁ πᾶς κόσμος, ζῷον ἐκ ζῴων καὶ θεὸς ἐκ p. 1 Cant.
θεῶν. Ζεὺς δὲ καὶ ⟨ὁ θεός⟩, καθὸ νοῦς ἀφ' οὗ προφέρεται πάντα, ὅτι δημιουργεῖ τοῖς νοήμασιν.

26 *Χρυσίππου.* [48]

Ζεὺς μὲν οὖν φαίνεται ὠνομάσθαι ἀπὸ τοῦ πᾶσι δεδωκέναι τὸ ζῆν. Δία δὲ αὐτὸν λέγουσιν, ὅτι πάντων ἐστὶν αἴτιος καὶ δι' αὐτὸν πάντα.

27 *Πλάτωνος ἐκ τοῦ Κρατύλου* (p. 396ᴬ).

Οἱ μὲν γὰρ Ζῆνα, οἱ δὲ Δία καλοῦσι· συντιθέμενα δὲ εἰς ἓν δηλοῖ τὴν φύσιν τοῦ θεοῦ, ὃ δὴ προσήκειν φαμὲν ὀνόματι οἵῳ τε εἶναι ἀπεργάζεσθαι. οὐ γὰρ ἔστιν ἡμῖν καὶ τοῖς ἄλλοις πᾶσιν, ὅστις ἐστὶν αἴτιος μᾶλλον τοῦ ζῆν ἢ ὁ ἄρχων τε καὶ βασιλεὺς τῶν πάντων.

---

1 *πάντα δ' ἀποκρύψας* Eus., *πάντα δα . . . .* (lac. 4 litt.) *κρύψας* F, *πάντας γὰρ κρύψας* Arist. et Clem. Alex. strom. V 10 p. 722, 23, *πάντα τάδε κρύψας* Procl. in Tim. II p. 64ᴬ ‖ **2** *ἐξ ἱερῆς κραδίης ἀνενέγκατο μέρμερα ῥέζων* Arist. Clem. | *μέλλεν* F Procl. in Tim. II p. 99ᴬ, *ἔμελλεν* Procl. in Tim. II p. 64ᴬ, *μέλλει* Eus. | *πάλαι θέσκελα* F, *πάλιν θέσκελα* Procl. in Tim. II p. 64ᴬ, *παλιθέσκελα* Eus. Procl. in Tim. II p. 99ᴬ ‖ **4** titulo caret ecloga, quam primum philosopho Neoplatonico, dein (Corrig. p. 241) tragico adscripsit Heeren duos mensus senarios ‖ **5** *νοῦς· τί δὲ νοῦς φρόνησις ἐστιν* F: *νοῦς. τί δὲ νοῦς ἐστι; φρόνησις* scripsi, *νοῦς, φρόνησίς ἐστι* edit. ‖ **6** *τοῦτο* F: corr. Heeren | *τὸ* om. F: add. Heeren ‖ **7** hanc eclogam item Porphyrio tribuit Euseb. praep. ev. III 9 p. 101ᶜ et 102ᴰ ‖ **8** inde a *Ζεὺς* incipit P f. 1ʳ ‖ **9** *καὶ καθὸ* FP, *καθὸ* Eus.: *καὶ ⟨ὁ θεὸς⟩ καθὸ* scripsi | *προφέρεται* scripsi pro *προφέρει* ‖ **10** *ὅτι] καὶ* Eus. ‖ **11** inter Arii Didymi frgta recepit Diels doxogr. p. 465, 12 | *χρυσίππου* hab. F mrg, om. P ‖ **12** F mrg rubr. add. *Ζεύς* ‖ **15** lemma habet F mrg rubr. sed ante proximam ecl., om. P ‖ **18** *ὀνόματι οἵῳ* Plat., *ὄνομα τῷ οἵῳ* FP ‖ **20** *βασιλεύων* P | post *πάντων* spatium 10 litt. in F

28 ⟨Platonici incerti.⟩

Φημὶ κατ' ἀμφοτέρων λέγεσθαι τοῦ θεοῦ τὸ ὄνομα
[50] *τοῦ τε δημιουργοῦ καὶ τοῦ κόσμου. Καί μοι δοκῶ πρῶτα κατὰ νόμους τοὺς ἐμαυτοῦ Πλάτωνι χρήσεσθαι μάρτυρι τῆς τοιαύτης δόξης. Πλάτων γάρ τοι καὶ αὐτὸς Δία μὲν καλεῖ τὸν δημιουργὸν τῶν ἁπάντων, θεὸν δὲ καὶ τόνδε τὸν κόσμον. Τὸν μὲν δημιουργὸν τρόπῳ τοιῷδε· ἐπειδὰν ἐν Φαίδρῳ* (c. 26 p. 246E) *περὶ τῆς τοῦ παντὸς φορᾶς διαλέγηται, τάδε φησὶ περὶ τοῦ μεγάλου Διός· „Ὁ δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεύς, ἐλαύνων πτηνὸν ἅρμα, πρῶτος πορεύεται, διακοσμῶν πάντα καὶ ἐπιμελούμενος· ⟨τῷ δ' ἕπεται στρατιὰ θεῶν τε καὶ δαιμόνων⟩.“ Οἶμαι σαφῆς ἐν τούτοις ὑπάρχει μνημονεύσας τοῦ ποιητοῦ τῶν ἁπάντων· καὶ γὰρ ἀνέθηκεν αὐτῷ τὴν ἀκολουθίαν τῶν περὶ τὸν κόσμον θεῶν· ἔφη γοῦν ἕπεσθαι τῇ ἐκείνου προνοίᾳ τοὺς στρατιώτας θεούς· στρατιώτας δὲ ἐκάλεσε τοὺς τῇδε θεούς, οἳ τοῖδε τοῦ πολέμου τῆς γενέσεως στρατηγοῦσιν. Ὁμοίως Ὀνάτας ὁ Πυθαγόρειος ἐπεμνήσθη τοῦ τε δημιουργοῦ καὶ τῶν ἑπομένων τούτῳ θεῶν, λέγων οὕτως· „τοὶ δ' ἄλλοι θεοὶ ποτὶ τὸν πρᾶτον θεὸν καὶ νοατὸν οὕτως ἔχοντι, ὥσπερ χορευταὶ ποτὶ κορυφαῖον καὶ στρατιῶται ποτὶ στραταγόν.“ Κατὰ*
[52] *ταὐτὰ δὲ Πλάτων ἀμφοτέρων ἐπεμνήσθη ἐν τῇ πρὸς Ἑρμείαν καὶ Κορίσκον ἐπιστολῇ* (6 p. 323D)· *τὸν γὰρ*

---

1 Porphyrio tribuit hoc frg. Heeren; sed stilus a Porphyriano abhorret; Iamblichum cogitat Usener ‖ **2** *τῶν θεῶν* FP: *τοῦ θεοῦ* Heeren, *τοῦ πρώτου* add. Hense ‖ **3** *τοῦτο* FP: *τοῦ τε* cod. Aug. | post *κόσμου* add. *Διός* FP, quod delet Heeren aut praemisso *τὸ* servat ‖ **4** *χρήσεσθαι* F, *χρῆσθαι* P ‖ **5. 6** F mrg rubr. add. *Δία δημιουργὸν* ‖ **6** *θεὸν* scripsi pro *Δία* ‖ **7** *τὸν δὲ δημιουργὸν* P | *τῶδε* P ‖ **8** *περὶ τοῦ τοῦ* F ‖ **8. 9** *διαλέγεται* P ‖ **10** *πρηνὸν* P1 ‖ **11** verba ultima Platonis *τῷ* usque ad *δαιμόνων* (12) addidi Meinekio duce ‖ **13** ante *τῶν* add. *τοῦ* P1, del. P2 ‖ **14** *περὶ τὸν κόσμον* scripsi pro *πρὸ τοῦ κόσμου* ‖ **17** *οὖν ἅτας* F, *οὖν* ..... P (sic!): *Ὀνάτας* Heeren Cantero duce; vide Onatae verba infra h. c. ecl. 39 ‖ **20** *πρᾶτον* infra l. s. F, *πρῶτον* hic FP | *χορευτὰ* P ‖ **21** *κορυφὴν* P | *στρατιῶτα* P | *στραταγὸν* infra FP, *στρατηγὸν* hic FP ‖ **22** *ταὐτὰ* corr. Spengel in Monac. doct. nunt. XXXI p. 245 pro *ταῦτα* | *οὐδὲ* (post *ταῦτα*) FP1, *ὁ δὲ* P2: *δὲ* Spengel | F mrg add. *πλάτων*

δημιουργὸν ἡγεμόνα πάντων τῶν θεῶν εἶπε, τῶν τε ὄντων καὶ τῶν μελλόντων. Μέλλοντας δὲ ἴσμεν θεοὺς τοὺς ἀεὶ γενητούς, τουτέστι συναπτομένους ποτὲ σώμασι. Ἐν δὲ τῷ Τιμαίῳ (c. 8 p. 34[A]) *χωρίσας τοῦ πλήθους τοὺς θεοὺς ἐνικῶς διὰ τοῦ οἰκητηρίου τοῦ κόσμου τοὺς πάντας ὠνόμασεν· „οὗτος“ γὰρ ἔφη, „ὄντος ἀεὶ λογισμὸς θεοῦ περὶ τὸν ποτὲ ἐσόμενον θεόν“· δῆλος γὰρ ὁ μὲν λογιζόμενος θεὸς ὁ δημιουργὸς ὤν, ὁ δὲ ἐσόμενος καὶ γιγνόμενος αἰεὶ ὁ κόσμος λεγόμενος. Ὡσαύτως δὲ καὶ Ὅμηρος* (*A* 423 sqq.)·

Ζεὺς γὰρ ἐπ᾽ ὠκεανὸν μετ᾽ ἀμύμονας Αἰθιοπῆας
χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ δ᾽ ἅμα πάντες ἕποντο.
δωδεκάτῃ δέ τοι αὖθις ἐλεύσεται οὐλυμπόνδε.

Περὶ τοῦ κατὰ τὸν κόσμον Διὸς ταυτὶ λέλεκται· οἵ τε γὰρ θεοὶ ἅμα πάντες εἵποντο, τὸ δὲ πλῆθος τῶν θεῶν ἔργον ἐστὶ τοῦ δημιουργοῦ ἅμα τῷ κόσμῳ γενόμενον. Ὁπόταν δὲ εἰς τὸν Ὄλυμπον ἀφίκωνται, δηλοῦσι καὶ τὴν διαφοράν, p. 2 C. *ἑτέρου λεγομένου Διὸς τοῦ κεχωρισμένου τῶν θεῶν. Ἡ* [54] *γοῦν Θέτις εἰς μὲν τὸν Ὄλυμπον ἦκε (χρῆν γὰρ τὴν ποίησιν ἐκτελεῖν τὸ μύθευμα)·*

εὗρε δὲ εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο (*A* 498 sq.).

Τὴν μέντοι δωδεκάτην ἀκουστέον τῆς ἐπανόδου τῶν θεῶν, ὁπόταν ὑπερβάντες τὰ δώδεκα ζῴδια ἐπὶ τῷ νώτῳ γένωνται τοῦ οὐρανοῦ, στάντας δὲ αὐτοὺς ἐκεῖσε περιάγῃ ἡ περιφορά· λόγος γὰρ ὁ αὐτὸς ψυχῶν καὶ θεῶν.

---

1 F mrg add. ὁ ΔΗΜΙΟΥΡΓΟΣ ‖ **2. 3** *ἀεὶ γενητοὺς* scripsi pro *ἀειγενεῖς* ‖ **3** *συναψομένους* Meineke | *σώματι* P ‖ **4** *τοὺς ⟨τοιούτους⟩ θεοὺς* Usener ‖ **5** *οἰκῇ* F, *οἰκῇ* P: *οἰκητηρίου* Usener, *οἰκίστορος* Meineke qui maluit *κτίστορος* ‖ **6** *οὗτος* Plat., *οὕτως* FP | *ὄντος* Plat. et Platonici (cf. Procl. p. 169, 6 ab inf.), *ὄντως* FP ‖ **9** *λεγόμενος* om. P ‖ **10** F mrg add. *ὅμηρος* | *ἐπ᾽* Hom., *ἐς* FP ‖ **11** *ἕπηντο* F ‖ **12** *τοι* om. P[1], add. P[2] | *ὄλυμπόνδε* FP ‖ **14** *ἕποντο* P | *τό τε* Meineke ‖ **16** *καὶ* corr. Meineke pro *κατὰ* ‖ **17** *λεγόμενον* Heeren ‖ **17. 18** *ἡ γοῦν* P[2], *ἤγουν* FP[1] ‖ **18** *χρῆν* P, *χρὴν* F ‖ **20** *δ᾽* FP ‖ **21** *ὀλύμποιο* FP ‖ **22** *τῆς ἐπανόδου τῶν θεῶν* FP ‖ **23—25** spectant ad Plat. Phaedr. p. 247 C ‖ **24** *εἰκεῖσε* F | *περιάγῃ* FP: *περιάγει* edit.

29ª *Θαλῆς ἐρωτηθείς, Τί πρεσβύτατων τῶν ὄντων; ἀπεκρίνατο· Θεός, ἀγέννητον γάρ.*

Σωκράτης ἐρωτηθείς, Τί θεός; εἶπε· Τὸ ἀθάνατον καὶ ἀίδιον.

Ἑρμῆς ἐρωτηθείς, Τί θεός; εἶπεν· Ὁ τῶν ὅλων δημιουργός, σοφώτατος νοῦς καὶ ἀίδιος.

29ᵇ ⟨Aetii plac. (I 7, 11—34 p. 301 sq. Diels.)⟩

[56] *Θαλῆς νοῦν τοῦ κόσμου τὸν θεόν, τὸ δὲ πᾶν ἔμψυχον ἅμα καὶ δαιμόνων πλῆρες· διήκειν δὲ καὶ διὰ τοῦ στοιχειώδους ὑγροῦ δύναμιν θείαν κινητικὴν αὐτοῦ.*

Ἀναξίμανδρος ἀπεφήνατο τοὺς ἀπείρους οὐρανοὺς θεούς.

Ἀναξιμένης τὸν ἀέρα. δεῖ δ' ὑπακούειν ἐπὶ τῶν οὕτως λεγομένων τὰς ἐνδιηκούσας τοῖς στοιχείοις ἢ τοῖς σώμασι δυνάμεις.

Ἀρχέλαος ἀέρα καὶ νοῦν τὸν θεόν, οὐ μέντοι κοσμοποιὸν τὸν νοῦν.

Ἀναξαγόρας νοῦν κοσμοποιὸν τὸν θεόν.

Δημόκριτος νοῦν τὸν θεὸν ἐν πυρὶ σφαιροειδεῖ.

[58] *Διογένης καὶ Κλεάνθης καὶ Οἰνοπίδης τὴν τοῦ κόσμου ψυχήν.*

Πυθαγόρας τῶν ἀρχῶν τὴν μὲν μονάδα θεὸν καὶ τἀγαθόν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις καὶ αὐτὸς ὁ νοῦς, τὴν ⟨δ'⟩ ἀόριστον δυάδα ⟨δαίμονα⟩ καὶ τὸ κακόν, περὶ ἣν ἐστι τὸ ὑλικὸν πλῆθος.

Ποσειδώνιος πνεῦμα νοερὸν καὶ πυρώδες, οὐκ ἔχον

---

1 cf. Plut. conv. sept. sap. c. 9 p. 153 ‖ **10** *στοιχειώδους* FP², *τριχειώδους* P¹ ‖ **13** *δεῖ δ'* FP, *χρὴ* sprscr. F² ‖ **14** *ἐνδιηκούσας* P, *ἐνδιοικούσας* F ‖ **18** *κοσμοποιὸν* etiam P ‖ **19** *δημόκριτος* FP², *δημόκρατος* P¹ ‖ **22** F mrg add. virid. col. *σῆ, πυθαγορω* | *μὲν* del. Diels ‖ **23** *τἀγαθὸν* P, *ἀγαθὸν* F | *ἑνὸς* ex Plut. plac. ph. I 7 corr. Meineke pro *νοὸς* | *αὐτὸς ὁ νοῦς καὶ* F, *ὁ αὐτὸς ὁ νοῦς καὶ* P: *καὶ αὐτὸς ὁ νοῦς* scripsi ‖ **24** *δ'* addidi cum Plut. | *ἀόριστον* etiam P | *δαίμονα* add. Heeren ex Plut.

μὲν μορφήν, μεταβάλλον δὲ εἰς ὃ βούλεται καὶ συνεξομοιούμενον πᾶσιν.

Σπεύσιππος τὸν νοῦν οὔτε τῷ ἑνὶ οὔτε τῷ ἀγαθῷ τὸν αὐτόν, ἰδιοφυῆ δέ.

Κριτόλαος καὶ Διόδωρος ὁ Τύριος νοῦν ἀπ' αἰθέρος ἀπαθοῦς.

Ἡράκλειτος τὸ περιοδικὸν πῦρ ἀίδιον, εἱμαρμένην [60]
δὲ λόγον ἐκ τῆς ἐναντιοδρομίας δημιουργὸν τῶν ὄντων.

Ζήνων ὁ Στωικὸς νοῦν κόσμου πύρινον.

Μνήσαρχος τὸν κόσμον, τὴν πρώτην οὐσίαν ἔχοντα ἀπὸ πνεύματος.

Βόηθος τὸν αἰθέρα θεὸν ἀπεφήνατο.

Παρμενίδης τὸ ἀκίνητον καὶ πεπερασμένον σφαιροειδές.

Μέλισσος καὶ Ζήνων τὸ ἓν καὶ πᾶν καὶ μόνον ἀίδιον καὶ ἄπειρον.

⟨Ἐμπεδοκλῆς τὸν σφαῖρον καὶ⟩ τὸ ἕν, καὶ τὸ μὲν p. 5, 2 C.
ἓν τὴν ἀνάγκην, ὕλην δὲ αὐτοῦ τὰ τέσσαρα στοιχεῖα, εἴδη

---

1. 2 *συνεξομοιούμενος* P ‖ **3** *Πεύσιππος* F (*Π* rubr.) ‖ **4** supra *αὐτὸν* sprscr. *θεὸν* F² ‖ **5** ante *Κριτολάου* add. FP *κριτολάου καὶ διοδώρου* ‖ **7** ante *Ἡράκλειτος* add. P *ἡρακλείτου* | supra *εἱμαρμένην* F² sprscr. *μοῖρα* ‖ **9** ante *Ζήνων* add. *ζήνωνος* P, idem add. F mrg | *κόσμον* FP: corr. Krische theol. p. 378 ‖ **10** ante *Μνήσαρχος* add. FP *μνησάρχου* ‖ **11** *ἀπὸ* corr. Meineke pro *ἐπὶ* ‖ **12** *βοηθὸς* P¹ | *αἰθέρα θεὸν* etiam P ‖ **13** F mrg add. *παρμενίδης* ‖ **15** ante *Μέλισσος* add. FP *Μελίσσου καὶ ζήνωνος* | supra *ἓν* sprscr. *ᾱ* F² ‖ **17** *Ἐμπεδοκλῆς τὸν σφαῖρον καὶ* addidi coll. Elter. de Stob. cod. Phot. p. 12 et Aristot. de gen. et int. I 1 p. 315ª 6 et Simplic. Phys. 42ª (*Ἐμπεδοκλῆς* pro *ὕλην δὲ αὐτῆς* [18] coni. Heeren, ante *ὕλην* [18] add. Sturz, Empedocl. p. 168, ante *τὸ μὲν ἓν* [18] Krische theol. p. 123); *Ἐμπεδοκλῆς σφαιροειδῆ καὶ ἀίδιον καὶ ἀκίνητον τὸ ἕν* post *ἄπειρον τὸ ἕν* add. Diels mus. Rhen. XXXVI p. 345 | usque ad *τὸ μὲν ἓν* (18) P f. 3ʳ med., qui transit temere ad verba Aristoxeni supra in prooemii coroll. ecl. 6 p. 20, 3 posita *τὴν δὲ περὶ τοὺς ἀριθμοὺς κτλ.*, idcirco m. rec. mrg adscripsit *λεῖ* (cf. *Studia* p. 64); at verba quae secuntur *τὴν ἀνάγκην κτλ.* (18) scripta sunt in P f. 6ᵛ ‖ **18** *αὐτῆς* FP: *αὐτοῦ* scripsi, *αὐτὰ* Heeren | *τέσσαρα*] *δ* FP

δὲ τὸ νεῖκος καὶ τὴν φιλίαν. Λέγει δὲ καὶ τὰ στοιχεῖα θεοὺς καὶ τὸ μῖγμα τούτων τὸν κόσμον καὶ προστανα-
[62] λυθήσεται τὸ μονοειδές· καὶ θείας μὲν οἴεται τὰς ψυχάς, θείους δὲ καὶ τοὺς μετέχοντας αὐτῶν καθαροὺς καθαρῶς.

Πολέμων τὸν κόσμον θεὸν ἀπεφήνατο.

Ξενοκράτης Ἀγαθήνορος Καλχηδόνιος τὴν μονάδα καὶ τὴν δυάδα θεούς, τὴν μὲν ὡς ἄρρενα πατρὸς ἔχουσαν τάξιν, ἐν οὐρανῷ βασιλεύουσαν, ἥντινα προσαγορεύει καὶ Ζῆνα καὶ περιττὸν καὶ νοῦν, ὅστις ἐστὶν αὐτῷ πρῶτος θεός· τὴν δὲ ὡς θήλειαν μητρὸς θεῶν δίκην, τῆς ὑπὸ τὸν οὐρανὸν λήξεως ἡγουμένην, ἥτις ἐστὶν αὐτῷ ψυχὴ τοῦ παντός. Θεὸν δ' εἶναι καὶ τὸν οὐρανὸν καὶ τοὺς ἀστέρας πυρώδεις Ὀλυμπίους θεούς, καὶ ἑτέρους ὑποσελήνους δαίμονας ἀοράτους. Ἀρέσκει δὲ καὶ αὐτῷ . . . καὶ ἐνδιήκειν τοῖς ὑλικοῖς στοιχείοις. Τούτων δὲ τὴν μὲν ⟨διὰ τοῦ ἀέρος προσγείου⟩ Ἄιδην προσαγορεύει, τὴν δὲ διὰ τοῦ ὑγροῦ

---

1 φιλίαν sprscr. P², φιλονεικίαν F, φινεικίαν P¹ ‖ **2** ἀθεοῦς Cant. | κόσμου P ‖ **2. 3** καὶ προσταναλυθήσεται τὸ F, καὶ προστανλυθήσεται τὸ P; καὶ πρὸς ταῦτα ἀναλυθήσεται coni. Vatic.: ⟨ὅς⟩ καί ποτε ἀναλυθήσεται ⟨ἐς⟩ τὸ scripserim (similiter Sturz), καὶ εἰς ὃ ταῦτα ἀναλυθήσεται τὸ Karsten Emped. p. 527, καὶ πρὸς ταῦτα ἀναλυθήσεσθαι εἰς τὸ Krische, theol. p. 124 n., καὶ πρότερον, ἐς ὃ καὶ ἀναλυθήσεται, τὸ Usener; plura intercidisse videntur Dilesio ‖ **3** πολυειδές Heeren, ὁμοειδές Meineke | supra οἴεται sprscr. F² νομίζει ‖ **4** δὲ καὶ etiam P | τοὺς μετέχον P | supra αὐτῶν sprscr. τῶν ψυχῶν F² ‖ **5** F mrg add. πολέμωνος ‖ **6** καλχηδόνιος P², καλχηδόνιος FP¹ ‖ **9** supra περιττὸν sprscr. F² τρανὲ ‖ **10** supra τὴν δὲ sprscr. F² δυάδα | supra δίκην sprscr. F² ὥσπερ (rectius intellegens quam Meineke p. XVI et CCIX) ‖ **11** supra λήξεως ἡγουμένης sprscr. F² καταλήξεως νομιζομένης | ἡγουμένην P, ἡγουμένης F | supra αὐτῷ sprscr. F² κόσμῳ ‖ **12** πάντα P | θεῖον P ‖ **13. 14** F mrg add. δαίμονας ἀοράτους | ἀοράτους etiam P ‖ **14** ἀρέσκεται δὲ καὶ αὐτὸς FP: corr. Krische theol. p. 323 | post αὐτὸς in F lac. 16 fere litt.: θεῶν δυνάμεις add. Krische l. s., θείας εἶναι δυνάμεις Zeller phil. Gr. II³ p. 873 n. 2, δυνάμεις τινὰς ὑπάρχειν ἐν τῷ ὅλῳ Meineke | ἐνδιήκειν FP ‖ **15** post τὴν μὲν in F lac. 15 litt., in P 9 punctorum, tum ἀειδῆ FP: διὰ τοῦ ἀέρος προσγείου Ἄιδην (Ἄιδην praeivit Diels) scripsi, δι' ἀέρος Ἥρην Gaisford cum Heereno, δι' ἀέρος ἐνεργοῦσαν δύναμιν Ἥραν Meineke

Ποσειδῶνα, τὴν δὲ διὰ τῆς γῆς φυτοσπόρον Δήμητραν. Ταῦτα δὲ χορηγήσας τοῖς Στωικοῖς τὰ πρότερα παρὰ τοῦ Πλάτωνος μεταπέφρακεν.

Πλάτων δὲ τὸ ἕν, τὸ μονοφυές, τὸ μοναδικόν, τὸ [64]
ὄντως ὄν, τἀγαθόν. Πάντα δὲ τὰ τοιαῦτα τῶν ὀνομάτων εἰς τὸν νοῦν σπεύδει. Νοῦς οὖν ὁ θεός, χωριστὸν εἶδος, τὸ δὲ χωριστὸν ἀκουέσθω τὸ ἀμιγὲς πάσης ὕλης καὶ μηδενὶ τῶν σωματικῶν συμπεπλεγμένον, μηδὲ τῷ παθητῷ τῆς φύσεως συμπαθές. Τούτου δὲ πατρὸς καὶ ποιητοῦ τὰ ἄλλα θεῖα ἔκγονα νοητὰ μέν, ὅ τε νοητὸς λεγόμενος κόσμος ⟨καὶ αἱ ἰδέαι⟩, παραδείγματα δ' ἐστὶ τοῦ ὁρατοῦ κόσμου, πρὸς δὲ τούτοις ἐναιθέριοί τινες δυνάμεις, (λόγοι δ' εἰσὶν ἀσώματοι,) καὶ ⟨ἔμπυροι καὶ⟩ ἐναέριοι καὶ ἔνυδροι, αἰσθητὸς δὲ [τοῦ πρώτου θεοῦ ἔκγονα] ἥλιος, σελήνη, ἀστέρες, γῆ καὶ ὁ περιέχων πάντα κόσμος.

Ἀριστοτέλης τὸν μὲν ἀνωτάτω θεὸν εἶδος ⟨χωριστόν⟩, ὁμοίως Πλάτωνι, ἐπιβεβηκότα τῇ σφαίρᾳ τοῦ παντός, ἥτις ἐστὶν αἰθέριον σῶμα, τὸ πέμπτον ὑπ' αὐτοῦ καλούμενον.

Οἱ Στωικοὶ νοηρὸν θεὸν ἀποφαίνονται, πῦρ τεχνικόν, ὁδῷ βαδίζον ἐπὶ γενέσει κόσμου, ἐμπεριειληφὸς πάν- [66]
τας τοὺς σπερματικοὺς λόγους, καθ' οὓς ἅπαντα καθ' εἱμαρμένην γίνεται. Καὶ πνεῦμα μὲν ἐνδιῆκον δι' ὅλου τοῦ κόσμου, τὰς δὲ προσηγορίας μεταλαμβάνον δι' ὅλης

---

1 *φυτοσπόρου* Preller, Demeter p. 401 soloece | *Δήμητραν* FP ‖ **4** F mrg add. *Πλάτων* | *δὲ* om. P ‖ **8** *συμπεπνιγμένον* FP: *συμπεπλεγμένον* Heeren ex Plut. pl. ph. I 7 | *πάθει τὸ* FP: *παθητῷ* Heeren ex Plut. l. s., *πάθει τῷ* Meineke ‖ **10** *ἔγγονα* FP: corr. Meineke | *ὅ τε* P^2, *ὅ τι* FP^1 ‖ **11** *καὶ αἱ ἰδέαι* add. Usener | *παράδειγμα* P^2 ‖ **12. 13** *λόγοι δ' εἰσὶν ἀσώματοι* est Stoicissantis observatio male correcta ab editoribus, cf. Diels p. 305 ‖ **13** *ἔμπυροι καὶ* addidi coll. Alcin. epit. 15 ‖ **14** *αἰσθητὸς ὁ* FP: *αἰσθητὸς δὲ* deletis v. *τοῦ πρώτου θεοῦ ἔκγονα* ut lemmate male intruso Usener, *αἰσθητὰ δὲ* Canter | *ἔγγονα* FP: corr. Meineke | *ἥλιος* om. P^1, add. P^2 ‖ **16. 17** *χωριστὸν* om. F (in quo lac. 7 litt.) P: add. ex Plut. Heeren ‖ **20** F mrg add. *(σ)τωικῶν* ‖ **21** *ὁδῷ* FP | *γενέσεις* Lipsius de phys. Stoic. I 6 | *κόσμου* FP^2, *ἰόσμου* P^1 ‖ **23** supra *εἱμαρμένην* F^2 sprscr. *μοῖρα* | *μὲν ἐνδιῆκον* FP^1, *ἓν διῆκον* P^2 ‖ **24.** p. **39, 1** *δι' ὅλης – παραλλάξαν* FP et ita scripsit Stobaeus corrupto Aetii exemplo usus: debuit

τῆς ὕλης, δι' ἧς κεχώρηκε, παραλλάξαν, θεοὺς δὲ καὶ τὸν κόσμον καὶ τοὺς ἀστέρας καὶ τὴν γῆν· ἀνωτάτω δὲ πάντων νοῦν ἐναιθέριον εἶναι θεόν.

Ἐπίκουρος ἀνθρωποειδεῖς μὲν τοὺς θεούς, λόγῳ δὲ πάντας θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως. Ὁ δ' αὐτὸς ἄλλας τέσσαρας φύσεις κατὰ γένος ἀφθάρτους τάσδε· τὰ ἄτομα, τὸ κενόν, τὸ ἄπειρον, τὰς ὁμοιότητας· αὗται δὲ λέγονται ὁμοιομέρειαι καὶ στοιχεῖα.

30 ⟨*Ἑρμοῦ ἐκ τοῦ Κρατῆρος* (p. 26 Patric., p. 34, 7 —13 Parthey.).⟩

Τοιοῦτο γάρ ἐστι τὸ σῶμα ἐκείνου, οὐχ ἁπτὸν οὐδὲ
[68] *ὁρατὸν οὐδὲ μετρητὸν οὐδὲ διαστατὸν οὐδ' ἄλλῳ τινὶ σώματι ὅμοιον. Οὔτε γὰρ πῦρ ἐστιν οὔτε ὕδωρ οὔτε ἀὴρ οὔτε πνεῦμα, ἀλλὰ πάντα ἀπ' αὐτοῦ. Ἀγαθὸς γὰρ ὤν, μόνῳ ἑαυτῷ τοῦτο ἀναθεῖναι ᾐθέλησε, καὶ τὴν γῆν κοσμῆσαι.*

31[a] ⟨Poetae ignoti.⟩

Ἡρακλέους κρατεροῦ ὃς γᾶν ἐκάθαρεν ἅπασαν,
πετροβάτα τε θεοῦ, Πανὸς νομίοιο βρυάκτα,
θείῳ ἰατῆρος τ' Ἀσκληπιοῦ ὀλβιοδώτα,

---

corrigere *διὰ τὰς τῆς ὕλης δι' ἧς κεχώρηκε παραλλάξεις*; cf. Diels proleg. p. 51

3 *θεὸν* FP ‖ **4** F mrg add. *ἐπικούρου* ‖ **5** *διαρητοὺς* F, *διαρήτους* P: corr. Heeren ex Plut. | *λεπτομερίαν* P ‖ **6** *τέτταρας* F ‖ **7** *τάσδε* P[2], *τὰς δὲ* FP[1] ‖ **8** *ὁμοιομερείαι* P ‖ **10** lemma finxi, cum legantur haec verba in quarto 'Poemandri' capite cui inscriptum est *ὁ κρατὴρ ἢ μονάς*; ceterum in FP hoc fr. ab antecedentibus non est seiunctum ‖ **12** *τοιοῦτο* corr. Heeren pro *τοῦτο* ‖ **12. 13** *οὐδὲ ὁρατὸν* P, *οὔτε ὁρατὸν* F ‖ **15** *πάντα τὰ ὑπ' αὐτοῦ* Herm. | ⟨*μόνος*⟩ *μόνῳ* Meineke ‖ **15. 16** *μόνῳ τοῦτο ἑαυτῷ ἀνατέθεικεν· ᾐθέλησε δὲ καὶ* Patr. ‖ **16** *ἀναθεῖναι* P, *ἀναθῆναι* F Herm. (qui transp. *ἀναθ. τοῦτο*) | *καὶ*] *τὸ* Usener | *κοσμῆσαι τὴν γῆν* Herm. ‖ **17** egerunt de hoc hymno dorico G. Hermannus opusc. II p. 248, Lobeck Aglaoph. p. 600, Meineke annal. philol. 1863 p. 372 ‖ **18** *ἡρακλέος τοῦ κραταιοῦ* FP: *Ἡρακλέος κρατεροῦ* Grotius, *Ἡρακλέος τε κράτους* Iacobs ep. cr. p. 226 | *ὃς γᾶν ἐκάθαρεν* FP ‖ **19** *πρόβατά* FP: *πετροβάτα* Grotius, *ἀκροβάτα* Canter ‖ **20** *θειατῶν τ' ἰατῆρος* FP: *θείῳ ἰατῆρος τ'* Meineke, *θνητῶν τ' ἰατῆρος* Canter | *ὁλαιοδότα* FP[1], *ὀλβιόδοτα* P[2]: corr. Grotius

πρεσβίστας τε θεᾶς Ὑγιείας μειλιχοδώρου,
ναυσί τ' ἐπ' ὠκυπόροισι Διοσκούρων ἐπιφαντᾶν,
Κουρήτων θ', οἳ ματρὶ Διὸς Ῥέᾳ ἐντὶ πάρεδροι,
καὶ Χαρίτων μεμνᾶσθαι ἐν ἔργῳ παντὶ μέγιστον, [70]
ἠδὲ Χρόνου παίδων Ὡρᾶν, αἳ πάντα φύοντι, p. 6 C.
Νυμφᾶν τ' οὐρειᾶν, αἳ νάματα κάλ' ἐφέποντι.

31[b] ⟨Poetae lyrici incerti.⟩

Ὑμνέωμες μάκαρας, Μοῦσαι Διὸς ἔκγονοι ἀφθίτοις ἀοιδαῖς.

32 ⟨*Φιλήμονος* (Com. IV p. 31, fr. inc. 2 M.).⟩

Ὃν οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν,
οὐδ' αὖ ποιήσων οὐδὲ πεφοιηκὼς πάλαι,
οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὗτός εἰμ' ἔγὼ
Ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία.
ἐγὼ δ' ὃ ⟨θεοῦ ἐστιν⟩ ἔργον, εἰμὶ πανταχοῦ,
⟨ἐνταῦθ' ἐν Ἀθήναις, ἐν Πάτραις, ἐν Σικελίᾳ,⟩
ἐν ταῖς πόλεσι πάσαισιν, ἐν ταῖς οἰκίαις
πάσαις, ἐν ὑμῖν πᾶσιν· οὐκ ἔστιν τόπος
οὗ μή ἐστιν ἀήρ· ὁ δὲ παρὼν ἅπανταχοῦ
πάντ' ἐξ ἀνάγκης οἶδε [πανταχοῦ παρών].

---

1 *πρέσβις τάς* FP: *πρεσβίστας* Vatic. | *θεοῖς* FP: *θεᾶς* Meineke | *ὑγίας* FP: corr. Grotius | *μειλιχοδώρου* P[2], *μιλιχοδώρου* FP[1]: *μειλιχοδώρω* sive *μελλιχοδώρω* Meineke ‖ **2** *ἐπ'* corr. Meineke pro *ἐν* | *Διὸς κούρων* FP | *ἐπιφάντα* FP[1], *ἐπιφανέντα* P[2]: *ἐπιφαντᾶν* Meineke, *ἐπιφάντων* Grotius ‖ **3** *τ' οἳ* FP: *θ' οἳ* Grotius | *ἔντι* FP | *πάρεδρος* P ‖ **4** *ἔργῳ παντὶ* corr. Grotius pro *παντὶ ἔργῳ* | *μέγιστον*] *μελιστᾶν* Meineke ‖ **5** *ὥραν* P, *ὥρων* F: *ὡρᾶν* Grotius | *αἳ πάντα φύοντι* corr. Grotius pro *ἅπαντα φύονται* ‖ **6** *νύμφαν* FP: corr. Grotius | *ἀρείαν* FP: *οὐρειᾶν* Meineke, *ὠρειᾶν* Piersonus veris. I 11, *ἀγρειᾶν* Iacobs l. s. | *ἃ* FP: *αἳ* Grotius, *ταὶ* Meineke (item v. 5) | *ἔφερον* FP: *ἐφέποντι* Meineke, *ἐφορῶντι* Iacobs ‖ **7** novum frg. dubitanter constituit Meineke ‖ **8** unum versum asynartetum esse vidit Usener | *ὑμνέωμες* P, *ὑμνέωμας* F | *ἄφθιτ' ἀείδοισαι* Meineke ‖ **9** Philemoni hoc fr. adscripsit Stobaeus infra c. X 8 ‖ **10** *ἐνποιῶν* P ‖ **11** *αὖ* corr. Wakefieldius pro *ἂν* ‖ **12** *εἰ μὴ* FP, *εἰμὶ* FP c. X 8 ‖ **14** *ὁ* FP | *θεοῦ ἐστιν* om. hic F (in quo lac. 9 litt.) P (in quo 6 punct.), infra add. FP | *εἰ μὴ* P ‖ **15** totum versum hic om., infra add. FP ‖ **17** *πᾶσιν* F, *πᾶσα* P ‖ **18** *μή στιν* FP infra, *μὴ ἔστιν* FP hic | *ὁ δὲ* FP infra, *ὅδε* FP hic ‖ **19** *οἶδε* F infra, *ὁ δὲ* FP hic, *οἳ δὲ* P infra | *ἅπανταχοῦ παρών* Meineke, *πάντα πανταχοῦ* Hense act. soc. phil. Lips. II p. 15; rectius haec v. ex margine intrusa deleas

33 Ἀρριανοῦ Ἐπικτητείου ἐκ τῶν περὶ προνοίας (I 6, 1—11).

Ἀφ' ἑκάστου τῶν ἐν τῷ κόσμῳ γιγνομένων ῥᾴδιόν ἐστιν ἐγκωμιάσαι τὴν πρόνοιαν, ἐὰν δύο ἔχῃ τις ταῦτα
[72] ἐν ἑαυτῷ, δύναμίν τε συνορατικὴν τῶν γεγονότων ἑκάστῳ καὶ τὸ εὐχάριστον. Εἰ δὲ μή, ὃ μὲν οὐκ ὄψεται τὴν εὐχρηστίαν τῶν γεγονότων, ὃ δ' οὐκ εὐχαριστήσει ἐπ' αὐτοῖς, οὐδ' ἂν ἴδῃ. Χρώματα ὁ θεὸς εἰ πεποιήκει καὶ καθόλου πάντα ⟨τὰ⟩ ὁρατά, δύναμιν δὲ θεατικὴν αὐτῶν μὴ πεποιήκει, τί ἂν ἦν ὄφελος; — Οὐδ' ὁτιοῦν. — Ἀλλ' ἀνάπαλιν, εἰ τὴν μὲν δύναμιν πεποιήκει, τὰ ὄντα δὲ μὴ τοιαῦτα, οἷα ὑποπίπτειν τῇ δυνάμει τῇ ὁρατικῇ, καὶ οὕτως τί ὄφελος; — Οὐδέν. — Τί δ', εἰ καὶ ἀμφότερα ταῦτα πεποιήκει, ⟨φῶς δὲ μὴ πεποιήκει⟩; — Οὐδ' οὕτως τι ὄφελος. — Τίς οὖν ὁ ἁρμόσας τοῦτο πρὸς ἐκεῖνο κἀκεῖνο πρὸς τοῦτο; τίς δ' ὁ ἁρμόσας τὴν μάχαιραν πρὸς τὸν κολεὸν καὶ τὸν κολεὸν πρὸς τὴν μάχαιραν; Οὐδείς; Καὶ μὴν ἐξ αὐτῆς τῆς κατασκευῆς τῶν ἐπιτετελεσμένων ἀποφαίνεσθαι εἰώθαμεν, ὅτι τεχνίτου τινὸς πάντως τὸ ἔργον, οὐχὶ δὲ εἰκῇ κατεσκευασμένον. Ἆρ' οὖν τούτων μὲν ἕκαστον ἐμφαίνει τὸν τεχνίτην, τὰ δὲ ὁρατὰ καὶ ὅρασις καὶ φῶς οὐκ ἐμφαίνει; Τὸ
[74] δ' ἄρρεν καὶ τὸ θῆλυ καὶ ἡ προθυμία ἡ πρὸς τὴν συνουσίαν ἑκατέρου καὶ ⟨ἡ⟩ δύναμις ἡ χρηστικὴ τοῖς μορίοις τοῖς κατεσκευασμένοις, οὐδὲ ταῦτα ἐμφαίνει τὸν τεχνίτην; Ἀλλὰ

---

1 (ἀ)ρριανοῦ F | Ἐπικτητίου FP: corr. Meineke ‖ **3** ἀφ' Arrh., φ' F (litt. init. rubr. relicta), ἐφ' sed ἐ a rubricatore correctum in ἀ P ‖ **4** ἂν δύο τις ἔχῃ Arrh. ‖ **7** εὐχρηστίαν F Arrh. cod. Upt., ἀχρηστίαν P, εὐχαριστίαν Arrh. vulg. | ἀχαριστήσει P ‖ **8** εἰδῇ FP; εἰ δὲ vel ἴδ' εἰ vel οὐδ' ἂν Arrh. codd.: ἴδῃ Meineke | εἰ om. Arrh. | ἐπεποιήκει hic et infra Meineke ‖ **8. 9** καὶ – ὁρατὰ om. Arrh. ‖ **9** τὰ add. Schweighäuser | θεαστικήν F ‖ **10. 11** τί ἂν – πεποιήκει om. F ‖ **10** Ἀλλ' ex Arrh. correxi pro οὐδὲ ‖ **13** οὐδ' ὁτιοῦν Arrh. | τί γ' F ‖ **13. 14** φῶς δὲ μὴ πεποιήκει ex Arrh. add. Heeren ‖ **16** κολεὸν bis P Arrh., κουλεὸν bis F ‖ **18** ὅτι P² Arrh., ὃ FP¹ ‖ **20** ἄρ' P ‖ **21** ὁράσεις Arrh. ‖ **22** ἡ ante προθυμία om. P Arrh. | ἡ ante πρὸς om. Arrh. ‖ **22. 23** πρὸς – ἑκατέρου] hoc ordine FP Arrh. | συνουσίαν P¹ ‖ **23** ἡ ante δύναμις add. Meineke

ταῦτα μὲν οὔπω· ἡ δὲ τοιαύτη τῆς διανοίας κατασκευή, καθ' ἣν οὐχ ἁπλῶς ὑποπίπτοντες τοῖς αἰσθητοῖς τυπούμεθα ὑπ' αὐτῶν, ἀλλὰ καὶ ἐκλαμβάνομέν τι καὶ ἀφαιροῦμεν καὶ προστίθεμεν ⟨καὶ συντίθεμεν⟩ τάδε τινὰ δι' αὐτῶν καὶ νὴ Δία μεταβαίνομεν ἀπ' ἄλλων ἐπ' ἄλλα τούτοις πως παρακείμενα, οὐδὲ ταῦτα ἱκανὰ κινῆσαί τινας καὶ διατρέψαι πρὸς τὸ μὴ ἀπολιπεῖν τὸν τεχνίτην; ἢ ἐξηγησάσθωσαν ἡμῖν, τί τὸ ποιοῦν ἐστι τούτων ἕκαστον, ἢ πῶς οἷόν τε τὰ οὕτως θαυμαστὰ καὶ τεχνικὰ εἰκῇ καὶ ἀπὸ ταὐτομάτου γίγνεσθαι.

34 ⟨Τοῦ αὐτοῦ⟩, Ὅτι πάντα ἐφορᾷ τὸ θεῖον.

(Epict. Arrh. I, 14, 1—10.)

Πυθομένου δέ τινος, πῶς ἂν τις πεισθείη, ὅτι ἕκαστον τῶν ὑπ' αὐτοῦ πραττομένων ἐφορᾶται ὑπὸ τοῦ θεοῦ; Οὐ δοκεῖ σοι, ἔφη, ἡνῶσθαι τὰ πάντα; — Δοκεῖ, ἔφη. — Τί δέ; συμπαθεῖν τὰ ἐπίγεια τοῖς οὐρανίοις οὐ δοκεῖ σοι; — Δοκεῖ [76] μοι, ἔφη. — Πόθεν γὰρ οὕτως τεταγμένως, καθάπερ ἐκ προστάγματος τοῦ θεοῦ, ὅταν ἐκεῖνος εἴπῃ τοῖς φυτοῖς ἀνθεῖν, ἀνθεῖ, ὅταν εἴπῃ βλαστάνειν, βλαστάνει, ὅταν ἐκ- p. 7 C. φέρειν τὸν καρπόν, ἐκφέρει, ὅταν πεπαίνειν, πεπαίνει, ὅταν ἀποβάλλειν, ⟨ἀποβάλλει⟩, καὶ φυλλορροεῖν, ⟨φυλλορροεῖ⟩, καὶ αὐτὰ εἰς αὑτὰ συνειλούμενα ἐφ' ἡσυχίας μένειν καὶ ἀνα-

---

1 οὕτω FP, om. Arrh.: οὔπω Meineke ‖ 2 ἐπιπίπτοντες FP Arrh.: ὑποπίπτοντες Meineke, περιπίπτοντες Schweighäuser ‖ 4 προστίθεμεν καὶ συντίθεμεν τάδε Arrh., προστιθέαμεν τὰ δὲ FP | τάδε καὶ τάδε τινὰ Meineke; malim πάλιν τινὰ ‖ 5 ἀπ' P² Arrh., ἐπ' FP¹ | ἐπ'] εἰς Arrh. | ἄλλα τὰ (i. e. ἄλλ' ἄττα) Arrh. | οὕτως F, οὕτω P: τούτοις Schweigh. (Uptonus pro οὕτω πως maluit οὐδαμῶς) ‖ 7 ἀπολιπεῖν ex Arrh. corr. Meineke pro ἀπολείπειν ‖ 8 ἕκαστον τούτων Arrh. ‖ 9 οἰόντε Arrh., οἴονται FP ‖ 10 ταὐτομάτου Arrh., τοῦ αὐτομάτου FP ‖ 11 τοῦ αὐτοῦ addidi; est enim titulus Epicteti lib. I c. 14 ubi rectius πάντα scribitur (πάντας in FP): in P vir doctus recentissimus (vide *Stud.* p. 62) in hoc titulo capitis Stobaeensis (5) inscriptionem odoratus est, quod reddidit Canter ‖ 14 ἀπ' Arrh. ‖ 16 οὐρανίοις etiam P ‖ 17 μοι P², om. Arrh., σοι FP¹ ‖ 20 τὸν ante καρπὸν om. P | ὅταν πάλιν ἀποβάλλειν Arrh. ‖ 21 ἀποβάλλει add. cod. Aug. | φυλλοροεῖν FP | φυλλορροεῖ add. Heeren ‖ 22 εἰς αὑτὰ Arrh., εἰς αὐτὰ FP | συνειρούμενα P | μένειν ἐφ' ἡσυχίας F

παύεσθαι, μένει καὶ ἀναπαύεται; Πόθεν δὲ πρὸς τὴν αὔξησιν καὶ μείωσιν τῆς σελήνης καὶ τὴν τοῦ ἡλίου πρόσοδον καὶ ἄφοδον τοσαύτη παραλλαγὴ καὶ ἐπὶ τὰ ἐναντία μεταβολὴ τῶν ἐπιγείων θεωρεῖται; Ἀλλὰ τὰ φυτὰ μὲν καὶ τὰ ἡμέτερα σώματα οὕτως ἐνδέδεται τοῖς ὅλοις καὶ συμπέπονθεν, αἱ ψυχαὶ δὲ αἱ ἡμετέραι οὐ πολὺ πλέον; Ἀλλ' αἱ ψυχαὶ μὲν οὕτως εἰσὶν ἐνδεδεμέναι καὶ συναφεῖς τῷ θεῷ, ἅτε αὐτοῦ μόρια οὖσαι καὶ ἀποσπάσματα, οὐ παντὸς δὲ αὐτῶν κινήματος, ἅτε οἰκείου καὶ συμφυοῦς, ὁ θεὸς αἰσθάνεται; Ἀλλὰ σὺ μὲν περὶ τῆς θείας διοικήσεως καὶ περὶ ἑκάστου τῶν θείων, ὁμοῦ καὶ περὶ τῶν ἀνθρω-
[78] πίνων πραγμάτων ἐνθυμεῖσθαι δύνασαι καὶ ἅμα μὲν αἰσθητικῶς ἀπὸ μυρίων πραγμάτων κινεῖσθαι, ἅμα δὲ διανοητικῶς, ἅμα δὲ τοῖς μὲν συγκαταθετικῶς, τοῖς δὲ ἀνανευστικῶς ἢ ἐφεκτικῶς· τύπους τε τοσούτους ἀφ' οὗτω πολλῶν καὶ ποικίλων πραγμάτων ἐν τῇ σαυτοῦ ψυχῇ φυλάττεις καὶ ἀπ' αὐτῶν κινούμενος εἰς ἐπινοίας ὁμοειδεῖς ἐμπίπτεις τοῖς πρώτως τετυπωκόσι, τέχνας τε ἄλλας ἐπ' ἄλλαις καὶ μνήμας ἀπὸ μυρίων πραγμάτων διασῴζεις· ὁ δὲ θεὸς οὐχ οἷός τέ ἐστι πάντα ἐφορᾶν καὶ πᾶσι συμπαρεῖναι καὶ ἀπὸ πάντων τινὰ ἴσχειν διάδοσιν; Ἀλλὰ φωτίζειν μὲν οἷός τέ ἐστιν ὁ ἥλιος τηλικοῦτον μέρος τοῦ παντός, ὀλίγον δὲ τὸ ἀφώτιστον ἀπολείπειν, ὅσον οἷόν τε ἐπέχεσθαι ὑπὸ τῆς σκιᾶς, ἣν ἡ γῆ ποιεῖ· ὁ δὲ καὶ τὸν ἥλιον αὐτὸν πεποιηκὼς καὶ περιάγων, μέρος ὄντ' αὐτοῦ μικρὸν ὡς πρὸς τὸ ὅλον, οὗτος δὲ οὐ δύναται πάντων αἰσθάνεσθαι;

---

2 *τὴν* om. P ‖ **4** *φυλλὰ* Arrh. ‖ **5** *ἐνδέδεται* Arrh., *ἐνδέδυται* FP ‖ **7** *συναφεῖς* P^2 Arrh., *συνεφεῖ* FP^1 ‖ **11** *ὁμοῦ δὲ καὶ* Arrh. | *τῶν* om. Arrh. ‖ **14** *τοῖς μὲν* om. Arrh. ‖ **14. 15** *ἀνανευστικῶς* P^2 Arrh. Par. *a*, *ἀναπνευστικῶς* FP^1 ‖ **15** *ἐφεστικῶς* P^1 | *τε*] *δὲ* Arrh. | *οὕτω* Arrh., *οὐ τῶν* FP ‖ **16** *σαυτῇ* P: *αὐτῇ* Canter, quod placuit Heerenio ‖ **17** *κινούμενος* Arrh., *κρινόμενος* FP ‖ **18** *πρώτως* Arrh., *πρώτοις* FP | *τετυποκῶσι* P | *τέχνας* Arrh., *τέχναις* FP ‖ **21** *ἴσχειν διάδοσιν* Arrh., *ἰσχὺν δίδωσιν* FP ‖ **23** *ἀπολιπεῖν* Arrh. praeter Par. *b* ‖ **24** *ἐπέχεσθαι* Arrh., *ἀπέχεσθαι* FP | *τῆς* om. Arrh. | *δέ γε τὸν* Heeren ‖ **25** *ὄντ'* Arrh., *ὢν* FP ‖ **26** *τὸν* P

35 Ἰαμβλίχου ἐκ τῆς πρὸς Ποιμένιον ἐπιστολῆς. [80]

Οἱ θεοὶ τὴν εἱμαρμένην συνέχοντες διὰ παντὸς ἐπανορθοῦνται· ἡ δ' ἐπανόρθωσις αὐτῶν ποτὲ μὲν ἐλάττωσιν κακῶν, ποτὲ δὲ παραμυθίαν, ἐνίοτε δὲ καὶ ἀναίρεσιν ἀπεργάζεται· ἀφ' οὗ δὴ διακοσμεῖται ἡ εἱμαρμένη τοῖς ἀγαθοῖς, διακοσμουμένη δὲ οὐχ ὑποφαίνεται πᾶσα πρὸς τὴν ἄτακτον φύσιν τῆς γενέσεως. Οὐκοῦν ἔτι μᾶλλον σῴζεται ἡ πεπρωμένη διὰ τῆς τοιαύτης ἐπανορθώσεως καὶ τὸ παρατρέπον αὐτῆς μένει κατὰ τὴν ἄτρεπτον τῶν θεῶν ἀγαθότητα συνεχόμενον, διότι οὐκ ἐᾶται ὑπορρεῖν εἰς τὴν ἄτακτον πλημμέλειαν. Τούτων δὴ οὕτως ἐχόντων τό τε ἀγαθοειδὲς τῆς προνοίας τό τε αὐτεξούσιον τῆς ψυχῆς καὶ πάντα τὰ κάλλιστα διασῴζεται, τῇ βουλήσει τῶν θεῶν συνυπάρχοντα.

36 Ἀριστοτέλους ἐκ τῆς πρὸς Ἀλέξανδρον ἐπιστολῆς (de mundo c. 6 p. 400[b] 5).

Καθόλου δὲ ὅπερ ἐν νηΐ μὲν κυβερνήτης, ἐν ἅρματι δὲ ἡνίοχος, ἐν χορῷ δὲ κορυφαῖος, [ἐν πόλει δὲ νόμος,] ἐν [82] στρατοπέδῳ δὲ ἡγεμών, τοῦτο θεὸς ἐν κόσμῳ, πλὴν καθόσον τοῖς μὲν καματηρὸν τὸ ἄρχειν πολυκίνητόν τε καὶ πολυμέριμνον, τῷ δὲ ἄλυπον ἄπονόν τε πάσης κεχωρισμένῳ σωματικῆς ἀσθενείας· ἐν ἀκινήτῳ ⟨γὰρ⟩ ἱδρυμένος δυνάμει πάντα κινεῖ καὶ περιάγει, ὅπου βούλεται καὶ ὅπως, ἐν διαφόροις ἰδέαις καὶ φύσεσιν· ὥσπερ ἀμέλει καὶ ὁ τῆς πόλεως νόμος ἀκίνητος ὢν ἐν ταῖς τῶν χρωμένων ψυχαῖς πάντα οἰκονομεῖ τὰ κατὰ τὴν πολιτείαν. Ἑφεπόμενοι γὰρ αὐτῷ δηλονότι ἐξίασιν ἄρχοντες μὲν εἰς τὰ ἀρχεῖα, θεσμο-

---

1 Ἰαμβλίχου om. F | ἐκ] κ F | post πρὸς add. P τὸν ‖ **4. 5** ἀπεργάζονται FP: corr. Heeren ‖ **6** πᾶσαν P ‖ **13** βουλῇ P ‖ **15** F mrg add. Ὁ ΑΡΙΣΤΟΤΕΛΗΣ ‖ **18** ἐν πόλει δὲ νόμος uncis inclusi ut ineptum (quamquam vetus) additamentum ‖ **19** F mrg add. σῇ. ‖ **20** δὲ καὶ P ‖ **21** ante πάσας add. καὶ Ar. praeter Vat. 1339 et Marc. 200 | κεχωρισμένῳ FP, κεχωρισμένον Ar. ‖ **22** γὰρ add. Ar. | ἱδρυμένος Ar., ἱδρωμένος FP | δυνάμει om. Ar. ‖ **23** ὅπῃ corr. Meineke pro ὅπου ‖ **24** ἰδέαις τε καὶ Ar. | σπερ F (ὥ om. pro rubr.) ‖ **26** οἰκονομεῖ τὰ Arist., οἰκονομεῖται F et P (f. 10[r] qui h. v. expl. et transit ad ὅλως δὲ p. 50, 7) | quae inde a κατὰ τὴν usque ad Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ (p. 47, 1) leguntur desunt in P ‖ **27** εἰς F, ἐπὶ Ar.

θέται δὲ εἰς τὰ οἰκεῖα δικαστήρια, βουλευταὶ δὲ καὶ ἐκκλησιασταὶ εἰς συνέδρια τὰ προσήκοντα· καὶ ὁ μὲν εἰς τὸ πρυτανεῖον βαδίζει διαιτησόμενος, ⟨ὁ δὲ πρὸς τοὺς δικαστὰς ἀπολογησόμενος, ὁ δὲ εἰς τὸ δεσμωτήριον ἀποθανούμενος⟩. Γίνονται δὲ καὶ δημοθοινίαι νόμιμοι καὶ πανηγύρεις ἐνιαύσιαι, θεῶν τε θυσίαι καὶ ἡρώων θεραπεῖαι καὶ χοαὶ κεκμηκότων. Ἄλλα δ' ἄλλως ἐνεργούμενα κατὰ
[84] *μίαν πρόσταξιν ἢ νόμιμον ἐξουσίαν σῴζει τὸ τοῦ ποιήσαντος* (Soph. Oed. Tyr. 4. 5), *ὅτι*

πόλις ⟨δ'⟩ ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Οὕτως ὑπολῃπτέον καὶ ἐπὶ τῆς μείζονος πόλεως, λέγω δὲ τοῦ κόσμου. Νόμος μὲν γὰρ ἡμῖν ἰσοκλινὴς ὁ θεός, οὐδεμίαν ἐπιδεχόμενος διόρθωσιν ἢ μετάθεσιν, κρείττων δ', οἶμαι, καὶ βεβαιότερος τῶν ἐν ταῖς κύρβεσιν ἀναγεγραμμένων. Ἡγουμένου δὲ ἀκινήτως αὐτοῦ καὶ ἐμμελῶς ὁ σύμπας οἰκονομεῖται δι' αὐτοῦ διάκοσμος οὐρανοῦ τε καὶ γῆς, μεμερισμένος κατὰ τὰς φύσεις πάσας ὁμοίως διὰ τῶν οἰκείων σπερμάτων εἰς τὰ φυτὰ καὶ ζῷα κατὰ γένη τε καὶ εἴδη. Καὶ γὰρ ἄμπελοι καὶ φοίνικες καὶ περσέαι

συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι (Hom. η 116),

ὥς φησιν ὁ ποιητής, τά τε ἄκαρπα μέν, ἄλλας δὲ παρεχόμενα χρείας, πλάτανοι καὶ πεῦκαι καὶ πύξοι, [κλῶνές τε]
[86] *κλήθρη τ' αἰγειρός τε καὶ εὐάδης κυπάρισσος* (Hom. ε 64),

---

2 post *μὲν* add. Ar. *τις* ‖ **3** *διαιτησόμενος* F, *σιτησόμενος* Ar. ‖ **3—5** *ὁ δὲ – ἀποθανούμενος* add. Arist. ‖ **5** *νόμιμοι* Ar., *νόμοι* F ‖ **6** *ἐνιαύσιοι* Ar. ‖ **7** *ἄλλοις* Ar. ‖ **8** *ὅτι* F et Ar. cod. Vat. 316, *ὄντως* Ar. vulgo ‖ **10** *δ'* add. Ar. Soph. | *γέμει* Ar. Soph., *γέμουσα* F ‖ **13** ante *τοῦ* add. Ar. *τοῦδε* ‖ **15** *κύρβεσιν* Ar., *κυβερνήσεσιν* F ‖ **16** *ἀκινήτως αὐτοῦ* F et Ar. cod. Vat. 316, *ἀεικινήτως αὐτοῦ* Ar. cet. ‖ **17** *διοικονομεῖται* Ar. | *δι' αὐτοῦ* om. Ar. | *διάκοσμος* Ar., *κόσμος* F | *τε* om. Ar. ‖ **18** *μεμερισμένος* Ar., *μεμερισμένων* F | *ὁμοίως* om. Ar. ‖ **19** *εἴς τε τὰ* Ar. ‖ **21** *συκέαι* F Ar. Marc. 200 ‖ **23** *πεῦκαι*] *πίτυες* Ar. | *κλῶνές τε* F, om. Ar.: uncis inclusi, videtur enim lectio discrepans vocabuli proximi *κλήθρ'* ‖ **24** *κλήθρη τ'* Ar. Hom., *κλήθρ'* F | ante *κυπάρισσος* add. *ὁ* F

αἵ τε καρπὸν ὀπώρας ἡδύν, ἄλλως δὲ δυσθησαύριστον φέρουσαι,

ὄχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι (Hom. η 115),

τῶν τε ζῴων τά τε ἄγρια καὶ ἥμερα, τά τ' ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ ⟨ἐν⟩ ὕδατι βοσκόμενα γίνεταί τε καὶ ἀκμάζει καὶ φθείρεται τῷ τοῦ θεοῦ πειθόμενα θεσμῷ. Πᾶν γὰρ ἑρπετὸν πληγῇ νέμεται, ὡς φησιν Ἡράκλειτος (fr. 37 Schleierm., 55 Bywat.)

Εἷς δὲ ὢν πολυώνυμός ἐστι, κατονομαζόμενος τοῖς πάθεσι πᾶσιν, ἅπερ αὐτὸς νεοχμοῖ. Καλοῦμεν γὰρ αὐτὸν καὶ Ζῆνα καὶ Δία, παραλλήλως χρώμενοι τοῖς ὀνόμασιν, ὡς ἂν εἰ λέγοιμεν, δι' ὃν ζῶμεν. Κρόνου δὲ παῖς καὶ Χρόνου λέγεται, διήκων ἐξ αἰῶνος ἀτέρμονος εἰς ἕτερον αἰῶνα, ἀστραπαῖός τε καὶ βρονταῖος ⟨καὶ αἰθριος⟩ καὶ αἰθέριος, κεραύνιός τε καὶ ὑέτιος ἀπὸ τῶν ὑετῶν τε καὶ [88]
κεραυνῶν καὶ τῶν ἄλλων καλεῖται. Καὶ μὴν ἐπικάρπιος μὲν ἀπὸ τῶν καρπῶν, πολιεὺς δὲ ἀπὸ τῆς πόλεως ὀνομάζεται, γενέθλιός τε καὶ ὁμόγνιος καὶ ἕρκειός τε καὶ πατρῷος ἀπὸ τῆς πρὸς ταῦτα κοινωνίας, ἑταιρεῖός τε καὶ φίλιος καὶ ξένιος, ἔτι δὲ στράτιός τε καὶ τροπαιοῦχος, καθάρσιός τε καὶ παλαμναῖος καὶ ἱκέσιος καὶ μειλίχιος, ὥσπερ οἱ ποιηταὶ λέγουσι· σωτήρ τε καὶ ἐλευθέριος ἐτύμως [οὕτως εἰπεῖν]· ὡς δὲ τὸ πᾶν εἰπεῖν, οὐράνιός τε καὶ

---

1 *ὀπώρης* Ar. praeter Vat. 316 ‖ **3** *ὄχναι* Ar. Hom., *ἔγχναι* F ‖ **4** *τῶν δὲ* Ar. Vat. ‖ **5** *ἐν* add. Ar. | *τε* om. Ar. ‖ **6** *τοῖς* et *θεσμοῖς* Ar. ‖ **7** *πληγῇ* F, quod defendit Bergk progr. Hal. 1862 p. IV coll. Plat. Crit. p. 109[B]; *τὴν γῆν* Ar. ‖ **9** *εἷς δὲ ὢν* Ar., *εἰς δέον* F ‖ **10** *γὰρ* F, *δὲ* Ar. ‖ **11. 12** *ὀνόμασιν ὡς ἂν* Ar., *ὀνόμασι· κἂν* F: *ὀνόμασιν ὡς κἂν* Heeren ‖ **12** *δὲ παῖς* Ar., *αἶσα* F ‖ **13** *διήκων* Ar., *διώκων* F ‖ **14** *καὶ αἰθριος* add. Ar. ‖ **15** *αἰθέριος* Ar., *ἀστέριος* F | *κεραύνιος* Ar., *καὶ οὐράνιος* F | *τε* post *ὑετῶν* om. Ar. ‖ **16** *ἐπικάρπιος* Ar., *κάρπιος* F ‖ **17** *μὲν ἀπὸ* Ar., *μὲν ἐπὶ* F | *τῆς πόλεως* F, *τῶν πόλεων* Ar. ‖ **18** *καὶ ὁμόγνιος* transp. Ar. ante *καὶ πάτριος* | *ἕρκειος* Ar., *εὐόρκιος* F | *τε* om. Ar. ‖ **19** *πατράιος* F, *πάτριος* Ar. ‖ **20** *ἔτι δὲ* F, *καὶ* Ar. | *στράτιός τε* F, *στράτιος* Ar. ‖ **21** *παλαμναῖος* Ar., *πολέμνιος* F ‖ **22. 23** *ἐτύμως* Ar., *ἑτοίμως* F ‖ **23** *οὕτως εἰπεῖν* om. Ar.: delenda puto

χθόνιος, πάσης ἐπώνυμος φύσεως ὢν καὶ τύχης, ἅτε πάντων αὐτὸς αἴτιος ὤν.

[90] 37 Ξενοφῶντος ἐκ τοῦ δ' Ἀπομνημονευμάτων (c. 3, 3—6).

Εἶπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοί, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασι; — Καὶ ὅς· Μὰ τὸν Δί', ἔφη, οὐκ ἔμοιγε. — Ἀλλ' οἶσθά γ', ἔφη, ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; — Νὴ Δί', ἔφη, ὅ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. — Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι, κάλλιστον ἀναπαυτήριον. — Πάνυ γε, ἔφη, καὶ τοῦτο χάριτος ἄξιον. — Οὐκοῦν καὶ ἐπειδὴ ὁ μὲν ἥλιος, φωτεινὸς ὤν, τάς τε ὥρας τῆς ἡμέρας ἡμῖν καὶ τἆλλα πάντα σαφηνίζει, ἡ δὲ νὺξ διὰ τὸ σκοτεινὴ εἶναι ἀσαφεστέρα ἐστίν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τῆς νυκτὸς τὰς ὥρας ἐμφανίζει καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν; — Ἔστι ταῦτα, ἔφη. — Ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον τῆς νυκτός, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. — Πάνυ μὲν οὖν, ἔφη. — Τὸ δ' ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, ⟨αἵ⟩ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα; — Πάνυ, ἔφη, καὶ ταῦτα φιλάνθρωπα. — Τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε συμφύειν τε καὶ συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ
[92] αὐτοὺς ἡμᾶς καὶ μιγνύμενον τοῖς τρέφουσιν ἡμᾶς εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά, καὶ ἐπειδὴ πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν; — Καὶ τοῦτο, ἔφη, προνοητικόν.

---

1 ὧν φύσεώς τε Ar. ‖ 7 κατεσκευάκασι Xen., κατεσκευάσεσι F ‖ 11 γε Xen., τε F ‖ 17 τὰς ὥρας τῆς νυκτὸς Xen. praeter *B* ‖ 22 αἵ add. Xen. ‖ 23. 24 παρασκευάζουσιν Xen., παρασκευάζουσα F ‖ 25. 26 παρέχειν οὕτω πολλοῦ Xen., οὕτω παρέχειν πολλοῦ πολλοῦ (sic) F ‖ 26 ἄξιον ὄν Pluygers | συμφύειν F, καὶ φυτεύειν Xen. ‖ 28 τοῖς] πᾶσι τοῖς Xen. ‖ 29 ἡδίω Xen., ἰδιῶ F | αὐτὰ Xen., ταῦτα F (et Xen. *B*)

38 *Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ* (p. 265 B–E).

Ποιητικῆς δὴ πρῶτον ἔστω δύο μέρη. — Ποίω; — p. 3, 51 C.
Τὸ μὲν θεῖον, τὸ δ' ἀνθρώπινον. — Οὔπω μεμάθηκα. —
Ποιητικήν, εἴπερ μεμνήμεθα τὰ κατ' ἀρχὰς λεχθέντα, πᾶ-
σαν ἔφαμεν εἶναι δύναμιν, ἥτις ἂν αἰτία γίγνηται τοῖς μὴ
πρότερον οὖσιν ὕστερον γίγνεσθαι. — Μεμάθηκα. — Ζῷα
δὴ πάντα θνητὰ καὶ δὴ καὶ φυτά, ὅσα τ' ἐπὶ γῆς ἐκ
σπερμάτων καὶ ῥιζῶν φύεται καὶ ὅσα ἄψυχα ἐκ γῆς ἐν p. 4 C.
γῇ ξυνίσταται σώματα τηκτὰ καὶ ἄτηκτα, μῶν ἄλλου τι-
νὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν ὕστερον γίγνεσθαι
πρότερον οὐκ ὄντα; ἢ ⟨τῷ⟩ τῶν πολλῶν δόγματι χρώ-
μενοι. — Ποίῳ τῳ; — Τὴν φύσιν αὐτὰ γεννᾶν ἀπό τινος
αἰτίας αὐτομάτης καὶ ἄνευ διανοίας φυούσης, ἢ μετὰ λό-
γου τε καὶ ἐπιστήμης θείας ἀπὸ θεοῦ γιγνομένης; —
⟨Ἐγὼ μὲν ἴσως⟩ διὰ τὴν ἡλικίαν πολλάκις ἀμφότερα με-
ταδοξάζω· νῦν μὲν βλέπων εἰς σὲ καὶ ὑπολαμβάνων ⟨οἴε-
σθαί σε⟩ κατὰ θεὸν αὐτὰ γίγνεσθαι, ταύτῃ καὶ αὐτὸς νενό-
μικα. — Καλῶς γε, ὦ Θεαίτητε, καὶ εἰ μέν σε ἡγούμεθα τῶν
εἰς τὸν ἔπειτα χρόνον ἄλλως πως δοξαζόντων εἶναι, νῦν
ἂν τῷ λόγῳ μετὰ πειθοῦς ἀναγκαίας ἐπεχειροῦμεν ποιεῖν
ὁμολογεῖν· ἐπειδὴ δέ σου καταμανθάνω τὴν φύσιν, ὅτι
καὶ ἄνευ τῶν παρ' ἡμῶν λόγων αὐτῇ πρόσεισιν ἐφ' ἃ νῦν
ἕλκεσθαι φῄς, ἐάσω· χρόνος γὰρ ἐκ περιττοῦ γίγνοιτ' ἄν·
ἀλλὰ θήσω τὰ μὲν φύσει λεγόμενα ποιεῖσθαι θείᾳ τέχνῃ,

---

1 λάτωνος κ τοῦ F ‖ **2** inde a *ποιητικῆς δὴ* inc. P f. 5 r | *δύο ἔστω* Plat. | *ποίω; τὸ* Plat., *ποίων; τὸ* F, *ποίων τὰ* P¹ *ποιοῦντα τὸ* P² mrg ‖ **4** *ποιητικήν* Plat., *ποιητικόν* F ‖ **6** *προτέραν* Plat. Bodl. | *μεμάθηκα* FP, *μεμνήμεθα* Plat.: *μεμαθήκαμεν* Gaisford, nescio unde ‖ **7** *καὶ δὴ καὶ* FP, *καὶ* Plat.: *καὶ δὴ* Gaisford ‖ **7** *ἐπὶ γῆς* om. P ‖ **8** *ἐκ γῆς* om. Plat.; fort. delenda ut varia lectio proximorum ‖ **8. 9** *ἐν γῇ* F Plat., *ἢ γῇ* P ‖ **9** *ξυνίστησι* P² ‖ **11** *ἢ τῷ* Plat., *ᾗ* FP | ante *τῶν* add. Plat. *τῷ* | post *δόγματι* add. Plat. *καὶ ῥήματι* ‖ **12** *ποίῳ τῳ*; Plat. (quod restitui), *ποιητῶν* FP continuata oratione ‖ **13** *αὐτομάτου* P² ‖ **14** ante *θεοῦ* add. P *τοῦ* ‖ **15** *ἐγὼ μὲν ἴσως* addidi ex Platone, FP continuant orationem ‖ **16** *μὲν* FP, *μὴ* Plat., Bodl. al., *μὴν* Plat. cet. ‖ **16. 17** *οἴεσθαί σε* add. Plat. ‖ **17** *κατά γε* Plat. ‖ **18** *μέν γέ σε* Plat. | *τῶν* FP Plat.: *τὸν* Gaisford ‖ **20** *ἐπεχειροῦμεν* Plat., *ἐπιχειροῦμεν* FP ‖ **22** *αὐτῇ* FP¹, *αὐτὴν* P², *αὐτὴ* Plat. | *ἅπερ* Plat. ‖ **23** *εἰάσω* F

τὰ δ' ἐκ τούτων ὑπ' ἀνθρώπων ξυνιστάμενα ἀνθρωπίνῃ, καὶ κατὰ τοῦτον δὴ τὸν λόγον δύο ποιητικῆς γένη, τὸ μὲν ἀνθρώπινον εἶναι, τὸ δὲ θεῖον. — Ὀρθῶς.

39 Ὀνάτου ἐκ τοῦ περὶ θεοῦ καὶ θείου.

Ὁ μὲν θεὸς τὰ τῶν ἄλλων ζῴων ἐπαΐει, οὔτε νοητῶς οὔτε ἐπαϊστῶς, εἰ μή τισι πάγχυ ὀλίγοις τῶν ἀνθρώπων. καὶ δυνάμιες δ' αὐτῷ ἀλήθεια· ὧν οἶμαι νομεὺς εἰ ἐναργέα τε καὶ ἐπαϊστά. αὐτὸς μὲν γὰρ ὁ θεός ἐστιν νόος καὶ ψυχὰ καὶ τὸ ἀγεμονικὸν τῷ σύμπαντος κόσμω· τᾶ δὲ δυνάμιες αὐτῷ τἀλήθεια, ὧν οἶμαι νομεῖς, τά τ' ἔργα καὶ τᾶ πράξεες καὶ τᾶ κατὰ τὸν σύμπαντα κόσμον ἐπιστρωφώσιες. Ὁ μὲν ὢν θεὸς αὐτὸς οὔτε ὁρατὸς οὔτε αἰσθητός, ἀλλὰ λόγῳ μόνον καὶ νόῳ θεωρατός· τὰ δ' ἔργα αὐτῷ καὶ τᾶ πράξιες ἐναργέες τε καὶ αἰσθητὰ ἔντι πάντεσσιν ἀνθρώποις. Δοκίει δέ μοι καὶ μὴ εἷς εἶμεν ὁ θεός, ἀλλ' εἷς μὲν ὁ μέγιστος καὶ καθυπέρτερος καὶ ὁ κρατέων τῷ παντός, τοὶ δ' ἄλλοι πολλοὶ διαφέροντες

---

1 *συνιστάμενα* FP ‖ **3** *εἶναι* om. P ‖ **4** *(Ὀ)νάτου* F | *(κ)αὶ* F (*κ* om. pro rubr., add. m. x) ‖ **5—15** haec posui qualia leguntur in F, a quo dissentit P in his: 7 *αὖ τῷ ἀλήθει*, 9 *ψυχῆς*, ibid. *συμπάντως*, ibid. *δυνάμ* et spatium, 9. 11 (bis). 14 *τὰ* pro *τᾶ* (14 m. 2 corr. *ταὶ*), 11. 12 *ἐπιστροφώσιες*, 14. 15 *πάντεσιν*. leviuscula quaedam facile corriguntur, totum probabiliter emendari nequit: videmus enim hic bis terve easdem res eademque verba repeti ita ut antiqui correctores variis modis lacinias quasdam traditas restituisse et explicasse videantur; sententia tamen haec fere fuit: *ὁ μὲν ὢν θεὸς τὰ τῶν ἄλλων ζῴων ⟨ὁρῇ καὶ⟩ ἐπαΐει, οὔτε θαητὸς ⟨ἐὼν⟩ οὔτε ἐπαϊστὸς ⟨αὐτός⟩, ἀλλὰ λόγῳ μόνον καὶ νόῳ θεωρατός· αὐτὸς μὲν γὰρ ὁ θεός ἐντι νόος καὶ ψυχὰ καὶ τὸ ἀγεμονικὸν τῷ σύμπαντος κόσμω. ⟨οὐδὲ νοατός ἐστι,⟩ αἱ μή τισι πάγχυ ὀλίγοις τῶν ἀνθρώπων. ταὶ δὲ δυνάμιες αὐτῷ τἀγαθά τε ὢν οἰκονόμος τά τ' ἔργα καὶ ταὶ πράξιες καὶ ταὶ κατὰ τὸν σύμπαντα κόσμον ἐπισιρωφάσιες ἐναργέες τε καὶ αἰσθηταί ἐντι πάντεσσιν ἀνθρώποις.* praeter dialectica coniecit pro *νοητός* Heeren *ὁρατὸς ὤν*, pro *τἀλήθεια* idem *αἰσθηταὶ* et transposuit *ὧν οἶμαι νομεύς* post *τά τ' ἔργα*, Iacobs ep. crit. p. 227 pro *νοητὸς* coni. *θεατὸς* et *ὧν οἰκονόμος* pro *ὧν οἶμαι νομεύς* (Hense mavult *ὧν οἴμας νομεύει*), Meineke post *ἐπαΐει* addi voluit *καὶ ὁρῇ αὐτὸς* ‖ **15** *δοκείει* F, *δοκέει* P: *δοκίει* Meineke | *ὁ* ante *θεὸς* (15) del. Meineke ‖ **17** *τοὶ* corr. Meineke pro *οἱ* | *πολλῷ* Meineke

κατὰ δύναμιν· βασιλεύει δὲ πάντων αὐτῶν ὁ καὶ κράτει καὶ μεγέθει καὶ ἀρετῇ μέζων. Οὗτος δέ κ' εἴη θεὸς ὁ [96]
περιέχων τὸν σύμπαντα κόσμον, τοὶ δ' ἄλλοι θεοὶ οἱ θέοντές ἐντι κατ' οὐρανὸν σὺν τᾷ τῶ παντὸς περιαγήσι,
κατὰ λόγον ὀπαδέοντες τῷ πράτῳ καὶ νοατῷ. Τοὶ δὲ λέγοντες ἕνα θεὸν εἶμεν, ἀλλὰ μὴ πολλὼς ἁμαρτάνοντι· τὸ γὰρ μέγιστον ἀξίωμα τᾶς θείας ὑπεροχᾶς οὐ συνθεωρεῦντι. Λέγω δὴ τὸ ἄρχεν καὶ καθαγέεσθαι τῶν ὁμοίων καὶ κράτιστον καὶ καθυπέρτερον εἶμεν τῶν ἄλλων. Τοὶ δ'
ἄλλοι θεοὶ ποτὶ τὸν πρᾶτον θεὸν καὶ νοατὸν οὕτως ἔχοντι, ὥσπερ χορευταὶ ποτὶ κορυφαῖον καὶ στρατιῶται ποτὶ στραταγὸν καὶ λοχῖται καὶ ἐντεταγμένοι ποτὶ ταξιάρχαν καὶ λοχαγέταν, ἔχοντες φύσιν ἕπεσθαι καὶ ἐπακολουθὲν τῷ καλῶς καθαγεομένῳ. ξυνὸν μὲν ὦν αὐτῶν τὸ ἔργον ἐστὶ
καὶ τῶ ἄρχοντος καὶ τῶν ἀρχομένων, ἀλλ' οὔ κ' ἔτι δύναιντο συντετάχθαι τοὶ ἀρχόμενοι ποτὶ τὸ ἔργον ἀπολειφθέντες ἀγεμόνος, ὥσπερ οὔτε χορευταὶ ποτὶ συναοιδίαν, οὔτε στρατιῶται ποτὶ στρατήαν, ἀπολειφθέντες τοὶ μὲν στραταγῶ, τοὶ δὲ κορυφαίω.
Τοιαύτα δὲ φύσις οὐδενὸς ποτιδεῖται, οὔτε συγγενέος [98]

---

1 *βασιλεύει* FP, *βασιλεύειν* coni. Aug.: corr. Heeren ‖ **2** *μέζων* FP | *κ' εἴη* FP: *κα εἴη* Meineke ‖ **3. 4** *θέοντες εἰσὶ* FP: corr. Heeren ‖ **4** *σύν τε τῶ* FP: corr. Heeren | *περιαγήσει* FP ‖ **6** *πολλῶς* FP: corr. Heeren ‖ **7** *τῆς* et *ὑπεροχῆς* FP ‖ **7. 8** *συνθεο*(m. 2 *ο* corr. in *ω*)*ροῦντι* P ‖ **8** *καθεγεέσθαι* P ‖ **10** *τὸν πρᾶτον – χορευταὶ ποτὶ* (11) om. P | *νοητὸν* F ‖ **12** *λοχίτα* FP: corr. Heeren | *ἐντεταγμένοι* FP: *συντεταγμένοι* Meineke; sed cf. Xenoph. An. III 3, 18 ‖ **13** *λογαρχέταν ἔχοντε* P | *φύσιν*] *τάξιν* Heeren ‖ **14** *καθηγεομένῳ* FP | *ξοινὸν* FP: corr. Gaisford | *ἐστὶν* P: *ἐντὶ* Heeren ‖ **15** *ἄρχοντι* P | *οὐκ ἔτι* P, *οὐκέτι* F: correxi, *οὔ κα ἔτι* Meineke, *οὔ κά τοι* Badham ‖ **15. 16** *δύναντο* FP: corr. Heeren ‖ **16** *τ' οἱ* F ‖ **17** et **18** *οὔτε – οὔτε* scripsi pro *οὐδὲ – οὐδὲ* | *χορευταὶ* FP: *ἀοιδοὶ* quod in Vat. coniectum recep. edit., sed vide v. 11 ‖ **18** *στρατιγὸν* FP: *στρατήαν* scripsi, *στραταγίαν* Canter | post *ἀπολειφθέντες* add. FP *ἀγεμόνος*, quod del. Heeren ‖ **19** *τοὶ δὲ*] lac. 5 litt. P | post *κορυφαίω* nova incipit ecloga in FP, in P 5 punctis signata ‖ **20** *οιαῦτα* (litt. init. pro rubr. om.) F, *τοιαῦτα* P: *τοιαύτα* Heeren | tria prima verba vix sana: coniecerim *Τοῦ αὐτοῦ* (tituli instar). *Θεὸς φύσι* | *προσδεῖται* FP: corr. Meineke | *συγγενέος* FP

οὔτε ἔξωθεν· διόπερ οὔτε ἐκ δύο συνάρμοκται, ψυχᾶς καὶ σώματος (καὶ γὰρ διόλω ἐστὶ ψυχά), οὔτε ἐναντίων τινῶν (τα γὰρ ἐναντία καὶ κρατὲν καὶ κρατεῖσθαι πέφυκεν). Ἃ δέ γα τῶ σώματος κρᾶσις μιαίνει τὸ καθαρὸν τᾶς ψυχᾶς, ἃ μὲν γὰρ ἀκήρατος καὶ θεῖόν ἐστι, τὸ δὲ θνατὸν καὶ θολομιγές· οὕτω δὲ μιαίνει καὶ μόλιβδος χρυσὸν καὶ πᾶν
p. 7, ult. C. τὸ τᾷ φύσι γνήσιον τὸ νόθον. Ὅλως δὲ τὸ σῶμα τοῖς
p. 8 C. θνατοῖς δέδωκεν ὁ θεὸς ζῴοις δι' ἀιδίαν ἀνάγκαν καὶ ἄφυκτον. Φύσι γὰρ ἄπορον καὶ πτωχὸν πᾶν τὸ γενέσιος κεκοινωνηκός.

Θεὸς μὲν ὢν ἔστι, καθάπερ ἐν ἀρχᾷ τῶ λόγω εἶπον,
[100] αὐτὸς γὰρ ἀρχὰ καὶ πρᾶτον· θεῖος δὲ ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ δινεύμενα πανταχῶς. ὁμοίως δὲ καὶ δαίμων ἐστὶν ἃ ψυχὰ (αὐτὰ γὰρ ἄρχει καὶ κινεῖ τὸ διόλω ζῷον)· δαιμόνιον δὲ τὸ σῶμα καὶ τὰ τούτω γε πάντα. δεῖ ὢν οὕτω διαιρέν, θεὸν καὶ θεῖον καὶ δαίμονα καὶ δαιμόνιον.

40 Ἀρριανου Ἐπικτητείου ἐκ τοῦ Περὶ εὐαρεστήσεως (I 12, 1—7).

Περὶ θεῶν οἳ μέν τινές εἰσιν οἱ λέγοντες, μηδὲ εἶναι τὸ θεῖον· οἳ δὲ εἶναι μέν, ἀργὸν δὲ καὶ ἀμελὲς καὶ μὴ

---

1 δύο συνάρμοσται FP: δυοῖν ἅρμοσται Badham (ἄρμοκται Meineke) | ψυχᾶ FP: corr. Canter ‖ **2** οἱ γὰρ FP: καὶ γὰρ Meineke, ὅς γα Badham | δι' ὅλων FP: corr. Heeren | ἐντὶ Heeren | ἐναντίον P ‖ **4** γε FP | τοῦ FP ‖ **5** θεῖόν P, θεῖός F | ἐστιν P: ἐντὶ Heeren | θαντὸν (m. 2 supra α sprscr. ·.·) P ‖ **6** θολομογές F, θαμολογές P: corr. Heeren | μιαίνειν P | μόλιβδος P, μόλυβδος F ‖ **7** τό, τε φύσει FP: corr. Meineke | voce νόθον expl. P f. 6r med.; inde ab ὅλως inc. P f. 10r med. ‖ **8** δέδυκεν P (υ m. 2 corr. in ω) | ἀειδίαν ἀνάγκαν FP ‖ **9** φύσει FP | γενέσεως FP ‖ **11** nova ecloga incipit in FP; ante θεὸς 8 puncta in P | ἐστι FP: ἐντι Heeren | ἐναρχὰ P ‖ **12** γὰρ om. P | πρῶτον F ‖ **13** δινούμενα FP | πάντα. ὡς ὁμοίως δὲ FP: πανταχῶς. ὁμοίως δὲ scripsi, ἅπαντα. ὡς ὁμοίως τε Heeren, πάντα. ὁμοίως δὲ Meineke | ἐντὶ Heeren ‖ **15** δὲ] γε Heeren | δεῖ ὢν corr. Badham pro δι' ὢν ‖ **16** διαιρεῖν FP | nonne ultimum enuntiatum iterum grammaticum interpolatorem sapit? ‖ **17** eclogam Arrhiani olim cum Fabricio capiti alteri tribui quod nunc minus placet | Ἐπικτητίου P ‖ **19** εἰσὶ λέγοντες Arrh. praeter Paris. c | μηδὲ Arrh., μηδὲν FP ‖ **20** οἳ δὲ ⟨οἱ⟩ Usener

προνοεῖν μηδενός· τρίτοι δέ, οἱ καὶ εἶναι καὶ προνοεῖν, ἀλλὰ τῶν μεγάλων καὶ οὐρανίων, τῶν δὲ ἐπὶ γῆς μηδενός· τέταρτοι ⟨δὲ⟩ οἱ καὶ τῶν ἐπὶ γῆς καὶ τῶν ἀνθρωπίνων, εἰς κοινὸν δὲ μόνον καὶ οὐχὶ καὶ κατ' ἰδίαν ἑκάστου· πέμπτοι δὲ, ὧν ἦν καὶ Ὀδυσσεὺς καὶ Σωκράτης, οἱ λέγοντες ὅτι

οὐδέ σε λήθω
κινύμενος (Hom. *K* 279. 280).

Εἴπερ οὖν ὑγιῶς λέγεται τέλος εἶναι τὸ ἕπεσθαι θεῷ, [102] *ἀναγκαῖον περὶ ἑκάστου τούτων ἐπεσκέφθαι. Εἰ γὰρ μὴ εἰσὶ θεοί, πῶς ἐστι τέλος ἕπεσθαι θεοῖς; Εἰ δὲ εἰσὶ μέν, μηδενὸς δὲ ἐπιμελούμενοι, καὶ οὕτω πῶς ὑγιὲς ἔσται; Ἀλλὰ δὴ καὶ ὄντων καὶ ἐπιμελουμένων, εἰ μηδεμία διάδοσις εἰς ἀνθρώπους ἐστὶν ἐξ αὐτῶν καὶ νὴ Δία γε καὶ εἰς ἐμέ, πῶς ἔτι καὶ οὕτως ὑγιές ἐστιν; Πάντα οὖν ταῦτα ὁ καλὸς κἀγαθὸς ἐπεσκεμμένος τὴν αὑτοῦ γνώμην ὑποτέταχε τῷ διοικοῦντι τὰ πάντα, καθάπερ οἱ ἀγαθοὶ πολῖται τῷ νόμῳ τῆς πόλεως.*

CAPVT II.

ΠΕΡῚ ΤΩ̂Ν ΝΟΜΙΖΌΝΤΩΝ ΜῊ ΕἾΝΑΙ ΠΡΌΝΟΙΑΝ ΚᾺΙ ΕΠΟΜΈΝΑΣ ΤΆΥΤΗΙ ΘΈΙΑΣ ΕΠῚ ΤΗΙ̂ ΤΟΥ̃ ΠΑΝΤῸΣ ΔΙΟΙΚΉΣΕΙ ΔΥΝΆΜΕΙΣ.

Ex poetis hic probabiliter (v. infra) collocavit Stobaeus hanc eclogam: *Σοφοκλῆς Οἰδίποδι* (Oed. Tyr. 978. 979). *Πρό-*

---

1 *τρίτοι* Arrh., *τρίτον* FP | *οἱ* Arrh., *εἰ* (m. ead. *οι* sprscr.) F, *εἰ* (ead. m. *οἱ* sprscr.) P ‖ **2. 3** *τέταρτοι δὲ καὶ* Arrh., *τέταρτον οἱ καὶ* FP ‖ **3** *ἀνθρωπίνων* FP, *οὐρανίων* Arrh. ‖ **4** *καὶ οὐχὶ καὶ* FP, *οὐχὶ δὲ καὶ* Arrh. cet., *οὐχὶ δὲ* Arrh. Par. *b* | *πέμπει* (m. 2 corr. in *πέμπτοι*) P ‖ **6** *οὐδὲ* Hom. Arrh., *οὐδὲν* FP ‖ **8** *εἴπερ – ἀναγκαῖον* (10)] *πολὺ πρότερον οὖν ἀναγκαῖόν ἐστι* Arrh. ‖ **9** *ἐπεσκέφθαι* Arrh., *ἐπισκέφθαι* FP | post *ἐπεσκέφθαι* add. Arrh. *πότερα ὑγιῶς ἢ οὐχ ὑγιῶς λεγόμενόν ἐστιν* ‖ **11** *οὕτως* FP | *ὑγιὲς* Arrh., *ὑγιῶς* FP | *ἐστιν* Usener ‖ **13** *τοῖς ἀνθρώποις* Arrh. Par. *a* ‖ **15** *καλῶς* (ead. m. *ὁ* supra *ῶ* sprscr.) F | *καὶ ἀγαθὸς* P | *ἐπεσκεμμένως* FP (in quo *ω* m. 2 corr. in *ο*) | *αὐτοῦ* FP ‖ **16** *τὰ ὅλα* Arrh. ‖ **18** Totum caput deperditum est in codicibus, item in flor. Laur., in cuius cap. *A* 65 receptum fuit: titulum ex Photio petii ‖ **23** Sophoclis versus huc traxi

νοια δ' ἐστὶν οὐδενὸς ⟨σαφῆς·⟩ | εἰκῇ κράτιστον ζῆν, ὅπως δύναιτό τις. Ex pinacographo Photiano constat praeterea de alterius poetae nomine quod est *Μύρων* (cf. Elter de Stob. cod. Phot. p. 55).

Inter scriptores laudatae fuerunt sententiae philosophorum *Ἀρχαινέτου*, *Ἀρκεσιλάου*, *Εὐσεβίου* (cf. Elter p. 12. 41); recteque Dilesius Doxogr. p. 59 sq. huc traxit Epicuream quandam disputationem apud Plutarchum de plac. phil. I 7, 1—10, ex Aetio eam petitam, quod ipsum *Καλλιμάχου* nomen demonstrat in philosophorum indice apud pinacographum Photianum lectum: cf. Dilesium mus. Rhen. XXXVI p. 348 sq. contra Elterum p. 22 recte se defendentem. legebatur igitur inter philosophorum placita Callimachi sententia qualis est apud Plutarchum l. s. § 1 (cf. etiam § 3).

Dubia quaedam vide in prooemio commemorata.

CAPVT III (IV Heer.).

[104] **ΠΕΡΙ ΔΙΚΗΣ ΠΑΡΑ ΤΟΥ ΘΕΟΥ ΤΕΤΑΓΜΕΝΗΣ ΕΠΟΠΤΕΥΕΙΝ ΤΑ ΕΠΙ ΓΗΣ ΓΙΓΝΟΜΕΝΑ ΥΠΟ ΤΩΝ ΑΝΘΡΩΠΩΝ, ΤΙΜΩΡΟΥ ΟΥΣΗΣ ΤΩΝ ΑΜΑΡΤΑΝΟΝΤΩΝ.**

1 *Ἡσιόδου Ἔργων* (276—279).

Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεεινοῖς
ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἔστιν ἐν αὐτοῖς·
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη.

---

nixus auctoritate Theophili qui ad Autolycum II 8 p. 86^{C} ubi ex eodem fonte atque Stobaeus hausit (cf. Diels in Rhen. mus. XXX p. 171 sq. et p. 179) haec scripsit: *ἕτεροι δ' αὖ εἶπον πρόνοιαν εἶναι . . . Ἄρατος μὲν οὖν φησιν· 'ἐκ Διὸς κτλ.'* (Phaen. 1—9). *τίνι οὖν πιστεύσομεν πότερον Ἀράτῳ ἢ Σοφοκλεῖ λέγοντι· 'πρόνοια — τις'*; (distat quam Diels p. 178 laudavit ecloga apud Stob. ecl. I 7, 4)

1 *σαφὴς* add. Soph. ‖ **17** titulus recurrit in indice florilegii Laurentiani litt. *Δ* n. 30 | *τοῦ* om. Laur. ‖ **18** *ἐπὶ γῆς* om. Phot. | *γινόμενα* P Phot. Laur. ‖ **18. 19** *τιμωροῦ οὔσης* Laur., *τιμωρὸν οὖσαν* FP et Phot. ‖ **20** lemma habet F mrg, P in textu ‖ **23** F mrg man. x add. *δίκῃ* ‖ **24** *δίκην* om. F

2 *Σοφοκλῆς* (Oed. Tyr. 551. 552).

Εἴ τοι νομίζεις ⟨ἄνδρα⟩ συγγενῆ κακῶς
δρῶν οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.

3 ⟨Tragici incerti (Eurip. Oedip. fr. 559 N.).⟩

Ὁρῶ γὰρ χρόνῳ
δίκαν πάντ' ἄγουσαν εἰς φῶς βροτοῖς.

4 ⟨Tragici incerti (fr. adesp. 403 N.).⟩ [106]

Φθείρει γὰρ ἡ πρόνοια τὴν ἀβουλίαν.

5 ⟨*Εὐριπίδου* (Ion. 440. 441).⟩

Ἀρετὰς δίωκε· καὶ γὰρ ὅστις ἂν βροτῶν
κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί.

6 *Εὐριπίδης Οἰδίποδος* (= trag. fr. adesp. 404 N.).

Οὐ δῆκταί πως κύνες οἱ θεοί,
ἀλλ' ἡ Δίκη γὰρ καὶ κατὰ σκότου βλέπει.

7 ⟨*Σοφοκλέους* (fr. inc. 873 N.).⟩

Θεοῦ δὲ πληγὴν οὐχ ὑπεκπηδᾷ βροτός.

8 ⟨Tragici incerti (fr. adesp. 283 N.).⟩

Εἱμαρμένον δὲ τῶν κακῶν βουλευμάτων
κακὰς ἀμοιβὰς ἐστι καρποῦσθαι βροτούς.

9 ⟨Tragici incerti (fr. adesp. 405 N.).⟩

Οὐχ εὕδει Διὸς
ὀφθαλμός, ἐγγὺς δ' ἐστί, καίπερ ὢν πρόσω.

---

1 lemma habet F mrg, om. P ‖ **2** *εἴ τοι* Soph., *εἶτ' οὐ* F, *εἶτ' οὐ* P: *εἶτ' οὖν* Heeren | *ἄνδρα* add. Soph. ‖ **3** *δρῶν* P^2 Soph., *δρῶντ'* FP^1 | *ὑφέξεις* P ‖ **4** *Εὐριπίδης Οἰδίποδι*, quod adscriptum est in F infra v. 13 (ecl. 6), huc temere traxit Heeren ‖ **5** *ἐν χρόνῳ* Grotius ‖ **6** *δίκαν* FP | *ἅπαντ'* Grotius | *φάος* FP: *φῶς* Nauck ‖ **8** num *εὐβουλίαν*? ‖ **11** *πεφύκῃ* Eur. Vatic. 909, Iustin. mart. de mon. I p. 128, *πέφυκε* FP ‖ **12** lemma hic hab. F mrg, P om. ‖ **13** *οὐ λαθροδῆκταί γ' εἴσ' ὅπως κυνὲς θεοὶ* Blomfield, *οὐ δῆκταί γέ πως κύνες θεοί* Meineke | *δῆκταί γ' ὅπως* Grotius ‖ **14** *κατὰ σκότους* FP: *κατὰ σκότου* Meineke, *κατασκότους* Nauck ‖ **15** Sophocli adscripsit h. v. (eodem florilegio usus atque Stobaeus) Theophilus ad Autol. II 8; inter Menandrea monosticha relatus est v. 251 ‖ **16** *πηκτὴν* Meineke | *ὑπεκπηδᾷ* pro *ὑπερπηδᾷ* corr. nescio quis ‖ **17** sine auctoris nomine h. v. affert Plutarch. Mor. p. 23^E, sine lemmate iterum Stobaeus flor. V 8; Euripidis Oedipodi tribuit Grotius h. l. nixus ‖ **18** *δὲ*] *γὰρ* Plut. ‖ **21** *εὕδει* FP: *εὕσει* Heeren ‖ **22** *πόρρω* F, *πόνω* P: *πρόσω* Huschke anal. crit. p. 265

[108] 10 ⟨Tragici incerti (fr. adesp. 406 N.).⟩

Οὐ γάρ τις, οὐδὲ χρημάτων ὑπεργέμων,
νόμον μιαίνων ἀσφαλῶς γηράσεται·
ἀλλ' ἡμέρας ἢ νυκτὸς ἡ Δίκη ποτὲ
τῷ δυσσεβοῦντι σῖγ' ἔχουσ' ἐνήλατο.

11 ⟨Tragici incerti (fr. adesp. 407 N.).⟩

Τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς.

12 ⟨Tragici incerti (fr. adesp. 408 N.).⟩

Δαίμων βροτοῖσι πόλλ' ἀνευρίσκει κακά.

13 ⟨Ἡσιόδου Ἔργων (706).⟩

p. 8, 34 C. *Εὖ δ' ὅπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.*

14[a] *Εὐριπίδης Μελανίππῃ* (fr. 508 N.).

Δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς
πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς
[110] *γράφειν τιν' αὐτά, Ζῆνα δ' εἰσορῶντά νιν*
θνητοῖς δικάζειν; οὐδ' ὁ πᾶς ἂν οὐρανὸς
Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας
ἐξαρκέσειεν, οὐδ' ἐκεῖνος ἂν σκοπῶν
πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ Δίκη
ἐνταῦθά ποὔστιν ἐγγύς, εἰ βούλεσθ' ὁρᾶν.

14[b] ⟨Tragici incerti (fr. adesp. 409 N.).⟩

Λύπας μὲν ἀνθρώποισιν, ὦ γύναι, θεοὶ
τοῖσιν διδοῦσιν, οὓς ἂν ἐχθαίρωσ', ἐπεὶ
οὔ σφιν πονηρόν ἐστιν.

15[a] *Εὐριπίδης Φρίξῳ* (fr. 832, 1—4 N.).

Ὅστις δὲ θνητῶν οἴεται τοὐφ' ἡμέραν
κακόν τι πράσσων τοὺς θεοὺς λελῆθέναι,

---

2 οὔτε FP: οὐδὲ Erfurdt | ὑπεργεγὼς FP: ὑπεργέμων Erfurdt ‖ **3** γηράσεται FP: γηράσκεται Heeren ‖ **9** πολλὰ FP ‖ **12** lemma habet F mrg, P in textu ‖ **16** ὁ πασοῦν F, ὁποσοῦν P: ὁ πᾶς ἂν Grotius, ὁ πᾶς οὖν Canter ‖ **17** γράφοντας P ‖ **21** cum Grotio hos tres versus separavit Nauck ‖ **22** αὗτας FP[1], ταύτας P[2]: λύπας Nauck ‖ **23** τοῖσι FP: τίσεις Grotius, πᾶσιν Nauck ‖ **25** lemma F habet mrg, P in textu | εὐριπίδου P | φρίξῳ P[2], φρίζῳ FP[1] ‖ **26** θνητῶν FP[2], βροτῶν P[1]

δοκεῖ πονηρὰ καὶ δοκῶν ἁλίσκεται, [112]
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη.

15[b] ⟨Tragici incerti (= Eur. fr. 832, 5 N.).⟩
Τιμωρίαν ἔτισεν ὧν ἔρξεν κακῶν.

16 ⟨Tragici incerti (fr. adesp. 410 N.).⟩
Ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ' ἰδεῖν.

17 ⟨Tragici incerti (frg. adesp. 411 N.).⟩
Ἔσθ', ὡς ἔοικεν, ἔστιν οὐχ ὁρώμενον
τοῖς ζῶσιν ἡμῖν οὐδὲ προσδοκώμενον
δαιμόνιον, ᾧ μέλει τι τοῦ θνητοῦ βίου.

18 ⟨Εὐριπίδου (Elect. 953—956.).⟩
Δίκην δέδωκας· ὥστε τις κακουργίας
μή μοι τὸ πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς,
νικᾶν δοκείτω τὴν Δίκην, πρὶν ἂν τέλος [114]
γραμμῆς ἵκηται καὶ πέρας κάμψῃ βίου.

19 Διονυσίου (fr. 5 p. 617 N.).
Ὁ τῆς Δίκης ὀφθαλμός, ὡς δι' ἡσύχου
λεύσσων προσώπου, πάνθ' ὁμῶς ἀεὶ βλέπει. p. 9C.

20 Σοφοκλῆς Αἴαντι (758—761).
Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα

---

1 *καὶ δοκῶν* Sext. Emp. p. 661, 28, *κἀδικῶν* F, *κἀδίκων* P ‖ **2** *τυγχάνει* F, *τυγχάνοι* P ‖ **3** hunc v. ab antecedentibus, quibuscum cohaeret in FP, separavit Wecklein, *Stud. z. Eurip.* p. 355 sq. ‖ **4** ante *ἔτισεν* add. *τ'* Musgrave h. v. cum prioribus nectens | *ἦρξε* FP: *ἔρξεν* Wecklein ‖ **5** h. v. inter Menandrea monosticha relatus v. 695 ‖ **6** *εἰς τὰ πάντ'* FP: *ἔσθ' ἅπαντ'* Nauck | *πάνθ' ὁρᾶν* Men. ‖ **8** *ἔσθ' ὡς* P[2], *ἐστὼς* FP[1] | *ὁρόμενον* P[1] ‖ **10** *ᾧ* P[1] | *μέλλει* FP | *τι* FP: *τὰ* Heeren ‖ **12** *ὥστε* (*ὅστε* P) *τῆς ἐπικουρίας* FP, *ὧδέ τις κακοῦργος ὢν* Eur.: *ὥστε τις κακουργίας* scripsi, *ὥστε τῇδ' ἐπουρίσας* Täuber ‖ **13** *τῷ* P[1] | *βῆμ' ἀὰν* P[1], *βῆμα ἄν* P[2] ‖ **14** *τέλος* FP et Orion anth. Eurip. 15, *πέλας* Eur. ‖ **15** *ἵκηται* P Eur. Or., *ἵκοιτ'αι* F | *πέρας* Or., *τέλος* FP Eur. ‖ **16** hoc lemma secundo versui, a quo novam incipiunt eclogam, praemittunt F (in quo *Δ* om. pro rubr.) P (in quo m. 2 nomen transfixum); Dionysio utrumque versum adscripsit eodem florilegio usus Theophilus ad Autol. II 38 ‖ **17** *δι' ἡσύχου* FP[2], *δ' ἡσύχου* P[1] ‖ **18** *λεύσσων* P, *(λ)εύσσων* F | *ὅμως* FP: *ὁμῶς* Canter ‖ **19** lemma habet f mrg (in quo *βίαντι*), om. P[1], *σοφοκλέους* add. P[2] mrg

πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσει
βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονῇ.

21 *Εὐριπίδου* (fr. inc. 969 N.).

Οὗτοι προσελθοῦσ' ἡ Δίκη σε πώποτε
παίσει πρὸς ἧπαρ, οὐδὲ τῶν ἄλλων βροτῶν
[116] *τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ*
στείχουσα μάρπτει τοὺς κακοὺς ἀεὶ βροτῶν.

22 *Θεοδέκτου* (fr. inc. 8 p. 625 N.).

Ὅστις δὲ θνητῶν μέμφεται τὰ θεῖ', ὅτι
οὐκ εὐθύς, ἀλλὰ τῷ χρόνῳ μετέρχεται
τοὺς μὴ δικαίους, πρόφασιν εἰσακουσάτω·
εἰ μὲν παραυτίκ' ἦσαν αἱ τιμωρίαι,
πολλοὶ διὰ φόβον κοὐ δι' εὐσεβῆ τρόπον
[118] *θεοὺς ἂν ἦξον· νῦν δὲ τῆς τιμωρίας*
ἄπωθεν οὔσης, τῇ φύσει χρῶνται βροτοί.
ὅταν δὲ φωραθῶσιν ὀφθέντες κακοί,
τίνουσι ποινὰς ὑστέροισιν ἐν χρόνοις.

23 *Εὐριπίδου Ἀνδρομέδας* (fr. 149 N.).

Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διὸς
ἐγγύς τε ναίειν τῆς βροτῶν τιμωρίας.

24 *Αἰσχύλου* (dub. fr. 444 N.).

Δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται.

---

1 *πίπτει* P¹ | *ἐνπραξίαις* P¹ ‖ **2** *ἔφασχ'* P² Soph., *ἔφασκ'* FP¹ | *φύσει* FP, *φύσιν* Soph. ‖ **4** lemma habent mrg FP (in quo ad alterum v. adscriptum) ‖ **5** *οὔτοι* Plut. Mor. p. 549ᴬ, *οὔτι* FP | *πώποτε*] *μὴ τρέσῃς* Plut. ‖ **6** *ἧπερ* P¹ ‖ **7** *σῖγα* Plut., *σιγῇ* FP ‖ **8** *μάρπτει* P² Plut., *μάρπει* FP¹: *μάρψει* Meineke ‖ **9** lemma habent mrg FP (in quo ad v. 12 adscriptum) ‖ **13** *γὰρ παρ' αὐτίκ'* FP: *παραυτίκ'* Nauck, *γὰρ αὐτίκ'* vulgo | *ἦσαν* Nauck ‖ **14** *κοὐ* F, *καὶ οὐ* P ‖ **15** *ἠῦξαντο* FP², *ἠῦξατο* P¹: *ἦξον* Meineke in diar. ant. litt. 1844 p. 13 ‖ **16** *ἄπωθεν* P², *ἄποθεν* FP¹ ‖ **17** *βουραθῶσιν* P¹ | *ὀφθέντες* corruptum, *ἔρξαντες* vel *ληφθέντες* Meineke ‖ **18** *ἐν* FP ‖ **19** lemma in F qui versus continuat hic deest, sed ad 16. 17 mrg adscriptum *εὐριπίδου ἀνδρομάχου*; in P iam ad v. 15 mrg *εὐριπίδου*, hic mrg *ἀνδρομάχου*; Euripidi simpliciter tribuit hos duos versus Orion anth. Eurip. 16; ad Andromedam haec retulit Musgrave ‖ **20** *τοι* om. Orion | *Διὸς*] *χρόνου* Orion cf. infra ecl. 33 ‖ **21** *ἁμαρτίας* Or. ‖ **22** lemma

25 *Εὐριπίδης Ἀντιόπῃ* (fr. 224 N.).

Δίκα τοι δίκα χρόνιος, ἀλλ᾽ ὅμως
ὑποπεσοῦσ᾽ ἔλαθεν, ὅταν ἔχῃ τιν᾽ ἀσεβῆ βροτῶν.

26. 27. *Αἰσχύλου Βακχῶν* (= inc. fr. 379 N.).

Τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς
κατ᾽ ἀμπλάκημα τῷ περῶντι τὴν θέμιν. [120]

28 ⟨Tragici incerti (adesp. fr. 412 N.)⟩.

Ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην
εὖδοντι καὶ στείχοντι καὶ καθημένῳ·
ἐξῆς δ᾽ ὀπαδεῖ δόχμιον, ἄλλοθ᾽ ὕστερον.

29 ⟨Comici incerti.⟩

Οὐδὲν καλύπτει νὺξ κακῶς εἰργασμένον,
ὅ τι δ᾽ ἂν ποιῇς ἀεὶ νόμιζ᾽ ὁρᾶν τινά.

---

habent FP mrg: *ἐσχύλου* (*ἐ* rubr.) F, *αἰσχίλου* P; item Aeschylo tribuit h. v. eodem florilegio usus Theophilus ad Autol. II 37; sed *ἐκ τοῦ Ἡρακλείσκου Σοφοκλέους* (fr. 210 Nauck.) attulit Orion versum simillimum ‖ **23** (*τὸν δρῶντα* Soph.) | *τοι* FP Theoph.: *τι* Aug. quod olim coni. Nauck (philol. IV p. 535); item Soph.

1 *Εὐριπίδου* P | *ἀντιόπῃ* FP ‖ **3** *ὑποπεσοῦσα* ⟨*σίγ᾽*⟩ Usener, *ἐπιπεσοῦσ᾽* Heeren | *ἔχῃ* FP: *ἴδῃ* Meineke, *ἕλῃ* Fix ‖ **4** lemma om. P, *Αἰσχύλου κἀκχῶν* F habet mrg: *Αἰσχύλου Βακχῶν* (cuius fabulae hactenus nomen tantum innotuit) scripsi; *Αἰσχύλου* edit. Item Aeschylo adscripti sunt sex proximi versus apud Theophilum ad Autol. II 37, ita ut in florilegio quo uterque usus est lemmata eclogarum 28 et 29 iam intercidisse putanda sint (cf. Diels mus. Rhen. XXX p. 178) ‖ **5** *τὸ* P Theoph., *τῷ* F | *τοι* om. Theoph. ‖ **6** *καὶ τ᾽ ἀμπλάκημα* F, *καὶ τ᾽ ἀπλάκημα* (supra *π* m. 1 sprscr. *μ*) P: *κατ᾽ ἀμπλάκημα* Hermann ad Aeschyli fr. 363, *καὶ τοὐπίκλημα* Meineke ‖ **7** hos quoque tres versus Aeschylo vindicavit Hermannus (fr. 364): quod admodum dubium ‖ **8** *ἄναυδον* P², *ἄνανδον* F, *ἄναβδον* P¹ | *εἰσορμωμένην* Meineke in annal. philol. 1863 p. 383; cf. Herwerden, exerc. crit. p. 7 ‖ **10** *δ᾽* om. Theoph. | *ὀπηδεῖ* FP, *ὀπάζει* Theoph.: *ὀπαδεῖ* Nauck | *ἄλλο δ᾽* FP Theoph.: corr. Grotius | ‘aut abrupta haec, aut corrupta’ Usener ‖ **11** Menandreos versus esse credit Hermannus l. s., Meinekius potius duo fragmenta statuit, tragici unum, alterum comici ‖ **12** *οὐδ᾽* (vel *οὐκ*) *ἐγκαλύπτει* Theoph.: *οὐδὲν καλυπτὸν* Hense | *οὐδ᾽ ἓν* P² | *νὺξ* Theoph., *τῶν* FP | *εἰργασμένον* Theoph., *εἰργασμένων* FP ‖ **13** *δ᾽* om. Theoph. | *ποιεῖς* P | *ἀεὶ* FP, *δεινὸν* Theoph. | *τινά* Theoph., *τινάς* FP

[122] 30 Ἰξίονος (= trag. adesp. fr. 413 N.).

Ἐχθρὸς μὲν ἀνήρ, ἀλλὰ τὴν Δίκην σέβω.

31 Ὁμήρου (ξ 83. 84).

Οὐ γὰρ σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
ἀλλὰ δίκην τίνουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων.

32 ⟨Σοφοκλῆς (fr. inc. 809 N.).⟩

Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.

33 Εὐριπίδης Ἀντιόπῃ (fr. 233 N.).

Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Χρόνου,
δείκνυσι δ' ἡμῶν ὅστις ἔστ' ἢ μὴ κακός.

34 Ἀρχιλόχου (fr. 88[3] B.).

Ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,
σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς
[124] λεωργὰ κἀθέμιστα, σοὶ δὲ θηρίων
ὕβρις τε καὶ δίκη μέλει.

35 Εὐριπίδης Ἀρχελάῳ (fr. 266 N.).

Τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν' ὀρθῶς
τοῖς πράσσουσιν κακὸν ἦλθε.

36 ⟨Σοφοκλῆς (Electr. 696. 697).⟩

Καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.

---

1 lemma ἠξίωνος (hactenus neglectum) habet P mrg; F om.: Ἰξίονος correxi; utrum Aeschyli sit versus an Euripidis quorum uterque Ixionem composuit non decerno ‖ **2** ἀνὴρ FP: ἀνὴρ Gaisford ‖ **3** lemma habet P mrg, F om. hic, sed habet infra ad v. 9 mrg ‖ **5** τ'ἴουσι F | αἴσιμα Hom., ἴσασιν FP ‖ **6** lemma om. FP; Sophoclem testatur schol. Eurip. Orest. 592 ‖ **7** ἀεὶ] ἂν P[1] | εὖ om. P[1], add. P[2] ‖ **8** Εὐριπίδης FP ‖ **10** ἔστι μὴ κακός F, ἐστὶ κακός P: ἔστ' ἢ μὴ κακός Porson ad Aristoph. Plut. 885 ‖ **11** hic F mrg Αἰσχύλου et P mrg αἰσχίλου, sed infra ad v. 16 F (praeter lemma in contextu exhibitum) mrg Ἀντιλόχου, quod in Ἀρχιλόχου mutandum et huc referendum esse demonstrat Clem. Alex. strom. V p. 725: ita ut Αἰσχύλου (αἰσχίλου) nihil sit nisi varia lectio falsa ea quidem sed recto loco servata ‖ **12** ὦ Ζεῦ, σὸν μὲν Clem., ὦ Ζεῦ, πάτερ Ζεύς, μὲν FP ‖ **13** ἔργ' ἐπ' ἀνθρώπων FP, ἔργα ἐπ' οὐρανούς Clem. ‖ **14** καθέμιστας οἱ F, καθέμιτας οἱ P[1], κ'ἀθέμιτα σοὶ P[2], καὶ ἃ θέμις Clem., καὶ ἀθέμιστα Euseb. pr. ev. XIII 687: κἀθέμιστα σοὶ Heeren ‖ **15** μέλλει F ‖ **16** lemma in contextu habent FP ‖ **18** πράσσουσι F ‖ **19** lemma om. FP ‖ **20** τοιαυταθ' F ‖ **21** βλάπτῃ Soph., βλάπτειν FP | φυγεῖν Soph., φύγοι FP

37 *Σοφοκλῆς Αἴαντι* (fr. 11 N.).

Τὸ χρύσεον δὲ τᾶς Δίκας δέδορκεν
ὄμμα, τὸν δ' ἄδικον ἀμείβεται.

38 *Ἡσιόδου Θεογονίας* (217. 220—222).

Καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,
αἵ τ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσιν·
οὐδέ ποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο, [126]
πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν ὅστις ἁμάρτῃ.

39 *Εὐριπίδης Πολυείδῳ* (fr. 646 N.).

Οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος.

40 ⟨*Εὐριπίδου* (inc. fr. 1030 N.).⟩

Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖς,
ὅταν τις ὅρκῳ θάνατον ἐφυγεῖν θέλῃ
ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά,
ἢ παισὶν αὐθένταισι κοινωνῇ δόμων;
ἦτἄρα θνητῶν εἰσιν ἀσυνετώτεροι,
ἢ τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης.

---

1 lemma habet F mrg hic; P hic solum hab. *σοφοκλῆς* mrg, sed infra ad v. 7 mrg *αἴαντι* pariter delapsum atque Hesiodi lemma (cf. v. 4) ‖ **2** *τὰς δίκας* FP Athen. XII p. 546^{B}: corr. Nauck ‖ **4** lemma habet F mrg, P hic om., sed posuit infra ad v. 10 mrg (ubi tamen m. 2 delevit) ‖ **5** *νηλεοποίνους* Hes., *κλεοποίνους* P, idem in textu om., mrg add. F (in Hes. Medic. 1 mrg *γρ. κλεοπόνους* teste Goettlingio) ‖ **6** *τε* post *θεῶν* om. P | *ἐφέπουσιν* Hes. Medic. 3, *ἐφέπουσ'* (*ἐφέσπουσ'* P^{1}) *ἀεὶ* FP, *ἐφέπουσαι* Hes. codd. plerique ‖ **7** *οὐδέποτε* FP Hes.: corr. Hermann | *λήγουσι* Hes., *λήγουσαι* FP^{1} ‖ **8** *πρὶν γ' ἀπὸ τῷ δώωσι* Hes., *πρὶν ἂν ἀποδώωσι* FP ‖ **9** lemma hic om. FP, sed infra ad v. 14 F mrg adscripsit: *Εὐριπίδ. πολυείδω*: et P ibid. habet *εὐριπίδ.*; quod aut ad hanc eclogam referendum est aut ad sequentem, quam Euripideam esse iam constat ‖ **11** Euripidi adscripsit tres priores versus Stob. flor. 28, 12 ‖ **12** *δοκεῖς* P^{2} flor. cod. *A*, *δοκεῖ* FP^{1}: *δόκει* Iacobs ep. cr. p. 228 deleto interrogandi signo ‖ **13** *ὅρκῳ* P, *ὅρκον* F; *ὅρκοις* flor. | *ἐκφεύγειν* flor. ‖ **15** hunc v. interpolatum credit Hense ex Eur. Iph. Aul. 1190 | *ἢ παισὶν* FP: *ἢ τοῖσιν* Valckenaer, *ἢ καὶ σὺν* Boissonade, *ἢ ϝταισιν* i. e. *ἢ ἕταισιν* Meineke ‖ **16** *ἦ τἄρα* FP: corr. Nauck; *ἦ τἄρα* edit. ‖ **17** *ἢ* FP: *οἳ* Usener, *εἰ* edit.

[128] 41 ⟨Tragici incerti (fr. adesp. 414 N.)⟩.

Μόνη ᾽στιν ἀπαραίτητος ἀνθρώποις Δίκη.

42 ⟨Tragici incerti (fr. adesp. 415 N.).⟩

Μὴ μουσοποίει πρὸς τὸ νηπιώτερον·
πόρρω γὰρ ἑστὼς ὁ θεὸς ἐγγύθεν κλύει.

43 ⟨Tragici incerti (fr. adesp. 416 N.).⟩

Ὅστις λέγει κάκ᾽ εὖ φρονῶν, σιγῇ στένει.

44 ⟨Tragici incerti (fr. adesp. 417 N.).⟩

Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.

45 ⟨Tragici incerti (fr. adesp. 418 N.).⟩

Τὸ δὲ θεῶν κράτος μέγα κατ᾽ ἀνθρώπους,
ἄφρονες δ᾽ ὁπόσοι τὸ δίκαιον ἄγουσ᾽
ὑπὸ τᾶς ἀδίκου βιοτᾶς ἀφανές,
μέγα γὰρ ὄμμα δαιμόνων, οἷς τίνουσ᾽
ἀμοιβὰς κακῶν.

[130] 46 ⟨Ὁμήρου (*Π* 386. 387).⟩

Καὶ Ζεὺς τοῖς ἄνδρεσσι κοτεσσάμενος χαλεπαίνει,
οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας.

47 ⟨Εὐριπίδου Ἀρχελάου (fr. 257 N.).⟩

Δοκεῖς τὰ θεῶν σὺ ξυνετὰ νικήσειν ποτὲ
καὶ τὴν Δίκην που μάκρ᾽ ἀπωκίσθαι βροτῶν;
ἣ δ᾽ ἐγγύς ἐστιν· οὐχ ὁρωμένη δ᾽ ὁρᾷ,

---

2 *μόνη ᾽στιν ἀπαραίτητος* P², *μόνοις τιν ἀπαραίτητος* F, *μόνοις τινὰ παραίτητος* P¹ | *ἀνθρώποις*] *θνητοῖς* Heeren dormitanter ‖ **4** *μὴ* lac. 3 litt. *σο ποίει* P¹, *μηδὲν σὺ ποίει* P²: *μήπου σὺ ποίει* Heeren, *μή μοι σὺ ποίει* Meineke | *τὸ νηπιώτερον* FP ‖ **5** *πέλας γὰρ* Plut. Mor. p. 1124ᶠ: *πρόσω γὰρ* Meineke ‖ **7** *κακὰν φρονῶν* FP: *κάκ᾽ εὖ φρονῶν* Nauck, *κάκ᾽ ἀφρονῶν* Gaisford ‖ **8** inter Menandrea monosticha v. 14 legitur h. v. ‖ **9** *κακῶς* P¹ ‖ **13** *τὰς* et *βιοτὰς* FP: corr. Heeren ‖ **14** *γὰρ* FP: *καὶ* Heeren errore typogr. ‖ **15** *τίνους* (*ς* m. 2 corr. in *σ᾽*) P ‖ **16** lemma deest in FP ‖ **17** *καὶ Ζεὺς τ᾽* FP: corr. Heeren; *Ζεὺς ὅτε δή ῥ᾽* Hom. | *ἀνδράσι* P | *χαλεπήνῃ* FP: corr. Heeren ‖ **18** *ἡσιόδου* add. P² mrg (meminit nimirum vir doctus Hesiod. op. 221) ‖ **19** lemma om. FP; *᾽ἐκ τοῦ Ἀρχελάου Εὐριπίδου᾽* affert tres primos versus Orion anthol. V 1 ‖ **20** *τὰ τῶν θεῶν* Or. | *σὺ* om. P Or. | *νικήσειν* etiam FP ‖ **21** *μακρὰν* FP Or.: *μάκρ᾽* Grotius (*Δίκην μακρὰν* Schneidewin) | *ἀπωκίσθαι* P, *ἀπωκεῖσθαι* F, *ἀποκεῖσθαι* Or. ‖ **22** *ἣ δ᾽* FP, *ἥδ᾽* Or. | *ἔστιν ἐγγὺς* Or.

ὃν χρὴ κολάζειν τ' οἶδεν· ἀλλ' οὐκ οἶσθα σύ,
ὁπόταν ἄφνω μολοῦσα διολέσῃ κακούς.

48[a] ⟨*Σοφοκλῆς* (= Ai. Locr. fr. 18 N.).⟩

Εἰ δείν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.

48[b] ⟨Tragici incerti (fr. adesp. 41, 9 N.)⟩.

Αἴκας δ' ἐξέλαμψε θεῖον φάος.

49 *Δημοσθένους* (II 10 p. 20, 27).

Οὐ γὰρ ἔστιν ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι. ἀλλὰ τὰ τοιαῦτα εἰς [132]
μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει· καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ· τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὑτὰ καταρρεῖ.

50 *Ἐκ τῶν Ἐπικτήτου Ἀπομνημονευμάτων.*

„Ἀλλ' ὁρῶ", φησί τις, „τοὺς καλοὺς κἀγαθοὺς καὶ λιμῷ καὶ ῥίγει ἀπολλυμένους". Τοὺς δὲ μὴ καλοὺς καὶ μὴ ἀγαθοὺς οὐχ ὁρᾷς τρυφῇ καὶ ἀλαζονείᾳ καὶ ἀπειροκαλίᾳ ἀπολλυμένους; „Ἀλλ' αἰσχρὸν τὸ παρ' ἄλλου τρέφεσθαι". Καὶ τίς, ὦ κακόδαιμον, αὐτὸς ἐξ ἑαυτοῦ τρέφεται ἄλλος γε ἢ ὁ κόσμος; Ὅστις γοῦν ἐγκαλεῖ τῇ προνοίᾳ ὅτι οἱ

---

2 *ἄφνω* FP ‖ **3** lemma deest in FP; in Canteriana p. 9, 42 margine legitur *αἴαντι*, quod Canterus traxit ex p. 59, 7. 8, ubi mrg adscriptum *αἴαντι* de quo vide adnotata ad p. 59, 1; omisit nimirum ille qui Canteri apographon confecit temeritate solita (de qua vide *Stud.* p. 62) omnia quae scripta erant inter illa Hesiodea et hunc versum; Canterus igitur credidit illud *αἴαντι* ad hunc qui statim sequebatur versum pertinere. Hoc errore proclivi sed manifesto iterum decepti editores finxerunt lemma *Σοφοκλῆς Αἴαντι*. Sophocleum tamen esse versum testatur Theophilus ad Autol. II 37 eodem atque Stobaeus florilegio usus ‖ **4** *δεινὰ* FP[1], *δεῖν'* P[2] | *δέδρακας* schol. Dion. Thr. p. 965, 28; *ἔρεξας* Theoph. | *σε δεῖ*] *ἔδει* schol. Dion.: *σ' ἔδει* Usener ‖ **5** hunc versum separavit ab antecedente Blomfield ‖ **6** *ἐξέλαμψε θεῖον* corr. Cobet var. lect. p. 9 pro *ἐξέλαμψεν ὅσιον* ‖ **7** lemma habet F mrg, P in textu ‖ **8** *οὐ* om. F[1], add. F[2] | post *ἔστιν* add. Dem. *οὐκ ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι* ‖ **10. 11** *ἤνθησεν* P Dem., *ἤλπισεν* F ‖ **11** *ἄν* Dem., *ἐὰν* FP ‖ **12** *αὑτὰ* Dem., *αὐτὰ* FP ‖ **14** *καλοὺς κἀγαθοὺς* corr. Meineke pro *καλοὺς καὶ ἀγαθοὺς* ‖ **15. 16** *μὴ καλοὺς καὶ μὴ ἀγαθοὺς* F, *μὴ καλοὺς μὴ δὲ ἀγαθοὺς* P: num *μὴ καλοὺς κἀγαθοὺς*? | **18** *ὦ* FP ‖ **19** ante *τῇ* add. F *καὶ*

πονηροὶ οὐ διδόασι δίκην, ὅτι ἰσχυροί εἰσι καὶ πλούσιοι, ὅμοιόν τι δρᾷ ὥσπερ εἰ τοὺς ὀφθαλμοὺς ἀπολωλεκότων αὐτῶν ἔλεγε μὴ δεδωκέναι δίκην αὐτούς, ὅτι οἱ ὄνυχες ὑγιεῖς εἶεν. Ἐγὼ μὲν γάρ φημι πολὺ διαφέρειν μᾶλλον ἀρετὴν κακίας, ἢ ὀφθαλμοὶ ὀνύχων διαφέρουσιν.

[134] 51 ⟨Ἡροδότου V 56.⟩

Ἐν τῇ προτέρῃ νυκτὶ τῶν Παναθηναίων ἐδόκεε ὁ Ἱππαρχος ἄνδρα οἱ ἐπιστάντα μέγαν καὶ εὐειδέα αἰνίσσεσθαι τάδε τὰ ἔπεα·

Τλῆθι λέων ἄτλητα παθὼν τετληότι θυμῷ·
οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

52 Ἑρμῆς (deest apud Patric.).

Δαίμων γάρ τις μεγίστη τέτακται, ὦ τέκνον, ἐν μέσῳ τοῦ παντὸς εἱλουμένη, πάντα περιορῶσα τὰ ἐπὶ γῆς γινόμενα ὑπὸ τῶν ἀνθρώπων. καθάπερ ⟨γὰρ⟩ ἐπὶ τῆς θείας τάξεως πρόνοια καὶ ἀνάγκη τέτακται, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἀνθρώπων τέτακται ἡ δίκη, ταὐτὰ ἐκείνοις ἐνεργοῦσα. ἐκείνη μὲν γὰρ κρατεῖ τὴν τάξιν τῶν ὄντων ὡς θείων καὶ ἁμαρτεῖν μὴ θελόντων μηδὲ δυναμένων· ἀδύνατον γὰρ τὸ θεῖον πλανηθῆναι, ἐξ οὗ καὶ τὸ ἁμα-
[136] μαρτεῖν συμβαίνει. ἡ δὲ δίκη τέτακται τιμωρὸς τῶν ἐπὶ γῆς ἁμαρτανόντων. ἀνθρώπων γὰρ γένος ⟨ἁμαρτωλόν⟩,

---

2 εἰς P¹ ‖ **4** ante διαφέρειν add. αἱ FP (in quo m. 2 corr. ἄν), quod delevit Meineke ut ortum ex proximo δι, in νὴ Δία mutat Gaisford ‖ **5** κακίας corruptum ‖ **7** ἐδόκεε Her., ἐδόκεεν F, ἔδωκεν P¹, ἔδοξεν P² ‖ **8** αἰνίσσεσθαι Her., αἰνίττεσθαι FP ‖ **10** λέων Her., λέγων FP | παθὼν Her., παθῶν FP ‖ **11** inde ab οὐδεὶς in FP nova incipit ecloga quae continuatur usque ad βίῳ ἁμαρτίας (p. 63, 5); itaque hic mrg in FP ἑρμῆς, sed P² hoc lemma delevit et ad v. 13 mrg adscripsit | ἀδικῶν Her., ἀδικέων FP | τίσιν P Her., δίκην al. atram. corr. in τίσιν F | ἀποτίσει etiam FP ‖ **12** lemma hic om. FP¹, habent supra (v. ad v. 11 adnotata); ἑρμῆς hic add. P² mrg: Ἑρμοῦ edit. ‖ **14** περιορῶσα corr. Meineke pro περ ὁρῶσα ‖ **15** γὰρ add. Meineke, οὖν Heeren ‖ **16** ante πρόνοια add. ἡ Heeren ‖ **17** ταὔτα P ‖ **18** ἐκεῖνα FP: corr. Heeren ‖ **20. 21** τὸ ἁμαρτεῖν Usener ‖ **22** ἁμαρτανόντων ἀνθρώπων γένος γὰρ FP: ἁμαρτανόντων. ἀνθρώπων γὰρ γένος Meineke | ἁμαρτωλόν addidi

ἅτε θνητὸν ὂν καὶ ἐκ κακῆς ὕλης συνεστώς· καὶ μάλιστα ἐκείνοις συμβαίνει τὸ ὀλισθαίνειν, οἷς θεοπτικὴ δύναμις οὐ πρόσεστι· τούτων δὲ καὶ μάλιστα ἐπικρατεῖ δίκη· καὶ τῇ εἱμαρμένῃ ὑπόκεινται διὰ τὰς τῆς γενέσεως ἐνεργείας, τῇ δὲ δίκῃ διὰ τὰς ἐν τῷ βίῳ ἁμαρτίας.

53 *Ἱεροκλέους ἐκ τοῦ Τίνα τρόπον θεοῖς χρηστέον.*

Ἔτι προσδιαληπτέον καὶ ταῦθ' ὑπὲρ τῶν θεῶν, ὡς εἰσὶν ἄτρεπτοι καὶ ἀραρότες τοῖς κρίμασιν, ὥστε τοῦ ἀπ' ἀρχῆς δόξαντος μηδέποτε ἐξίστασθαι. Μία γάρ τις ἦν τῶν ἀρετῶν καὶ ἡ ἀμεταπτωσία καὶ βεβαιότης, ἣν εἰκὸς οὐχ ἥκιστα κἂν θεοῖς εἶναι παρέχουσαν τὸ ἱδρυμένον καὶ ἔμπεδον τῶν ἅπαξ αὐτοῖς δοξάντων. Ἐξ οὗ δῆλον, ὡς οὐδὲ τὰς κολάσεις, ἃς ἔκρινέ τισιν ἐπιθεῖναι τὸ δαιμόνιον, πιθανὸν παρίεσθαι. Καὶ γὰρ αὖ λογίσασθαι ῥᾴδιον, ὡς εἰ μεταβάλλουσιν οἱ θεοὶ τὰς αὑτῶν κρίσεις καὶ ὃν ἔγνωσαν κολάσαι παριᾶσιν ἀκόλαστον, οὔτε καλῶς καὶ δικαίως ⟨ἂν⟩ διοικοῖεν τὰ κατὰ τὸν κόσμον, οὔτε ἀπολογισμὸν εἰκότα [138]
φέρειν ἂν δύναιντο μετανοίας. Καὶ τὰ τοιαῦτα ἔοικεν p. 10 C.
αὐτοσχεδίως καὶ κατ' οὐδενὸς λέγειν ἡ ποιητική (Hom. *I* 499—501)·

Καὶ ⟨μὲν τοὺς⟩ θυσίαισι καὶ εὐχωλῇς ἀγανῇσι,
λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ' ἄνθρωποι
λισσόμενοι, ὅτε κέν τις ὑπερβαίῃ καὶ ἁμάρτῃ,

καὶ τὸ (id. *I* 497)·

στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,

συνόλως τε πᾶν εἴ τι τούτοις εἴρηται παραπλησίως.

---

1 *θνητῶν* P¹ | *συνεστῶς* P, *συνεστὸς* F ‖ **3** *ἐπικρατῇ* P | ⟨*ἡ*⟩ *δίκη* Meineke ‖ **4** *ὑπόκειται* P ‖ **6** *Ἱεροκλέους* F mrg, reliqua in textu; totum lemma in textu hab. P ‖ **9. 10** *ἀπ' ἀρχῆς* ante *ἐξίστασθαι* in FP scriptum transposui ‖ **11** ante *βεβαιότης* add. *ἡ* Heeren ‖ **15** *αὖ* F, *ἂν* P ‖ **16** *αὑτῶν* P², *αὐτῶν* FP¹ ‖ **17** *παρίασιν* FP ‖ **18** *ἂν* add. Meineke | *διοικῶεν* FP ‖ **19** *δύναιτο* P¹ ‖ **20** *μετ'* FP: *κατ'* Usener | *οὐδενὸς* ⟨*λόγου*⟩ Meineke ‖ **22** *μὲν τοὺς* add. Hom. | *θυέεσσι* Hom. ‖ **23** *κνίσῃ* FP

54 *Ἐν ταὐτῷ.*

Ἀλλ᾽ οὐ μὴν οὐδὲ ἐκεῖνο παρετέον, ὡς, εἰ καὶ μὴ κακῶν αἴτιοι τυγχάνουσιν οἱ θεοί, τῶν γε τοιούτων ἔνια προσάπτουσί τισι καὶ περιβάλλουσιν ἀξίους σωματικαῖς τε ἐλαττώσεσι καὶ ταῖς τῶν ἐκτός, οὐ κακοηθείᾳ χρώμενοι, κἀξεπίτηδες δυσχρηστῆσαι ἄνθρωπον οἰόμενοι δεῖν, ἀλλ᾽ ἐν τρόπῳ κολάσεως. Καθάπερ γὰρ λοιμοὶ καὶ αὐχμοί, ἔτι δὲ ἐπομβρίαι καὶ σεισμοὶ καὶ πᾶν τὸ τοιόνδε τὰ μὲν πολλὰ γίγνεται δι᾽ αἰτίας ἑτέρας τινὰς φυσικωτέρας, ἔστι δ᾽ ὅτε καὶ ὑπὸ θεῶν, ἐπειδὰν καιρὸς ᾖ δημοσίᾳ καὶ κοινῇ τὰ πολλῶν ἀμπλακήματα κολασθῆναι, τὸν αὐτὸν
[140] *τρόπον καὶ πρὸς ἕνα χρῶνταί ποτε θεοὶ σωματικοῖς ⟨τε⟩ ἐλαττώμασι καὶ τοῖς ⟨τῶν⟩ ἐκτός, ⟨ἐς⟩ αὐτοῦ μέντοι κόλασιν, ἐπιστροφὴν δὲ καὶ προαίρεσιν ἀμείνω τῶν ἄλλων.*

55[a] *Πλάτωνος Νόμων* (IV p. 715[E]—716[B]).

Ὁ μὲν δὴ θεὸς (ὥσπερ καὶ ὁ παλαιὸς λόγος) ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος. τῷ δ᾽ ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός· ᾧ ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος, ξυνέπεται ταπεινὸς [καὶ κεκοσμημένος]· ὁ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σώματος εὐμορφίᾳ, ἅμα νεότητι καὶ ἀνοίᾳ, φλέγεται τὴν ψυχὴν μεθ᾽ ὕβρεως, ὡς οὔτε ἄρχοντος οὔτε τινὸς ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ· καταλειφθεὶς δὲ καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν σκιρτᾷ ταράττων πάντα ἅμα· καὶ πολλοῖς τισιν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον οὐ πολὺν ὑποσχὼν

---

2 *μὴν* corr. Meineke pro *μὲν* ‖ **3** *αἴτιοι* post *κακῶν*, non post *θεοὶ* FP ‖ **6** *δυσχρηστίαις* FP: corr. Usener, *δυσχρηστίας* Meineke ‖ **9** *δι᾽ αἰτίας ἑτέρας* FP ‖ **12** *τε* add. Meineke ‖ **13** *τῶν* add. Meineke | *ἐς* add. Usener | *μέντοι*] *μὲν* Usener; num *μὲν ἐπὶ*? ‖ **14** *προαίρεσιν — ἄλλων* om. P fere toto versu vacuo relicto ‖ **16** *ὁ μὲν δὴ θεὸς* etiam FP | *καὶ* om. P ‖ **17** *εὐθείᾳ* Plat., *εὐθέα* FP ‖ **21** *καὶ κεκοσμημένος* del. Schanz | *εἴ δέ τις* Theodor. therap. p. 241 Gaisf. ‖ **25** *καλείπτεται* P (mrg m. 2 *γρ. καταλείπεται*)

τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησεν.

55b Τοῦ αὐτοῦ Νόμων ι' (p. 905D—906B).

Ὅτι μὲν γὰρ θεοί τ' εἰσὶ καὶ ἀνθρώπων ἐπιμελοῦνται, ἔγωγ' οὐ παντάπασι φαύλως ἂν ἡμῖν φαίην ἀποδεδεῖχθαι· τὸ δὲ παραιτητοὺς αὐτοὺς εἶναι τοῖς ἀδικοῦσι, δεχομένους δῶρα, οὔτε τινὶ συγχωρητέον παντί τ' αὖ κατὰ δύναμιν τρόπῳ ἐλεγκτέον. — Κάλλιστ' εἶπες· ποιῶμέν τε ὡς λέγεις. — Φέρε καὶ πρὸς θεῶν αὐτῶν, τίνα τρόπον παραιτητοὶ γίγνοιντ' ἂν ἡμῖν, εἰ γίγνοιντο αὖ; καὶ τίνες ἢ ποῖοί τινες ὄντες; ἄρχοντας μὲν ἀναγκαῖόν που γίγνεσθαι τούς γε διοικήσαντας τὸν ἅπαντα ἐνδελεχῶς οὐρανόν. — Οὕτως. — Ἀλλ' ἄρα τίσι προσφερεῖς τῶν ἀρχόντων; ἢ τίνες ⟨τούτοις⟩, ὧν δυνατὸν ἡμῖν ἀπεικάζουσι τυγχάνειν μείζοσιν ἐλάττονας; πότερον ἡνίοχοί τινες ἂν εἶεν τοιοῦτοι ζευγῶν ἁμιλλωμένων, ἢ πλοίων κυβερνῆται; τάχα δὲ κἂν ἀπεικασθεῖεν στρατοπέδων ἄρχουσί τισιν. Εἴη δ' ἂν καὶ νόσων πόλεμον εὐλαβουμένοις ἰατροῖς ἐοικέναι περὶ σώματα, ἢ γεωργοῖς περὶ φυτῶν γένεσιν, εἰωθυίας ὥρας χαλεπὰς διὰ φόβων προσδεχομένοις, ἢ καὶ ποιμνίων ἐπιστάταις. Ἐπειδὴ γὰρ ξυγκεχωρήκαμεν ἡμῖν αὐτοῖς εἶναι τὸν οὐρανὸν μεστὸν μὲν πολλῶν ἀγαθῶν, πολλῶν δὲ καὶ τῶν ἐναντίων, πλειόνων δὲ τῶν μή, μαχὴ δή, φαμέν, ἀθάνατός ἐστιν ἡ τοιαύτη καὶ φυλακῆς θαυμαστῆς δεομένη. Ξύμμαχοι δ' ἡμῖν θεοί τε ἅμα καὶ δαίμονες· ἡμεῖς δὲ αὖ κτήματα θεῶν καὶ δαιμόνων· φθείρει δ' ἡμᾶς ἀδικία καὶ ὕβρις μετὰ ἀφροσύνης, σῴζει δὲ δικαιοσύνη καὶ σω-

---

3 lemma habet F mrg, P in textu ‖ **4** ὅτι P, Ἔτι F (Ἐ rubr.) | ἐπιμέλονται F ‖ **5** φαίην ἡμῖν Plat. ‖ **6** αὐτοὺς] αὖ θεοὺς Plat. *A*, αὖ τοὺς θεοὺς vel αὐτοὺς θεοὺς Plat. cet. ‖ **7** τινὶ] τοίνυν P | τ' Plat., δ' FP ‖ **8** ἐκλεκτέον P1 | εἶπης P1, εἶπας P2 ‖ **9** καὶ] δὲ P1, δὴ P2 ‖ **10** ἡμῖν – αὖ om. P | γίγνοιτο F ‖ **12** γε Plat., τε FP | ἐνδελεχῶς FP; Naeke ad Choeril. p. 169, ἐντελεχῶς Plat. ‖ **13** ἆρα FP Plat.: ἄρα Stallbaum ‖ **13. 14** ἢ τίνες Plat. *A*, ἤ τινες FP, Plat. cet. ‖ **14** τούτοις add. Plat. ‖ **15** ἐνιαχοί P ‖ **18** νόσον F ‖ **20** φόβων Plat. cod. opt., φόβον FP, Plat. vulg. ‖ **21. 22** εἶναι μὲν τ. οὐ. πολλῶν μεστὸν ἀγ. Plat. ‖ **22** μεστὸν πολλῶν μὲν P | πολλῶν δὲ] εἶναι δὲ Plat.

φροσύνῃ μετὰ φρονήσεως, ἐν ταῖς τῶν θεῶν ἐμψύχοις οἰκοῦσαι δυνάμεσιν.

55[c] Ἐν ταὐτῷ (X p. 906[b]—907[b]).

Τίσιν οὖν δὴ τῶν προρρηθέντων ἀπεικάζων ὁμοίους εἶναι φύλακας θεοὺς οὐκ ἂν καταγέλαστος γίγνοιτο ἀνθρώποις ὁστισοῦν; πότερον κυβερνήταις, λοιβῇ τε οἴνου κνίσῃ τε παρατρεπομένοις αὐτοῖς, ἀνατρέπουσι δὲ ναῦς τε καὶ ναύτας; — Μηδαμῶς. — Ἀλλ' οὔτι μὴν ἡνιόχοις ἐν ἁμίλλῃ ξυντεταγμένοις, πεισθεῖσιν ὑπὸ δωρεᾶς τὴν νίκην ἑτέροις ζεύγεσι προδοῦναι. — Δεινὴν γὰρ εἰκόνα λέγοις ἄν, λέγων τοῦτον τὸν λόγον. — Οὐ μὴν οὐδὲ στρατηγοῖς γε οὐδὲ ἰατροῖς οὐδὲ γεωργοῖς· οὐδὲ νομεῦσι μὴν οὐδέ τισι κυσὶ κεκηλημένοις ὑπὸ λύκων. — Εὐφήμει. Πῶς γὰρ ἄν; — Ἀλλ' οὐ πάντων φυλάκων εἰσὶ μέγιστοι καὶ περὶ τὰ μέγιστ' ἡμῖν οἱ πάντες θεοί; — Πολύ γε. — Τοὺς δὴ κάλλιστά τε πράγματα φυλάττοντας διαφερόντάς τε αὐτοὺς φυλακῇ πρὸς ἀρετὴν κυνῶν χείρους καὶ ἀνθρώπων μέσον εἶναι φήσομεν, οἳ τὸ δίκαιον οὐκ ἄν ποτε προδοῖεν ἕνεκα δώρων παρ' ἀδίκων ἀνδρῶν ἀνοσίως διδομένων; — Οὐδαμῶς· οὔτε ἀνεκτὸς ὁ λόγος τῶν τε περὶ πᾶσαν ἀσέβειαν ὄντων κινδυνεύει πᾶς ὁ ταύτης τῆς δόξης ἀντεχόμενος πάντων ἂν τῶν ἀσεβῶν κεχρίσθαι δικαιότατα κάκιστός τε καὶ ἀσεβέστατος εἶναι.

56 Πορφυρίου ἐκ τοῦ Περὶ Στυγός (ap. Holsten., opusc. Porph. p. 148).

Ἰνδοὶ οἱ ἐπὶ τῆς βασιλείας τῆς Ἀντωνίνου, τοῦ ἐξ

---

5 φύλακας εἶναι Plat. ‖ **6** ὁστισοῦν; πότερον Plat., ὅστις οὖν πότερον F, ὅστις πότερον P ‖ **7** κνίσσῃ FP ‖ **8** οὔτι Plat., οὐ (ead. m. sprscr. τε) F, ὄντε P[1], οὔτε P[2] | ἡνιόχοισί γε Plat. ‖ **9** πεισθεῖσα P[1] ‖ **9. 10** ἑτέροισι τὴν νίκην Plat. ‖ **11** τοῦτον etiam FP ‖ **12** γε Plat., τε FP ‖ **12. 13** νομεῦσιν, οὐ μὴν οὐδέ Plat. cod. quid. ‖ **13** κεκλημένοις P[1] ‖ **15** μέσθ' P[1] | οἱ om. P ‖ **20** ὁ λόγος Plat. cod. quid., λόγων FP, Plat. *A* ‖ **21** πᾶς FP Plat. *A*, πως Plat. cet. ‖ **22. 23** κάκιστός τε εἶναι καὶ ἀσεβέστατος Plat. ‖ **24** Porphyrii fragmentum separatim edidit Andr. Schottus observ. hum. p. 229 (ex Augustini codice) et Luc. Holstenius opusc. Porphyr. p. 148 (ex Vaticano) | στυγοῖς FP: στυγός Schott ‖ **26** Ἰνδοὶ P[2] mrg, Ἰδοὺ F (*I* m. x add., sed mrg m. 1 Ἰ), ἰδοῦ P[1] | Ἀντωνίου P

Ἐμίσων ἐν τῇ Συρίᾳ [ἀφικομένου] Βαρδισάνῃ τῷ ἐκ τῆς Μεσοποταμίας εἰς λόγους ἀφικόμενοι, ἐξηγήσαντο, ὡς ὁ [142] Βαρδισάνης ἀνέγραψεν, εἶναί τινα λίμνην ἔτι καὶ νῦν παρ' Ἰνδοῖς δοκιμαστήριον λεγομένην, εἰς ἣν, ἄν τις τῶν Ἰνδῶν αἰτίαν ἔχων τινὸς ἁμαρτίας ἁρνῆται, ⟨εἰσάγεται⟩. Τῶν δὲ Βραχμάνων τινὲς δοκιμάζουσιν αὐτὸν τοῦτον τὸν τρόπον. Πυνθάνονται τοῦ ἀνθρώπου, εἰ θέλει διὰ τοῦ ὕδατος γενέσθαι τὴν ἐξέτασιν, καὶ μὴ θέλοντα μὲν ὡς ὑπεύθυνον ἀποπέμπουσι τὴν δίκην ἀποτίσοντα· παραδεχόμενον δὲ τὴν βάσανον εἰσάγουσι μετὰ τῶν κατηγόρων· καταβαίνουσι γὰρ καὶ οὗτοι εἰς τὸ ὕδωρ, δοκιμασθησό- [144] μενοι μὴ συκοφαντῶσι. Διέρχονται τοίνυν οἱ ἐπιβαίνοντες τοῦ ὕδατος εἰς ἕτερον μέρος τῆς λίμνης· τὸ βάθος δ' ἐστὶν ἄχρι τῶν γονάτων παντὸς ὀτουοῦν εἰς αὐτὴν ἐπιβάντος. Ὅταν δ' ⟨ὁ⟩ κατηγορούμενος ἐπιβῇ, ἀναμάρτητος μὲν ὤν, ἀδεῶς διέρχεται ἄχρι τῶν γονάτων ἔχων τὸ ὕδωρ· ἁμαρτὼν δὲ ὀλίγον πρυβὰς βαπτίζεται μέχρι κεφαλῆς. Οἱ δὲ Βραχμᾶνες ἀνασπῶντες αὐτὸν ἐκ τοῦ ὕδατος παραδιδόασι τοῖς ἐνάγουσι ζῶντα καὶ ἀξιοῦσι παιδευθῆναι χωρὶς θανατικῆς καταδίκης. Γίγνεσθαι δὲ τοῦτο σπανίως τῷ μηδένα τολμᾶν ἀρνεῖσθαι τὸ ἁμάρτημα διὰ τὸν ἐκ τοῦ ὕδατος γιγνόμενον ἔλεγχον. Ἑκουσίων τοίνυν ἁμαρτημάτων δοκιμαστήριον Ἰνδοὺς τοῦτ' ἔχειν τὸ ὕδωρ· ἀκουσίων δὲ ὁμοῦ καὶ ἑκουσίων καὶ ὅλως ὀρθοῦ βίου ἕτερον εἶναι, περὶ οὗ ὁ Βαρδισάνης τάδε γράφει· Φήσω γὰρ τἀκείνου κατὰ λέξιν· „Ἔλεγον δὲ καὶ σπήλαιον εἶναι αὐτόματον, μέγα, ἐν ὄρει ὑψηλοτάτῳ σχεδὸν κατὰ μέσον τῆς γῆς, ἐν ᾧ σπηλαίῳ ἐστὶν ἀνδριάς, ὃν εἰκάζουσι πηχῶν δέκα ἢ δώδεκα, ἑστὼς ὀρθός, ἔχων τὰς χεῖρας ἡπλωμένας [146]

---

1 Ἐμισῶν FP | ἐν τῇ Συρίᾳ correxi pro εἰς τὴν Συρίαν; Meineke haec v. delet | ἀφικομένου P, ἀφικουμένου (supra ου m. ead. ο sprscr.) F: del. Heeren ‖ **4** δοκιμαστηρίου FP: correxi cum August. (δοκιμαστηρίαν Meineke) ‖ **5** εἰσάγεται add. Meineke ‖ **8** θέλοντα FP ‖ **14** ὅτου οὖν FP ‖ **14. 15** ἐπιβάντος FP ‖ **15** δ' ὁ corr. Meineke pro δὲ ‖ **16** μέν ὢν FP: μὲν ὢν Holstenius ‖ **19** ἀνάγουσι FP: ἐνάγουσι Schott ‖ **21** τῷ FP ‖ **22** γιγνόμενον ἔλεγχον FP ‖ **24** ὁμοῦ καὶ FP ‖ **29** ὑπλωμένας P

ἐν τύπῳ σταυροῦ· καὶ τὸ μὲν δεξιὸν τῆς ὄψεως αὐτοῦ ἐστιν ἀνδρικόν, τὸ δ' εὐώνυμον θηλυκόν· ὁμοίως δὲ καὶ ὁ βραχίων ὁ δεξιὸς καὶ ὁ δεξιὸς ποῦς καὶ ὅλον τὸ μέρος ἀρσενικὸν καὶ τὸ εὐώνυμον θηλυκόν, ὡς ἰδόντα τινὰ ἐκπλαγῆναι τὴν σύγκρασιν, πῶς ἀδιαιρέτως ἔστιν ἰδεῖν τὴν ἀνομοιότητα ⟨τήνδε⟩ τῶν δύο πλευρῶν ἐν ἑνὶ σώματι. Ἐν τούτῳ τῷ ἀνδριάντι λέγουσι γεγλύφθαι περὶ τὸν μαζὸν τὸν δεξιὸν ἥλιον καὶ περὶ τὸν ἀριστερὸν σελήνην καὶ κατὰ τῶν δύο βραχιόνων . . . . τέχνῃ γεγλύφθαι ἀγγέλων ἀριθμὸν καὶ ὅσα ἐστὶν ἐν τῷ κόσμῳ, τουτέστιν οὐρανὸν καὶ ὄρη καὶ θάλασσαν καὶ ποταμοὺς καὶ ὠκεανὸν καὶ φυτὰ καὶ ζῷα καὶ ἁπλῶς ὅσα ἔστι. Τοῦτον τὸν ἀνδριάντα φασὶ
[148] δεδωκέναι τὸν θεὸν τῷ υἱῷ, ὁπηνίκα τὸν κόσμον ἔκτιζεν, ἵνα θεατὸν ἔχῃ παράδειγμα. Ἐξήτασα δὲ (φησί) ποίας ἐστὶν ὕλης, καὶ διεβεβαιοῦτο ὁ Σανδάλης, ἐμαρτύρουν δὲ αὐτῷ καὶ οἱ ἄλλοι, μηδένα εἰδέναι ποίας ὕλης ἐστὶν ὁ ἀνδριὰς ἐκεῖνος· οὔτε γὰρ χρύσεός ἐστιν οὔτε ἀργύρεος οὔτε χάλκεος οὔτε λίθινος οὔτε ἄλλης ὕλης, ἀλλὰ μᾶλλον παραπλήσιός ἐστι ξύλῳ στερροτάτῳ καὶ ἀσηπτοτάτῳ· μὴ εἶναι δὲ ξύλον. Προσετίθεσαν δὲ λέγοντες, ὅτι τῶν βα-

---

5 ante *πῶς* spatium vacuum in FP (9 litt. in F, 3 litt. in P) | verba *πῶς – σώματι* (6) lectoris adnotationem esse arbitreris | *ἀδιαίρετον* Meineke ‖ **6** ante *τῶν* spatium 5 litt. in F, quod explevit *τήνδε* Usener ‖ **7. 8** *μαζὸν* FP ‖ **8** *ἥλιον καὶ* om. P¹ (relicto vacuo spatio 8 litt.), *ἥλιον* add. P² | ante *σελήνην* add. P *δὲ* ‖ **9** ante *τέχνῃ* in FP lacuna (in F 8, in P 3 litt.), quam *θαυμαστῇ* explet Heeren, *ταὐτῇ* Hense ‖ **11** *ποταμοὺς* corr. Meineke pro *ποταμὸν*; Hense ratus *ποταμὸν* esse glossema ad *ὠκεανὸν* adscriptum *ποταμὸν καὶ* delet | *καὶ ὠκεανὸν*] *τὸν Ὠκεανὸν* Heeren ‖ **12** *ὅσα*] spat. vac. 7 litt. in P ‖ **14** *θυτὸν* FP: *θεατὸν* (vel *τυτθὸν*) Heeren, [*αἰσ*]*θητὸν* Meineke | *ἔχει* P | *ἐξήτασα* FP: *ἐξήτησα* vel *ἐζήτησα* edit. ‖ **15** nominis Indi forma non constat; *Σανδάνης* maluit Meineke, praetulerim *Δάνδαλις*; idem enim homo apud Porphyrium de abstin. IV p. 179, 20 Nauck. in codicibus dicitur *Δαμάδαμις* vel *Δάμαλις* nec diversum videtur illius nomen qui Alexandri M. aetate vixit et *Δάνδαμις* vel *Μάνδαμις* apellari solet ‖ **17** *οὔτε γὰρ* P, *γὰρ οὔτε* (supra duo vocabula *β* et *α* man. ead. sprscr.) F | *ἀργύριος* FP (in quo tamen man. ead. supra *ι* sprscr. *ε*) ‖ **19** *καὶ ἀσηπτοτάτῳ* om. P

σιλέων τις ἠθέλησεν ἀφελέσθαι τρίχα ἐκ τῶν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ αἷμα ῥεῦσαι καὶ φοβηθῆναι τὸν βασιλέα ἐκεῖνον, ὡς μόλις εὐξαμένων τῶν Βραχμάνων ἀνακτήσασθαι ἑαυτόν. Ἐπὶ δὲ τῇ κεφαλῇ τούτου λέγουσι θεοῦ ἄγαλμα εἶναι ὡς ἐπὶ θρόνου τινὸς καθήμενον. Λέγουσιν δὲ καὶ ἐν τοῖς καύμασιν ἱδροῦν ὅλον τὸν ἀνδριάντα τοῦτον καὶ ῥιπίζεσθαι ὑπὸ τῶν Βραχμάνων καὶ παύεσθαι τοὺς ἱδρῶτας· καὶ εἰ μὴ ῥιπίζοιεν, πολὺν φέρειν ἱδρῶτα, ὡς βρέχεσθαι τὴν περὶ αὐτὸν γῆν. Ἐνδοτέρω δὲ αὐτοῦ ἐν τῷ σπηλαίῳ μετὰ πολὺ διάστημα εἶναι σκότος, ἔνθα μετὰ λαμπάδων εἰσέρχονται οἱ βουλόμενοι καὶ εὑρίσκουσι θύραν τινά· ἐξ ἧς θύρας προέρχεται ὕδωρ καὶ λιμνάζει περὶ [150] τὰ τελευταῖα τοῦ σπηλαίου· καὶ ὡς δοκιμάζοντες ἑαυτοὺς εἰσέρχονται διὰ τῆς θύρας ἐκείνης. Καὶ ὅσοι εἰσὶ καθαροὶ ἀπὸ τῆς φαυλότητος τοῦ βίου εἰσέρχονται ἀνεμποδίστως εὐρυνομένης τῆς θύρας, καὶ εὑρίσκουσι πηγὴν μεγίστην ὕδατος πάνυ διαυγεστάτου καὶ ποτιμωτάτου, ἐξ ἧς τὸ ὕδωρ ἐκεῖνο προέρχεται· οἱ δὲ ἐν καταγνώσει ὄντες πολὺ θλίβουσιν εἰσελθεῖν διὰ τῆς θύρας ἐκείνης καὶ οὐ δύνανται στενουμένης αὐτοῖς· οἵτινες βιαζόμενοι ἐξομολογοῦνται ἐπὶ τῶν ἑτέρων εἴ τι ἥμαρτον, ⟨καὶ⟩ δέησιν ποιοῦνται ἵνα οἱ λοιποὶ εὔξωνται περὶ αὐτῶν, καὶ νηστεύουσι χρόνον τινὰ ἱκανόν.“ Ἐκεῖ φησιν εἰρηκέναι ⟨τοὺς⟩ περὶ τὸν Σανδάλην συνάγεσθαι τοὺς Βραχμᾶνας ἡμέρᾳ μέν τινι τεταγμένῃ· ἀλλὰ εἶναι μέν τινας ἐκεῖ ἔχοντας τὴν διατριβήν, τοὺς δὲ ἀλλαχόθεν συνιέναι θέρους ὥρᾳ καὶ περὶ τὸ φθινόπωρον πλεοναζούσης τῆς ὀπώρας ἐπί τε τὴν θέαν τοῦ ἀνδριάντος καὶ ἐπὶ τὸ ἀλλήλοις συμμῖξαι καὶ εἰς τὸ πεῖ-

---

4 *τούτου* FP ‖ **5** *καθήμενον* FP: *καθημένου* edit. ‖ **7. 8** *τοῦ ἱδρῶτος* Heeren ‖ **8** *πολὺν φέρειν*] *πολὺν ῥέειν* Meineke; num *τοσόνδε ῥεῖν*? ‖ **12** *θύρας* addunt FP: vulgo om. ‖ **20** *αὐτῆς* Heeren | *βιαζόμενοι* om. P, sed spat. vac. 8 litt. habet ‖ **21** ante *δέησιν* in F spatium 4 litt.: *καὶ* add. Holstenius ‖ **22** *νηστεύσωσι* F, *νηστεΐωσι* P: corr. Heeren ‖ **23** *φασὶν* FP: *φησὶν* Holstenius | ante *περὶ* in FP spat. 4 litt., quod in P m. 2 explet *τοὺς* ‖ **24** *ἡμέρᾳ* P, *μέρᾳ* et antea spat. 2 litt. F | *μέντοι* FP: *μέν τινι* scripsi, *μὲν τῇ* Usener ‖ **26. 27** *φθινόμενον* P, sed mrg m. 2 *πωρον*

ραν ἑαυτῶν λαβεῖν, εἰ δύνανται εἰσελθεῖν διὰ τῆς εἰρη-
[152] μένης θύρας. Γίγνεσθαι δὲ ἐκεῖ ζητήσεις λέγουσι περὶ τῆς ἐν τῷ σώματι ἐκείνῳ γλυφῆς. Οὐδὲ γὰρ ἔστι ῥᾳδίως πάσῃ τῇ ἀνατυπώσει ἐπιστῆσαι, διά τε τὸ πολλὰ εἶναι καὶ διὰ τὸ μὴ πάντα τὰ ζῷα καὶ φυτὰ ἐν πάσῃ χώρᾳ ὑπάρχειν. Ἃ μὲν οὖν Ἰνδοὶ ἱστοροῦσι περὶ τοῦ παρ' αὐτοῖς δοκιμαστηρίου ὕδατος, ἔστι ταῦτα. Οἶμαι δὲ τούτου καὶ Ἀπολλώνιον τὸν Τυανέα μεμνῆσθαι τοῦ ὕδατος, τοῦ ἐν τῷ σπηλαίῳ λέγω. Γράφων γὰρ τοῖς Βραχμᾶσιν ὅρκον τινὰ ὀμνύει· „οὐ μὰ τὸ Ταντάλειον ὕδωρ, οὗ με ἐμνήσατε.“ Οἶμαι γὰρ Ταντάλου λέγειν τοῦτο, διὰ τὸ ἀεὶ τῇ προσδοκίᾳ κολάζειν τοὺς ἐπὶ τοῦτο ἐλθεῖν ἐσπουδακότας κἀκ τούτου ποτὲ ἀρύσασθαι.

CAPVT IV (V Heer., IV Gaisf. Mein.).

ΠΕΡΙ ΑΝΑΓΚΗΣ ⟨ΘΕΙΑΣ⟩ ΚΑΘ' ΗΝ ΑΠΑΡΑΙΤΗΤΩΣ ΤΑ ΚΑΤΑ ΤΗΝ ΤΟΥ ΘΕΟΥ ΓΙΝΕΤΑΙ ΒΟΥΛΗΣΙΝ.

Μοσχίωνος Τηλέφου (fr. 2 p. 631 N.).

Ὦ καὶ θεῶν κρατοῦσα καὶ θνητῶν μόνη
Μοῖρ', ὦ λιταῖς ἄτρωτε δυστήνων βροτῶν,
[154] *πάντολμ' Ἀνάγκη, στυγνὸν ἣ κατ' αὐχένων*
ἡμῶν ἐρείδεις τῆσδε λατρείας ζυγόν.

2ª *Χαιρήμονος* (fr. 18 p. 611 N.).

Χρεία δ' Ἀνάγκης οὐκ ἀπῴκισται πολύ.

---

9 *λέγω* FP ‖ **10** *ταντάλιον* FP: corr. Meineke ‖ **11** *ἐμνήσατε* P | *γὰρ* om. P | *τάνταλον* FP: *Ταντάλου* Meineke, *Ταντάλιον* vulgo ‖ **12** *ἐπὶ* corr. Meineke pro *ὑπὸ* ‖ **15** titulus iteratur in indice flor. Laur. litt. *A* n. 50 | *θείας* addidi ex Photio et ind. Laur.; praeter titulum habet F mrg *περὶ ἀνάγκης* ‖ **17** lemma habet F mrg, P in textu ‖ **18** *κρατοῦσι* P¹ ‖ **19** *μοίρα* FP: *Μοῖρ' ὦ* Grotius, *μοῖρα* post *ἄτρωτε* transposuit Jacobs ep. cr. p. 228 | *ἄτεγκτε* Nauck ‖ **20** *πᾶν τολῆμ' ἀνάγκης* FP: *πάντολμ' Ἀνάγκη* Porson ad Eurip. Phoeniss. 1622 ‖ **21** *ἡμῶν* etiam P | *τῆς τε* FP: *τῆσδε* Ruhnken | *ζυγῶν* (ead. m. *ὸν* sprscr.) F ‖ **22** lemma hic om. FP, sed F habet supra ad v. 19 (X)*αιρήμονος*

2[b] *Εὐριπίδου Βελλεροφόντῃ* (fr. 301 N.).
Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ.
2[c] ⟨*Σιμωνίδου* (Epinic. fr. 5[3] B., v. 21).⟩
Ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται.
2[d] ⟨Tragici ignoti (fr. adesp. 420 N.).⟩
Ὁσίᾳ δ' ἀνάγκη πολεμιωτάτη θεός.
2[e] ⟨Tragici ignoti (fr. adesp. 421 N.).⟩
Οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος.
3 ⟨*Εὐριπίδου* (Alcest. 962—966).⟩ [156]
Ἐγὼ καὶ διὰ Μούσας
καὶ μετάρσιος ᾗξα καὶ
πλείστων ἁψάμενος λόγων
κρεῖσσον οὐδὲν Ἀνάγκας
εἶρον, οὐδέ τι φάρμακον.
4 *Φιλήτα Ἑρμοῦ.*
Ἰσχυρὰ γὰρ ἐπικρατεῖ ἀνδρὸς Ἀνάγκη,
ἣ ῥ' οὐδ' ἀθανάτους ὑποδείδιεν, οἵ τ' ἐν Ὀλύμπῳ
ἔκτοσθεν χαλεπῶν ἀχέων οἴκους ἐκάμοντο.
5 *Σοφοκλῆς Θυέστῃ* (fr. 236 N.).
Πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται.
6 *Εὐριπίδης Αἰκυμνίῳ* (fr. 478 N.).
Τὸ τῆς ἀνάγκης οὐ λέγειν ὅσον ζυγόν.
. . . . . .

---

1 lemma hic om. FP, sed F habet ad p. 70, 20. 21 *Ευριπίδ. ελεβοφοντ* et P ad p. 70, 19 *εὐριπδ* ‖ **2** *τἄλλα δεύτερα* Hense ‖ **3** lemma om. FP; hunc v. ut ultimum tertiae strophae scolii Simonidei affert Plat. Protag. p. 345[D] ‖ **4** *ἀνάγκᾳ* Laert. Diog. I 76, *ἀνάγκα* F, *ἀνάγκη* P | *οὐδὲ* P[2] Plat., *οὐ* FP[1] ‖ **6** *ὁσία* FP: *ὁσίᾳ* Nauck, *θεία* Cobet var. lect. p. 9 | *πολεμιωτάτη* FP ‖ **8** *ἀνάγκη* P[1] | *ἰσχύει νόμος* etiam P ‖ **9** lemma om. FP ‖ **11** *μετάρσιος ᾗξα* Eur., *μεταρσίων ἦρξα* FP ‖ **12** *ἁψάμενος* FP ‖ **14** *τι* Eur., *τε* FP ‖ **18** *ἔκτοσθε* F ‖ **19** lemma hic om. FP sed habent infra, v. adnotata ad 22 ‖ **21** lemma hic om. FP, sed infra (v. adn. ad 22) habent *Εὐριπιδ. Διδύμω* (sic F, in quo *Δ* rubr.; *διδυμ* P), quod Valckenaer diatr. p. 17 corr. in *Εὐριπίδης Αικυμνίῳ* ‖ **22** *οὐ λέγειν ὅσον*] *ἰσχυρὸν* Doxopater Rhet. vol. II p. 291 si hunc v. laudat: *οὐχ ὁρᾷς ὅσον* Schmidt sat. crit. (Neu-Strel. 1874) p. 5; *ἄφατον ἔσθ' ὅσον* Herwerden ad Eurip. Ion. p. 176 | post *ζυγόν* pergit F in textu: *Θάλητος. Σοφοκλῆ. Θυέστη.*

[158] 7ª *Θαλῆς ἐρωτηθείς, Τί ἰσχυρότατον; εἶπεν· Ἀνάγκη, κρατεῖ γὰρ πάντων.*

7ᵇ *Ἐρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα.*

Ἀνάγκη ἐστὶ κρίσις βεβαία καὶ ἀμετάτρεπτος δύναμις προνοίας.

7ᶜ ⟨Aetii plac. (I 25. 26 p. 321 Diels.).⟩

Πυθαγόρας ἀνάγκην ἔφη περικεῖσθαι τῷ κόσμῳ.

Παρμενίδου καὶ Δημοκρίτου. οὗτοι πάντα κατ' ἀνάγκην· τὴν δ' αὐτὴν εἶναι εἱμαρμένην καὶ δίκην καὶ
[160] *πρόνοιαν καὶ κοσμοποιόν.*

Λεύκιππος πάντα κατ' ἀνάγκην, τὴν δ' αὐτὴν ὑπάρχειν εἱμαρμένην· λέγει γὰρ ἐν τῷ Περὶ νοῦ· „Οὐδὲν χρῆμα μάτην γίγνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης."

Πλάτων ὁτὲ μὲν τὴν ὕλην, ὁτὲ δὲ τὴν τοῦ ποιοῦν-
p. 11 C. *τος πρὸς τὴν ὕλην σχέσιν. Καὶ τὰ μὲν εἰς πρόνοιαν ἀνάγει, τὰ δὲ εἰς ἀνάγκην. Λέγει γοῦν ἐν τῷ Τιμαίῳ* (p. 48 A)· *„Μεμιγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις, ἐξ ἀνάγκης τε καὶ νοῦ συστάσεως ἐγεννήθη, νοῦ δὲ ἀνάγκης ἄρχοντος."*

Ευριπιδ. Διδύμω. Ερμου ἐκ τῶν Πλάτωνος, et mrg: *ἄχμωννα πυθαγόρου*; item P in textu: *θάλητος. σοφοκλῆς. θυέστη. εὐριπδ. διδυμ. ἑρμοῦ ἐκ τοῦ πλάτωνος. ἄχμωνα πυθαγόρου*; quae lemmata ita interpretor ut dicam *θάλητος* corruptum esse ex *φιλήτα* vel spectare ad p. 72, 1, *σοφοκλῆς θυέστῃ* et *εὐριπίδης λικυμνίῳ* referenda esse ad v. 20 et 22, dein consocianda esse quae secuntur in unum titulum *ἑρμοῦ ἐκ τῶν πρὸς* (quod corruptum est in *τῶν πλάτωνος*) *ἄμμωνα* et ad p. 72, 4 referenda; denique *πυθαγόρου* pertinere ad p. 72, 7

2 *κρατεῖ* corr. Canter pro *τί* ‖ **3** de lemmate vide ad p. 71, 22 adnotata ‖ **7** F habet mrg *πυθαγόρας* colore viridi ‖ **8** *παρμενίδου καὶ δημοκρίτου* FP ‖ **9** *δίνην* Beck ad Plutarch. de plac. I 25 ‖ **11** *λευκίππου* FP: *Λεύκιππος* Heeren ‖ **12** a verbo *λέγει* nova incipit ecloga in FP; itaque habet F mrg, P in textu lemma *λευκίππου | (λ)έγει* F ‖ **15** F et P mrg habent lemma *Πλάτων | ὅτε* bis P^1 ‖ **17** post *ἀνάγκην* FP iterant verba *αἰτίαν – στοιχείων* (p. 73, 1. 2) ‖ **18** ante *ἐξ* add. P *οὐκ* ‖ **19** *ἐγεννήθη* Plat., *ἐγενήθη* FP ‖ **19. 20** *νοῦ δὲ ἀνάγκης ἄρχοντος* ap. Platonem novum incipiunt enuntiatum

Ἐμπεδοκλῆς αἰτίαν χρηστικὴν τῶν ἀρχῶν καὶ τῶν στοιχείων.

8 *Ἑρμοῦ πρὸς τὸν υἱόν* (p. 38 Patrit.).

Ὀρθῶς μοι πάντα εἶπας, ὦ πάτερ, ἀλλ' ἔτι με ἀνά-
μνησον, τίνα ἐστὶ τὰ κατὰ πρόνοιαν καὶ τίνα ⟨τὰ⟩ κατ' [162]
ἀνάγκην, ὁμοίως καὶ καθ' εἱμαρμένην;

Ἔφην εἶναι ἐν ἡμῖν, ὦ Τάτ, τρία εἴδη ἀσωμάτων· καὶ τὸ μέν τι ἐστὶ νοητόν, τοῦτο μὲν οὖν ἀχρώματον, ἀσχημάτιστον, ἀσώματον, ἐξ αὐτῆς τῆς πρώτης καὶ νοητῆς οὐσίας. Εἰσὶ δὲ καὶ ἐν ἡμῖν τούτῳ ἐναντίαι σχηματότητες ⟨αἳς⟩ τοῦτο ὑποδέχεται. Τὸ γοῦν κινούμενον ὑπὸ τῆς νοητῆς οὐσίας πρός τινα λόγον καὶ ὑποδεχθέν, εὐθέως μεταβάλλεται εἰς ἕτερον εἶδος κινήσεως, τοῦτο δὲ εἴδωλόν ἐστι τοῦ νοήματος τοῦ δημιουργοῦ. Τρίτον δέ ἐστιν εἶδος ἀσωμάτων, ὃ περὶ τὰ σώματά ἐστι συμβεβηκός, τόπος, χρόνος, κίνησις, σχῆμα, ἐπιφάνεια, μέγεθος, εἶδος· καὶ τούτων εἰσὶ διαφοραὶ δύο. Ἃ μὲν γάρ ἐστιν αὐτῶν ἰδίως ποιά, ἃ δὲ τοῦ σώματος. Τὰ μὲν ἰδίως ποιὰ τὸ σχῆμα, ἡ χρόα, τὸ εἶδος, ὁ τόπος, ὁ χρόνος, ἡ κίνησις· τὰ δὲ τοῦ σώματος ἴδιά ἐστι τὸ ἐσχηματισμένον σχῆμα καὶ τὸ κεχρωσμένον χρῶμα, ἔτι δὲ καὶ ἡ μεμορφωμένη μορφὴ καὶ ἡ ἐπιφάνεια καὶ τὸ μέγεθος· ταῦτά ἐστι τούτων μέτοχα. [164]
Ἡ μὲν οὖν νοητὴ οὐσία, πρὸς τῷ θεῷ γενομένη, ἑαυτῆς ἐξουσίαν ἔχει καὶ τοῦ σῴζειν ἕτερον, αὐτὴν σῴζουσα, ἐπεί γ'

---

1 ante *Ἐμπεδοκλῆς* add. FP *Ἐμπεδοκλέους* ‖ 3 lemma habet F mrg, P¹ in textu sed demum post verba *καθ' εἱμαρμένην* (v. 6); hic P² mrg add. *ἑρμοῦ* ‖ 5 *τὰ* ante *κατ'* addidi ‖ 7 *ὦ τὰτ* P², *ὦ τὰ* FP¹ ‖ 8 *ἀσχήματον* Meineke ‖ 10 *αἷς* add. Usener, *ἃς* Heeren ‖ 11 fort. *ὑποδεχόμεθα* ‖ 12 *πρός τινα λόγον*] *εἰσὶ δὲ καὶ ἐν ἡμῖν* P ‖ 13 verba *τοῦτο – δημιούργου* (14) putes interpretamentum v. 8. 9 esse | supra *τοῦτο* in F quattuor puncta m. rec., quae mrg add. ·:· ∃ *μητὰς ἰδέας λέγειν* ‖ 14 ante *τρίτον* lacunam signavit Heeren, cum descriptio alterius generis incorporeorum interciderit: sed iam descriptum est alterum genus antecedentibus verbis ‖ 15 *ἀσώματον* P ‖ 17 *διάφορα* FP: *διαφοραὶ* Patr. | *ἡ μὲν* Patr. ‖ 18 *ἡ δὲ* Patr. ‖ 21 *ἔστι* FP: *ἔτι* Usener ‖ 22 *τούτῳ ἀμέτοχα* F, *τούτων ἀμέτοχα* P: corr. Usener, *σωμάτων ἀμέτοχα* Heeren ‖ 24 *αὐτὴν* FP | *σώζουσαν* P¹ | *ἔπειθ'* FP: *ἐπεί γ'* Meineke, *ἔπειτ'* vulgo

αὐτὴ ἡ οὐσία ὑπὸ ἀνάγκην οὐκ ἔστιν· ὑπολειφθεῖσα δὲ ὑπὸ τοῦ θεοῦ αἱρεῖται τὴν σωματικὴν φύσιν καὶ ἡ αἵρεσις αὐτῆς κατὰ πρόνοιαν [τοῦτο δὲ τοῦ κόσμου] γίνεται· τὸ δὲ ἄλογον πᾶν κινεῖται πρός τινα λόγον· καὶ ὁ μὲν λόγος κατὰ πρόνοιαν, τὸ δὲ ἄλογον κατ' ἀνάγκην, τὰ δὲ περὶ τὸ σῶμα συμβεβηκότα καθ' εἱμαρμένην. Καὶ οὗτός ἐστιν ὁ λόγος τῶν κατὰ πρόνοιαν καὶ ⟨κατ'⟩ ἀνάγκην καὶ καθ' εἱμαρμένην.

CAPVT V (IV Heer.).

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΤΗΣ ΤΩΝ ΓΙΝΟΜΕΝΩΝ ΕΥΤΑΞΙΑΣ.

1 *Ὁμήρου Ἰλιάδος* (*Z* 488. 489).

Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.

[166] 2 *Εὐριπίδου Ἀνδρομέδας* (fr. 151 N.).

. . . τὸ δαιμόνιον οὐχ ὁρᾷς
ὅπῃ μοίρας διεξέρχεται;
στρέφει δ' ἄλλοτ' ἄλλως εἰς ἡμέραν.

3 *Βακχυλίδου* (fr. 36[3] B.).

Θνατοῖσι δ' οὐκ αὐθαίρετοι
οὔτ' ὄλβος, οὔτ' ἄκαμπτος ἄρης, οὔτε πάμφθερσις στάσις·

---

1 οὖσα FP: *οὐσία* Patr. | *ὑποληφθεῖσα* F ‖ **2** *αἵρεται* P, *αἴρεται* F: corr. Meineke ‖ **3** *τοῦτο δὲ τοῦ κόσμου* inclusit ut corrupta Heeren (immo glossema est verbis proximis *τὸ δὲ ἄλογον κτλ.* adscriptum) ‖ **7** *κατ'* addidi ‖ **10. 11** titulus recurrit in indice flor. Laur. litt. *E* n. 7 ‖ **12** de lemmate vide adnotata ad v. 21 ‖ **13** F habet mrg *Ὁμήρου* et viridi colore scriptum *σῆ* ‖ **15** de lemmate vide adn. ad v. 21 ‖ **17** *μοίρα* F, *μοῖρα* P: *μοίρας* Grotius, *μοῖραν* Meineke, *μοιρά σου* Fritzschius ‖ **18** *στρέφεις* FP: corr. Heeren | *ἄλλους ἄλλως* FP: *ἄλλοτ' ἄλλως* Meineke, *ἄλλους ἄλλοσ'* Hermannus et Fritzschius, *ἄλλοτ' ἄλλοσ'* Herwerden ‖ **19** de lemmate vide ad v. 21 adnotata; hoc fr. primus (ex Farnesino) ed. Ursinus carm. ill. fem. p. 201 ‖ **20** *θνητοῖς* FP: *θνατοῖσι* Neue | *δ'* om. P ‖ **21** post *ὄλβος* add. P *τ'* | fort. *οὔτ' ⟨ἄρ'⟩ ἄκαμπτος* | post *ἄρης* in FP nova incipit ecloga cui praemissum *εὐριπίδου. ἀνδρομέδ.* (in F litt. init.

ἀλλ᾽ ἐπιχρίμπτει νέφος ἄλλοτ᾽ ἐπ᾽ ἄλλαν [168]
γαῖαν ἃ πάνδωρος αἶσα.

4 *Μενάνδρου* (inc. 18[a], Com. IV p. 238).

Ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται
εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου.

5 *Ἡσιόδου Θεογονίας* (217—219).

Καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε βροτοῖσι
γινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε.

6 *Εὐριπίδου Ἡρακλειδῶν* (608. 609; 615—617).

Οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον
ἄνδρα γενέσθαι.

. . . . . .

μόρσιμα δ᾽ οὔτι φυγεῖν θέμις· [170]
οὐ σοφίᾳ τις ἀπώσεται·
ἀλλὰ μάταν ὁ πρόθυμος ἀεὶ πόνον ἕξει.

7 *Ἐκ τῶν Βίωνος Βουκολικῶν· εἰς Ὑάκινθον* (XI).

Ἀμφασία τόκα Φοῖβον ἔλεν τὸ σὸν ἄλγος ὁρῶντα,
δίζετο φάρμακα πάντα, σοφὰν δ᾽ ἐπεμαίετο τέχναν,

---

om. pro rubr.). *βακχυλίδου* (in F litt. init. om. pro rubr.). *μενάνδρου. ἡσιόδου θεογονίας* (in F litt. init. om.) | *οὔτε*] *ὕτε* F | *πάνφερσις* P

1 *ἐπιχρί* lac. 2 litt. *πει* P[1] | *ἄλλοτε ἔπαλαν* FP: *ἄλλοτε ἐπ᾽ ἄλλαν* Canter ‖ **2** *γᾶν* FP: corr. Boeckh | *ἀπάνδωρος* FP[2], *ἀπάνδυρος* P[1]: *ἃ πάνδωρος* Canter | *δεῖσα* EP: *αἶσα* 'Pharnesii codex', ut ait Canter mrg et Ursin. ‖ **3** de lemmate vide supra ad p. 74 v. 21 adnotata; Menandro hos versus etiam Clem. Alex. strom. V p. 260 Sylb., Plutarchus de tranqu. an. p. 474[b] alii adscripserunt ‖ **4** *ἅπαντ᾽ ὁ δαίμων* FP: *ἅπαντι δαίμων* Grotius | *συμπαραστατεῖ* Plut. l. s. ‖ **6** de lemmate vide ad p. 74 v. 21 adnotata ‖ **7** *νηλεοποίνη* F ‖ **9** *γινομένοισι* FP ‖ **10** hoc lemma in FP demum ad v. 14, a quo versu nova ecloga inchoatur, adscriptum in F mrg, in P in textu ‖ **11** *ἄτερ* F, *ἄτε τ᾽* P ‖ **14** *(μ)όρσιμα* F | *οὔτι* Eur., *οὔτε* FP ‖ **15** *οὔτε σοφίᾳ* P ‖ **16** *ὁ* om. P ‖ **17** *ἐκ τῶν βίονος (βίωνος* P[2]*) βουκολικῶν εἰς ὑάκινθον* P, *ἐκ τῶν βίωνος βουκολίων* et mrg *εἰς ὑάκινθον* F: *εἰς Ὑάκινθον ἐκ τῶν Βίωνος βουκολικῶν* vulgo ‖ **18** *τὸν* FP: *τόκα* Ahrens, *δ᾽ ἄρα* Hermann | *Φοῖβον ἔλε* P, *βίον ἔλεν* F | *τὸ σὸν* corr. Wilamowitz Herm. XIV p. 163 pro *τόσον* | *ἔχοντα* FP: *ὁρῶντα* Usener, *ἰδόντα* Wilamowitz ‖ **19** *ἐπεβένετο* F, *ἐπεβώσετο* P[1], *ἐπεβώσατο* P[2]: *ἐπεμαίετο* Vulcanius

χρῖεν δ' ἀμβροσίᾳ καὶ νέκταρι, χρῖεν ἐπάσας
ὠτειλάν· μοιραῖα δ' ἀναλθέα τρώματα πάντα.

8 ⟨Tragici ignoti (fr. adesp. 422 N.).⟩

Μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται
p. 12 C. *Μοῖρ' οὐδ' ἐν ἀνθρώποισιν, ἀλλ' αὐτὴ κρατεῖ.*

9 ⟨Tragici ignoti (fr. adesp. 423 N.).⟩

Ὦ Μοῖρα κεδνῶν καὶ κακῶν κυνηγέτι.

10 *Εὐριπίδου Πηλεῖ* (fr. 623 N.).

Κλύετ' ὦ Μοῖραι, Διὸς αἵτε παρὰ
θρόνον ἀγχοτάτω θεῶν ἑζόμεναι.

[172] 11 *Σοφοκλέους ἐκ Φαίδρας* (fr. 611 N.).

Περιώσι' ἄφυκτά τε
μήδεα παντοδαπᾶν βουλᾶν ἀδαμαντίναις
ὑφαίνεται κερκίσιν αἶσα.

12 ⟨Lyrici ignoti (fr. adesp. 140[3] B.).⟩

Κλωθὼ Λάχεσίς τ', εὐώλενοι
κοῦραι Νυκτός,
εὐχομένων ἐπακούσατ' οὐράνιαι χθόνιαί τε δαίμονες·
[174] *ὦ πανδείμαντοι, πέμπετ' ἄμμιν*
ῥοδόκολπον Εὐνομίαν, λιπαροθρόνους τ' ἀδελφάς, Δίκαν
καὶ στεφανηφόρον Εἰράναν·

---

1 *χρεῖεν* FP | *ἀμβροσία* FP: *ἀμβροσίῃ* vulgo | *χρεῖεν* FP | *ἐπάσας* corr. Wilamowitz pro *ἅπασαν* ‖ **2** *μοίραιαι* F, *μοίραισι* (*σι* in ras.) P: *μοιραῖα* G. Hermann | *ἀναλθία* FP: corr. Canter | *φάρμακα* FP: *τραύματα* G. Hermann (debuit *τρώματα*) ‖ **5** *οὐδ' ἐν* corr. Grotius pro *οὐδὲ* | *αὐτῆς* F, *αὐτῆς* P: *αὐτὴ* Nauck ‖ **9** *κλύετ' ὦ*] *κλῦτε* F (in quo lit. in. pro rubr. om.) et P: corr. Seidler | *μοῖρα* F ‖ **10** *ἀγχοτάτα* P[1] ‖ **11** lemma hic om. F, sed infra ad v. 16 *Σοφοκλ (ἐ)κ φαίδρας* habet mrg; *σοφοκλ'* P hic mrg, et infra ad v. 17 *ἐκ φαίδρας* ‖ **12** *περιώσια· φυκτά* FP: corr. Grotius ‖ **13** *παντοδαπὰν βουλὰν* FP: corr. Grotius ‖ **15** Bergkius aliquando credidit haec ex Pindari hymno in Fortunam petita esse; Meinekius Simonidi vel Bacchylidi eos tribuere maluit ‖ **16** ante *Κλωθὼ* Bergk coniecit olim *Αἶσα καὶ* scriptum fuisse, quod post ultimam antecedentis eclogae verbum *αἶσα* facile intercidere potuerit ‖ **18** *ἐπακούσατε* F, *ἐπακούσαται* P: corr. Bergk ‖ **19** fort. *πανδείματοι* | *ἄμμιν* FP ‖ **20** *ῥοδόκολπον* FP | *ἀδελφεὰς* L. Dindorf

πόλιν τε τάνδε βαρυφρόνων
λελάθοιτε συντυχιᾶν.

13 *Σοφοκλῆς Φαίδρᾳ* (= trag. fr. adesp. 424 N.).
Ἔζης ἄρ', οὐδὲ γῆς ἔνερθ' ᾤχου θανών;
Οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται.

14 *Ἑρμοῦ* (= App. ad Anthol. Palat. n. 40).
Ἑπτὰ πολυπλανέες κατ' Ὀλύμπιον ἀστέρες οὐδὸν
εἱλεῦνται, μετὰ τοῖσι δ' ἀεὶ περινίσσεται αἰών·
νυκτιφανὴς Μήνη, στυγνὸς Κρόνος, Ἥλιος ἡδύς, [176]
παστοφόρος Παφίη, θρασὺς Ἄρης, εὔπτερος Ἑρμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ φύσις ἐβλάστησεν.
Οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος, ἔστι δ' ἐν ἡμῖν
Μήνη, Ζεύς, Ἄρης, Παφίη, Κρόνος, Ἥλιος, Ἑρμῆς·
τοὔνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν
δάκρυ, γέλωτα, χόλον, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
Δάκρυ μέν ἐστι Κρόνος, Ζεὺς ⟨δ'⟩ ἡ γένεσις, λόγος Ἑρμῆς,
θυμὸς Ἄρης, Μήνη δ' ἄρ' ὕπνος, Κυθέρεια δ' ὄρεξις,

---

2 *συντυχιᾶν λελάθοιτε* Bergk | *συντυχίαν* FP: corr. Grotius ‖ **3** lemma habet F mrg, P. om.; nulla tamen idonea est causa, cur cum Nauckio inter adespota hoc frg. relegemus; fit de Thesei ad inferos descensu colloquium ‖ **4** *ἄρα* FP ‖ **6** *περὶ εἱμαρμένης*: *ἑρμοῦ* FP, quod aut ad deperditam eclogam Hermetis eamque ex libro *περὶ εἱμαρμένης* petitam (cf. I 5, 16) pertinuit (quod tamen in hunc locum solum errore transponi potuit), aut — quod veri est similius — *περὶ εἱμαρμένης* repetita est inscriptio huius capitis et *ἑρμοῦ* ad versus qui secuntur spectat; laudantur enim a Clemente Alex. strom. VI p. 633 Hermetis *ὕμνοι θεῶν*. in Append. Planudea p. 494 (unde hausit procul dubio hos versus 'nescio an editos, certe dignos qui legantur' Iac. Gronov not. ad Maneth. p. 267) iteratur carmen sine titulo; in Palat. p. 442 n. 491 versus septimus Theoni Alexandrino adscribitur ‖ **7** *ἑπτὰ* P, (*ἑ*)*πτὰ* F ‖ **8** *εἱλεῦνται* Anth., *εἱλεῖνται* FP | *μετὰ τοῖσιν ἀεὶ δ' ἐπινήσεται* FP, *καὶ τοῖσιν ἀεὶ κανονίζεται* Anth.: *μετὰ τοῖσι δ' ἀεὶ περινίσσεται* Iacobs (*ἐπινίσσεται* Meineke) ‖ **9** *νυκτιφανεὶς* P^1 | *στυγνὸς κρόνος* Anth., P^2 mrg; *νυκτὸς* FP^1 ‖ **10** *παστοπόλος* Meineke | *εὔπτερος* P^2 Anth., *εὔσπερος* FP^1: *εὔσπορος* Vatic. et Grotius ‖ **11** *ἀρχιγένεθλος* P^2, *ἀρχίγεθλος* FP^1 ‖ **12** *ἔλαχον* FP, *ἐλάουσι* Anth. ‖ **14** *μεμορήμεθα* Meineke ‖ **15** *δράκρυ* P | *χόλον* F, *χολὴν* P Anth. ‖ **16** *δράκρυ* P | *δ' ἡ*] *ἡ* FP, *δὴ* Anth.: corr. Iacobs ‖ **17** *κυθαίρεια* F, *κυθέρια* P

Ἥλιός τε γέλως· τούτῳ γὰρ ἅπασα δικαίως
καὶ θνητὴ διάνοια γελᾶ καὶ κόσμος ἀπείρων.

15 ⟨Aetii placit. (I 27. 28 p. 322. 323 Diels.)⟩

⟨*Χρύσιππος*⟩ *μὴ διαφέρειν τοῦ εἱμαρμένου τὸ κατηναγκασμένον,* ⟨*τὴν δὲ εἱμαρμένην εἶναι κίνησιν ἀΐδιον τῶν ὅλων*⟩ *κατ' ἐπιπλοκὴν τῶν μερῶν συνηρτημένην.*

[178] *Ἡράκλειτος οὐσίαν εἱμαρμένης ἀπεφαίνετο λόγον τὸν διὰ οὐσίας τοῦ παντὸς διήκοντα. Αὕτη δ' ἐστὶ τὸ αἰθέριον σῶμα, σπέρμα τῆς τοῦ παντὸς γενέσεως καὶ περιόδου μέτρον τεταγμένης. Πάντα δὲ καθ' εἱμαρμένην, τὴν δ' αὐτὴν ὑπάρχειν ἀνάγκην· γράφει γοῦν* (p. 423 Schleierm., fr. 63 Bywat.)· *Ἔστι γὰρ εἱμαρμένα πάντως . . .*

Πλάτων λόγον ἀΐδιον τὴν οὐσίαν τῆς εἱμαρμένης, καὶ νόμον ἀΐδιον τῆς τοῦ παντὸς φύσεως.

Ποσειδώνιος τρίτην ἀπὸ Διός. πρῶτον μὲν γὰρ εἶναι τὸν Δία, δεύτερον δὲ τὴν φύσιν, τρίτην δὲ τὴν εἱμαρμένην.

Ζήνων ὁ Στωικὸς ἐν τῷ Περὶ φύσεως δύναμιν κινητικὴν τῆς ὕλης κατὰ ταὐτὰ καὶ ὡσαύτως, ἥντινα μὴ διαφέρειν πρόνοιαν καὶ φύσιν καλεῖν.

[180] *Ἀντίπατρος ὁ Στωικὸς θεὸν ἀπεφαίνετο τὴν εἱμαρμένην.*

---

1 δὲ Anth. ‖ **4** verba *μὴ διαφέρειν* nullo spatio interiecto sequuntur ultima verba hymni antecedentis; intercidit lemma *Χρύσιππος* quod coll. Theodoreto VI 14 Diels supplevit ‖ **4. 5** post *κατηναγκασμένον* lacunam signavit Diels, quam explevi coll. Theod. l. s. et Chrysippea *εἱμαρμένης* definitione apud Gell. N. Att. VI 2, 3 (ubi Cumanudis Philistoris vol. II p. 183 pro *μετὰ πολὺ μὲν οὖν* corr. *μεταπολουμένων*) ‖ **6** *τῶν* om. F ‖ **7** mrg addunt FP lemma *ἡράκλειτος* | *ἀπεφαίνετο* F, *ἀποφαίνετο* P ‖ **8** *διὰ* P, *δία* F | *οὐσίας* ⟨*τῆς*⟩ Bywater ‖ **12** *εἱμαρμένα* F, *εἱμαρμένη* P ‖ **13** lemma *πλάτων* hic habent FP mrg | *(Π)λάτων* F ‖ **15** hic habet F mrg lemma *ποσειδωνίου*, P *ποσειδώνιος* | *(Π)οσειδώνιος* F ‖ **16** *δευτέραν* Diels ‖ **18** hic habet lemma *Ζήνων* F mrg | *(Ζ)ήνων* F ‖ **19** *ταὐτὰ* F, *ταῦτα* P ‖ **20** *διαφέρον* F, *διάφορον* P: *διαφέρειν* e coni. August. ‖ **21** FP addunt lemma mrg: *Ἀντιπάτρου* F, *ἀντίπατρος* P | *(Ἀ)ντίπατρος* P | *ἀπεφαίνετο* FP

Χρύσιππος δύναμιν πνευματικὴν τὴν οὐσίαν τῆς εἱμαρμένης, τάξει τοῦ παντὸς διοικητικήν. Τοῦτο μὲν οὖν ἐν τῷ δευτέρῳ Περὶ κόσμου, ἐν δὲ τῷ δευτέρῳ Περὶ ὅρων καὶ ἐν τοῖς Περὶ τῆς εἱμαρμένης καὶ ἐν ἄλλοις σποράδην πολυτρόπως ἀποιραίνεται λέγων· Εἱμαρμένη ἐστὶν ὁ τοῦ κόσμου λόγος, ἢ λόγος τῶν ἐν τῷ κόσμῳ προνοίᾳ διοικουμένων· ἢ λόγος, καθ' ὃν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γινόμενα γίνεται, τὰ δὲ γεννησόμενα γενήσεται. Μεταλαμβάνει δ' ἀντὶ τοῦ λόγου τὴν ἀλήθειαν, τὴν αἰτίαν, τὴν φύσιν, τὴν ἀνάγκην, προστιθεὶς καὶ ἑτέρας ὀνομασίας, ὡς ἐπὶ τῆς αὐτῆς οὐσίας τασσομένας καθ' ἑτέρας καὶ ἑτέρας ἐπιβολάς. Μοίρας δὲ καλεῖσθαι ἀπὸ τοῦ κατ' αὐτὰς διαμερισμοῦ, Κλωθὼ καὶ Λάχεσιν καὶ Ἄτροπον. Λάχεσιν μέν, ὅτι ὃν κλῆρον λελόγχασιν ἕκαστοι κατὰ τὸ δίκαιον ἀπονέμεται· Ἄτροπον δέ, ὅτι ἀμετάτρεπτος καὶ ἀμετάβλητός ἐστιν ὁ καθ' ἕκαστα διορισμὸς ἐξ ἀϊδίων χρόνων· Κλωθὼ δέ, ὅτι ἡ κατὰ τὴν εἱμαρμένην διανέμησις καὶ τὰ γεννώμενα τοῖς κλωθομένοις παραπλησίως διεξάγεται, κατὰ p. 13 C. *τὴν ἐτυμολογικὴν ἐξήγησιν τῶν ὀνομάτων ἅμα καὶ τῶν* [182] *πραγμάτων συμπαρισταμένων εὐχρήστως.*

16 *Περὶ τῆς ὅλης οἰκονομίας, Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμουν* (p. 38 Patrit.).

Καὶ ἡ μὲν διακρατοῦσα τὸν ὅλον κόσμον πρόνοιά ἐστιν, ἡ δὲ συνέχουσα καὶ περιέχουσα ἀνάγκη ἐστίν, εἱμαρ-

---

1 FP lemma addunt mrg: *Ἐρυσίππου* (*E* viridi colore script.) F, *χρύσιππος* P | (X)*ρύσιππος* F ‖ **2** *τάξει* FP, Plut. de plac. I 28: *τάξεως* Meineke ‖ **3** *ἐν δὲ τῷ δευτέρῳ* FP: *ἐν τῷ δευτέρῳ δὲ* vulgo | *ὡρῶν* F, in P lac. 5 litt.: *ὅρων* Heeren coll. Plut. l. s. ‖ v. **6. 7** hic addit F iterum mrg lemmata *Ἀντίπατρος, Χρύσιππος* ‖ **12** *ἐπιβουλὰς* FP: *ἐπιβολὰς* e coni. cod. Vatic. ‖ **13** *λάχεσι* bis FP ‖ **14** *οἷον κλῆρῳ* FP: *ὅτι ὃν κλῆρον* Diels, *ὅτι οἷα κλήρῳ* Heeren | *ἕκαστοι* corr. Heeren pro *ἕκαστα* ‖ **15** *ἄτροπος* F | *ἀμετάτρεπτος* scripsi pro *ἀμετάθετος* ‖ **18** *κλωθωμένοις* FP: corr. Meineke | *παραπλησίως* FP: *ὁμοίως* Heeren dormitanter ‖ **19** *ἐτυμολογικὴν* P^2, *ἑτοιμολογικὴν* F, *αἰτιμολογικὴν* P^1 ‖ **20** *εὐχρήστως* F, *ἀχρήστως* P: *ἀχωρίστως* (vel *εὐχαρίστως*) Meineke ‖ **21. 22** lemma F habet mrg, P in textu | *οἰκουμένης* P | num *Ἄμμωνα*? certe idem est nomen atque I 5, 20 et I 35, 4. 7. 8

μένη δὲ ἄγει καὶ περιάγει πάντα καταναγκάζουσα (φύσις γάρ ἐστιν αὐτῆς τὸ ἀναγκάζειν), αἰτία γενέσεως καὶ φθορᾶς βίου. Ὁ μὲν οὖν κόσμος πρῶτος ἔχει τὴν πρόνοιαν (πρῶτος γὰρ αὐτῆς τυγχάνει) * * — Ἡ δὲ πρόνοια ἐξήπλωται ἐν τῷ οὐρανῷ, διότι καὶ θεοὶ περὶ αὐτὸν στρέφονται καὶ κινοῦνται, ἀκάματον καὶ ἄπαυστον κίνησιν ἔχοντες· εἱμαρμένη δὲ διότι καὶ ἀνάγκη. Καὶ ἡ μὲν πρόνοια προνοεῖ, εἱμαρμένη δὲ αἰτία ἐστὶ τῆς τῶν ἄστρων διαθέσεως. Οὗτος νόμος ἄφυκτος, καθ' ὃν πάντα τέτακται.

[184] 17 Ἐκ τῆς Ἰαμβλίχου πρὸς Μακεδόνιον ἐπιστολῆς.

Πάντα μὲν τὰ ὄντα τῷ ἑνί ἐστιν ὄντα, καὶ γὰρ αὐτὸ τὸ πρῶτον ὂν ἀπὸ τοῦ ἑνὸς ἐξ ἀρχῆς παράγεται, πολὺ δὲ διαφερόντως τὰ ὅλα αἴτια τῷ ἑνὶ τὸ δύνασθαι ποιεῖν παραδέχεται καὶ κατὰ μίαν συμπλοκὴν συνέχεται καὶ συναναφέρεται τῇ τῶν πολλῶν ἀρχῇ προϋπάρχοντα. Κατὰ δὴ τοῦτον τὸν λόγον καὶ τῶν περὶ τὴν φύσιν αἰτίων, πολυειδῶν ὄντων καὶ πολυμερίστων, ἠρτημένων τε ἀπὸ πλειόνων ἀρχῶν, ἀπὸ μιᾶς ὅλης αἰτίας τὸ πλῆθος ἐκκρέμαται, κατὰ μίαν δὲ σύνδεσιν πάντα πρὸς ἄλληλα συμπλέκεται καὶ εἰς ἓν ἀνήκει τὸ περιεκτικώτατον τῆς αἰτίας κράτος ὁ σύνδεσμος τῶν πλειόνων αἰτίων. Οὗτος τοίνυν εἷς εἱρμὸς ⟨οὐ⟩ συμπεφορημένος ἐστὶν ἀπὸ τοῦ πλήθους, οὐδ' ἐπι-

---

2 ἐστιν FP: om. vulgo | ἀναγκάζειν FP: καταναγκάζειν Heeren ‖ **3** post βίου add. τε καὶ θανάτου Usener ‖ **4** πρώτως αὕτη τυγχάνει Heeren | lacunam signavit Usener qui inde ab Ἡ δὲ novam eclogam incipere recte statuit ‖ **5** ἐν τῷ FP ‖ **6. 7** post εἱμαρμένη δὲ item atque post προνοεῖ (7) lacunam statuit Heeren | διότι] διατίθησι Usener; διοικεῖ vel διατάττει malim | fort. ἀναγκάζει ‖ **8** ante εἱμαρμένη add. ἡ Meineke ‖ **10. 11** totum lemma in textu habet P, F solum ἐκ τῆς Ἰαμβλίχου et reliqua mrg ‖ **12** τὰ ὄντα FP ‖ **13** τὸ (ὸ corr. ex ῶ) F | πρώτως FP², πρῶτος P¹: πρῶτον Canter ‖ **14** ὅλα P, ὄντα F ‖ **16** συναναφέρεται FP: συμφέρεται Heeren | προϋπάρχοντι FP: corr. Usener ‖ **17** αἰτίων corr. Meineke pro αἰτιῶν ‖ **21** αἰτίας P, σοφίας F ‖ **22** αἰτίων corr. Meineke pro αἰτιῶν | εἱρμὸς corr. Meineke pro εἱργμὸς ‖ **23** οὐ add. Usener | συμπεφυρμένος Heeren

συνισταμένην ἀπὸ τῆς συμπλοκῆς ποιεῖται τὴν ἕνωσιν, οὐδὲ διαπεφόρηται ἐν τοῖς καθ' ἕκαστα· κατὰ δὲ τὴν προηγουμένην καὶ προτεταγμένην αὐτῶν τῶν αἰτίων μίαν συμπλοκὴν ἐπιτελεῖ πάντα καὶ συνδεῖ ἐν ἑαυτῷ καὶ πρὸς [186]
αὐτὸν μονοειδῶς ἀνάγει. Μίαν οὖν τάξιν, πάσας τάξεις ὁμοῦ περιλαβοῦσαν ἐν αὑτῇ, τὴν εἱμαρμένην ἀφοριστέον.

18 *Ἐκ τῆς Ἰαμβλίχου πρὸς Σώπατρον ἐπιστολῆς.*

Τῆς δ' εἱμαρμένης ἡ οὐσία σύμπασά ἐστιν ἐν τῇ φύσει· φύσιν δὲ λέγω τὴν ἀχώριστον αἰτίαν τοῦ κόσμου καὶ ἀχωρίστως περιέχουσαν τὰς ὅλας αἰτίας τῆς γενέσεως, ὅσα χωριστῶς αἱ κρείττονες οὐσίαι καὶ διακοσμήσεις συνειλήφασιν ἐν ἑαυταῖς. Ζωή τε οὖν σωματοειδὴς καὶ λόγος γενεσιουργός, τά τε ἔνυλα εἴδη καὶ αὐτὴ ἡ ὕλη, ἥ τε συντεθειμένη γένεσις ἀπὸ τούτων, κίνησίς τε ἡ τὰ πάντα μεταβάλλουσα καὶ φύσις ἡ τεταγμένως διοικοῦσα τὰ γιγνόμενα, ἀρχαί τε αἱ τῆς φύσεως καὶ τέλη καὶ ποιήσεις, καὶ αἱ τούτων συνδέσεις πρὸς ἄλληλα ἀπ' ἀρχῆς τε ἄχρι τοῦ τέλους διέξοδοι συμπληροῦσι τὴν εἱμαρμένην.

19 *Πλουτάρχου ἐκ τοῦ Εἰ ἡ τῶν μελλόντων πρόγνωσις ὠφέλιμος* (fr. XV, 2).

Τὸ γὰρ εἱμαρμένον ἄτρεπτον καὶ ἀπαράβατον, „χὥπερ μόνον ὀφρύσι νεύσῃ, | καρτερὰ τούτῳ κέκλωστ' ἀνάγκα“ (lyr. Gr. fr. adesp. n. 143[3] B.) *καὶ πεπρωμένη. Διὰ τοῦτο τὴν εἱμαρμένην καὶ Ἀδράστειαν καλοῦσιν,* [188]
ὅτι πέρας ταῖς αἰτίαις ἠναγκασμένον ἐπιτίθησιν, ἀνέκφευκτος οὖσα καὶ ἀναπόδραστος.

---

3 *αὐτῶν* FP: *αὐτῷ* Heeren (cum Vaticano?) | *τῆς αἰτίας* FP: *τῶν αἰτίων* scripsi, *τῶν αἰτιῶν* Heeren ‖ **4** *ἐπιτελεῖ* FP | *συνδεῖν* FP: corr. Canter | *ἐν ἑαυτῷ* FP ‖ **5** *αὐτὸν* FP: corr. Heeren | *μονοειδῶς* FP: *ὁμοειδῶς* Meineke dubitanter ‖ **6** *περιλαβοῦσα* P | *αὐτῇ* FP: corr. Heeren ‖ **7** *προσώπατρον ἐπιστόλ'* P ‖ **11** *ὅσα* FP[1], *ὅσας* P[2] ‖ **12** *ζωὴ γοῦν* malit Usener ‖ **16** *ποίησις* FP: corr. Heeren ‖ **21** verba *χὥπερ – ἀνάγκα* (v. 23) lyrici poetae esse docuit Meinekius in philol. Gott. XIV p. 34 | *χὣπερ* F, *χὥπερ* P (m. 2 sprscr. *ου*) ‖ **22** *ὀφρύσιν* P | *νεύσει* FP[2], *νεῦσι* P[1]: corr. Meineke | *τούτῳ* P, *τοῦτο* F ‖ **22, 23** *κέκλωτ'* FP: corr. Meineke ‖ **23. 24** *πεπραγμένη* P

20 Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα (p. 38 Patrit.).

Πάντα δὲ γίνεται φύσει καὶ εἱμαρμένῃ καὶ οὐκ ἔστι τόπος ἔρημος προνοίας. Πρόνοια δέ ἐστιν αὐτοτελὴς λόγος τοῦ ἐπουρανίου θεοῦ. Δύο δὲ τούτου αὐτοφυεῖς δυνάμεις, ἀνάγκη καὶ εἱμαρμένη. Ἡ δὲ εἱμαρμένη ὑπηρετεῖ πρόνοίᾳ καὶ ἀνάγκῃ, τῇ δὲ εἱμαρμένῃ ὑπηρετοῦσιν οἱ ἀστέρες. Οὔτε γὰρ εἱμαρμένην φυγεῖν τις δύναται, οὔτε φυλάξαι ἑαυτὸν ἀπὸ τῆς τούτων δεινότητος. Ὅλον γὰρ εἱμαρμένης οἱ ἀστέρες, κατὰ γὰρ ταύτην πάντα ἀποτελοῦσι τῇ φύσει καὶ τοῖς ἀνθρώποις.

21 Πλάτωνος Πολιτείας (X p. 620 b—621 b).

Ἐπειδὴ δ' οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ἑρῆσθαι,
p. 14 C. *ὥσπερ ἔλαχον, ἐν τάξει προσιέναι πρὸς τὴν Λάχεσιν· ἐκείνην δ' ἑκάστῳ, ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα ξυμπέμπειν τοῦ βίου καὶ ἀποπληρωτὴν τῶν αἱρεθέντων. ὃν πρῶτον μὲν ἄγειν αὐτὴν πρὸς τὴν Κλωθὼ ὑπὸ τὴν ἐκείνης χεῖρά τε καὶ ἐπιστροφὴν τῆς τοῦ ἀτράκτου δίνης, κυροῦντα ἣν λαχὼν εἵλετο μοῖραν. ταύτης δ' ἐφαψάμενον αὖθις ἐπὶ ⟨τὴν⟩ τῆς Ἀτρόπου ἄγειν νῆσιν, ἀμετάστροφα τὰ ἐπικλωσθέντα ποιοῦντα. ἐντεῦθεν δὲ δὴ ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς Ἀνάγκης ἰέναι θρόνον· καὶ δι' ἐκείνου διεξελθόντα, ἐπειδὴ καὶ οἱ ἄλλοι διῆλθον, πορεύεσθαι ἅπαντας εἰς τὸ τῆς Λήθης πεδίον.*

22 Ἐκ τῆς Ἀριστοτέλους πρὸς Ἀλέξανδρον ἐπιστολῆς (de mundo c. 7, 5 p. 401 b 8).

Οἶμαι δὲ καὶ τὴν ἀνάγκην οὐκ ἄλλο τι λέγεσθαι πλὴν
190] *τοῦτο· οἱονεὶ ἀνίκητον οὐσίαν, εἱμαρμένην δὲ διὰ τὸ εἴρεσθαί τε καὶ χωρεῖν ἀκωλύτως· πεπρωμένην δὲ διὰ τὸ πεπερατῶσθαι πάντα καὶ μηθὲν ἐν τοῖς οὖσιν ἄπειρον εἶναι· καὶ μοῖραν μὲν ἀπὸ τοῦ μεμερίσθαι, νέμεσιν δὲ ἀπὸ*

---

1 ἄμωνα P ‖ **12** *τοὺς βίους* Plat., *τοῦ βίου* FP ‖ **14. 15** *ξυμπίπτειν* F ‖ **18** *δ' ἐφαψάμενον* Plat., *δ' ἐφάμενος* F, *γ' ἐφάμενος* P ‖ **19** *τὴν* add. Plat. | *ἄγει* P | *ἀμετάστρωφα* F (ead. m. *o* super *ω* sprscr.) ‖ **20** *ποιοῦντα* F, lac. 7 litt. in P ‖ **27** *τοῦτο οἷον ἀοίκητον οἰκίαν* FP, *τοῦτον* (i. e. *θεὸν*) *οἱονεὶ ἀνίκητον οὐσίαν ὄντα* (*ὄ.* om. Vatic. 1339) Arist.: *τοῦτο· οἱονεὶ ἀνίκητον οὐσίαν* scripsi, *τοῦτον οἱονεὶ ἀνίκητον ὄντα* vulgo ‖ **27. 28** *εἴρειν* Arist. ‖ **28** *ἀκολούθως* Usener ‖ **30** *νέμεσιν* P², *νέμησιν* FP¹

τῆς ἑκάστῳ διανεμήσεως, ἀδράστειαν δὲ ἀναπόδραστον αἰτίαν οὖσαν κατὰ φύσιν, αἶσαν δὲ ἀεὶ οὖσαν. Τά τε περὶ τὰς μοίρας καὶ τὸν ἄτρακτον εἰς ταῦτά πως νεύει· τρεῖς μὲν αἱ μοῖραι κατὰ τοὺς χρόνους μεμερισμέναι· νῆμα δὲ ἀτράκτου τὸ μὲν ἐξειργασμένον ἤδη, τὸ δὲ μέλλον, τὸ δὲ περιστρεφόμενον. τέτακται δὲ κατὰ μὲν τὸ γεγονὸς μία τῶν μοιρῶν, Ἄτροπος, ἐπεὶ τὰ παρελθόντα πάντα ἄτρεπτά ἐστι· κατὰ δὲ τὸ μέλλον Λάχεσις, εἰς πάντα γὰρ ἡ κατὰ φύσιν μένει λῆξις· κατὰ δὲ τὸ ἐνεστὼς Κλωθώ, συμπεραίνουσα καὶ κλώθουσα ἑκάστῳ τὰ οἰκεῖα, ὅπερ αἰνίττεται καὶ ὁ μῦθος. Πάντα δὲ ταῦτά ἐστιν οὐκ ἄλλο τι πλὴν ὁ θεός, καθάπερ καὶ ὁ γενναῖος Πλάτων (de leg. IV p. 715 E)· *„Ὁ μὲν δὴ θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος,* [192] *ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἔχων, εὐθείᾳ περαίνει, κατὰ φύσιν περιπορευόμενος.“*

CAPVT VI (V Heer.).

ΠΕΡῚ ΤΎΧΗΣ Ἢ ΤΆΥΤΟΜΆΤΟΥ.

1 ª *Μενάνδρου Ὑποβολιμαίῳ* (fr. 3 ª, Com. IV p. 212 sq.).

Παύσασθε νοῦν λέγοντες, οὐδὲν γὰρ πλέον ἀνθρώπινος νοῦς ἐστιν· ἀλλὰ τὸ τῆς τύχης —

---

1 *ἀπόδραστον* P ‖ **2** *τὰ δὲ* Usener ‖ **3** *ἄτρακτα* F | *ἑαυτά* FP, *τοῦτό* Arist.: *ταῦτά* scripsi, *ταὐτά* Heeren ‖ **5** *ἤδη* om. Arist. ‖ **6** *γεγονὸς* Arist., *γένος* FP ‖ **7** post *μοιρῶν* add. FP *κατὰ τὸ παρωχηκὸς* (post corruptum *γένος* e coni. adiectum) ‖ **8** *ἐστι* Arist., *εἰσι* FP | *λάχεσις* FP ‖ **9** *ἐνεστὼς* Arist. duo cod., *ἐνεστὼς* (supra ω ead. man. *ο* sprscr.) F, *ἐνεστὸς* P ‖ **10** *τε καὶ* Arist. ‖ **10. 11** *ὅπερ αἰνίττεται] περαίνεται δὲ* Arist. ‖ **11** post *ὁ μῦθος* add. *οὐκ ἀτάκτως* Arist. | *ταῦτα δὲ πάντα* Arist. | *ταυτὰ* P ‖ **12** *Πλάτων φησὶν* Arist. ‖ **14** *μέσα* FP | *εὐθείᾳ* Plat. Arist., *εὐθέα* F, *εὐθέως* P ‖ **15** *πορευόμενος* Arist. ‖ **17** F habet praeterea mrg *τύχη τύχης* ‖ **18** *ὑποβολιμαίῳ* P^2, *ὑποβολιμαῖος* FP^1 ‖ **20** *αὐσασθε* F (litt. init. om. pro rubr.) | *ἔχοντες* FP: *λέγοντες* Heimsoeth Bonn. ind. lect. aest. 1867 p. XVII, *αὐχοῦντες* Bentley emend. ad Menandr. p. 62 | *Κλέων* Meineke ‖ **21** *ἀνθρώπινος* FP: *ἀνθρώπινος* Meineke | *ἀλλ' ὁ* FP (quod tuetur Usener): *ἀλλὰ τὸ* Dobraeus adv. II p. 278, *ἄλλο* Bosius observ. p. 15

εἴτ' ἔστι τοῦτο πνεῦμα θεῖον, εἴτε νοῦς —
τοῖτ' ἔστι τὸ κυβερνῶν ⟨ἅπαντα⟩ καὶ στρέφον
[194] καὶ σῴζον· ἡ πρόνοια δ' ἡ θνητὴ καπνὸς
καὶ φλήναφος. πείσθητε, κοὐ μέμψεσθέ με·
πάνθ' ὅσα ποιοῦμεν ἢ λέγομεν ἢ πράττομεν,
τύχη 'στίν, ἡμεῖς δ' ἐσμὲν ἐπιγεγραμμένοι.

1[b] ⟨Comici incerti (= Menand. Hypobol. fr. 3[b], Com. IV p. 213).⟩

Τύχῃ κυβερνᾷ πάντα, ταύτην καὶ φρένας
δεῖ καὶ πρόνοιαν καὶ θεὸν καλεῖν μόνην,
εἰ μή τις ἄλλως ὀνόμασιν χαίρει κενοῖς.

2 ⟨Comici incerti (fr. anon. 255, Com. IV p. 692).⟩

Ἅπανθ' ὁρῶ
ἅμα τῇ τύχῃ ῥέοντα μεταπίπτοντά τε.

3 ⟨Ἀρχιλόχου (fr. 16[3] B.).⟩

Πάντα τύχη καὶ μοῖρα, Περίκλεες, ἀνδρὶ δίδωσιν.

4 ⟨Comici incerti (fr. anon. 256, Com. IV p. 693).⟩

Ἀλλ' ἔστιν εὐστοχόν τι βουλευτήριον
ταὐτόματον.

5 ⟨Comici incerti (fr. anon. 257, Com. IV p. 693).⟩

Ἐπηρεαστικόν γέ τι
ταὐτόματόν ἐσιι τῷ βίῳ.

---

1 εἴτε νοῦς FP: εἴτ' ἄνουν Hense, εἴτε μὴ Meineke, εἰθ' ὃ λῇς Heimsoeth (sed cf. Enger mus. Rhen. XXIII p. 539) ‖ **2** τοῦτέστι P, τουτέστι F | ⟨πάντα⟩ καὶ κυβερνῶν Grotius | κυβερνῶν FP | ἅπαντα add. Bentley l. s. | στρέφων P (ων m. 2 in ras.): τρέφον Meineke ‖ **3** ζῶον (supra o m. 2 sprscr. ω) P | δὲ FP ‖ **5** ἅπανθ' ὅσα FP: πάνθ' ὅσα Salmasius apud Grotium, ἅπανθ' ἅ Heeren | ποιοῦμεν FP: νοοῦμεν Canter | γέγονεν FP: λέγομεν Canter ‖ **6** τύχη ἐστὶν F, τύχης ἐστὶν P: τύχη 'στὶν Grotius, τύχῃ 'στὶν Heeren ‖ **7** hic incipit nova ecloga in FP; quod recte suspicatus est Meineke, sed sine causa haec item Menandri Hypobolimaeo adscripsit ‖ **10** τὴν θεὸν FP: καὶ θεὸν scripsi, τὴν θεῶν Bentley ‖ **11** ante ἄλλως add. FP ἄλλος | ὀνόμασι FP | χαίρει P[2], χαίρειν FP[1] ‖ **14** τε P, γε F ‖ **15** hunc versum Archilocho tribuit Liebel ‖ **18** εὔστόν P (mrg m. 2 εὐκτὸν ἴσως) ‖ **21** (ἐ)πηρεαστικόν F, ἐπηρεατικόν P

6 ⟨Tragici incerti (fr. adesp. 425 N.).⟩ [196]

Ἡ τὰ θνητῶν καὶ τὰ θεῖα πάντ' ἐπισκοποῦσ' ⟨ἀεὶ⟩
καὶ νέμουσ' ἡμῶν ἑκάστῳ τὴν κατ' ἀξίαν τύχη
[μερίδα].

7 *Χαιρήμονος ἐξ Ἀχιλλέως Θερσιτοκτόνου* (fr. 2 p. 607 N.).

Τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.

8 *Φιλήμονος* (fr. inc. 98, Com. IV p. 62).

Ἄλλος κατ' ἄλλην δαιμονίζεται τύχην.

9 *Μενάνδρου Κνιδίᾳ* (fr. 2, Com. IV p. 151).

Ταὐτόματόν ἐστιν ὡς ἔοικέ που θεός,
σῴζει τε πολλὰ τῶν ἀδράτων πραγμάτων.

10 *Μενάνδρου Ὑποβολιμαίῳ* (fr. 6, Com. IV p. 214).

Οὐ παντὸς ἀγαθοῦ τὴν πρόνοιαν αἰτίαν
κρίνων ἂν ὀρθῶς ὑπολαβεῖν τίς μοι δοκεῖ, [198]
ἀλλ' ἔστι καὶ ταὐτόματον ἔνθα χρήσιμον. p. 15 C.

11 *Φιλήμονος Ἀποκαρτεροῦντι* (Com. IV p. 6).

Νῦν δ' οἶδ' ἀκριβῶς τὴν τύχην, ὡς οὐ μία,
οὐδ' ἔστι πρώην, ἀλλὰ μετὰ τῶν σωμάτων
ἡμῶν, ὅταν γιγώμεθ', εὐθὺς χἡ τύχη
προσγίνεθ' ἡμῖν συγγενὴς τῷ σώματι·
κοὐκ ἔστιν ἕτερον παρ' ἑτέρου λαβεῖν τύχην.

---

2 *ἐπισκόπ^* F, *ἐπί* lac. 2 litt. *κοα.* P, *ἐπισκοποῦσα* coni. cod. Vatic.: *ἐπισκοποῦσ' ⟨ἀεὶ⟩* Iacobs ep. crit. p. 229 ‖ **4** *μερίδα* glossema putat Iacobs ‖ **5** post *Θερσιτοκτόνου* add. FP *Φιλήμονος*, quod lemma ad sequentem eclogam pertinet ‖ **7** *πράγματ'* om. F ‖ **8** de lemmate vide ad v. 5 adnotata ‖ **10** lemma habet F mrg, P in textu | *κηδείᾳ* P, *Ακηδεία* F (*A* rubr.): *Κνιδίᾳ* Clericus | F mrg add. *σῆ* ‖ **11** *(τ)αὐτόματον* F (mrg parvolo *τ* adscr.) ‖ **12** *πολλὰ* etiam F | *πολλοὺς* (quod habet Vatic.) *δι' ἀοράτων* Iacobi p. CCLVI | *ἀοράτων* FP: corr. Usener coll. Bekk. An. Gr. I p. 7, 6 ‖ **13** supra *ὑποβολιμαίῳ* in F rubr. sprscr. *τοξενω* ‖ **14** *οὐ*] *ὐ* F (*ο* pro rubr. om.): *ὁ* Meineke ‖ **15** *ἂν οὐκ ὀρθῶς ὑπολαβεῖν μοι* Meineke ‖ **16** *ἔνια* F, *ἔνια* corr. in *ἐνίοτε* P: *ἔνθα* Usener, *ἐνίοις* Meineke ‖ **19** *ἔτι* P¹ | *πρώτη* FP: *πρώην* Bentley ‖ **20** *γίνωντ'* F, *γίγνωντ'* P: *γινώμεθ'* Bentley | *καὶ ἡ* FP: *χἡ* Bentley ‖ **21** *προσγίνεθ'* P², *προσγίνεσθ'* FP¹ ‖ **22** *κοὐκ* F, *οὐκ* P | *ἑτέρου* et *τύχην* FP

12 ⟨*Εὐριπίδου* (fr. 1006 N.).⟩

Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.

13 ⟨Lyrici incerti (fr. adesp. 139[3] B.)⟩

Τύχα μερόπων ἀρχὰ
καὶ τέρμα, τὺ καὶ σοφίας θακεῖς ἕδρας
[200] *καὶ τιμὰν βροτέοις ἐπέθηκας ἔργοις·*
καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν,
ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρυσέαν·
καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει.
τὺ δ' ἀμαχανίας πόρον εἶδες ἐν ἄλγεσιν,
καὶ λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ, προφερεστάτα θεῶν.

14[a] *Μενάνδρου Κεκρυφάλῳ* (fr. 4, Com. IV p. 148).

Ταὐτόματον ἡμῖν ἀφανὲς ὂν συλλαμβάνει.

14[b] ⟨*Τοῦ αὐτοῦ Τιτθῇ* (fr. 2, Com. IV p. 205).⟩

Αὐτόματα γὰρ τὰ πράγματ' ἐπὶ τὸ συμφέρον
ῥεῖ κἂν καθεύδῃς, ἢ πάλιν τοὐναντίον.

---

1 Euripidi tribuit hunc versum schol. Pindar. Nem. I 13 ‖ **2** et **4** *Εισχύλου* (*Ε* rubr.) (*ἀ*)*ριστοτέλ*: hab. F mrg; ante 4 in textu *αἰσχύλοι* P; ecloga 12 Euripidea est, 13 certe lyrici, 14[a] et [b] Menandri (v. infra), 15 in FP Chaeremoni adscribitur; itaque *Αἰσχύλου* ad eclogam 16 adespotam retulerim, *ἀριστοτέλους* ad initium ecl. 17[a] i. e. placitum Aristotelicum ‖ **3** *Βακχυλίδου* pro *Αἰσχύλου* coni. Meineke in Philol. XIV p. 4 hoc lemma huc referens, sed *ἀριστοτέλους* neglegens: neque tales versus Bacchylides unquam scripserit; Aristoteli olim vindicavit eos Bergkius *Αἰσχύλου* neglegens, quod ad ecl. 12 trahi nequit ‖ **4** *τύχα* P[2], *τύχαν* FP[1] | *ἀρχά* FP[1], *ἀρχᾷ* P[2] ‖ **5** ⟨*τε*⟩ *καὶ* Meineke, qui haec in fine primi versus posuit | *τέρματι* FP: *τέρμα, τὺ* Grotius | *ἄκος δρῇς* F (quod defendit Thudichum Mus. Rh. XII p. 301), lac. 10 litt. P: *θακεῖς ἕδρας* Iacobs ep. crit. p. 239, *ἄκρον δρῇς* Bergk ‖ **7** *ἢ*] sprscr. *ἡ* P[2] | *κακὸν* P[2], *καλὸν* FP[1] ‖ **10** *σὺ* FP: *τὺ* Grotius | *εἶδες*] *εὗρες* Bergk ‖ **11** *κἐς* Heeren | *ἄγαγες* etiam F: *ἕδρακες* Hense | *ἐκ σκότου* post Heerenum Bergk | *προσφερέστατα* P[1] ‖ **12** *Μενάνδρου κεκρυφάλῳ* F mrg, *μενάνδρου* P mrg ‖ **13** *ὃν* FP: *ὂν* Grotius | *συλαμβάνει* FP ‖ **14** *Μενάνδρου Τιτθῇ* hos versus tribuit Stob. flor. 22, 9 ‖ **15** *πράγματα* FP ‖ **16** *καὶ* P[1] | *καθεύδῃς ἰ* Stob. flor. l. s., *καθεύδῃσῃ* FP[2], *καθεύσῃ* P[1]

15 *Χαιρήμονος* (fr. 19 p. 611 N.). [202]

Ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη,
οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης.

16 *Αἰσχύλου* (= trag. fr. adesp. 426 N.).

Πάντων τύραννος ἡ τύχη ᾽στὶ τῶν θεῶν,
τὰ δ᾽ ἄλλ᾽ ὀνόματα ταῦτα πρόσκειται μάτην,
μόνη διοικεῖν γοῦν ἅπαντα βούλεται.

17[a] ⟨Aetii plac. (I 29 p. 324 sq. Diels.).⟩

Ἀριστοτέλης διαφέρειν τῆς τύχης τὸ αὐτόματον· τὸ μὲν γὰρ ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου εἶναι ἐν τοῖς πρακτέοις πάντως· τὸ δ᾽ αὐτόματον οὐκ ἀπὸ τύχης, ἐν [204] *γὰρ τοῖς ἔξω πράξεως· καὶ τὴν μὲν τύχην τῶν λογικῶν, τὸ δ᾽ αὐτόματον καὶ τῶν λογικῶν καὶ τῶν ἀλόγων καὶ ἀψύχων· καὶ τὴν μὲν τύχην προαιρέτως συμβαίνειν, τὸ δ᾽ αὐτόματον ἀπροαιρέτως· καὶ τὴν μέν τινος ὑπάρχοντος γίγνεσθαι, τὸ δὲ ἀλόγως, μηδενὸς ἔξω βουλευθέντος.*

Πλάτων τὴν τύχην ἀπεφαίνετο αἰτίαν ἐν ἀπροαιρέτοις κατὰ συμβεβηκὸς καὶ παρακολούθημα καὶ σύμπτωμα, καὶ προαιρέσεως κατὰ τὴν πρὸς τὸ τέλος πρόθεσιν ἐναλλακτικὴν σχέσιν.

Ἀριστοτέλης, αἰτίαν κατὰ συμβεβηκός, ἐν τοῖς καθ᾽ ὁρμὴν ἕνεκά τινος γιγνομένοις ἄστατον καὶ ἄδηλον. Καὶ ὑποθέσεις μὲν δύο ταῖς ἀρχαῖς ἐνυπάρχειν, τάξιν τε καὶ ἀταξίαν, αἰτίας δὲ τέτταρας ἐν τοῖς ὅλοις, καθ᾽ ἃς

---

1 *χαιρήμονος* hic P mrg, (*χ*)*αιρήμονος* ad v. 3 habet F mrg ‖ **2** *νικᾷ*] *κινεῖ* Heimsöth ind. lect. aest. Bonn. 1867 p. XIX | *μεταστρέφει* FP ‖ **3** fort. nova ecloga constituenda | *θελησάσης τύχης* Meineke ‖ **4** de Aeschylo v. ad p. 86, 3 adnotata ‖ **6** *ἄλλα* FP ‖ **7** *γοῦν* corr. Nauck pro *οὖν* ‖ **9** cf. Aristot. phys. II 6 | F mrg lemma *Ἀριστοτέλους* add. | *Ἀριστοτέλους*: *διαφέρειν* P | *τῆς τύχης* om. P ‖ **11** *πρακτέοις* Plut. plac. phil. I 29, *πρακτικοῖς* FP ‖ **13** *καὶ* ante *τῶν λογικῶν*] *ἐκ* P | *τῶν* ante *ἀλόγων* om. P ‖ **17** P mrg add. *πλάτωνος* ‖ **18. 19** *σύμπτωμα φύσεως ἢ προαιρέσεως* Theodoret. VI 15 'fortasse recte' Diels | *σύμπωμα* P ‖ **19** *προύθεσιν* FP: corr. tacite Heeren ‖ **21** ante *ἀριστοτέλης* P in textu add. lemma *ἀριστοτ*ὰ': | post *συμβεβηκὸς* add. cod. Aug. (ad ea quae v. 18 leguntur aberrans) *καὶ παρακολούθημα* quae cum Gaisfordo servavit Meinekius

ἅπαντα συνίστατοι, νοῦν, φύσιν, ἀνάγκην, τύχην· καὶ τούτων διπλῆν ἑκάστην, τὴν μὲν ἐν τοῖς ἀνθρωπίνοις πράγ-
[206] μασι, τὴν δ' ἐν ἄλλοις· τελεῖσθαι δὲ τὰ μὲν πάντως, τὰ δὲ κατὰ τὸ πλεῖστον, τὰ δ' ἄλλοτε ἄλλως. Τὴν δ' εἱμαρμένην οὐκ αἰτίαν μέν, τρόπον δέ τινα αἰτίας, συμβεβηκότα πως τοῖς τῆς ἀνάγκης τεταγμένοις.

17[b] *Πλάτωνος Νόμων δ'* (p. 709[A]).

Ὡς οὐδείς ποτε ἀνθρώπων οὐδὲν νομοθετεῖ, τύχαι δὲ καὶ ξυμφοραὶ παντοῖαι πίπτουσαι παντοίως νομοθετοῦσιν ἅπαντα ἡμῖν. ἦ γὰρ πόλεμός τις βιασάμενος ἀνέτρεψε πολιτείας καὶ μετέβαλε νόμους, ἢ πενίας χαλεπῆς ἀπορία· πολλὰ δὲ καὶ νόσοι ἀναγκάζουσι καινοτομεῖν, λοιμῶν τε ἐμπιπτόντων καὶ χρόνον ἐπὶ πολὺν ἐνιαυτῶν πολλῶν πολλάκις ἀκαιρίαι. Ταῦτα δὴ πάντα προϊδών τις ἄρξειεν ἂν εἰπεῖν ὅπερ ἐγὼ νῦν δή, θνητὸν μὲν μηδένα νομοθετεῖν μηδέν, τύχας δ' εἶναι σχεδὸν ἅπαντα τἀνθρώπινα πράγματα· τὸ δ' ἔστι περὶ ναυτιλίαν καὶ κυβερνητικὴν καὶ ἰατρικὴν καὶ στρατηγικὴν πάντα ταῦτ' εἰπόντα δοκεῖν εὖ λέγειν· ἀλλὰ γὰρ ὅμως αὖ καὶ τόδε ἔστιν εὖ λέγοντα λέγειν ἐν τοῖς αὐτοῖς τούτοις. — Τὸ ποῖον; — Ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. Ἡμερώτερον μὲν τρίτον ξυγχωρῆσαι τούτοις δεῖν ἕπεσθαι τέχνην· καιρῷ γὰρ χειμῶνος συλλαβέσθαι κυβερνητικὴν ἢ μή, μέγα πλεονέκτημα ἔγωγ' ἂν θείην. ἦ πῶς; — Οὕτως. — Οὐκοῦν καὶ τοῖς ἄλλοις ὡσαύτως κατὰ τὸν αὐτὸν ἂν ἔχοι λόγον;

---

2 *διπλῆν* FP ‖ **3** *δὲ τὰ* corr. Heeren pro *γὰρ τὰ* ‖ **6** in fine aliquid turbatum ‖ **9. 10** *νομοθετοῦσι τὰ πάντα* Plat. ‖ **13** *τε* del. Ast ‖ **14** *πολλὴ πολλάκις* Badham | *ἀκαιρία* (sed in fine lit. una erasa) Plat. *A*, *ἀκαιρία* Stob. flor. 43, 125, *σκεωρίαι* F, *σκαιωρίαι* P: *ἀκαιρίας* Stallbaum, *ἀκαρπίας* Madvig ‖ **15** *ἄρξειεν* etiam Stob. flor., *ἀΐξειεν* Plat.: *ἀξιώσειεν* Heindorf | ante *θνητὸν* add. Plat. *τὸ* ‖ **17** post *περὶ* add. Plat. *τε* ‖ **19** *εὖ λέγειν*] *δ' ἂν λέγειν* P | *ὁμοίως* Plat. Vat. ‖ **19. 20** *λέγοντα εὖ* Plat. ‖ **21** *μὴν* Plat. | *πάντα*] *πρῶτος* Badham | *θεὸν* Badham ‖ 22 *διακυβερνῶσιν ἅπαντα* P | *μετριώτερον* Badham ‖ **23** *δεῖν* flor. Plat., *δ' ἦν* FP | *καὶ ᾧ̃* P[1] ‖ **23. 24** *χειμῶνος* del. Badham ‖ **24** *ἢ μὴ* om. flor. | *μὴ* om. P ‖ **25** *καὶ*] *κἂν* Schanz ‖ **26** *ἂν* om. P | *ἔχοι* flor. Plat., *ἔχοιεν* FP

17[c] ⟨Aetii plac. (I 29 p. 325 Diels.).⟩

Θεόφραστος προσδιαρθροῖ ταῖς αἰτίαις τὴν κατὰ προαίρεσιν· φέρεται δέ πως εἰς τὸ εἱμαρμένην εἶναι τὴν ἑκάστου φύσιν· ἐν ᾗ τόπον τεττάρων αἰτιῶν ποικίλων, 5 *προαιρέσεως ⟨φύσεως⟩ τύχης καὶ ἀνάγκης.*

Ἐπίκουρος κατ' ἀνάγκην, κατὰ προαίρεσιν, κατὰ τύχην.

18 *Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων.*

10 *Περὶ δὲ τύχης τάδ' ἔφασκον· εἶναι μέν τι καὶ δαιμόνιον μέρος αὐτῆς, γενέσθαι γὰρ ἐπίπνοιάν τινα παρὰ* [208] *τοῦ δαιμονίου τῶν ἀνθρώπων ἐνίοις ἐπὶ τὸ βέλτιον ἢ ἐπὶ τὸ χεῖρον, καὶ εἶναι φανερῶς κατ' αὐτὸ τοῦτο τοὺς μὲν εὐτυχεῖς, τοὺς δὲ ἀτυχεῖς. καταφανέστατον δὲ εἶναι τοῦτο* 15 *⟨τῷ⟩ τοὺς μὲν ἀπροβουλεύτως καὶ εἰκῇ τι πράττοντας πολλάκις κατατυγχάνειν, τοὺς δὲ προβουλευομένους καὶ προνοουμένους ὀρθῶς τι πράττειν ἀποτυγχάνειν. Εἶναι δὲ καὶ* p. 16 C. *ἕτερον τύχης εἶδος, καθ' ὃ οἳ μὲν εὐφυεῖς καὶ εὔστοχοι, οἳ δὲ ἀφυεῖς τε καὶ ἐναντίαν ἔχοντες φύσιν βλάστοιεν, ὧν* 20 *οἳ μὲν εὐθυβολοῖεν ἐφ' ὅ τι ἂν ἐπιβάλωνται, οἳ δὲ ἀποπίπτοιεν τοῦ σκοποῦ, μηδέποτε τῆς διανοίας αὐτῶν εὐστόχως φερομένης, ἀλλὰ ἀεὶ ταρασσομένης· ταύτην δὲ τὴν ἀτυχίαν σύμφυτον εἶναι καὶ οὐκ ἐπείσακτον.*

19 *Εὑρύσω περὶ τύχας* (fr. 2 Mullach., phil. II p. 112). [210]

25 *Δοκεῖ δέ μοι τύχα καὶ τὸ ἀπὸ τᾶς τύχας γινόμενον*

---

2 lemma *Θεοφράστου* add. F mrg, P in textu | *προσδιαρθροῖ* FP: corr. Heeren ‖ **4** *τόπων* FP: corr. Canter ‖ **5** *φύσεως* add. Heeren ‖ **6** ante *Ἐπίκουρος* add. P lemma *Ἐπικούρου* | *⟨πάντα⟩ κατ'* Usener ‖ **8. 9** lemma om. P ‖ **8** *Ἀριστοξένους* F ‖ **10** *ἔφασκεν* P[2] | *μέντοι* FP: corr. Usener ‖ **11** *γὰρ* F, *θ'* P | *ἐπίπνοιά* P | *τινι* P[2] ‖ **13** *κατὰ ταυτὸ τοῦτο* P | *τοὺς μὲν – τοῦτο* (14) om. F ‖ **15** *τῷ* add. Usener | *ἀπροβολιύτους* F ‖ **16** *κατατυγχάνειν* etiam P ‖ **19** *τε* om. P | *βλάστοιεν* corr. Wyttenbach ap. Mahn. de Aristox. p. 110 pro *βλάπτοιεν* ‖ **20** *εὐθύβουλοι εἶεν* F, *εὐθύβουλοι εἶναι* P: *εὐθυβολοῖεν* Iacobs ep. crit. p. 230 | *ἐπιβάλλωνται* FP ‖ **21** *τῆς* FP[2], *τὰς* P[1] ‖ **22** *καὶ ταρασσομένης* FP: *ἀεὶ ταρασσομένης* scripsi, *διαταρασσομένης* Meineke, *⟨φυρομένης⟩ καὶ ταρασσομένης* Hense ‖ **23** *ἀτυχίαν* P, *εἰτυχίαν* F ‖ **24** *(ε)ὑρύσω* F | *τύχας* FP ‖ **25** *δοκεῖ* P, *οδεῖ* F (lit. init. pro rubr. om.) | *τάχα* FP: corr. Heeren | *τὰς* P

πᾶν οὐχ ὡς ὑπό τινος αἰτίας ἀφωρισμένας καὶ ὡς ὑποκειμένας γίνεσθαι, ἀλλ' ὡς ἐπισυμβαῖνον καὶ ἐπισυνιστάμενον ἀτέραις τισὶν αἰτίαις. Ἃ τύχα ὧν καὶ τὸ ἀπὸ τύχας γινόμενον οὔθ' ὡς φύσις ἐντὶ ὑπὸ φύσιός τε γινόμενον, οὔθ' ὡς τέχνα καὶ φρόνασίς τις ἀνθρωπίνα καὶ θεία, ἀλλὰ ἐπισυμβαῖνον παραλόγως τε καὶ ἀπροαισθήτως τούτοις. Ἐπεὶ γὰρ δύο φύσιες ἐν τῷ ὅλῳ τῷδε καὶ τῷ παντὶ ἐνυπάρχοντι ἐναντίαι ἀλλάλαις καὶ ταυτᾶν
[212] ἃ μέν ἐντι ῥητὰ καὶ τεταγμένα καὶ λόγον ἔχουσα ποτὶ πάντα, ἃ δ' ἄρρητος καὶ ἄτακτος καὶ ἄλογος καὶ οὐδεμίαν σύνταξιν ἔχουσα, αὐταυτόθεν φανερόν, ὅτι τὸ μὲν ἀπὸ τύχας καὶ τῷ αὐτομάτῳ γινόμενον γίνεται ἐμπεσούσας τᾶς ἀλόγω καὶ ἀτάκτω φύσιος ἐς τὰ πράγματα, πάντα δὲ τὰ σύστοιχα ταῖς καθόλω φύσεσιν ἀεὶ κατὰ τὸ βέλτιον καὶ τὸ χεῖρον ἀντιδιαιρέονται [τὰ] πράγματα, τὰ μὲν ὡς ἀγαθοποιῶ τινος φύσιος καὶ βασιλικᾶς ἐπικρατευσάσας, τὰ δ' ὡς κακοποιῶ καὶ τυραννικᾶς.

CAPVT VII (VIII Heer.).

ὅτι ἀλόγιστος ἡ φορὰ τῆς τύχης.

1 *Μενάνδρου Κιθαριστοῦ* (fr. 8, Com. IV p. 151).
Ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον τύχη.

2 *Μενάνδρου Προγάμων* (= Chaeremonis fr. 20 p. 611 N.).
Τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει.

---

2 ἐπισυμβαῖον P^1 ‖ **3** ἑτέραις P | αἰτίαις FP | ἀτύχα P | ὧν καὶ τῶν FP: ὧν καὶ τὸ Heeren ‖ **4** γινομένων F, γιγνομένων P: γινόμενον Heeren | φύσιν P | ἔντιν' FP: ἐντὶ Heeren, ἔντιν Gaisford | φύσεως FP ‖ **5** οὔτε FP ‖ **6** ἐπὶ τὸ συμβαῖνον FP: corr. Usener, τὸ ἐπισυμβαῖνον Heeren | τε om. P ‖ **6. 7** ἀπροαισθήτως FP, ἀπροαιρέτως Vatic. ‖ **7** ab (ἐ)πεὶ nova ecloga inc. in F | τῷδε FP: τούτῳ Heeren dormitanter ‖ **8** τούτων FP: ταυτᾶν Meineke ‖ **9** et **10** ἃ FP ‖ **9** ἔχοντα FP: ἔχουσα Heeren | ποτὶ F, παντὶ P ‖ **10** ἄλογος FP ‖ **11** αὐτὰ αὐτόθεν FP: corr. Heeren ‖ **12** τωὐτομάτω Meineke ‖ **15** τὰ del. Usener, τὰ πράγματα Meineke ‖ **16** βασιλικὰς P | ἐπικρατευσάσα FP: corr. Heeren ‖ **17** τυραννικάς FP ‖ **20** idem v. recurrit in monost. 758 ‖ **22** lemma *Μενάνδρου Προγάμων*

3 ⟨*Μενάνδρου* (= *Προγάμων* Com. IV p. 195).⟩
Τυφλόν γε καὶ δύστηνόν ἐστιν ἡ τύχη.
4 *Σοφοκλέους Οἰδίποδι* (Tyr. 977. 978.). [214]
Τί δ' ἂν φοβοῖτ' ἄνθρωπος, ᾧ τὰ τῆς τύχης
κρατεῖ, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής;
5 *Μενάνδρου* (fr. 247, Com. IV p. 288).
Οὐδὲν κατὰ λόγον γίγνεθ' ὧν ποιεῖ τύχη.
6 *Εὐριπίδου Ἑλένης* (711—715).
Σκέψαι γάρ, ὁ θεὸς ὡς ἔχει τι ποικίλον
καὶ δυστέκμαρτον· εὖ δέ πως ἀναστρέφει
ἐκεῖσε κἀκεῖσ' ἀναφέρων· ὃ μὲν πονεῖ,
ὃ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
7ª *Μενάνδρου Ξενολόγῳ* (fr. 2, Com. IV p. 176).
Οὕτως ἀσυλλόγιστον ἡ τύχη ποιεῖ
τὸ συμφέρον τί ποτ' ἐστὶν ἀνθρώπου βίῳ·
οὐ χρῆται νόμοις καθ' οὓς κρίνει πράγματα, [216]
οὐδ' ἔστιν εἰπεῖν ζῶντα „ταῦτ' οὐ πείσομαι".
7ᵇ ⟨*Εὐριπίδου Ἱππολύτῳ* (701).⟩
Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.

(*πρὸ γάμων* F, *πργμ*ᾱ P) ad h. v. mrg in FP adscr.; Heeren affirmat in cod. VAE *χαιρήμονος* adscriptum esse, quod vix credo

1 *Μενάνδρου* addidi ex flor. 98, 11 (recurrit h. v. in monost. 718); Heeren lemma antec. eclogae huc traxit ‖ **2** *γε* om. P, *δὲ* mon: *τι* Hirschig | *δύστηνον* FP: *δυσήνιον* Usener, *δυσήκοον* Heimsöth ind. lect. Bonn. hib. 1869 p. IV | *ἐστιν ἡ*] *ἀνθρώπου* flor., *ἀνθρώποις* mon. | *τύχη*] *βίος* flor. ‖ **3** lemma FP mrg habent ‖ **4** *φοβοῖτ'* Soph.; *φοβῶτ'* F, *φοβεῖτ'* P ‖ **6** lemma hab. FP mrg ad v. 10 ‖ **7** *γίγνεθ'* P², *γίνεσθ'* FP¹ ‖ **8** lemma hab. infra ad v. 12 F mrg *εὐριπίδ*: *λενίου*, ad v. 15 P mrg *εὐριπιδ ἑλέν* ‖ **9** *ὦ θύγατερ, ὁ θεὸς* Eur. | *ὡς* Eur., *ὅς* FP | *ἔφυ* Eur. ‖ **11** *κἀκεῖσε* FP ‖ **12** *πονέσας* FP | *ὄλλυται* FP², *ἄλλειται* P¹ ‖ **14** lemma hic om. FP, sed ad v. 16 F mrg: *Μενάνδρου ξενολίγω*: et ad p. 92, 2 P mrg *μενάνδρου ξενολίγ* | *Ξενολόγῳ* Heeren coll. The. prog. IV p. 199 W. ‖ **17** Heimsöth ind. lect. aest. Bonn. 1867 p. XVII defendit ita mutatum *οὐ χρῇ νόμοις καθ' οὓς κρίνει* ⟨*τὰ*⟩ *πράγματα*, Usener ita *οὐ γὰρ νόμοι, καθ' οὓς κρινεῖ* ⟨*τὰ*⟩ *πράγματα*; Meineke spurium et aliunde illatum iudicat; Enger mus. Rhen. XXIII p. 539 credit glossema esse talis fere versus: *νόμων ἀπόντων ἐν κρίσει τῶν πραγμάτων* ‖ **19** lemma om. FP: add. Gaisfor

8 *Εὐριπίδου Δανάης* (fr. 332 N.).

Ἐς ταὐτὸν ἥκειν φημὶ τὰς βροτῶν τύχας,
τόν θ' ὃν καλοῦσιν αἰθέρ', ὅστις ἔστι δή.
[218] *οὗτος θέρους τε λαμπρὸν ἐκλάμπει σέλας,*
χειμῶνά τ' αὔξει, συντιθεὶς πυκνὸν νέφος·
θάλλειν τε καὶ μή, ζῆν τε καὶ φθίνειν ποιεῖ·
οὕτω δὲ θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ
λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννέφει πάλιν·
ζῶσίν τε σὺν κακοῖσιν, οἳ δ' ὄλβου μέτα
φθίνουσ' ἐτείοις προσφερῶς μεταλλαγαῖς.

9ᵃ ⟨Aetii plac. (I 29, 6. 7 p. 326 Diels.).⟩

Ἐπίκουρος ἄστατον αἰτίαν προσώποις, χρόνοις, τόποις.

Ἀναξαγόρας καὶ οἱ Στωικοὶ ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λογισμῷ· ἃ μὲν γὰρ εἶναι κατ' ἀνάγκην, ἃ δὲ καθ' εἱμαρμένην, ἃ δὲ κατὰ προαίρεσιν, ἃ δὲ κατὰ τύχην, ἃ δὲ κατὰ τὸ αὐτόματον.

9ᵇ *Τύχη ἀτάκτου ἐνεργείας ἐστὶ προσηγορία.*

---

1 lemma hic om. FP, sed ad v. 4 F mrg add. *εὐριπίδ δανάης* ‖ **2** *ἥκειν* FP², *κειν* P¹ | *τὰς τῶν βροτῶν* F | *θνητῶν* dormitanter Heeren | **3** *τόνθ'* FP (quo servato Musgrave v. 2 coni. *ταῖς – τύχαις*): *τόν θ'* Grotius | *αἰθέρα* FP | *ὦ τάδ'* FP: *ὅστις* Porson et Blomfield ad Aeschyl. Ag. 155 ‖ **4** *ἐκπέμπει* Nauck ‖ **6** *θάλειν* P ‖ **7** *δὴ* FP: corr. Heeren | *σπερμάτων* FP: corr. Canter ‖ **8** *λαμπρᾶ* (sic!) F, *λαμπρὰ* P ‖ **10** *φθίνουσ'* P, *φθίνουθ'* F | *αἰτίοις* FP: *ἐτείοις* Valckenar. diatrib. p. 61 | *προσφόροις* FP: *προσφερῶς* scripsi, *προσφόρως* Meineke, *προσφερεῖς* Valcken. ‖ **12** hic P in textu add. lemma *Ἐπικούρου*, F supra mrg ad v. 8 *Επίκουρος* | *ἄστατον* FP: *ἀσύστατον* Meineke coll. Plutarcho de plac. ph. I 29 (ubi tamen in optimis codd. *ἄστατον*), 'at cf. Laert. X 133' Diels | *αἰτίαν* FP ‖ **13** *τρόποις* FP (quod Stobaeo concedendum putat Diels): *τόποις* scripsi coll. Plut. l. s. (ubi *τόποις AB*, *τρόποις C*) ‖ **14** *Ἀναξαγόρας καὶ οἱ στωικοὶ* in textu om. FP, sed P hic mrg habet *ἀναξαγορ*, et F mrg supra ad v. 9 *ἀναξογορας*, infra ad v. 16 *καὶ οἱ στωικοὶ* | *ἄδηλον* P², *ἄδελον* FP¹ ‖ **16** *τύχην* FP², *ψυχὴν* P¹ ‖ **18** recte *τύχη – προσηγορία* lemmate carere dixit Heeren, qui probabiliter de Pythagoreis cogitavit (cf. p. 90, 10); minus recte Diels p. 46 coll. Theodor. VI 15 haec ad Aetium retulit et Democrito adscripsit, a cuius doctrina abhorrent | *ἐνεργείας* F, *ἐνίως* et spat. 4 litt. P

10 *Διωτογένεος Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότατος.* [220]

Ἐπεὶ γὰρ τέτορες αἰτίαι τὰ σύμπαντα περαίνοντι καὶ ἐπὶ τέλος ἐπιτίθεντι, φύσις καὶ νόμος καὶ τέχνα καὶ τύχα, καὶ τῶν μὲν . . . ἐξ ἄθεος ποτὶ ξυμφωνίαν πολιτικὰν φερόντων νόμος ἐπιστάτας καὶ δαμιουργός· τῶν δὲ διὰ p. 17 C. *φρονάσιος ἀνθρωπίνας τελεωθέντων τέχνα ⟨κα⟩ λέγοιτο μάτηρ τε καὶ ἀγεμὼν ἦμεν· τῶν δὲ εἰκᾷ τε καὶ ὡς ἔτυχεν ἀπὸ τωὐτομάτω ὁμοίως ποτιπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς τύχαν τῶν τοιούτων αἰτίαν φασοῦμες· ταύ-* [222] *ταν δ' οὔτ' ἐν μέτρῳ οὔτ' ἐν ὄρῳ τεταγμέναν καὶ πεφυρμένως ἕκαστα ποιέν· γενναθείσα δὲ δὴ ἐξ αὐταυτῶ γένεος ἄμφω κινεῖσθαι.*

CAPVT VIII (IX Heer.).

ΠΕΡῚ ΧΡΌΝΟΥ ΟΥ̓ΣΊΑΣ ΚΑῚ ΜΕΡΩ̂Ν ΚΑῚ ΠΌΣΩΝ ΕἸΗ ΑἸΤΙΟΣ.

1 *Σοφοκλέους* (fr. 832 N.).

Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς ⟨τὸ⟩ φῶς ἄγει.

---

1 haec ecl. iteratur in flor. 43, 130 | *ιοτογενέους* F, *διοτιγενέους* P: corr. Meineke ‖ **2** *ὁσιότητος* P, *ὁσιότ*^{ο} F ‖ **3** *ἐπεὶ* P, *πὶ* F; *ἔπειτα* (i. e. *ἐπεί τε*) flor. | *γὰρ* del. Meineke | *τέτορες* flor. T; *τέττορες* F, *τέτταρες* P | *περαίνοντι* flor., *περαίνουσι* FP ‖ **4** *ἐπὶ* del. Heeren; *ἐπιτελέουντι* coni. Meineke deleto *ἐπιτίθεντι* | *καὶ τέχνα καὶ τύχα* flor., *καὶ τύχα καὶ τέχνα* FP ‖ **5** lacunam post *τῶν μὲν* statuit Heeren, quam *⟨ἐξ ἀνάγκας φύσις ἀγεμών· τῶν δὲ⟩* explet Iacobs ep. crit. p. 231 | *ἐξ ἄθεος* flor.; *ἐξάθεος* F, *ἐξ οὐθεος* P^{1}, *ἐξ ἔθεος* P^{2} | *πολιτικὰν* flor. vulg.; *πολιτικῶν* FP flor. AT ‖ **6** *ἐπιστάτ*^{ᾶς} FP | *δημιουργὸς* FP ‖ **7** *φρονασίας* FP, *φρονήσιος* flor. vulg., *φρονάσιας* flor. *A* | *τελεωθέντων* P^{2}, *τελεθέντων* FP^{1}, *τελεθόντων* flor.: *τελεσθέντων* Gesner | *κα* add. Meineke ‖ **7. 8** *μάτηρ* flor., *μάταρ* F, *μάτερ* P ‖ **8** *τε* om. P | *ὡς ἔτυχεν* del. Meineke ‖ **9** *τοῦ αὐτομάτου* FP flor.: corr. Meineke | *μεταπιπτόντων* flor. T ‖ **10** *τύχαι* P | *φασοῦμες* FP ‖ **10. 11** *ταύταν δ'* flor., *ταῦτα δ'* FP ‖ **11. 12** *τεταγμέναν καὶ πεφρονημένως* del. Iacobs l. s. | *πεφρονημένως* FP et flor. *A*, *πεφρονηκυῖαν* flor. vulg.: *πεφυρμένως* scripsi, *πεφροντισμένως* Heeren ‖ **12** *ποιεῖν* FP, *ποιεῖν* flor.: corr. Heeren | *γενναθεῖσα* flor., *γεννηθεῖσα* FP: corr. Usener | *δὲ ἡ* FP, *δὲ ἃ* flor.: *δὲ δὴ* Usener | *γένεος* F flor., *γένος* P ‖ **13** *κινεῖται* FP: corr. Usener ‖ **15** *πόδων* P ‖ **16** ante *εἴη* add. Meineke *ἂν* | *εἴη αἴτιος* Phot., *εἶκ αἴτιος* F, *εἰκέτιος* P ‖ **17** F mrg add. *χρόνος* ‖ **18** *τὸ* add. Grotius

[224] 2 *Ξενοφάνους* (fr. XII Brandis. p. 60).

Οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς παρέδειξαν,
ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.

3 *Φιλήμονος* (fab. inc. fr. 55, Com. IV p. 54).

Ὦ Πάμφιλ', ὁ χρόνος οὐ μόνον τὰ σώματα
αὔξει βαδίζων, ἀλλὰ καὶ τὰ πράγματα.

4 ⟨*Χαιρήμονος* (fr. 22 p. 612 N.).⟩

Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅ τι
οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται.

5 *Ἀντιφάνους* (fab. inc. fr. 72, Com. III p. 156).

Μάλιστα δ' ἐκπλήττει με τῶν συνειδότων
ὁ χρόνος, ὃν ἀεὶ λανθάνειν ἀμηχανῶ.

[226] 6 *Θεοδέκτου* (fr. 9 p. 625 N.).

Ἀλλ', ὦ τάλαν Θυέστα, καρτέρει δάκνων
ὀργῆς χαλινόν· παρακελεύομαι δέ σοι
τεθηγμένῳ νῦν· ἀλλ' ὁ μυρίος χρόνος
τὰ πάντ' ἀμαυροῖ χὑπὸ χεῖρα λαμβάνει.

7 *Ἀγάθωνος* (fr. 18 p. 595 N.).

Οὐπώποτ' ἠξίωσα χαρίσασθαι χρόνοις.

8 *Μενάνδρου* (fr. 278, Com. IV p. 293).

Πᾶν τοὔργον ὀρθῶς ἐκμαθεῖν χρόνου μέτα.

---

1 lemma habent mrg FP ‖ **2** *θνητοῖσιν ἔδειξαν* Meineke | *ὑπέδειξαν* vel *ἐπέδειξαν* Stob. flor. 29, 41 ‖ **3** *ἐφευρίσκουσιν* flor., *ἐφεύρεσκον* F, *ἐφεύρισκον* P ‖ **4** lemma habent mrg FP ‖ **7** Chaeremoni haec tribuuntur infra ecl. 32: ceterum aut hic aut illic versus delendi sunt ‖ **10** lemma habent mrg FP ‖ **11** *με* habent FP ‖ **13** lemma hic mrg F, infra ad v. 15 mrg habet P ‖ **14** *θαθανὼν* F, *διαθανὼν* P^1, *θανὰν* P^2: *δάκνων* Grotius ‖ **16** *τεθειγμένον ἐν* F, *τεθηγμένον ἐν* P: *τεθηγμένῳ νῦν* Nauck | *ἄλλοις μυρίοις χρόνοις* FP: *ἀλλ' ὁ μυρίος χρόνος* Nauck ‖ **17** *τάδε πάντ'* Iacobs ep. crit. p. 231 | *καὶ ὑπὸ χεῖρα* FP: *χ' ὑπὸ χεῖρα* Nauck, *χὑποχείρια* Iacobs l. s. ‖ **18** lemma habent mrg FP ‖ **19** *οὐπώποτ'* FP | *χρήσασθαι* FP: *χαρίσασθαι* scripsi | *τρόποις* FP: *χρόνοις* Meineke, *χρόνῳ* Grotius ‖ **20** lemma habet mrg FP ‖ **21** num *χρόνῳ*?

9 *Τοῦ αὐτοῦ* (fr. 170, Com. IV p. 272).

Ὦ δέσποτ', ἄξι' ἐστὶ τοῖς σοφοῖς βροτῶν
χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι.

10 *Κριτίου* (fr. 2 p. 600 N.). [228]

Ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον.

11 ⟨Tragici incerti (fr. adesp. 427 N.).⟩

Μετα τὴν σκιὰν τάχιστα γηράσκει χρόνος.

12 ⟨Poetae incerti (= Nicostrati fr. 3, Com. III p. 288).⟩

Πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίγνεται.

13 *Νικοστράτου Λακώνων* (fr. 4, Com. III p. 288).⟩

Οὐκ ἔστι δυσαρεστότερον οὐδὲ ἓν χρόνου,
οὐδέποτ' ἀρέσκει ταὐτὰ τούτῳ τῷ θεῷ.

14 *Ἀγάθωνος* (fr. 19 p. 595 N.). [230]

Σοφὸν λέγουσι τὸν χρόνον πεφυκέναι.

---

1 lemma om. P, mrg habet F; tragici tamen poetae hi v. visi sunt Meinekio l. s., qui ibid. praef. p. XIII coniecit eos Critiae, eclogam insequentem Critiae adscriptam potius Menandream esse; Cobetus mnemos. IV p. 237 eos potius e satyrico dramate derivavit ‖ **2** *ἄναξ ἔστι* FP: *ἄξι' ἐστὶ* in thes. Gr. v. *σκοπεῖσθαι* Dindorf, *ὦναξ ἔστι* Heeren, *ἆρ' ἔξεστι* Nauck, trag. Gr. p. 600, *ἄναξ ἔξεστι* Cobet l. s. ‖ **4** lemma habent mrg FP: 'haec a tragico non scribi potuisse numerorum ratio evincit' Meineke l. s.; idem adnot. ad Stob. p. XXXVII pro *Κριτίου* coni. *Κρατίνου*; ego *Κριτίου* ad eclog. 11 vel 12 spectare crediderim ‖ **5** *ὀργῆς ἁπάσης ὁ χρόνος ἐστὶ φάρμακον* Nauck ‖ **7** differt monost. 347 ‖ **8** non est cur cum editoribus hunc v. Nicostrato tribuamus, ineptit Heeren ‖ **9** *τὰ ἀρχαῖα* FP: corr. Vatic. ‖ **10** F mrg habet lemma *Νικοστράτου* ad v. 11 et ad v. 14 *Λακώνων*, sed P mrg ad v. 12 *νικοστράτ λακώνων*, quae relinquenda esse statui, cum *Λάκωνες* iustum comoediae titulum exhibeat et proximum quoque lemma *ἀγάθωνος* paullum delapsum sit (v. infra) ‖ **11** *δυσαρεστότατον* F, *δυσάρεστον* P: corr. Heeren | *οὐδὲ ἓν* FP ‖ **12** *ταῦτα* FP: corr. Heeren ‖ **13** vulgo *Λακώνων* hic ponunt; quem titulum comoediae Cratini Eupolidisve putat Gaisford, in *Λαχαινῶν* Bergk l. i. s., in *Λαοκόωντι* Meineke mutari vult, uterque de Sophocle cogitans, ex *Ἀγάθωνος* corruptum censet Nauck l. s.; tu vide supra ad v. 10 adnotata. sed huc traxi lemma ad p. 96 v. 5 in FP mrg adscriptum (*Ἀγάθωνος* F, *ἀγάθονος μόνου* P; de *μόνου* vide infra ad p. 96 v. 1 ad-

15 ⟨*Σιμωνίδου* (fr. 175[3] B.).⟩

Οὐκ ἔστιν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.

16 ⟨Lyrici incerti (= Agath. eleg. 28 p. 593[3] B.).⟩

Ὤφελεν ὡς ἀφανὴς οὕτω φανερώτατος εἶναι
καιρός, ὃς αὐξάνεται πλεῖστον ἀπ' εὐλαβίης.

17 *Σοφοκλέους* (fr. 280 N.).

Πρὸς ταῦτα κρύπτε μηδέν, ὡς ὁ πάνθ' ὁρῶν
καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος.

18 ⟨Tragici incerti (= Sophocl. fr. 833 N.).⟩

Χρόνος, ὦ Χρόν', ἅμα κραταιᾷ
χρημοσύνᾳ βιότου
πόλλ' ἀνευρίσκεις σοφὰ μαιομένοις.

---

notata), cum Agathonis neque epigrammata 15. 16 esse possent neque locus Sophocleus (ecl. 17)

1 nullum quidem est testimonium quod afferunt Ursini, carm. illust. fem. p. 335 'citat Simonidis hos versus *ἐκ τῶν ἐπιγραμμάτων* Ioannes Stobaeus in libro *ἐκλογῶν φυσικῶν γνωμῶν*', cum ille praeter Canterianam Farnesinum solum adhibuerit, in quo Simonidis hic nec vola nec vestigium; sed ille adscito titulo eclogae 22 coniecturam ex argumento fecit; attamen crediderim quod in P Agathonis nomini appositum est *μόνου* nihil esse nisi truncatum *σιμωνίδου*. Simonidi tribuitur epigramma etiam Anth. Pal. append. n. 84; ceterum quod Grotius mrg adscripsit 'Incertus Laco' videtur ortum ex male intellecto lemmate *Λακώνων* (v. supra) | **2** *ἔστι* FP: corr. Canter | *οὐδενὸς* FP ‖ **4** de lemmate hic adscripto vide supra ad p. 95 v. 13 adnotata: relinquunt tamen hic editores *Ἀγάθωνος*, Agathonique tribuit hoc epigramma Bergkius l. s. ‖ **5** *ὤφελον* FP: corr. Grotius ‖ **6** *εὐλαβείης* F ‖ **7** lemma *σοφοκλ'* F mrg ad v. 9, P ad v. 11 habet, sed huc pertinere pariter delapsum atque ultima lemmata credo praesertim cum ex Clemente Alex. strom. VI p. 742 constet versus esse *Σοφοκλέους ἐξ Ἱππόνου* ‖ **8** *κρίπτε* Clem. l. s. et Gell. XII 11, 6, *κρύπτεται* FP | *ἅπανθ'* P ‖ **9** *ἀναπτύσσει* Clem. Gell., *ἀναπτύσει* FP ‖ **10** vulgo *Σοφοκλέους* in P mrg hic adscriptum ad hanc ecl. referunt: tu vide ad v. 7 adnot.; itaque ignoratur nomen poetae | **11** *ὦ* scripsi pro *αὖ* | *χαρὸν* P, *χρόνος* F: *Χρόν'* Usener ‖ **12** *τερμοσύνα* FP: *χρημοσύνᾳ* Ellendt lex. Soph. II p. 966, *τλαμοσύνᾳ* Heeren | *βίου* FP: *βιότου* Dindorf ‖ **13** *ἀνευρίσκει* F, *ἂν εὑρίσκει* P: corr. Usener

19 ⟨Tragici incerti (= Eurip. fr. 509 N.).⟩ [232]

Οὐκ ἔστι πράσσοντάς τι μοχθηρὸν λαθεῖν·
ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ.

20 *Εὐριπίδου Ἀλόπῃ* (= *Αἰόλ.* fr. 38 N.).

Ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει,
λάλος ἐστὶν οὗτος, οὐκ ἐρωτῶσιν λέγει.

21 *Σοφοκλέους Οἰδίποδι* (Tyr. 614. 615).

Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος,
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.

22 *Σιμωνίδου Ἐπιγραμμάτων* (fr. 176[3] B.).

Ὅ τοι χρόνος ὀξὺς ὀδόντας
πάντα καταψήχει καὶ τὰ βιαιότατα.

23 *Σοφοκλῆς Αἴαντι* (646—649). [234]

Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται.
Κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται
χὠ δεινὸς ὅρκος, καἰ περισκελεῖς φρένες.

24 ⟨*Τοῦ αὐτοῦ* (714).⟩

Πάνθ' ὁ μέγας χρόνος μαραίνει.

---

1 vulgo huc referunt lemma cod. P *εὐριπδ' πινελόπ* (unde effecit Musgrave *Μελανίππῃ*); sed in P haec ad ecl. 20 adscripta sunt et consocianda cum eis quae in F mrg illic leguntur *εὐριπδ' ὁ* (quod *Αἰόλῳ* supplent), probabiliter igitur interpretanda *Εὐριπίδου* ⟨*Αἰ*⟩*λόπῃ*; sed cum ecl. 20 comicum potius quam tragicum spiret poetam, hoc lemma fortasse ad ecl. 19 referendum est ‖ **2** *πράττοντας* FP ‖ **4** de lemmate vide ad v. 1 adnotata; fortasse huc pertinet potius lemma *Φιλήμονος* infra ad v. 14. 15 adscriptum quod in vicinia non habet quo referatur ‖ **6** *ἄλλος* FP: *λάλος* Canter | *γὰρ οὗτος* Meineke, *τις οὗτος* Conington, *ἐστὶ καὐτὸς* Haupt Herm. IV p. 337 | *κοὐκ* Conington, *οὐδ'* Meineke | *ἐρωτῶσι* FP ‖ **8** *δείκνυσι* FP ‖ **10** lemma P in textu, F mrg habet ‖ **11** *ὅ τοι* F, *οὗτοι* P ‖ **12** *καὶ πάντα ψύχει* (*ψύχῃ* P) FP: *πάντα καταψήχει* Bergk, *κ. π. ψήχει* Pierson Veris. I 11, *κ. π. σμήχει* Grotius | *βιαιότατα* FP[2], *βιότατα* P[1]: *βεβαιότατα* Pierson ‖ **13** hic in textu habet P *σοφοκλῆς* et mrg *ἄραντ*, cum F hic mrg *Φιλήμονος* adscribat (quode vide supra ad v. 4 adnotata) et ad v. 16 *Σοφοκλῆς αἴαντι* ‖ **15** *φύει* Soph., *ποιεῖ* FP ‖ **16** hic nova ecl. incipit in FP | *κοὐκ* Soph., *οὐκ* FP ‖ **17** *καὶ* FP Soph.: *καἰ* Brunck ‖ **18** lemma add. Gaisford ‖ **19** *ὁ μέγας χρόνος* Soph., *ὁ χρόνος ὁ μέγας* FP | post *μαραίνει* add. *τε καὶ φλέγει* Soph.

25 *Εὐριπίδου Ἱππολύτου* (fr. 444 N.).
Χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ.

26 Tragici incerti (= Philem. fr. 97, Com. IV p. 61).
Χρόνος τὰ κρυπτὰ πάντα πρὸς τὸ φῶς ἄγει.

[236] 27 ⟨Tragici incerti (fr. adesp. 428 N.).⟩
Ἀλλὰ ταῦτα μὲν χρόνος
δείξει· μόνος γάρ ἐστιν ἀνθρώπων κριτής.

28 ⟨Tragici incerti (= Chaerem. fr. 20 p. 612 N.).⟩
Χρόνος δίκαιον ἄνδρα μηνύει ποτέ.

29 *Φιλήμονος* (= tr. fr. adesp. 429 N.).
p. 18 C. *Χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.*

30 *Χαιρήμονος.*
Σχολῇ βαδίζων ὁ χρόνος ἀφικνεῖται τ⟨όπ⟩αν.

31 *Μενάνδρου* (fr. 42, Com. IV p. 247).
Οὐκ ἔστ' ἄπιστον οὐδὲν ἐν θνητῷ βίῳ,
οὐδ' ἂν γένοιτο· πολλὰ ποικίλλει χρόνος
παράδοξα καὶ θαυμαστὰ καὶ ζώντων τρόποι.

32 *Χαιρήμονος* (fr. 22 p. 612 N.).
Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅ τι
οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται.

---

1 lemma habent FP mrg | *ἱππολύτου* F, *ἱππολύτ* P: *Ἱππολύτῳ* vulgo ‖ **3** idem versus legitur in Menandri monost. 592; vulgo *Φιλήμονος* lemma in F ad v. 9. 11 adscriptum hic ponunt ‖ **4** *πάντα εἰς φάος ἄγει* FP, *πάντα πρὸς φῶς ἄγει* monost.: *πάντα πρὸς τὸ φῶς ἄγει* Meineke, *πάντ' ἂν εἰς τὸ φῶς ἄγοι* Iacobs ep. crit. p. 231 ‖ **7** *κριτής* P^2, *κριταὶ* FP^1 ‖ **8** *Φιλήμονος* in F mrg ita adscriptum est ut et ad ecl. 28 et 29 pertinere possit; sed cum hic v. tragici esse videatur praeposui eclogae 29 ‖ **10** idem v. legitur in Menandri monost. 368 ‖ **11** *νόμῳ* monost. | *κραίνεται* vel *φθείρεται* Meineke ‖ **12** hic lemma FP mrg habent, *(χ)αιρήμονος* F, *χαιρήμ* P; hoc fragm. deest ap. Nauckium ‖ **13** *ἀφικνεῖται τἀν* FP (*τάν*; P): correxi; *ἀφικνεῖτ' ἄν ⟨ποτε⟩* vel *ἐκφανεῖ τὸ πᾶν* Meineke, *ἀφικνεῖθ' ὁμῶς* (an *ὅμως*?) Iacobs ep. crit. p. 231, *ἀφικνεῖτ' ἐς τέλος* Usener ‖ **14** lemma om. P, habet F mrg ad v. 16. 17 ‖ **16** *ποικίλει* FP ‖ **17** *τρόπον* F ‖ **18** lemma FP mrg habent; vide supra ecl. 4 ‖ **20** *οὐ κἂν* Nauck | *ζητοῦσιν* ecl. 4, *γε ζητοῦσιν* FP: *ζητοῦσί γ'* Nauck

33 *Τοῦ αὐτοῦ* (= Chaerem. fr. 23 p. 612 N.). [238]

Χρόνος μαλάσσει πάντα κἀξεργάζεται.

34 *Φιλήμονος* (fr. 56, Com. IV p. 54).

Ὅσαι τέχναι γεγόνασι, ταύτας, ὦ Λάχης,
πάσας ἐδίδαξεν ὁ χρόνος, οὐχ ὁ διδάσκαλος.

35 † *Ἀναγενέους* (anonym. fr. 359, Com. IV p. 693).

Ὁ πολὺς χρόνος πάντ' ἐξελέγχει, Νικοφῶν.

36 *Ἑρμίππου* (fr. 1, Com. II p. 380; fr. 4 Kock.):

Ἐκεῖνός ἐστιν στρογγύλος τὴν ὄψιν, ὦ πονηρέ,
ἐντὸς δ' ἔχων περιέρχεται κύκλῳ τὰ πάντ' ἐν αὑτῷ·
ἡμᾶς δὲ τίκτει περιτρέχων τὴν γῆν ἅπαξάπασαν.
Ὀνομάζεται δ' ἐνιαυτός, ὢν δὲ περιφερὴς τελευτὴν
οὐδεμίαν οὐδ' ἀρχὴν ⟨ἔχει⟩· κυκλῶν δ' ἀεὶ τὸ σῶμα
οὐ παύεται δι' ἡμέρας ὁσημέραι τροχάζων.

37 *Κλεοβούλου σοφοῦ τῶν αἰνιγμάτων* (fr. 2^3 B., p. 971). [240]

Εἷς ὁ πατήρ, παῖδες ⟨δὲ⟩ δυώδεκα· τῶν δὲ ἑκάστῳ
κοῦραι ἑξήκοντα, διάνδιχα εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι·
ἀθάναται δέ τ' ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι.

---

1 lemma om. P, habet F mrg ad v. 2 et 4; idem v. sine auctoris nomine recurrit ap. Anton. Mel. I 47 p. 53, 40 Gesn. ‖ **2** *μαλάς* P ‖ **3** lemma hic habet P mrg, ad v. 5 et 7 F mrg ‖ **4** *λάτης* F, *λάγης* P: *Λάχης* Grotius ‖ **6** ad v. 5 P mrg *ἀναγέους*, ad 9. 10 F mrg *ναγενέους* (litt. init. pro rubr. relicta), inde Heerenus effecit *Ἀθηνᾶς γοναῖς* et ad *Ἑρμίππου* (v. 8) traxit; videtur potius nomen auctoris huius ecl. latere ‖ **8** lemma om. P, F mrg habet ad v. 11. 12 ‖ **9** *τὴν ὄψιν στρογγύλος* FP: *στρογγύλος τὴν ὄψιν* Meineke ‖ **10** *τὰ παρ ἐν αὐτῷ* F, *τὰ περὶ ἐν αὐτῷ* P: *τὰ πάντ' ἐν αὑτῷ* (vel *τὰ πάνθ' ἑαυτοῦ*) Meineke, *τὰ περὶ ἑαυτοῦ* Gaisford ‖ **11** *ἅπαξ πᾶσαν* FP: *ἁπαξάπασαν* Grotius ‖ **13** *ἔχει* add. Grotius ‖ **14** *παύσεται* FP: corr. Bergk rel. com. Att. p. 308 | *δι' ἡμέρας* FP ‖ **15** lemma in textu habent FP, praeterea F mrg ΚΛΕΟΒΟΥΛΟΥ *Σοφοῦ* ‖ **17** *Τ^εῖς* F (*T* viridi col. scr.) | *δὲ* add. P^2, Laert. Diog. I 91 (cod. Burb. Laur. *H*), Suid. v. *Κλεοβουλίνη* | *δυωκαίδεκα* Anth. Pal. XIV 101 ‖ **18** *παῖδες τριήκοντα* Laert., *παῖδες τριάκοντα* Suid., *παῖδες δὶς τριήκοντα* Anth. | *κᾶρα* F, *κάρα* P: *κοῦραι* Canter | *διάνδιχα* Laert. Anth., *διάνδιχη* FP ‖ **19** *αὖτε* Laert. (plerique codd.), Anth., *αὖται* FP ‖ **20** *δέ τ' ἐοῦσαι* Laert. Anth., *δέ τε οὖσαι* FP

38 *Μοσχίωνος* (fr. 7 p. 633 N.).

Πρῶτον δ' ἄνειμι καὶ διαπτύξω λόγῳ
ἀρχὴν βροτείου καὶ κατάστασιν βίου·
ἦν γάρ ποτ' αἰὼν κεῖνος, ἦν ποθ' ἡνίκα
θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί,
[242] *ὀρειγενῆ σπήλαια καὶ δυσηλίους*
φάραγγας ἐνναίοντες· οὐδέπω γὰρ ἦν
οὔτε στεγήρης οἶκος, οὔτε λαΐνοις
εὐρεῖα πύργοις ὠχυρωμένη πόλις·
οὐ μὴν ἀρότροις ἀγκύλοις ἐτέμνετο
μέλαινα καρποῦ βῶλος ὀμπνίου τροφός,
οὐδ' ἐργάτης σίδηρος εὐιώτιδος
θάλλοντας οἴνης ὀρχάτους ἐτημέλει,
ἀλλ' ἦν ἀκύμων † κωφεύουσα ῥέουσα γῆ.
βοραὶ δὲ σαρκοβρῶτες ἀλληλοκτόνους
παρεῖχον αὐτοῖς δαῖτας· ἦν δ' ὁ μὲν Νόμος
ταπεινός, ἡ Βία δὲ σύνθρονος Διί,
ὁ δ' ἀσθενὴς ἦν τῶν ἀμεινόνων βορά.
[244] *Ἐπεὶ δ' ὁ τίκτων πάντα καὶ τρέφων χρόνος*
τὸν θνητὸν ἠλλοίωσεν ἔμπαλιν βίον,
εἴτ' οὖν μέριμναν τὴν Προμηθέως σπάσας,
εἴτ' οὖν ἀνάγκην, εἴτε τῇ μακρᾷ τριβῇ
αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον,
τόθ' εὑρέθη μὲν καρπὸς ἡμέρου τροφῆς

---

1 lemma om. P, (*μ*)*οσχίωνος* F mrg ‖ **4** *ἦν ὁπηνίκα* FP: *ἦν ποθ' ἡνίκα* Nauck teste Meinekio ‖ **5** *θηρσὶ* FP ‖ **6** *δυσαυλίους* Nauck ‖ **8** *λαίνοις* P^2, *λαγγήνοις* F, *λαγήνοις* P^1 ‖ **9** *ὠχυρομένους* F ‖ **10** *καμπύλοις* Nauck | *ἐγέμνετο* F ‖ **11** *κάρπος* P^1, *καρπὸν* P^2 | *ὀμπίου* P ‖ **12** *εὐγωτίδος* FP: *εὐιώτιδος* Grotius ‖ **13** *ὀρχάτους τ*$^{\text{ε}}$ *τημέλλει* F, *ὀρχάτους·* lac. 3 litt. *μένει* P: corr. Salmasius ‖ **14** *κωφεύουσα ῥέουσα* FP: *κωφόνους τ' ἀργοῦσα* Usener, *κωφὰ χηρεύουσα* Meineke, *κωφά τ' ἐκφέρουσα* vel similiter alii, *κῶφεσιν βρύουσα* Nauck, *κοὐ τροφὴν φέρουσα* Tyrwhitt ‖ **16** *ἦν* om. P ‖ **17** *σύνθακος* Nauck Eur. frg. p. XX coll. Phot. lex. p. 554, 27 | *νηὶ* corr. in *διὶ* P, *νηὶ* F ‖ **18** *ἀρειόνων* Nauck; mihi totus versus suspectus, certe *βορά* intolerabile ‖ **19** *στρέφων* Nauck, *τρέπων* vir d. in ex. Gotting. ‖ **21** *σπάσας* FP: *πλάσας* Meineke ‖ **24** *τότ'* FP

Δήμητρος ἁγνῆς, εὑρέθη δὲ Βακχίου
γλυκεῖα πηγή· γαῖα δ' ἣ πρὶν ἄσπορος
ἤδη ζυγουλκοῖς βουσὶν ἠροτρεύετο.
ἄστη δ' ἐπυργώσαντο καὶ περισκεπεῖς
ἔτευξαν οἴκους· καὶ τὸν ἡγριωμένον
εἰς ἥμερον δίαιταν ἤγαγον βίον·
κἀκ τοῦδε τοὺς θανόντας ὥρισεν νόμος
τύμβοις καλύπτειν, κἀπιμοιρᾶσθαι κόνιν
νεκροῖς ἀθάπτοις, μηδ' ἐν ὀφθαλμοῖς ἐᾶν
τῆς πρόσθε θοίνης μνημόνευμα δυσσεβοῦς.

39 Ἐκ τῶν Βίωνος Βουκολικῶν (c. III Herm., XVII Ahr.). [246]

„Εἴαρος, ὦ Μύρσων, ἢ χείματος, ἢ φθινοπώρω,
ἢ θέρεος τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν;
ἢ θέρος, ἀνίκα πάντα τελείεται ἄσσα μογεῦμες;
ἢ γλυκερὸν φθινόπωρον, ὅκ' ἀνδράσι λιμὸς ἐλαφρά;
ἢ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοὶ
θαλπόμενοι θέλγονται ἀεργείᾳ τε καὶ ὄκνῳ. p. 19 C.
ἦ τοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπὲ τί τοι φρὴν
αἱρεῖται; λαλέεν γὰρ ἐπέτραπεν ἃ σχολὰ ἁμῖν."
„„Κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι,
πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι
ἐξερέω, Κλεόδαμε, τό μοι πέλεν ἄδιον ἄλλων.
οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ' ἅλιος ὀπτῇ·

---

1 *Δημήτερος* P ‖ **4** *αὕτη* FP: *ἄστη* Wesseling, *αὐτοὶ* Iacobs ep. crit. p. 232 | *ἐπύργωσάν τε* Valckenaer ‖ **7** *ὥρισεν* F, *ὧισε* P ‖ **9** *νεκροὺς ἀθάπτους* FP: *νέκροις ἀθάπτοις* Meineke, *νέκρους τ' ἀθάπτους* vulgo ‖ **10** *δυσσεβές* FP: corr. Valckenaer ‖ **11** *βουκολίων* FP: corr. Gaisford ‖ **12** *ὁ* FP: *ὦ* Ursinus | *φθινοπώρου* FP ‖ **14** *ἦ* FP: *ἦ* Meineke | *θέρεος* P[1] | *ἀνίκα* FP[2], *ἀνίκα* P[1] | *ἄσσα* FP: *ὅσσα* Ursinus ‖ **15** *ἦ* Ahrens | *ὅτ'* FP | *ἐλαφρός* P ‖ **16** *ἦ* Ahrens ‖ **17** *θάλποντας* FP: *θέλγονται* Ursinus | *ἀεργείῃ* FP: corr. Ameis ‖ **18** *εὖαδ' ἐνεῖπε τοι τι φρὸν* F, *εὖα* dein vacuum spatium in quo *δεν* add. m. 2 P: *εὔαδεν; εἰπὲ τί τοι φρήν* Ursinus | ceterum post *εὔαδεν* versus duos veris laudem continentes intercidisse putat Meineke ut par sit numerus versuum utriusque cantatoris ‖ **19** *λαλέειν* FP: corr. Vat. | *ἀ*(m. 2 corr. in *ἀ*)*σχολαὶ* P | *ἡμῖν* FP ‖ **21** *ἁδέα* P ‖ **22** *πέλενδιον* (supra *δ* sprscr. *ἄ*)P | *ἄλλον* P[1]

οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει·
[248] *οὖλον χεῖμα φέρον νιφετὸν κρυμώς τε φοβεῦμαι.*
εἶαρ ἐμοὶ τριπόθατον ὅλῳ λυκάβαντι παρείη,
ἁνίκα μήτε κρύος μήθ' ἅλιος ἄμμε βαρύνει·
εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστῇ, 5
χἁ νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.""

40ª *Θαλῆς ἐρωτηθείς, τί σοφώτατον; ⟨ἔφη,⟩ Χρόνος· ἀνευρίσκει γὰρ τὰ πάντα.*

Περίανδρος ἐρωτηθείς, Τί πάντων αἴτιον; ἔφη, Χρόνος. 10

Θαλῆς ἔφησεν, ὅτι σαφέστατος ἔλεγχος πραγμάτων ἁπάντων ἐστὶν ὁ χρόνος, οὗτος ⟨γὰρ⟩ τὴν ἀλήθειαν ἐμφανίζει.

Εὐρυφῶν ὁ ἰατρὸς ἐρωτηθεὶς τὸν διδάσκαλον παρ' ᾧ ἐπαιδεύθη, Παρὰ τῷ χρόνῳ, ἔφη. 15

40ᵇ ⟨Aetii (plac. I 21. 22 p. 318 Diels.).⟩

[250] *Πυθαγόρας τὴν σφαῖραν τοῦ περιέχοντος.*
Ἐρατοσθένης τὴν τοῦ ἡλίου πορείαν.
Οἱ Στωικοὶ χρόνου οὐσίαν αὐτὴν τὴν κίνησιν.
Οἱ πλείους ἀγένητον τὸν χρόνον. 20
Ξενοκράτης μέτρον τῶν γενητῶν, καὶ κίνησιν ἀΐδιον.

---

1 *νοσέρ'* Ahrens | *ἂν ῥέα τίκτοι* G. Hermann | *τίκτειν* Usener ‖ **2** *οὐ λῶ* Ameis | *φέρει νιφετῶν κρύος ὥστε* Meineke | *φέρειν* FP: *φέρον* G. Hermann | *κρυμός τε* F, *κρυμόει τε* P: *κρυμούς τε* Ursinus ‖ **3** *τριπόθητον* Ahrens ‖ **4** *μήτ' ἅλιος ἄμμι* FP: corr. Ursinus | *ἅμε* Meineke ‖ **5** *ἁδέα* P¹ | *βλάστη* FP², *βάστη* P¹: *βλαστῇ* Meineke, *βλαστεῖ* Ursinus ‖ **6** *ἄως* FP¹ ‖ **7** ante *Θαλῆς* add. P in textu lemma *θάλητος*; F habet mrg *Πάλητος* (*Πα* rubr.) | *σοφώτερον* P | *ἔφη* add. cod. August. ‖ **8** F mrg add. lemma *Περιάνδρου* ‖ **10** *ὁ χρόνος* Meineke, qui praeterea intercidisse putat *αὐτοῦ γὰρ οὐδέν ἐστιν αἴτιον.* ‖ **11** ante *Θαλῆς* add. P in textu *θάλητος*; F add. mrg *(θ)άλητος* ‖ **12** *γὰρ* add. cod. August. ‖ **14** *Εὐρυφῶν – ἔφη* (15) om. F (omisisse videtur etiam codex pinacographi Photiani: cf. Elter de cod. Stob. Phot. p. 65) | ante *Εὐρυφῶν* add. P in textu lemma *εὐρυφῶντος τοῦ ἰατροῦ* ‖ **17** hic add. FP mrg lemma *Πυθαγόρας* ‖ **18** hic add. P mrg lemma *ἐρατοσθένης* ‖ **19** hic add. FP mrg lemma *οἱ στωικοί* ‖ **20** *ἀγέννητον* FP ‖ **21** hic add. P in textu. F mrg lemma *Ξενοκράτης* | *γεννητῶν* P

Μέτρον βραδύτητος ἢ τάχους εἶπε Χρύσιππος.

Ἑστιαῖος ὁ Περίνθιος φυσικὸς φορὰν ἄστρων πρὸς ἄλληλα.

Στρατων τὸ ἐν κινήσει καὶ ἠρεμίᾳ ποσόν.

Ἐπίκουρος σύμπτωμα ⟨συμπτωμάτων⟩, τοῦτο δ' [252]
ἐστὶ παρακολούθημα κινήσεων.

Ἀντιφᾶν καὶ Κριτόλαος νόημα ἢ μέτρον τὸν χρόνον, οὐδ' ὑπόστασιν.

40c ⟨Arii Didymi (epitom. phys. fr. 6 Diels. Doxogr. p. 449).⟩

Ἀριστοτέλους. τὸν δὲ χρόνον ἀριθμὸν εἶναι κινήσεως κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον, οὔτ' ἀρχὴν ἔχοντα οὔτε τελευτήν, ἀλλ' ἀεὶ ὄντα καὶ ἀεὶ γιγνόμενον, εἶναι δὲ συνεχῆ καὶ διαιρετόν, λαμβάνεσθαι γὰρ αὐτοῦ τὸ μὲν πρότερον τὸ δ' ὕστερον, ὅρον δ' ὑπάρχειν ἑκατέρων τὸ νῦν, τοῦτο γὰρ νοεῖσθαι τοῦ μὲν προτέρου πέρας, τοῦ δὲ μέλλοντος ἀρχήν.

40d ⟨Arii Didymi (epitom. phys. fr. 7 p. 450).⟩

Οἱ Ἀριστοτελικοὶ τὸν χρόνον ἀριθμὸν τῶν κατὰ τὸ νῦν ἀφοριζομένων κινήσεων, τὸ δὲ νῦν εἶναι μονάδα στάσεως ἐν κινήσει, κίνησιν δ' οὐκ εἶναι τὸν χρόνον, οὐ μὴν ⟨ἄνευ⟩ κινήσεως· λέγεσθαι γὰρ κίνησιν βραδεῖαν καὶ [254]

---

1 excerptum ex Didymo fr. 26 (= infra p. 106, 5. 6) ‖ **2** hic add. lemma *Ἑστιαῖος* (*Ἑ* rubr.) F mrg, *ἑστιαίου* P mrg; *αἰστιαίου* est apud pinacographum Photianum p. 114a 23 | (*ἑ*)*στιαῖος* F | *φυσικὸς* post *Στράτων* (v. 4) transponendum esse coni. Krische theolog. p. 351 ‖ **4** hic add. FP mrg lemma *στράτων* | *τὸ* P2, *τὸν* FP1: *τῶν* post Canterum omnes, etiam Diels ‖ **5** hic add. lemma *ἐπίκουρος* P mrg | *συμπτωμάτων* add. Heeren ex Sext. Emp. adv. math. X 238 ‖ **7** hic add. lemma *Ἀντιφάνης κριτόλαος* F mrg, *ἀντιφάνης καὶ κριτόλαος* P in textu (*Ἀντιφάνους* h. l. fuit etiam in codice pinacographi Photiani l. s.) | *ἀριστοφάνης* P | *ἢ μέτρον* P, *ἡμέτερον* F ‖ **8** *οὐδ'* FP; *οὐχ* cod. August. ‖ **10** *Ἀριστοτέλους* habent FP mrg; cf. Arist. physic. IV 11 p. 220a 24 | in F ante (*τ*)*ὸν* lac. 7 litt. ‖ **11** *καὶ τὸ ὕστερον* om. P ‖ **13** *δὴ* FP: corr. Heeren ‖ *παρ'* FP: *γὰρ* Heeren ‖ **14** post *ὕστερον* lacuna in P ‖ **19** *τὰ νῦν* FP: *τὸ νῦν* Heeren ‖ **21** *ἄνευ* add. Heeren coll. Arist. phys. IV 11 p. 218b 21

p. 20 C. *ταχεῖαν, οὐκέτι δὲ χρόνον, ἀλλὰ πολὺν καὶ ὀλίγον. Ἔτι τὸ μὲν πλεῖον καὶ τοὔλαττον ἀριθμῷ κρίνεσθαι, χρόνῳ δὲ τὴν πλείω καὶ ἐλάττω κίνησιν. Οὐκ ἄρα κίνησις ὁ χρόνος, οὐ μὴν κινήσεως κεχωρισμένος, ἀριθμὸν γὰρ εἶναι κινήσεως συνεχῆ κατὰ τὸ πρότερον καὶ ὕστερον.*

40[e] ⟨Arii Didymi (epitom. phys. fr. 26 p. 461).⟩

Ζήνωνος. Ζήνων ἔφησε χρόνον εἶναι κινήσεως διάστημα, τοῦτο δὲ καὶ μέτρον καὶ κριτήριον τάχους τε καὶ βραδύτητος, ὅπως ἔχει ⟨ἕκαστα⟩. Κατὰ τοῦτον δὲ γίνεσθαι τὰ γινόμενα καὶ τὰ περαινόμενα ἅπαντα καὶ τὰ ὄντα εἶναι.

41 *Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ.* (p. 38[b] Patrit.).

. . . . . .

Ὡς καὶ περὶ τῶν τριῶν χρόνων εὑρεῖν· οὔτε γὰρ καθ' ἑαυτούς εἰσιν, οὔτε συνήνωνται· καὶ πάλιν συνήνωνται καὶ καθ' ἑαυτούς εἰσιν. Ἐὰν χωρὶς εἶναι τοῦ παρελη-
[256] *λυθότος ὑπολάβῃς τὸν ἐνεστῶτα, ἀδύνατόν ἐστιν ἐνεστάναι, εἰ μὴ καὶ παρεληλυθὼς γένοιτο· ἐκ γὰρ τοῦ ἀποεχομένου τὸ ἐνεστὼς γίνεται καὶ ἐκ τοῦ ἐνεστῶτος τὸ μέλλον ἔρχεται. Εἰ δὲ δεῖ καὶ ἐπὶ πλέον βασανίσαι, οὕτω λογισώμεθα· τὸν μὲν παρεληλυθότα χρόνον οἴχεσθαι εἰς τὸ μηκέτι εἶναι [τοῦτον], τὸν δὲ μέλλοντα μὴ ὑπάρχειν ἐν τῷ μηδέπω παρεῖναι, ἀλλὰ μηδὲ τὸν ἐνεστῶτα συμπαρεῖναι ἐν τῷ μένειν.*

---

2 *χρόνος* FP: corr. Heeren ‖ **7** lemma *Ζήνωνος*, quod F mrg, P in textu habent, addidi ex more quem Stobaeus in afferendis Arianis tenuisse videtur (latius enim patet quam per exempla a Dilesio doxogr. p. 74 congesta) ‖ **9** *ἕκαστα* (vel *ἕκαστον*) addidi, lacunam signavit Diels ‖ **10** *τὰ* (ante *περαινόμενα*) om. P | *ἅπανια* FP: *ἀπαντᾶν* Diels Add. p. 854, *ἀπαρτίζεσθαι* Usener ‖ **12** lemma habet F mrg, P in textu | haec tam distant ab Hermeticis scriptis, ut nullus dubitem intercidisse Hermetis locum et lemma (fort. etiam initium) huius eclogae ‖ **14** *'s* (lit. init. rubr. rel.) et antea spat. 5 litt. F | *ὡς ⟨ἔστι⟩ καὶ* Meineke, *ὡς κἂν* Usener, qui statim *εὕροις* | *παρὰ* F ‖ **16** post *ἐὰν* add. *γὰρ* Heeren ‖ **17** *τὸν ἐνεστῶτα ὑπολάβῃς* Gaisford dormitanter | *ὑπολάβεις* P | *συνεστάναι* FP[2], *συνιστάναι* P[1]: *ἐνεστάναι* Heeren ‖ **18** *παρεληλυθὸς* F | *γένηται* FP: correxi ‖ **19** *συνεστὼς* P, *συνεστὸς* F: correxi cum Heereno | *ἔχεται* Usener ‖ **21** *οἴχεσθαι εἰς τὸ μηκέτι* bis scriptum in FP ‖ **22** *τοῦτον* del. Usener

Ὃς γὰρ οὐχ ἕστηκε ῥοπὴν ἔχων, οὐδὲ κέντρου μονὴν [χρόνος], *πῶς ἐνεστὼς εἶναι λέγεται ὁ μηδὲ ἑστάναι δυνάμενος; καὶ πάλιν ὁ παρεληλυθὼς συνάπτων τῷ ἐνεστῶτι καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι εἷς γίνεται (οὐ γὰρ χωρὶς αὐτῶν εἰσι) τῇ ταὐτότητι καὶ τῇ ἑνότητι καὶ τῇ συνεχείᾳ. Οὕτω καὶ συνεχὴς καὶ διεστὼς γίνεται, εἷς ὢν καὶ ὁ αὐτός, χρόνος.*

42 ⟨Arii Didymi (epitom. phys. fr. 26 p. 461).

Ἀπολλοδώρου. Ἀπολλόδωρος δ' ἐν τῇ Φυσικῇ τέχνῃ οὕτως ὁρίζεται τὸν χρόνον· Χρόνος δ' ἐστὶ τῆς τοῦ κόσμου κινήσεως διάστημα· οὕτως δ' ἐστὶν ἄπειρος, ὡς ὁ πᾶς ἀριθμὸς ἄπειρος λέγεται εἶναι· τὸ μὲν γάρ ἐστιν αὐτοῦ παρεληλυθός, τὸ δὲ ἐνεστηκός, τὸ δὲ μέλλον. Ἑνεστάναι δὲ τὸν πάντα χρόνον ὡς τὸν ἐνιαυτὸν ἐνεστηκέναι λέγομεν κατὰ μείζονα περιγραφήν· καὶ ὑπάρχειν ὁ πᾶς χρόνος λέγεται, οὐδενὸς αὐτοῦ τῶν μερῶν ὑπάρχοντος ἀπαρτιζόντως. [258]

Ποσειδωνίου. Τὰ μέν ἐστι κατὰ πᾶν ἄπειρα, ὡς ὁ σύμπας χρόνος· τὰ δὲ κατά τι, ὡς ὁ παρεληλυθὼς χρόνος καὶ ὁ μέλλων· κατὰ γὰρ τὸν παρόντα μόνον ἑκάτερος πεπέρανται. Τὸν δὲ χρόνον οὕτως ὁρίζεται· διάστημα κινήσεως ἢ μέτρον τάχους τε καὶ βραδύτητος, ὅπως ἔχει τὸ ἐπινοούμενον. ⟨καὶ⟩ κατὰ τὸ πότε τοῦ χρόνου τὸν μὲν εἶναι παρελιλυθότα, τὸν δὲ μέλλοντα, τὸν δὲ παρόντα, ὃς ἔκ τινος μέρους τοῦ παρεληλυθότος καὶ τοῦ μέλλοντος περὶ τὸν διορισμὸν αὐτὸν συνέστηκε· τὸν δὲ διορισμὸν σημειώδη εἶναι. Τὸ δὲ νῦν καὶ τὰ ὅμοια ἐν πλάτει

---

2 *χρόνου* FP: *χρόνος* Heeren, seclusi ‖ **4** *εἷς γίνεται* P², *εἰσγίνεται* FP¹ | *αὐτῶν* FP: corr. Usener ‖ **5** *τῇ* ante *συνεχείᾳ* om. P ‖ **6** *συνεχὴς* FP ‖ 8 lemma *ἀπολλοδώρου* P in textu, F mrg add. | *δ'* om. P ‖ **16** *ἀπαρτίζοντος* FP: *ἀπαρτιζόντως* Heeren ‖ **17** addidi lemma *Ποσειδωνίου*, quod habent FP | omisi quod vulgo servant ante *τὰ* positum *Ποσειδώνιος* ‖ **19. 20** *ἑκατέροις πεπέρασται* FP: corr. Diels ‖ **21** *καὶ πως* FP: *ὅπως* Heeren ‖ **22** *τὸν* (ante *ἐπινοούμενον*) FP: corr. Heeren | *καὶ* add. Diels | *κατὰ* ⟨*δὲ*⟩ Heeren ‖ **24** *ἔκ τε μέρους* Usener ‖ **26** *σημειώδη* idem atque *στιγμιαῖον* | *ἐν πλάτει*] cf. Usener mus. Rhen. XXIV p. 311, infra p. 106, 17 sq.

χρόνον καὶ οὐχὶ κατ' ἀπαρτισμὸν νοεῖσθαι. Λέγεσθαι δὲ τὸ νῦν καὶ [κατὰ] τὸν ἐλάχιστον πρὸς αἴσθησιν χρόνον περὶ τὸν διορισμὸν τοῦ μέλλοντος καὶ παρεληλυθότος συνιστάμενον.

[260] Χρυσίππου. Ὁ δὲ Χρύσιππος χρόνον εἶναι κινήσεως διάστημα, καθ' ὃ ποτὲ λέγεται μέτρον τάχους τε καὶ βραδύτητος· ἢ τὸ παρακολουθοῦν διάστημα τῇ τοῦ κόσμου κινήσει, καὶ κατὰ μὲν τὸν χρόνον κινεῖσθαί τε ἕκαστα καὶ εἶναι· εἰ μὴ ἄρα διττὸς λέγεται ὁ χρόνος, καθάπερ ἥ τε γῆ καὶ ἡ θάλαττα καὶ τὸ κενόν, τά τε ὅλα καὶ τὰ μέρη τὰ αὐτῶν. Ὥσπερ δὲ τὸ κενὸν πᾶν ἄπειρον εἶναι πάντῃ καὶ τὸν χρόνον πάντα ἄπειρον εἶναι ἐφ' ἑκάτερα· καὶ γὰρ τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα ἄπειρον εἶναι. Ἐμφανέστατα δὲ τοῦτο λέγει, ὅτι οὐθεὶς ὅλως ἐνίσταται χρόνος. Ἐπεὶ γὰρ εἰς ἄπειρον ἡ τομὴ τῶν συνεχόντων ἐστί, κατὰ τὴν διαίρεσιν ταύτην καὶ πᾶς χρόνος εἰς ἄπειρον ἔχει τὴν τομήν· ὥσιε μηθένα κατ' ἀπαρτισμὸν ἐνεστάναι χρόνον,
p. 21 C. ἀλλὰ κατὰ πλάτος λέγεσθαι. Μόνον δ' ὑπάρχειν φησὶ τὸν ἐνεστῶτα, τὸν δὲ παρῳχημένον καὶ τὸν μέλλοντα ὑφεστάναι μέν, ὑπάρχειν δὲ οὐδαμῶς, εἰ μὴ ὡς καὶ κατηγορήματα ὑπάρχειν λέγεται μόνα τὰ συμβεβηκότα, οἷον τὸ περιπατεῖν ὑπάρχει μοι ὅτε περιπατῶ, ὅτε δὲ κατακέκλιμαι ἢ κάθημαι οὐχ ὑπάρχει . . . . . .

Ἔαρ δὲ ἔτους ὥραν κεκραμένην ἐκ χειμῶνος ἀπολήγοντος
[262] καὶ θέρους ἀρχομένου· ἢ τὴν μετὰ χειμῶνα ὥραν πρὸ θέρους. Θέρος δὲ ὥραν ἔτους τὴν μάλισθ' ὑφ' ἡλίου διακεκαυμένην. Μετόπωρον δὲ ὥραν ἔτους τὴν μετὰ θέρος

---

1 χρόνου FP: corr. Usener; del. Heeren ‖ **2** τὸν νῦν P | κατὰ seclusi ‖ **3** ante περὶ add. τὸν Usener ‖ **5** lemma Χρυσίππου quod FP in textu habent vulgo omissum ‖ **6** καθ' ὃν FP: corr. Heeren, ⟨καὶ⟩ καθὼς et statim λέγει Usener ‖ **10** θάλασσα P ‖ **13. 14** ἐκφανέστατα FP: ἐμφανέστατα corr. cod. Aug. ‖ **14** οὐθ' εἷς F, οὐκ εἷς P | ὅλος FP: ὅλως cod. Aug. ‖ **18** φασὶ FP: φησὶ Canter ‖ **19. 20** ὑφεστάναι F recte (cf. Plut. de comm. not. 41 p. 1081^{F}), ἐφεστάναι P ‖ **20** εἰσὶν· FP: εἰ μὴ Canter lat. int. ‖ **21** μόνον Usener ‖ **22** μοι ὅτι P, μοι ἔτι F: μοι ὅτε Canter ‖ **23** lacunam signavit Meineke ‖ **25** ἐρχομένου P ‖ **26** μάλισθ' ἀφ' FP: corr. Meineke

μέν, πρὸ χειμῶνος δέ, κεκραμένην. Χειμῶνα δὲ ὥραν ἔτους τὴν μάλιστα κατεψυγμένην ἢ τὸν περὶ γῆν ἀέρα κατεψυγμένον. Γίνεσθαι δὲ ἰσημερίας δύο καθ' ἕκαστον ἐνιαυτὸν καὶ τροπὰς δύο· ἰσημερίας μέν, ὅταν ἡ νὺξ καὶ ἡ ἡμέρα ἴσαι ὦσι· τούτων δὲ τὴν μὲν ἔαρι γίγνεσθαι, τὴν δὲ μετοπώρῳ· τῶν δὲ τροπῶν τὰς μὲν θέρους, τὰς δὲ χειμῶνος.

42b ⟨Aetii (plac. III 8, 1 p. 375 Diels.).⟩

Ἐμπεδοκλῆς καὶ οἱ Στωικοὶ χειμῶνα μὲν γίγνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει εἰς τὸ ἀνωτέρω βιαζομένου· θερείαν δὲ τοῦ πυρός, ὅταν εἰς τὸ κατωτέρω βιάζηται.

42c ⟨Aetii (plac. II 32, 1—4 p. 363 Diels.).⟩

Ἐνιαυτός ἐστι Κρόνου μὲν ἐνιαυτῶν περίοδος τριάκοντα, Διὸς δώδεκα, Ἄρεος δυοῖν, Ἡλίου δώδεκα μῆνες· [264]
οἱ δ' αὐτοὶ Ἑρμοῦ καὶ Ἀφροδίτης, ἰσόδρομοι γάρ· Σελήνης ἡμέραι τριάκοντα. Οὗτος γὰρ ὁ τέλειος μὴν ἀπὸ φάσεως εἰς σύνοδον.

Γίγνεσθαι δὲ τὸν λεγόμενον μέγαν ἐνιαυτόν, ὅταν ἐπὶ τοὺς ⟨αὐτοὺς⟩ ἀφ' ὧν ἤρξαντο τῆς κινήσεως ἀφίκωνται τόπους. Τὸν δέ γε μέγαν ἐνιαυτὸν οἱ μὲν ἐν τῇ ὀκταετηρίδι τίθενται, οἱ δὲ ἐν τῇ ἐννεακαιδεκαετηρίδι, οἱ δ' ἐν τοῖς τετραπλασίοις ἔτεσιν, οἱ δ' ἐν τοῖς ἑξήκοντα ⟨ἑνὸς δέουσιν⟩, ἐν οἷς Οἰνοπίδης καὶ Πυθαγόρας· οἱ δ' ἐν τῇ λεγομένῃ κεφαλῇ τοῦ Κρόνου, αὕτη δ' ἐστὶ τῶν ἑπτὰ πλανητῶν ἐπὶ ταὐτῇ ἡμέρᾳ τῆς ἐξ ἄρκτου φορᾶς ἐπάνοδος.

---

1 ante *κεκραμένην* fort. intercidit *ἢ τὴν ἐκ θέρους καὶ χειμῶνος* ‖ **2. 3** *τὴν περὶ γῆν ἀέρα κατεψυγμένην* FP: *τὸν περὶ γῆν ἀέρα κατεψυγμένον* Diels coll. Laert. VII 151; *τὴν τῷ π. γ. ἀέρι κατεψυγμένην* Heeren ‖ **4** *ἢ τροπὰς* F ‖ **9** hic lemma *ἐμπεδοκλέους* add. F in textu, P mrg | *μὲν* FP ‖ **10** *ἀέρος* Plut. plac. phil. III 8, *ἐάρος* F, *ἔαρος* P ‖ **10. 11** *ἀνώτερον* P ‖ **11. 12** *κατωτέρω* Plut. l. s., *κατώτερον* F, *κατότερον* P ‖ **12** *βιάζεται* P ‖ **14** post *Κρόνου μὲν* in P vacuum est magnum spatium | *περίοδος* P2, Plut. plac. phil. II 32, *περιόδους* FP1 ‖ **19** num post *ὅταν* addendum *οἱ ἀστέρες*? ‖ **20** *αὐτοὺς* add. Canter ‖ **21** *γε* om. P ‖ **22** *ἐννεακαιδεκατηρίδι* P | *ἐν* (ante *τοῖς*) P2, *ἐκ* FP1 ‖ **23** *τετραπλαγίοις* F ‖ **23. 24** *ἑνὸς δέουσιν* add. Plut. l. s. ‖ **26** *ταύτας* FP: *ταὐτῇ* Heeren | *ἡμία* FP: corr. Heeren

Ἡράκλειτος ἐκ μυρίων ὀκτακισχιλίων ἐνιαυτῶν ἡλιακῶν.

Διογένης ὁ Στωικὸς ἐκ πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων ἐνιαυτῶν τοσούτων, ὅσος ἦν ὁ καθ' Ἡράκλειτον ἐνιαυτός.

43 *Ἐκ τοῦ Σκυθίνου Περὶ φύσεως.*

Χρόνος ἐστὶν ὕστατον καὶ πρῶτον πάντων καὶ ἔχει ἐν
[266] *ἑαυτῷ πάντα καὶ ἔστιν εἷς ἀεί· καὶ οὐκ εἶσιν ὁ παροιχόμενος ἐκ τοῦ ἐόντος αὐτῷ ἐναντίην ὁδὸν παρεωνιατῶν. Τὸ γὰρ αὔριον ἢ μὲν τῷ ἔργῳ χθὲς ἔσται, τὸ δὲ χθὲς αὔριον ⟨ἦν⟩.*

44 *Ἐκ τοῦ Πλουτάρχου παραλλήλων Νουμᾶ καὶ Λουκούργου* (Numa c. 18).

Πολλοί εἰσιν, οἳ προστεθῆναι τὸν Ἰανουάριον καὶ Φεβρουάριον ὑπὸ Νουμᾶ τοὺς μῆνας λέγουσιν, ἐξ ἀρχῆς δὲ χρῆσθαι Ῥωμαίους δέκα μόνοις εἰς τὸν ἐνιαυτόν, ὡς ἔνιοι τῶν βαρβάρων τρισὶ καὶ τῶν Ἑλλήνων Ἀρκάδες μὲν τέτρασιν, ἐξ δὲ Ἀκαρνᾶνες· Αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτός, εἶτα τετράμηνος, ὥς φασι· δι' ὃ καὶ οἱ ταύτην
[268] *τὴν χώραν οἰκοῦντες ἀρχαιότατοι δοκοῦσιν εἶναι καὶ πλῆθος ἀμήχανον ἐτῶν ἐπὶ ταῖς γενεαλογίαις καταφέρουσιν, ἅτε δὴ τοὺς μῆνας εἰς ἐτῶν ἀριθμὸν τιθέμενοι.*

---

1 hic add. F et P mrg lemma *Ἡράκλειτος* ‖ **3** hic add. FP in textu lemma *Διογένης ὁ στωικός* ‖ **6** lemma F mrg, P in textu habet ‖ **7** haec post infelicia Heereni (vol. II p. 216 et 242) tentamenta in hexametros redegit Schuster act. soc. Ritschel. III p. 354, ex parte in scazontas Meinekius; in iambos transfudit Bywater, Heraclit. reliqu. p. 68 ‖ **8** εἶσιν Bywater pro ἐστιν ‖ **9** αὐτῷ FP: ἄνῳ (cf. Fleckeiseni ann. 1865 p. 248) Usener, αὖτις temptabam | *παρ' αἰῶνα. Τωὐτὸ γὰρ* Usener ‖ **10** ἡ μὲν FP¹ (m. 2 sprscr. *ἐν*): ἡμῖν Heeren; fort. *τῇ ἔνῃ* | χθὲς P, ἐχθὲς F | ἔστιν FP: ἔσται scripsi | ⟨*τῶν*⟩*τὸ δ'* Usener | δ' ἐχθὲς FP: δὲ χθὲς Meineke | ἦν post αὔριον addidi ‖ **11** παλλήλων P¹ ‖ **13. 14** *οἳ καὶ προστεθῆναι τούτους ὑπὸ Νομᾶ τοὺς μῆνας λέγουσι τόν τε Ἰανουάριον καὶ τὸν Φεβρουάριον* Plut. ‖ **13** προστεθεῖναι FP | ἰανουάριον P², ἰανγουὰρ F, ἰουννάριον P¹ ‖ **15** Ῥωμαίους P², Ῥωμαίοις FP¹; om. Plut. | δέκα om. P¹ | μόνοις FP, μησὶν Plut. ‖ **17** μηνιαῖος Plut., μηνιαίοις FP | ἦν om. P ‖ **18** δι' ὃ Plut., δι' ὧν FP | οἱ ταύτην τὴν F, οἱ ταύτην P, νεωτάτην Plut. ‖ **20** ἀμήχανον Plut., ἀμηχάνων FP | διαφέρουσιν Plut. | ἅτε FP ‖ **21** ἀριθμῶν P

45 *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (c. X. XI) ⟨et Aetii (I 21, 2; 22, 9 et 1 p. 318 Diels.).⟩

Πλάτων αἰῶνος εἰκόνα κινητήν, ἣ διάστημα τῆς τοῦ κόσμου κινήσεως· γενητὸν δὲ κατ' ἐπίνοιαν· οὐσίαν δὲ χρόνου τὴν οὐρανοῦ κίνησιν· λέγει γὰρ ἐν τῷ Τιμαίῳ (c. X p. 37^{c}—c. XI p. 38^{b}) *οὕτως·*

Ὡς δὲ κινητὸν αὐτὸ καὶ ζῶν ἐνόησε τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι. Καθάπερ οὖν αὐτὸ τυγχάνει ζῷον ἀΐδιον, καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησε τοιοῦτον ἀποτελεῖν. Ἡ μὲν οὖν τοῦ ζῴου φύσις ἐτύγχανεν οὖσα αἰώνιος· καὶ τοῦτο μὲν δὴ παντελῶς τῷ γενητῷ προσάπτειν οὐκ ἦν δυνατόν· εἰκόνα δ' ἐπενόει κινητήν τινα αἰῶνος ποιῆσαι καὶ διακοσμῶν οὐρανῷ ἅμα ποιεῖ μένοντος αἰῶνος ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν. ἡμέρας δὲ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτούς, οὐκ ὄντας πρὶν οὐρανὸν γενέσθαι, τότε ἅμα ἐκείνῳ ξυνισταμένῳ τὴν γένεσιν αὐτῶν μηχανᾶται. Ταῦτα δὲ πάντα μέρη χρόνου καὶ τό τ' ἦν καὶ ἔσται χρόνου γεγονότα εἴδη, ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον ⟨οὐσίαν⟩ οὐκ ὀρθῶς. Λέγομεν γὰρ δὴ ὡς ἦν ἔστι τε καὶ ἔσται· τῇ δὲ τὸ ἔστι μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει, τὸ δ' ἦν τό τ' ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν ἰοῦσαν πρέπει λέγεσθαι· κίνησις γάρ ἐστι. Τὸ δὲ ἀεὶ κατὰ ταὐτὰ ἔχον ἀκινήτως οὔτε πρεσβύτερον οὔτε νεώτερον προσήκει

---

1 lemma habet F mrg, P in textu ‖ **7** *ἐνόησε* FP cum Plat. *A*: *ἐπενόησε* Plat. vulg., *ἐποίησε* Gaisford, qui primus Platonis verba descripsit ‖ **8** *γεγονὸς* om. Gaisford (*γεγονὼς* P) ‖ **10** post *ἀΐδιον* add. *ὄν* Plat. cod. quid. ‖ **12** *ἐπιτελεῖν* Gaisford ‖ **13** *τῷ γεννητῷ παντελῶς* Plat. ‖ **14** *εἰκὼ* Plat. *A* | *ἐπένόει* (sic!) Plat. *A*, *ἐπινοεῖ* Plat. cet. | *κινητὸν* Plat. cod. plur. ‖ **15** *ἅμα οὐρανῷ* Plat. *A*, *ἅμα οὐρανὸν* Plat. cet. ‖ **17** *δὲ* FP, *γὰρ* Plat. ‖ **20** *καὶ ἔσται* FP, *καὶ τό τ' ἔσται* Plat. *A*, *τό τ' ἔσται* Plat. cet. ‖ **22** *οὐσίαν* add. ex Plat. Gaisford ‖ **23** *ἐστί τε μόνον* Plat. *A* ‖ **24** ante *χρόνῳ* add. Plat. *A τῷ* ‖ **25** *κινήσεις γάρ ἐστον* Plat. | *ταὐτὰ* Plat., *ταῦτα* FP ‖ **26** *ἔχοι* F | *οὔτε νεώτερον* om. P

γίγνεσθαι διὰ χρόνου οὔτε γενέσθαι ποτὲ οὐδὲ γεγονέναι νῦν οὐδ' εἰσαῦθις ἔσεσθαι, τὸ παράπαν τε οὐδὲν ὅσα γένεσις τοῖς ἐν αἰσθήσει φερομένοις προσῆψεν, ἀλλὰ χρόνου ταῦτα αἰῶνα μιμουμένου καὶ κατ' ἀριθμὸν κυκλουμένου γέγονεν εἴδη. Καὶ πρὸς τούτοις ἔτι τὰ τοιάδε, τό τε γεγονὸς εἶναι γεγονὸς καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον, ἔτι τε τὸ γενησόμενον εἶναι γενησόμενον καὶ τὸ μὴ ὂν μὴ ὂν εἶναι· ὧν οὐδὲν ἀκριβὲς λέγομεν. Περὶ μὲν οὖν τούτων τάχ' ἂν οὐκ ἂν εἴη καιρὸς πρέπων ἐν τῷ παρόντι διακριβολογεῖσθαι. Χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν, ἵν' ἅμα γενηθέντες ἅμα καὶ λυθῶσιν, ἂν ποτε λύσις τις αὐτῶν γίγνηται, καὶ κατὰ τὸ παράδειγμα τῆς αἰωνίας φύσεως, ἵν' ὡς ὁμοιότατος αὐτῷ κατὰ δύναμιν ᾖ. Τὸ μὲν γὰρ δὴ παράδειγμα πάντα αἰῶνά ἐστιν ὄν· ὁ δ' οὖ διὰ τέλους τὸν ἅπαντα χρόνον γεγονώς τε καὶ ὢν καὶ ἐσόμενος. Ἐξ οὖν λόγου καὶ διανοίας θεοῦ τοιαύτης πρὸς χρόνου γένεσιν, ἵνα γενηθῇ χρόνος, ἥλιος καὶ σελήνη καὶ πέντε ἄλλα ἔχοντα ἐπίκλην ἄστρα πλανητὰ εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε. Σώματα δὲ αὐτῶν ἑκάστων ποιήσας ὁ θεὸς ἔθηκεν εἰς τὰς περιφοράς, ἃς ἡ θατέρου περιόδος ἤειν, ἑπτὰ οὔσας, ὄντα ἑπτά· σελήνην μὲν εἰς τὸν περὶ γῆν πρῶτον, ἥλιον δ' εἰς τὸν δεύτερον ὑπὲρ γῆς, ἑωσφόρον δὲ καὶ τὸν ἱερὸν Ἑρμοῦ λεγόμενον εἰς τὸν τάχει μὲν ἰσόδρομον ἡλίῳ κύκλον ἰόντας, τὴν δ' ἐναντίαν εἰληχότας αὐτῷ δύναμιν· ὅθεν καταλαμβάνουσί τε καὶ καταλαμβάνονται κατὰ ταὐτὰ ὑπ' ἀλλήλων ἥλιός τε καὶ ὁ τοῦ Ἑρμοῦ καὶ ἑωσφόρος. Τὰ δ' ἄλλα οἳ δὴ

---

1 χρόνου Plat., χρόνον FP | οὔτε (ante γενέσθαι) Plat. *A*, οὐδὲ FP ‖ **4** post αἰῶνα add. Plat. (praeter *A*) τε ‖ **5** ἤδη P ‖ **7** ἔστι P^1 | εἶναι γενησόμενον habent FP ‖ **9** οὐκ εἴη Plat. ‖ **10** οὐρανοῦ Plat., οὐρανὸν FP ‖ **11** γενηθέντες FP, Plat. *A* corr., γεννηθέντες Plat. cet. ‖ **12** γίγνεται P ‖ **13** αὐτῷ] αὐτὸς αὑτῷ Procl. p. 254 ‖ **17** γενηθῇ FP Plat *A* corr., γεννηθῇ Plat. cet. ‖ **18** ἄλλα ἄστρα ἐπίκλην ἔχοντα πλανητὰ (vel πλανῆται) Plat. ‖ **19** ἀριθμῶν Plat., ἀριθμῷ FP | αὐτῶν om. P^1 ‖ **21** εἴην P | ἑπτὰς ὔσας P ‖ **23** ἑκοσφόρον P^1 ‖ **24** εἰς τὸν FP Plat. *A*, εἰς τοὺς Plat. cet. ‖ **25** ἐναντίαν P^2 Plat., ἐναντίας FP^1 ‖ **26** ante κατὰ add. Plat. *A* καὶ ‖ **27** οἳ Plat., οὗ FP

καὶ δι' ἃς αἰτίας ἱδρύσατο, εἴ τις ἐπεξίοι πάσας, ὁ λόγος πάρεργος ὢν πλέον ἂν ἔργον ὧν ἕνεκα λέγεται παράσχοι. — (c. XI p. 39 D) ἔστι δ' ὅμως οὐδὲν ἧττον κατανοῆσαι δυνατόν, ὡς ὅ γε τέλειος ἀριθμὸς χρόνου τὸν τέλειον ἐνιαυτὸν πληροῖ τότε, ὅταν ἁπασῶν τῶν ὀκτὼ περιόδων τὰ πρὸς ἄλληλα συμπερανθέντα τάχη σχῇ κεφαλὴν τῇ τοῦ ταὐτοῦ καὶ ὁμοίως ἰόντος ἀναμετρηθέντα κύκλῳ.

CAPVT IX (X Heer.).

ΠΕΡΙ ΑΦΡΟΔΙΤΗΣ ΟΥΡΑΝΙΑΣ ΚΑΙ ΕΡΩΤΟΣ ⟨ΘΕΙΟΥ⟩.

1 ⟨*Εὐριπίδου* (fr. 890 N.).⟩

Τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἀλλ' οὐδ' ἂν εἴποις οὐδὲ μετρήσειας ἄν
ὅση πέφυκε κἀφ' ὅσον διέρχεται. [270]
Αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς· p. 22 C.
τεκμήριον δέ, μὴ λόγῳ μόνον μάθῃς,
ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ·
ἐρᾷ μὲν ὄμβρου γαῖ', ὅταν ξηρὸν πέδον
ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ·
ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος
ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο.
ὅταν δὲ συμμιχθῆτον εἰς ταὐτὸν δύο,
τίκτουσιν ἡμῖν πάντα κἀκτρέφουσ' ἅμα,
ὅθεν βρότειον ζῇ τε καὶ θάλλει γένος.

---

1 *ἱδρύσατο* Plat., *ἱδρύσαντο* FP | *ἐπαξίοι* P ‖ **2** *πάρεργον* F | *ὧν* Plat., *ἄν* FP | *πλέον* Plat., *πλεῖον* FP ‖ **4** *τέλεος* Plat. | *τέλεον* Plat. ‖ **6** *ξυμπεραν θέντα τάχη* Plat., *συμπεραθέντα τύχῃ* FP ‖ **7** *αὐτοῦ* P | *ἰόντας* P ‖ **9** titulum exhibet etiam flor. Laur. ind. tit. *A* 94 | *θείου* add. Phot. et flor. Laur. | ΑΦΡΟΔΙΤΗ ΕΡΩΣ add. F mrg ‖ **10** Euripidi adscribit eclogam Athen. XIII p. 599F; v. 17 eidem Aristot. Eth. M. 2, 11 p. 1210a 14 et v. 19. 20 Eth. Nicom. 8, 2 p. 1155b 3 ‖ **12** *ἄλλ'* P, *ἦν* Athen. ‖ **13** *καὶ φ'* F, *καὶ ἐφ'* P: corr. Nauck ‖ **16** spurium iudicat Gomperz ‖ **17** *γαῖα* FP | *ὅταν* FP Arist., *ὅτε* Ath. ‖ **21** *συμμιχθῆ τὸν* FP ‖ **22** *τίκτουσί μιν* FP, *φύουσιν ἡμῖν* Ath. | *καὶ ἐκτρέφουσ'* FP, *καὶ τρέφουσ'* Ath.: corr. Heeren ‖ **23** *ὅθεν* P, *ὅθεν καὶ* F, *δι' ὧν* Ath.

2ª *Εὐριπίδου Οἰδίποδι* (fr. 551 N.).

Ἑνὸς ⟨δ'⟩ ἔρωτος ὄντος οὐ μί' ἡδονή·
οἳ μὲν κακῶν ἐρῶσιν, οἳ δὲ τῶν καλῶν.

2ᵇ ⟨*Εὐριπίδου Σθενεβοίᾳ* (fr. 671 N.).⟩

Ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ.

3 *Ἐκ τῶν Βίωνος βουκολικῶν* (c. XIV Herm., XVIII Ahr.).

Μοίσας Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν·
μολπὰν ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν.
τὰν γλυκερὰν μολπάν, τᾶς φάρμακον ἄδιον οὐδέν.

[272] 4ª *Εὐριπίδου Δίκτυϊ* (fr. 342, 1. 2 N.).

Φίλος γὰρ ἦν μοι καί μ' Ἔρως εἷλέν ποτε
οὐκ εἰς τὸ μῶρον, οὐδέ μ' εἰς Κύπριν τρέπων.

4ᵇ ⟨*Εὐριπίδου Θησεῖ* (= Dict. fr. 342, 3—7 N.).⟩

Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς Ἔρως
ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς·
καὶ χρῆν δὲ τοῖς βροτοῖσι τόνδ' εἶναι νόμον,
τῶν εὐσεβούντων οἵτινές τε σώφρονες
ἐρᾶν, Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾶν.

5 *Ἡσιόδου* (Theog. 116. 117. 120).

Ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα

---

1 lemma habent FP mrg, P in textu ante p. 111, v. 23 a quo novam incipiunt eclogam; *εὐριπίδ οἰδίποδ* F, *εὐριπίδ οἰδίποδι* P ‖ **2** *δ'* add. Grotius ‖ **3** ante *κακῶν* add. *τῶν* FP: del. Grotius ‖ **4** lemma addidi ex Aeschine II 151 et schol. Medic. Gregor. Cor. (Rhet. Gr. VII p. 1321); in F haec ecloga non seiungitur ab antecedente ‖ **5** *οὐδ' εἰς* P¹ ‖ **6** *ζηλωτὰ* F ‖ **8** *μοῖσας* P¹, *οἴσας* (lit. in. pro rubr. om.) F, *μοῖσαν* P² | *τὸν* FP², *τ'* P¹ ‖ **9** *ταὶ* P², *τε* FP¹ | *μοῖσα* P¹ ‖ **10** *ἄδιον* P², *ἄδη* P¹, *εὔδη* F ‖ **11** lemma hic F mrg, infra ad v. 15 P mrg habet ‖ **12** *φίλον γὰρ ἡμῖν, εἴ μ'* Nauck | *ἔλοι* F, *ἕλοι* P: *εἷλεν* Usener ‖ **13** *μωρὸν* FP ‖ **14** lemma addidi ex Stob. flor. 5, 21 qui v. 15. 16 solos affert; in FP ultimi tres versus ab hac ecloga seiuncti leguntur ‖ **15** post *ἀλλ'* add. FP *οὐκ* (om. flor.) ‖ **17** *τόνδ'* FP², *τόνδε* P¹ ‖ **18** *γε* FP: *τε* Usener ‖ **20** lemma habet P mrg hic, F mrg ad v. 17 | solos v. 116 et 120 habent FP: ex theogonia addidi unum v. 117 secutus Platonis symp. p. 178ᴮ exemplum, quippe ex quo Stobaeus sive eius auctor et hanc et proximam eclogam (apud Platonem quoque huic contiguam) probabiliter hauserit (vide infra); vulgo etiam theog. v. 118. 119 addunt

⟨γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί,⟩
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι. [274]

6 *Παρμενίδου* (v. 131 Karsten., p. 800 Stein.).

Πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων.

7 ⟨Incerti scriptoris.⟩

Οὐχ ἡ ἀνάγκη μόνον καὶ τὸ δόγμα ἀγαθοὺς εἶναι ἐξορμᾷ, ἀλλὰ καὶ ὅπερ ἐξεργάζεται τὰ μέγιστα τῶν ἀνθρωπίνων, ἔρως· οὗτος καὶ τὴν ἀρετὴν τελεσίδρομον εἶναι ποιεῖ.

8 *Πλάτωνος ἐκ τοῦ Φαίδρου* (p. 245 B. C).

Ὥστε γε τοῦτο αὐτὸ μὴ φοβώμεθα, μηδέ τις ἡμᾶς λόγος θορυβείτω δεδιττόμενος, ὡς πρὸ τοῦ κεκινημένου τὸν σώφρονα δεῖ προαιρεῖσθαι φίλον· ἀλλὰ τόδε πρὸς ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια, ὡς οὐκ ἐπ' ὠφελείᾳ ἔρως τῷ ἐρῶντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν ἐπιπέμπεται. Ἡμῖν δὲ ἀποδεικτέον αὖ τοὐναντίον, ὡς ἐπ' εὐτυχίᾳ παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται. ἡ δὲ δὴ ἀπόδειξις ἔσται δεινοῖς μὲν ἄπιστος, σοφοῖς δὲ πιστή.

9 *Ἐν ταὐτῷ* (p. 265 A. B).

Ὃ μέντοι ἐζήτουν, ἔστιν αὐτὸ τοῦτο· μανίαν γάρ τινα ἐφήσαμεν εἶναι τὸν ἔρωτα. ἦ γάρ; — Ναί. — Μανίας δὲ εἰδη δύο· τὴν μὲν ὑπὸ νοσημάτων ἀνθρωπίνων, τὴν δὲ ὑπὸ θείας ἐξαλλαγῆς τῶν εἰωθότων νομίμων γιγνομένην. — Πάνυ γε. — Τῆς δὲ θείας τεττάρων θεῶν τέτ-

---

2 ἔρως F (sed supra ω m. 1 ο sprscr.), ἔρως P ‖ **3** lemma habent FP mrg ‖ **4** *πρώτιστον* Plat. sympos. p. 178 b alii, *πρώτιστα* FP ‖ **5** tragico poetae haec adscripsit Heeren addend. p. 241 et quattuor senarios incredibiles exsculpsit; in FP coniuncta sunt cum antecedente ecl. et idcirco *μοῦνον* (v. 6) scriptum ‖ **6** *μοῦνον* FP: correxi | *δόγμ'* FP ‖ **8** *καὶ* om. F: an *γὰρ*? | *τὴν τῆς ἀρετὴν* F: *τὴν τῆς ἀρετῆς ⟨ὁρμὴν⟩* Meineke ‖ **8. 9** *τελεσιδρομεῖν* Meineke ‖ **10** lemma habent FP mrg | *αἴδρου* P ‖ **11** *γε* om. P | *τοῦτό γε* Plat. ‖ **12** *δεδιττόμενος* Plat., *δειδιττόμενος* FP ‖ **13** *πρὸ* P ‖ **14** *ἐκείνου* P² ‖ **15** ⟨δ⟩ *ἔρως* Plat. | *ἐπιπέμπεται* Plat.; *ἐκπέμπεται* FP ‖ **16** post *εὐτυχίᾳ* add. *τῇ μεγίστῃ* Plat. ‖ **18** *σοφοῖς* P² Plat., *σοφοῦ* FP¹ ‖ **19** lemma FP in textu habent; P² praeterea mrg add. *τοῦ αὐτοῦ* ‖ **22** *δέ γε* Plat. ‖ **24** *πάνυ τε* P | *τεττάρων* P² Plat., *τεττάρως* FP¹

τα μέρη διελόμενοι, μαντικὴν μὲν ἐπίπνοιαν Ἀπόλλωνος Θέντες, Διονύσου δὲ τελεστικήν, Μουσῶν δ' αὖ ποιητικήν, τετάρτην δὲ Ἀφροδίτης καὶ Ἔρωτος, ἐρωτικὴν μανίαν ἐφήσαμεν ἀρίστην εἶναι.

10 *Ἐν ταὐτῷ* (p. 249 D. E).

Ἔστι δὴ οὖν δεῦρο ὁ πᾶς ἥκων λόγος περὶ τῆς τετάρτης μανίας, ἣν ὅταν τὸ τῇδέ τις ὁρῶν κάλλος, τοῦ ἀληθοῦς ἀναμιμνησκόμενος πτεροῦται τε καὶ ἀναπτερούμενος προθυμούμενος ἀναπτέσθαι, ἀδυνατῶν δὲ ὄρνιθος δίκην βλέπων ἄνω, τῶν κάτω δὲ ἀμελῶν, αἰτίαν ἔχει ὡς μανικῶς διακείμενος· ὡς ἄρα αὕτη πασῶν τῶν ἐνθουσιάσεων
p. 23 C. *ἀρίστη τε καὶ ἐξ ἀρίστων τῷ τε ἔχοντι καὶ τῷ κοινωνοῦντι αὐτῆς γίγνεται, καὶ ὅτι ταύτης μετέχων τῆς μανίας ὁ ἐρῶν τῶν καλῶν ἐραστὴς γίγνεται.*

[276] 11 ⟨*Ἐν ταὐτῷ* (p. 252 B. C).⟩

Τοῦτο δὲ τὸ πάθος, ὦ παῖ καλέ, πρὸς ὃν δή μοι ὁ λόγος, ἄνθρωποι μὲν Ἔρωτα ὀνομάζουσι, θεοὶ δὲ ὃ καλοῦσιν ἀκούσας εἰκότως διὰ νεότητα γελάσεις· λέγουσι δὲ οἶμαι τινὲς Ὁμηριδῶν ἐκ τῶν ἀποθέτων ἐπῶν δύο ἔπη εἰς τὸν Ἔρωτα, ὧν τὸ ἕτερον πάνυ ὑβριστικὸν καὶ οὐ σφόδρα τι ἔμμετρον, ὑμνοῦσι δὲ ὧδε·

τὸν δή τοι θνητοὶ μὲν Ἔρωτα καλοῦσι ποτηνόν,
ἀθάνατοι δὲ Πτέρωτα διὰ πτεροφύτορ' ἀνάγκην.

12 ⟨*Τοῦ αὐτοῦ* (Sympos. p. 178 A–C).⟩

Ἔφη Φαῖδρον ἀρξάμενον ἐνθένδε ποθὲν λέγειν, ὅτι μέγας θεὸς εἴη ὁ Ἔρως καὶ θαυμαστὸς ἐν ἀνθρώποις τε

---

2 δὲ καὶ (ante τελεστικὴν) P ‖ **5** lemma habet F in textu, P mrg ‖ **7** τὸ τῇδέ Plat., τόδ' ἤδη F, τὸ δ' ἤδη P ‖ **9** ἀναπτέσθαι P² Plat., ἀναπτέσθω FP¹ | ἀδυνατῶν Plat., ἀδύνατον FP ‖ **10** ἔχει Plat., ἔχειν FP ‖ **11** αὕτη Plat., αἰτὴ FP ‖ **14** ἐραστὴς καλεῖται Plat. ‖ **15** lemma add. Gaisford ‖ **16** ὃν δή Plat., ὃν δέ FP ‖ **18** ante διὰ add. FP δὲ | γελάσει Plat. Bodl., γελάσειας Plat. vulg. ‖ **19** num ἐπῶν delendum? ‖ **20** ὑβριστικὸν πάνυ Plat. ‖ **22** (τ)ὸν F | θνητοὶ P² Plat., θνητὸν FP¹ ‖ **23** ἀθάνατον P¹ | πτεροφύτορα FP, πτερόφυτον Plat. *B* ‖ **24** lemma add. Gaisford ‖ **26** εἴη Plat., ἔφη FP

καὶ θεοῖς, πολλαχῇ μὲν καὶ ἄλλῃ, οὐχ ἥκιστα δὲ κατὰ τὴν γένεσιν. Τὸ γὰρ ἐν τοῖς πρεσβύτατον εἶναι τῶν θεῶν τίμιον, ἢ δ' ὅς· τεκμήριον δὲ τούτου· γοναὶ γὰρ Ἔρωτος οὔτ' εἰσὶν οὔτε λέγονται ὑπ' οὐδενὸς οὔτε ἰδιώτου οὔτε ποιητοῦ, ἀλλὰ Ἡσίοδος πρῶτον μὲν χάος φησὶ γίγνεσθαι, μετὰ τὸ χάος δύο τούτω γενέσθαι, Γῆν τε καὶ Ἔρωτα. Ἡσιόδῳ δὲ καὶ Ἀκουσίλεως ξύμφησιν ἐν τοῖς πρεσβυτάτοις εἶναι· πρεσβύτατός τε ὢν μεγίστων ἀγαθῶν ἡμῖν αἴτιός ἐστιν.

13 Ἐν ταὐτῷ (p. 180 D. E).

Πάντες γὰρ ἴσμεν ὅτι οὐκ ἔστιν ἄνευ Ἔρωτος Ἀφροδίτη. Μιᾶς μὲν οὔσης εἷς ἂν ἦν Ἔρως· ἐπεὶ δὲ δύο ἐστόν, δύο ἀνάγκη καὶ Ἔρωτας εἶναι. Πῶς δ' οὐ δύο τὰ θεά; ἡ μέν γέ που πρεσβυτέρα καὶ ἀμήτωρ Οὐρανοῦ θυγάτηρ, ἣν δὴ καὶ οὐρανίαν ἐπονομάζομεν, ἡ δὲ νεωτέρα Διὸς καὶ Διώνης, ἣν δὴ πάνδημον καλοῦμεν. ἀναγκαῖον δὴ καὶ Ἔρωτα τὸν μὲν τῇ ἑτέρᾳ ξυνεργὸν πάνδημον ὀρθῶς καλεῖσθαι, τὸν δὲ οὐράνιον.

14 Ἐν ταὐτῷ (p. 185 B. C).

Οὕτω πᾶν πάντως γε καλὸν ἕνεκα ἀρετῆς χαρίζεσθαι. οὗτός ἐστιν ὁ τῆς οὐρανίας θεοῦ ἔρως καὶ οὐράνιος καὶ πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις, πολλὴν ἐπιμέλειαν ἀναγκάζων ποιεῖσθαι πρὸς ἀρετὴν τόν τε ἐρῶντα αὐτὸν αὐτοῦ καὶ τὸν ἐρώμενον· οἱ δ' ἕτεροι πάντες τῆς ἑτέρας, τῆς πανδήμου.

---

1 ἄλλῃ Plat., ἄλλοι FP ‖ **2** πρεσβυτάτοις Plat. *T* ‖ **3** γοναὶ γὰρ FP, γονῆς γὰρ Plat. ‖ **5** γενέσθαι Plat., qui add. 'αὐτὰρ ἔπειτα | Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί, | ἠδ' Ἔρος·' φησί ‖ **6** post Ἔρωτα add. Plat. Παρμενίδης δὲ τὴν γένεσιν λέγει 'πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων'; haec Parmenidea ut antea Hesiodea om. Stobaeus quia utrumque iam supra (ecl. 5. 6) posuerat ‖ **7** σύμφησιν F, ὁμολογεῖ Plat., qui add. οὕτω πολλαχόθεν ὁμολογεῖται ὁ Ἔρως ‖ **7. 8** πρεσβύτατος Plat. ‖ **8** δὲ ὢν Plat. ‖ **10** lemma habet F in textu, P mrg ‖ **12** post μὲν add. οὖν Plat. praeter *C* | post δὲ add. δὴ Plat. *B* ‖ **13** Ἔρωτε Plat. | τὼ θεὰ Plat.: τὼ θεὼ Cobet ‖ **19** lemma ut supra ad v. 10 ‖ **20** πᾶν om. Plat. | ἀρετῆς (vel ἀρετῆς γ') ἕνεκα Plat. ‖ **23** ἐρῶντα Plat., ἔρωτα FP ‖ **24** αὐτοῦ FP, Plat. *B*

15 Ἐν ταὐτῷ (p. 186 A, B).

Τὸ μὲν γὰρ διπλοῦν εἶναι τὸν Ἔρωτα δοκεῖ μοι καλῶς διελέσθαι· ὅτι δὲ οὐ μόνον ἐστὶν ἐπὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων πρὸς τοὺς καλούς, ἀλλὰ καὶ πρὸς ἄλλα πολλὰ καὶ ἐν τοῖς ἄλλοις, τοῖς τε σώμασι τῶν πάντων ζῴων καὶ τοῖς ἐν τῇ γῇ φυομένοις καὶ ὡς ἔπος εἰπεῖν ἐν πᾶσι τοῖς οὖσι, καθεωρακέναι μοι δοκῶ ἐκ τῆς ἰατρικῆς, τῆς ἡμετέρας τέχνης, ὡς μέγας καὶ θαυμαστὸς καὶ ἐπὶ πᾶν ὁ θεὸς τείνει καὶ κατὰ τἀνθρώπινα καὶ κατὰ τὰ θεῖα πράγματα· ἄρξομαι δὲ ἀπὸ τῆς ἰατρικῆς λέγων, ἵνα πρεσβεύωμεν τὴν τέχνην. Ἡ γὰρ φύσις τῶν σωμάτων τὸν διπλοῦν ἔρωτα τοῦτον ἔχει· τὸ γὰρ ὑγιὲς τοῦ σώματος καὶ τὸ νοσοῦν ὁμολογοῦμεν ὡς ἕτερόν τε καὶ ἀνόμοιόν ἐστι, τὸ δὲ ἀνό-
p. 24 C. *μοιον ἀνομοίων ἐπιθυμεῖ καὶ ἐρᾷ. Ἄλλος μὲν οὖν ὁ ἐπὶ τῷ ὑγιεινῷ ἔρως, ἄλλος δὲ ὁ ἐπὶ τῷ νοσώδει.*

16 Ἐν ταὐτῷ (p. 188 A–D).

Ἐπεὶ καὶ ἡ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ ξύστασις μεστή ἐστιν ἀμφοτέρων τούτων, καὶ ἐπειδὰν μὲν πρὸς ἄλληλα τοῦ κοσμίου τύχῃ ἔρωτος, ἃ νῦν δὴ λέγω, τά τε θερμὰ καὶ τὰ ψυχρὰ καὶ τὰ ξηρὰ καὶ ὑγρὰ καὶ ἁρμονίαν καὶ κρᾶσιν λάβῃ σώφρονα, ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑγίειαν ἀνθρώποις καὶ τοῖς ἄλλοις ζῴοις τε καὶ φυτοῖς, καὶ οὐδὲν ἠδίκησεν· ὅταν δὲ ὁ μετὰ τῆς ὕβρεως ἔρως ἐγκρατέστερος καὶ περὶ τὰς τοῦ ἐνιαυτοῦ ὥρας γένηται, διέφθειρέ τε πολλὰ καὶ ἠδίκησεν. οἵ τε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων καὶ ἄλλα ἀνόμοια καὶ πολλὰ νοσήματα καὶ τοῖς θηρίοις καὶ τοῖς φυτοῖς. καὶ γὰρ πάχναι καὶ χάλαζαι καὶ ἐρυσῖβαι ἐκ πλεονεξίας καὶ ἀκοσμίας περὶ ἄλληλα τῶν τοιούτων γίγνεται ἐρωτικῶν, ὧν

---

1 lemma ut supra ad p. 115 v. 10 ‖ **5** *δώμασι* P¹ ‖ **7** *τῆς ἰατρικῆς* del. Hirschig ‖ **9** *κατ' ἀνθρωπινὰ* Plat. | *κατὰ θεῖα* Plat. ‖ **10** *ἵνα καὶ* Plat. ‖ **11** *καὶ γὰρ* Usener ‖ **12** *ἔχῃ* Plat. *B* ‖ **13** *ὁμολογουμένως* Plat. *B* | *ἕτερόν* F ‖ **14** post *ἐπιθυμεῖ* add. P *ὧν* ‖ **16** lemma ut supra ad p. 115 v. 10 ‖ **19** *κόσμου* Plat. *T* | *δὴ ἐγὼ ἔλεγον* Plat. ‖ **20** *τὰ* ante *ψυχρὰ* om. P ‖ **24** *καὶ* om. Plat. ‖ **24. 25** *διαφθείρει* Plat. *B* ‖ **25** *καὶ ἠδίκησεν* om. P in quo lac. 8 litt. ‖ **26** *καὶ* ante *πολλὰ* om. Plat. ‖ **28** *ἐρισύβαι* FP | *γίγνονται* Canter

ἐπιστήμη περὶ ἄστρων τε φορὰς καὶ ἐνιαυτῶν ὥρας ἀστρονομία καλεῖται. Ἔτι τοίνυν καὶ αἱ θυσίαι πᾶσαι καὶ οἷς μαντικὴ ἐπιστατεῖ τέχνη, ταῦτα δ' ἐστὶν ἡ περὶ θεούς τε καὶ ἀνθρώπους πρὸς ἀλλήλους κοινωνία, οὐ περὶ ἄλλο τί ἐστιν ἢ περὶ ἔρωτος φυλακήν τε καὶ ἴασιν. Πᾶσα γὰρ ἀσέβεια φιλεῖ γίγνεσθαι, ἐὰν μή τις τῷ κοσμίῳ ἔρωτι χαρίζηται μηδὲ τιμᾷ τε αὐτὸν καὶ πρεσβεύῃ ἐν παντὶ ἔργῳ, ἀλλὰ τὸν ἕτερον, καὶ περὶ γονέας καὶ ζῶντας καὶ τετελευτηκότας, καὶ περὶ θεούς· ἃ δὴ προτέτακται τῇ μαντικῇ ἐπισκοπεῖν τοὺς ἐρῶντας καὶ ἰατρεύειν· καὶ ἔστιν αὖ ἡ μαντικὴ φιλίας θεῶν καὶ ἀνθρώπων δημιουργὸς τῷ ἐπίστασθαι τὰ κατ' ἀνθρώπους ἐρωτικά, ὅσα τείνει πρὸς θέμιν καὶ εὐσέβειαν. Οὕτω πολλὴν καὶ μεγάλην, μᾶλλον δὲ πᾶσαν δύναμιν ἔχει ξυλλήβδην μὲν ὁ πᾶς ἔρως· ὁ δὲ περὶ τἀγαθὰ μετὰ σωφροσύνης καὶ δικαιοσύνης ἀποτελούμενος καὶ παρ' ἡμῖν καὶ παρὰ θεοῖς, οὗτος τὴν μεγίστην δύναμιν ἔχει καὶ πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει καὶ ἀλλήλοις δυναμένους ὁμιλεῖν καὶ φίλους εἶναι καὶ τοῖς κρείττοσιν ἡμῶν θεοῖς.

17 Ἐν ταὐτῷ (p. 202 C—203 A).

Εὐδαίμονας λέγεις οὐ τοὺς τἀγαθὰ καὶ καλὰ κεκτημένους; — Πάνυ γε. — Ἀλλὰ μὴν ἔρωτά γε ὡμολόγηκας δι' ἔνδειαν τῶν καλῶν καὶ τῶν ἀγαθῶν ἐπιθυμεῖν αὐτῶν τούτων ὧν ἐνδεής ἐστι; — Ὡμολόγηκα γάρ. — Πῶς ἂν οὖν θεὸς εἴη ὅ γε τῶν καλῶν καὶ ἀγαθῶν ἄμοιρος; — Οὐδαμῶς, ὡς γ' ἔοικεν. — Ὁρᾷς οὖν, ἔφη, ὅτι καὶ σὺ Ἔρωτα οὐ θεὸν νομίζεις; — Τί οὖν ἄν, ἔφην, ὁ Ἔρως εἴη; θνητός; — Ἥκιστά γε. — Ἀλλὰ τί μήν; — Ὥσπερ τὰ πρότερα ἔφην, μεταξὺ θνητοῦ καὶ ἀθανάτου. — Τί οὖν, ὦ Διοτίμα; — Δαίμων μέγας,

---

1 φορᾶς Plat. *T* ‖ 2 αἱ om. Plat. *B* | ἅπασαι Plat. *T* ‖ 3 τέχνη om. Plat. ‖ 6 ante ἀσέβεια add. ἡ Plat. | μή τις Plat., μήτε ἐν FP ‖ 8 ἀλλὰ περὶ τὸν Plat. ‖ 9 προστέτακται Plat. *BT* (sed προτέτακται *C*) ‖ 10 Ἔρωτας Plat.: ἐρωτῶντας Vermehren (τοὺς Ἔρωτας del. Hermann) ‖ 13 ἀσέβειαν Plat. ‖ 16 οὕτως P ‖ 18 δυναμένους FP | φίλους FP ‖ 19 ἡμῶν θεοῖς del. Usener ‖ 21 τὰς F | ἀγαθὰ P | τὰ καλὰ Plat. *B* ‖ 23 καὶ ἔνδειαν P¹ | τῶν ἀγαθῶν καὶ καλῶν Plat. ‖ 24 πῶς δ' ἂν Plat. *T* ‖ 25 ὅ γέ γ' ὢν Plat. *B* ‖ 26 ὥς γ' Plat., ὥστ' F, ὡς P ‖ 27 εἴη ὁ Ἔρως Plat. ‖ 28 ἔφη Plat. *T*

ὦ Σώκρατες· καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ καὶ θνητοῦ. — Τίνα, ἦν δ' ἐγώ, δύναμιν ἔχον; — Ἑρμηνεῦον καὶ διαπορθμεῖον θεοῖς τε τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυσιῶν· ἐν μέσῳ δ' ὂν ἀμφοτέρων συμπληροῖ, ὥστε τὸ πᾶν αὐτὸ αὑτῷ συνδεδέσθαι. Διὰ τούτου καὶ ἡ μαντικὴ πᾶσα χωρεῖ καὶ ἡ τῶν ἱερῶν τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς καὶ τὰς ἐπῳδὰς καὶ τὴν μαντείαν πᾶσαν καὶ γοητείαν.
p. 25 C. Θεὸς δὲ ἀνθρώπῳ οὐ μίγνυται· ἀλλὰ διὰ τούτου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ⟨ἀνθρώπους καὶ πρὸς θεοὺς⟩ ἀνθρώποις καὶ ἐγρηγορόσι καὶ καθεύδουσι. Καὶ ὁ μὲν περὶ τὰ τοιαῦτα σοφὸς δαιμόνιος ἀνήρ, ὁ δὲ ἄλλο τι σοφὸς ἢ περὶ τέχνας ἢ περὶ χειρουργίας τινὰς βάναυσος. Οὗτοι δὴ οἱ δαίμονες πολλοί τε καὶ παντοδαποί εἰσιν, εἷς δὲ τούτων καὶ ὁ Ἔρως.

[278]

CAPVT X (XI Heer.).

ΠΕΡΙ ΑΡΧΩΝ ΚΑΙ ΣΤΟΙΧΕΙΩΝ ΤΟΥ ΠΑΝΤΟΣ.

1 *Ἡσιόδου Θεογονίας* (116—119).

Ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης.

---

1 τὸ δαιμόνιον – ἦν δ' ἐγὼ (2) om. P | θεοῦ τε Plat. ‖ **2** τίνα δ' Gaisford | ἔχον (supra ο sprscr. ω) P | ἑρμηνεύω P¹ ‖ **3** διαπορθμεύω P¹ | τε om. Plat. ‖ **5** ἀμειβὰς P | τῶν θυσιῶν non legit Pollux VI 187 | θυσίων P ‖ **6** δὲ ὂν Plat., δ' ὂν FP | αὐτὸ αὐτῷ FP ‖ **8** ἱερέων Plat. | καὶ τελετὰς Plat. *T* ‖ **9** μαγγανείαν Geel ‖ **10** οὐ FP², καὶ P¹ ‖ **11. 12** ἀνθρώπους καὶ πρὸς θεοὺς add. F. A. Wolf ‖ **12** ἀνθρώποις P, ἀνθρώπους F Plat. ‖ **13** σοφὸς Plat. ‖ **14** ὁ δὲ FP | σοφὸς ὢν Plat. | ἢ περὶ τέχνας om. F | περὶ ante χειρουργίας om. Plat. ‖ **15** τινὰς om. Gaisford | τε om. Plat. ‖ **16** post τούτων add. ἐστὶ Plat. ‖ **18** titulus iteratur in flor. Laur. ind. litt. *A* 80 | post στοιχείων vulgo cum FP Phot. addunt καὶ, quod omisi cum flor. Laur. ‖ **19** lemma in textu FP habent; add. F mrg ΗΣΙΟΔ ‖ **21** γαῖα F | ἕδος Hes., ἔδος FP | αἰεὶ P², ἀεὶ FP¹ ‖ **22** κάρη F ‖ **23** ἠρόεντα F | μυχῷ Hes., μυχὸν FP | εὐρυοδίης FP

2 Ὁμήρου (Ξ 246).

Ὠκεανός θ' ὅσπερ γένεσις πάντεσσι τέτυκται.

3 Ὀρφέως (fr. VI 17. 18 ed. Hermann.).

Ἓν ⟨δὲ⟩ δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
πῦρ ⟨καὶ⟩ ὕδωρ καὶ γαῖα καὶ αἰθήρ, νύξ τε καὶ ἦμαρ.

4 ⟨Ὁμήρου (Ξ 201).⟩

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν.

5 Αἴνου ἐκ τῶν Περὶ φύσεως κόσμου.

Ὡς κατ' ἔριν συνάπαντα κυβερνᾶται διὰ παντός·
ἐκ παντὸς δὲ τὰ πάντα καὶ ἐκ πάντων τόπαν ἐστί.
Πάντα δ' ἕν ἐστιν, ἕκαστον ὅλου μέρος, ἐν δ' ἑνὶ πάντα, [280]
ἐκ γὰρ ἑνός ποτ' ἐόντος ὅλου τάδε πάντ' ἐγένοντο·
ἐκ πάντων δέ ποτ' αὖθις ἓν ἔσσεται ἐν χρόνου αἴσῃ,
αἰὲν ἓν ὂν καὶ πολλά· καὶ οὐ κατὰ ταὐτὸν ἀθρῆσαι
πολλάκις [δ'] ἔσται ταὐτά· καὶ οὔποτε πεῖρας ἔτεισιν
αἰεὶ πείρατ' ἔχων· πήιον γένος ἔλλαχε ταὐτόν.
ὧδε γὰρ ἀθάνατος θάνατος περὶ πάντα καλύπτει
θνητὸς ἐὼν καὶ πᾶν θνήσκει φθαρτόν, τὸ δ' ὑπάρχον [282]

---

1 lemma P habet mrg, F om.; depromptus est h. v. ex Aetii I 3, 2 ‖ **2** θ' Hom., τ' P, om. F | ὥσπερ F | τέτηκται P, τέτεκται F ‖ **3** lemma om. F, P habet mrg ad v. 5; οἱ τὰ Ὀρφέως εἰπόντες laudantur ab Euseb. praep. ev. III 9; ὁ θεολόγος a Proclo in Plat. Tim. II p. 225 Schneider. ‖ **4** Ἓν δὲ δέμας Euseb. Procl., ἐν δέμας FP | τάδε πάντα Euseb. Procl., πάντα τάδε FP ‖ **5** καὶ (ante ὕδωρ) add. Euseb. Procl. ‖ **6** lemma om. FP¹; ὅμηρ add. P² mrg ‖ **8** ἐκ τοῦ P ‖ **9** ʻ s F (ω pro rubr. om.) | ἔρις F | σὺν ἅπαντα FP ‖ **10** τὸ πᾶν FP: τόπαν Meineke ‖ **11** ἕν ἐστιν P², ἔνεστιν FP¹ | οὖν FP: ὅλου Meineke, ἑνὸς Grotius | εἶναι ἅπαντα FP: ἐν δ' ἑνὶ πάντα scripsi, εἰν ἕν' ἅπαντα Grotius, εἰν ἑνὶ πάντα Meineke ‖ **12** ποτε ὄντος P | πάντα τάδ' FP: τάδε πάντ' Canter ‖ **13** αἴσσῃ F ‖ **14** ἀεὶ FP: αἰὲν Grotius | καὶ πολλὰ FP, καὶ οὐ πολλὰ Aug. (?) | ταὐτὸν – ἔσται (v. 15) om. P | ἀθροῖσαι F: ἀθρῆσαι Heeren ‖ **15** πολλὰ δ' ἰδέσθαι Iacobs ep. crit. p. 232 | δ' delevi (πολλάκι δ' Heeren) | ταῦτα FP: corr. Iacobs ‖ **16** ἀεὶ FP: αἰὼν Usener | ἔχον· ποῖον γένος Grotius; ἔχον· καινὸν γένος Iacobs l. s.; ἔχων· παριὸν γένος Usener; an ἔχοντ'· ἐπιὸν γένος? | ἔλαχε FP | τούτων F, τούτων P: ταὐτόν Usener, ταὔτ' ὄν Meineke, θνῆσκον Iacobs l. s. ‖ **17** ὧδὶ Canter ‖ **18** οὐ θνητόν περ θνήσκει Iacobs | θνητὸν ἐὸν Heeren, θηρεύων Usener

φαντασίαις τ᾽ ἀλλοιοτρόποις καὶ σχήμασι μορφῆς
ἀλλάξει τρόπον, ⟨ὡς⟩ ἀποκρύπτεμεν ὄψιν ἁπάντων,
ἄφθορον ἔσσετ᾽ ἐόν τ᾽ αἰεί, καθὸ τῇδε τέτυκται.

6 ⟨Πλουτάρχου.⟩

Ὅμηρος δὲ σημαίνει τὴν ἀνάλυσιν εἰς τὰ γεννητικὰ στοιχεῖα τοῦ παντὸς λέγων (H 99)·

Ἀλλ᾽ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

7 Ἡρακλείτου.

Ἐκ πυρὸς γὰρ τὰ πάντα καὶ εἰς πῦρ πάντα τελευτᾷ.

[284] 8 Ὀρφεύς (fr. XIV Herm.).

Ὠκεανὸς πρῶτος καλλίρροος ἦρξε γάμοιο,
ὅς ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν.

9 Ἡσίοδος Θεογονίᾳ (126—128).

Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
οὐρανὸν ἀστερόεντ᾽, ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ᾽ εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.

10 Φιλήμονος (fr. inc. 2, Com. IV p. 31).

⟨Ὃν⟩ οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν,

---

1 τ᾽ scripsi pro θ᾽, quod vulgo om. | ἀλλοιοτρόποις corr. Meineke pro ἀλλοτρόποις | σχήματι FP: corr. Grotius ‖ **2** ἀλλάξει FP: ἀλλάσσει Grotius; num ἀλλάξαν? | τρόπων FP: corr. Canter | post τρόπον interpunxi | ὡς add. Grotius | ἀποκρυπτόμενα FP: corr. Grotius ‖ **3** ἐσσειοντ᾽ ἀεὶ F, ἐς σείοντ᾽ ἀεὶ P: ἔσσετ᾽ ἐόν τ᾽ αἰεὶ Meineke, ἔσται ἐόν τ᾽ αἰεὶ Grotius, ἐστι νέον τ᾽ αἰεὶ Iacobs l. s. ‖ **4** lemma om. P, F habet mrg viridi colore ΟΜΗΡΟΣ; sed ad Ps. Plutarchum recte revocavit Diels Doxogr. p. 93 ‖ **5** γενητικὰ FP ‖ **7** πάντες Hom., πάντως FP | γένεισθε P ‖ **8** lemma om. hic F, sed habet ad v. 12; hic mrg P habet ἡρακλ et infra ad v. 11 ἡρακλείτ ‖ **9** πάντα γὰρ ἐκ πυρὸς ἔστι καὶ Schuster act. soc. Ritsch. III p. 355, ut versus evaderet: sane Stobaeus haec ex Aetio (v. infra p. 126, 7) huc transposuit tamquam poetica, sed constat de soluta forma ex Plutarcho aliis cf. Diels Doxogr. p. 222 ‖ **10** lemma ad v. 12 P mrg (ὀρφέως), ad v. 14 F mrg (ὀρφεύς) habet; Orpheo item tribuit Plato Cratyl. p. 402B ‖ **11** πρώτιστα καλίρροους P² | post πρῶτος add. καὶ P¹ | καλλίρροος Plat., καλλίρρους FP | γάμοιο Plat., σάμοιο FP ‖ **12** ὁμομήτερα P¹ ‖ **13** lemma habet P mrg hic (ubi tamen ἡσιόδ), F mrg ad v. 15 ‖ **15** καλύπτοι Hes., καλύπτη F, καλύπτει P ‖ **16** ὅς ῥ᾽ εἴη P | θεοῖς Hes., θεοὶ F, θεὸς P ‖ **17** lemma hic P mrg add., ad p. 121, v. 1 F mrg; ceterum vide ad I 1, 32 adnotata ‖ **18** ὃν om. FP, add. Stob. I 1, 32, vita Arati II p. 438 Buhl.

οὐδ' αὖ ποιήσων, οὐδὲ πεποιηκὼς πάλαι,
οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὗτός εἰμ' ἐγὼ
Ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία.
Ἐγὼ δ', ὃ θεοῦ ἐστιν ἔργον, εἰμὶ πανταχοῦ,
ἐνταῦθ' ἐν Ἀθήναις, ἐν Πάτραις, ἐν Σικελίᾳ,
ἐν ταῖς πόλεσι πάσαισιν, ἐν ταῖς οἰκίαις
πάσαις, ἐν ὑμῖν πᾶσιν· οὐκ ἔστιν τόπος [286]
οὗ μή ἐστιν ἀήρ· ὁ δὲ παρὼν ἅπανταχοῦ
πάντ' ἐξ ἀνάγκης οἶδε [πανταχοῦ παρών].

11 a ⟨*Ἐμπεδοκλέους* (v. 33—35. 175 Stein.).⟩

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργής, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεύς,
Νῆστίς θ', ἣ δακρύοις τέγγει, κρούνωμα βρότειον.
τῶν δὲ συνερχομένων ἐξ ἔσχατον ἵστατο νεῖκος.

11 b ⟨*Πλουτάρχου.*⟩

Ἐμπεδοκλῆς Δία μὲν λέγει τὴν ζέσιν ⟨καὶ⟩ τὸν αἰθέρα, [288]
Ἥρην δὲ φερέσβιον τὴν γῆν· ἀέρα δὲ τὸν Ἀιδωνέα, ἐπειδὴ
φῶς οἰκεῖον οὐκ ἔχει, ἀλλὰ ὑπὸ ἡλίου καὶ σελήνης καὶ
ἄστρων καταλάμπεται· Νῆστιν δὲ καὶ κρούνωμα βρότειον'
τὸ σπέρμα καὶ τὸ ὕδωρ. Ἐκ τεσσάρων οὖν στοιχείων τὸ p. 26 C.
πᾶν, τῆς τούτων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρό-
τητός τε καὶ ὑγρότητος καὶ θερμότητος καὶ ψυχρότητος,
ὑπὸ τῆς πρὸς ἄλληλα ἀναλογίας καὶ κράσεως ἐναπεργα-
ζομένης τὸ πᾶν καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης,

---

1 αὖ corr. Wakefield pro ἄν ‖ **2** εἰμὶ FP ‖ **3** ὃν FP², ὄν P¹ ‖ **4** ὃ F, οὐ P ‖ **5** εἰ ταῦθ' F ‖ **8** οὗ P², οἷς FP¹ | μή στιν FP ‖ **9** οἷ δὲ P | de ultimis verbis vide supra ad p. 39 v. 19 adnot. ‖ **10** lemma om. FP¹, sed mrg P² ἐμπεδοκλέους; haec Empedoclea esse testantur Sext. Emp. IX 362; X 315, Heracl. alleg. 24, Plut. plac. phil. I 3, 20 alii ‖ **12** ἤρη FP | ἀιδωνός P¹ ‖ **13** θ' ἣ Sext. l. s., Plat. l. s. al.; τ' ἣν FP², τ' ἦν P¹ | βρόντειον (όν in ras.) P ‖ **15** lemma addidi Dilesium secutus Doxogr. p. 88 ‖ **16** Ἐμπεδοκλῆς F mrg habet, P om. | καὶ om. FP, add. Plut. plac. phil. I 3, 20 ‖ **17** Ἥραν FP; ceterum de Stobaei manifesto errore cf. Diels l. s. p. 89sq. ‖ **19** καταλαμβάνεται FP: καταλάμπεται Canter, καταλαμβάνει Heeren ‖ **20** οὖν F, αὖ P ‖ **23** post ὑπὸ add. δὲ Plut. vit. Hom. c. 99 ‖ **24** μὲν μερικὰς FP et Plut.: μερικὰς μὲν vulgo

τοῦ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης. Λέγει γὰρ οὕτως (67. 68 Stein.)·

[290] Ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει.

Ὅμηρος δὲ τὴν φιλίαν καὶ τὸ νεῖκος τῶν τοῦ παντὸς μερῶν ἐν τούτοις αἰνίσσεται (Ξ 201—203), ἐν οἷς φησιν ἡ Ἥρα·

Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν·
τοὺς εἶμ' ὀψομένη καί σφ' ἄκριτα νείκεα λύσω.

12 ⟨Aetii plac. (I 3 p. 276—282; 288 Diels.).⟩

Θαλῆς ὁ Μιλήσιος ἀρχὴν τῶν ὄντων ἀπεφήνατο τὸ ὕδωρ, ἐξ ὕδατος γάρ φησι πάντα εἶναι καὶ εἰς ὕδωρ πάντα ἀναλύεσθαι. Στοχάζεται δὲ πρῶτον ἐκ τούτου, ὅτι πάντων τῶν ζῴων ἡ γονὴ ἀρχή ἐστιν, ὑγρὰ οὖσα. οὕτως
[292] εἰκὸς καὶ τὰ πάντα ἐξ ὑγροῦ τὴν ἀρχὴν ἔχειν. Δεύτερον, ⟨ὅτι⟩ πάντα φυτὰ ὑγρῷ τρέφεται καὶ καρποφορεῖ, ἀμοιροῦντα δὲ ξηραίνεται. Τρίτον, ὅτι καὶ αὐτὸ τὸ πῦρ τὸ τοῦ ἡλίου καὶ τῶν ἄστρων ταῖς τῶν ὑδάτων ἀναθυμιάσεσι τρέφεται καὶ αὐτὸς ὁ κόσμος.

Ἀναξίμανδρος δὲ Πραξιάδου Μιλήσιος φησὶ τῶν ὄντων ⟨τὴν⟩ ἀρχὴν εἶναι τὸ ἄπειρον· ἐκ γὰρ τούτου πάντα γίγνεσθαι καὶ εἰς τοῦτο πάντα φθείρεσθαι. Διὸ καὶ γεν-

---

1 *ἐπιδεχομένης* scripsi cum Plut. l. s. pro *ἐπιδεχομένου* ‖ **3** *συνερχόμεν' εἰς ἓν ἅπαντα* Laert. Diog. VIII 76, Plut. l. s., Simplic. in phys. f. 6r (p. 25, 29 Diels) et 310r, *συνερχόμενα τάδε πάντα* FΩ ‖ **4** *αὖ δίχ'* (vel *δίχα*) Laert. Simplic., *αὖτε* FP, *αὖθις* Plut. | *ἅπαντα* (vel *πάντα*) Simpl. | *φρουρούμενον εἴκεος* P1 | *φορεύμενα* Plut. Laert. Simpl., *φρουρούμενα* FP2 | *νείκειος* F ‖ **6** *αἰνίσσεται* P: *αἰνίττεται* vulgo ‖ **10** *τοὺς* P2 Hom., *οὓς* F, *οἷς* P1 ‖ **12** lemma *Θάλητος* in textu add. P, mrg F ‖ **14** *δ' ἀεὶ* FP: *δὲ πρῶτον* Iacobs coll. Plut. plac. phil. I 3, Euseb. pr. ev. XIV 14, 1 ‖ **15** *οὖσα* Plut. l. s., *οὐσία* FP, Euseb. l. s. ‖ **16** *τὰ* om. P ‖ **17** *ὅτι* om. FP et Euseb.: add. Heeren ex Plut. | *τρύφεται* F ‖ **19** *ὑδάτων* P2 Plut., *θυμιαμάτων* FP1 ‖ **21** FP mrg add. lemma *Ἀναξίμανδρος* | *Προυξιάδου* FP: corr. Heeren ‖ **22** *τὴν* add. Plut. Euseb.

νᾶσθαι ἀπείρους κόσμους καὶ πάλιν φθείρεσθαι εἰς τὸ ἐξ οὗ γίγνονται. Λέγει γοῦν διότι ἀπέραντόν ἐστιν, ἵνα μηδὲν ἐλλείπῃ ⟨ἢ⟩ γένεσις ἢ ὑφισταμένη. Ἁμαρτάνει δὲ μὴ λέγων τί ἐστι τὸ ἄπειρον. Τὸ δ' ἄπειρον οὐδὲν ἄλλο [294]
ἢ ὕλη ἐστίν· οὐ δύναται δ' ἡ ὕλη εἶναι ἐνέργεια, ἐὰν μὴ τὸ ποιοῦν ὑποκέηται.

Ξενοκράτης συνεστάναι τὸ πᾶν ἐκ τοῦ ἑνὸς καὶ τοῦ ἀενάου, ἀέναον τὴν ὕλην αἰνιττόμενος διὰ τοῦ πλήθους.

Ξενοφάνης ἀρχὴν τῶν πάντων εἶναι τὴν γῆν· γράφει γὰρ ἐν τῷ Περὶ φύσεως (fr. 8 Mullach.).

Ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ.

Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος ἀρχὴν τῶν [296]
ὄντων ἀέρα ἀπεφήνατο, ἐκ γὰρ τούτου πάντα γίγνεσθαι καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι. Οἷον ἡ ψυχή, φησίν, ἡ ἡμετέρα, ἀὴρ οὖσα, συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει. Λέγεται δὲ συνωνύμως ἀὴρ καὶ πνεῦμα. Ἁμαρτάνει δὲ ἐξ ἁπλοῦ καὶ μονοειδοῦς ἀέρος καὶ πνεύματος δοκῶν συνεστάναι τὰ ζῷα· ἀδύνατον γὰρ ἀρχὴν μίαν τὴν ὕλην τῶν ὄντων ὑποστῆναι, ἀλλὰ καὶ τὸ ποιοῦν αἴτιον χρὴ ὑποτίθεναι· οἷον ἄργυρος οὐκ ἀρκεῖ πρὸς τὸ ἔκπωμα γενέσθαι, ἐὰν μὴ τὸ ποιοῦν ᾖ, τουτέστιν ὁ ἀργυροκόπος.

Ἀναξαγόρας Ἡγησιβούλου ὁ Κλαζομένιος ἀρχὰς τῶν ὄντων τὰς ὁμοιομερείας ἀπεφήνατο. Τροφὴν γοῦν

---

2 *γίγνεται* FP et Plut. praeter *B* qui *γίνονται* coni.: *γίνεσθαι* Diels | *γοῦν* FP | *ὅτι* P | *ἀπέραντον* Euseb., *ἀπείρατόν* FP, *ἄπειρον* Plut. ‖ **3** *ἐλλείπει* F, *ἐλλίπῃ* P | *ἡ* add. Heeren ex Plut. ‖ **5** *ἐν ἐνεργείᾳ* Reiske ‖ **6** *ὑποκέηται* Plut., *ὑπόκειται* FP, *ὑπόθηται* Euseb. ‖ **v. 7—11** aliunde a Stobaeo in Actium illati cf. Elter, de Stob. cod. Phot. p. 19 n. 1 ‖ **7** F mrg iterat lemma *ξενοκράτης*, P in textu om., mrg habet *ξενοκράτους* ‖ **8** *ἀεννάου ἀένναον* FP ‖ **9** F iterat lemma (*ξ*)*ενοφάνης* mrg ‖ **11** *ἐκ γῆς γὰρ τὰ πάντα* FP: *ἐκ γαίης γὰρ πάντα* Meineke coll. Sext. Emp. adv. math. X 313 | post *γῆν* add. F *τὰ* ‖ **12** P add. in textu lemma *ἀναξιμένους* | *Εὐρυστράτου* pinacogr. Phot. (cf. Elter p. 12) et Laert. Diog. II 3; *εὐρυστάτου* FP ‖ **19** post *μίαν* add. FP *ἤ*, quod om. Plut. | *τῶν ὅλων* F ‖ **23** lemma *ἀναξαγόρου* FP mrg add.

προσφερόμεθα μονοειδῆ ἄρτον καὶ ὕδωρ· καὶ ἐκ ταύτης τρέφεται φλέψ, ἀρτηρία, σάρξ, νεῦρα, ὀστᾶ καὶ τὰ λοιπὰ
[298] μόρια. Τούτων οὖν γιγνομένων ὁμολογητέον, ὅτι ἐν τῇ τροφῇ τῇ προσφερομένῃ πάντα ἐστὶ τὰ ὄντα καὶ ἐκ τῶν ὄντων πάντα αὔξεται. ἐν ταύτῃ οὖν ἐστι λόγῳ θεωρητὰ μόρια· ⟨καὶ ἀπὸ τοῦ ὅμοια⟩ τὰ μέρη εἶναι ἐν τῇ τροφῇ τοῖς γεννωμένοις ὁμοιομερείας αὐτὰ ἐκάλεσε καὶ ἀρχὰς τῶν ὄντων. Καὶ τὰς μὲν ὁμοιομερείας ὕλην, τὸ δὲ ποιοῦν αἴτιον νοῦν, τὸν πάντα διαταξάμενον.

Ἀρχέλαος ἀέρα ἄπειρον καὶ τὴν περὶ αὐτὸν πυκνό-
τητα καὶ μάνωσιν. τούτων δὲ τὸ μὲν εἶναι πῦρ, τὸ δ' ὕδωρ.

Οὗτοι μὲν οὖν ἐφεξῆς ἀλλήλοις ταῖς διαδοχαῖς γενόμενοι τὴν Ἰωνικὴν ἐκπληροῦσι φιλοσοφίαν, οὕτω προσαγο-
p. 27 C. ρευθεῖσαν, διότι Μιλήσιος αὐτῆς κατῆρξεν ἀνήρ, ὁ Θαλῆς ἀπὸ τῆς τῶν Ἰώνων μητροπόλεως.

Φιλόλαος ὁ Πυθαγόρειος τὸ πέρας καὶ τὸ ἄπειρον.

Στράτων στοιχεῖα ⟨θερμὸν⟩ καὶ ψυχρόν.

Πυθαγόρας Μνησάρχου Σάμιος, πρῶτος φιλοσο-
[300] φίαν τούτῳ τῷ ῥήματι προσαγορεύσας, ἀρχὰς τοὺς ἀρι-

---

2 φλέχ P¹ ‖ **4** προφερομένῃ πάντ' ἐστὶ P ‖ **4. 5** ἐκ τούτων Usener; ἐκ τῶν αὐτῶν malim ‖ **5** post αὔξεται omnia quae apud Plut. leguntur intercidisse cum Heereno putat Dilesius haec: καὶ ἐν ἐκείνῃ ἐστὶ τῇ τροφῇ μόρια αἵματος γεννητικὰ καὶ νεύρων καὶ ὀστέων καὶ τῶν ἄλλων· ἃ ἦν λόγῳ θεωρητὰ μόρια· οὐ γὰρ δεῖ πάντα ἐπὶ τὴν αἴσθησιν ἀνάγειν, ὅτι ἄρτος καὶ τὸ ὕδωρ ταῦτα κατασκευάζει. quod mihi necessarium non videtur, praesertim cum sequentia apud Plutarchum (ἀλλ' ἐν τούτοις ἐστὶ λόγῳ θεωρητὰ μόρια) aliter concepta sint atque apud Stobaeum | ταύτῃ scripsi pro τούτῳ ‖ **6** καὶ ἀπὸ τοῦ ὅμοια addidi coll. Plut. ratus haec propter homoioteleuton intercidisse | τὰ μέρη om. P ‖ **7** γενομένοις P | αὐτὰς Plut. (et Heeren) ‖ **10** lemma ἀρχελάου add. P mrg, Ἀρχέλαος F mrg ‖ **14** ἰωνικὴν – μητροπόλεως (16) male iteratur infra I 21, 6 in fine (ubi vide) ‖ **14. 15** προσαγορεύθησαν F infra ‖ **17** lemma φιλολάου πυθαγορείου in textu et mrg add. P, Φιλολάου F mrg ‖ **18** lemma Στράτων add. F mrg, στράτωνος in textu P | τὸ θερμὸν καὶ τὸ ψυχρὸν vulgo | θερμὸν add. Fabricius ad Sext. Emp. Pyrrh. hyp. III 32 ‖ **19** lemma πυθαγόρου in textu add. P

θμοὺς καὶ τὰς συμμετρίας τὰς ἐν τούτοις, ἅς τινας ἁρμονίας καλεῖ· τὰ ⟨δ'⟩ ἐξ ἀμφοτέρων σύνθετα στοιχεῖα· πάλιν δὲ τὴν μονάδα καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς. Σπεύδει δὲ αὐτῷ τῶν ἀρχῶν ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον καὶ εἰδικόν, ὅπερ ἐστὶ νοῦς, ὁ Θεός· ἡ δὲ ἐπὶ τὸ παθητικόν τε καὶ ὑλικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος. Εἶναι δὲ τὴν φύσιν ⟨τοῦ ἀριθμοῦ⟩ δεκάδα· μέχρι γὰρ τῶν δέκα πάντες ἀριθμοῦσιν, ἐφ' ἃ ἐλθόντες πάλιν ἀναποδίζουσιν ἐπὶ τὴν μονάδα. Καὶ τῶν δέκα πάλιν, φησίν, ἡ δύναμίς ἐστιν ἐν τοῖς τέτταρσιν· ἐκ γὰρ τῆς τετράδος καὶ τῶν αὐτῆς μερῶν ἀναπληροῦται· ἐὰν δὲ ὑπερβάλῃ ⟨τις⟩ τὸν τῆς τετράδος, καὶ τῶν δέκα ὑπερεκπεσεῖται. Διὸ καὶ ἐπεφθέγγοντο οἱ Πυθαγόρειοι, ὡς μείστου ⟨ὅρκου⟩ ὄντος τῆς τετράδος,

Οὐ μὰ τὸν ἁμετέρᾳ κεφαλᾷ παραδόντα τετρακτύν, [302]
παγὰν ἀενάου φύσιος ῥίζωμά τ' ἔχουσαν.

13 *Θεανοῦς ἐκ τοῦ Περὶ εὐσεβείας* (fr. 1 Mullach., fr. ph. Gr. II p. 115).

Καὶ συχνοὺς μὲν Ἑλλήνων πέπυσμαι νομίσαι φάναι Πυθαγόραν ἐξ ἀριθμοῦ πάντα φύεσθαι. Οὗτος δὲ ὁ λό-

---

1 *ἅ τινας* P ‖ **2** δ' add. Heeren ex Plut. ‖ **3** δὲ om. F ‖ **3. 4** *εἶναι τὰς ἀρχάς* Aetius fort. scripserat (*ἀνωτάτω ἀρχάς* malit Usener) ‖ **5** *εἰδικὸν* Plut., *ἴδιον* FP: *ἀίδιον* Heeren | *νοῦς* etiam P ‖ **6** *ὑλικὸν* Plut., *ἴδιον* FP ‖ **7** *τοῦ ἀριθμοῦ* ex Plut. add. Heeren ‖ **7. 8** *μέχρι γὰρ τῶν δέκα* om. P ‖ **9** *ἀναποδίζουσιν* corr. Heeren pro *ἀναποδοῦσιν* (quod etiam ap. Plut.): *ἀναποδοῦσιν* ab ipso Aetio scriptum esse probare studet Diels p. 52 ‖ **10** *φησὶν* Plut., *φασὶν* FP | *τέταρσιν* P ‖ **11** *ἀναπληροῦνται* P ‖ **12** *ὑπερβάλλῃ τὴν τῆς* FP, *ὑπερβάληται τὸν τῆς* Plut.: *ὑπερβάλῃ τις τὸν τῆς* scripsi (quod etiam Plutarcho reddendum) | *τοῖς δέκα* F ‖ **13** *ἐπιφθέγγοντο* FP, *ἐφθέγγοντο* Plut.: *ἐπεφθέγγοντο* corr. Aug. ‖ **14** *ὅρκου* om. FP, add. Plut. | post *τετράδος* maius spatium vacuum in FP ‖ **15** *ἁμέτερα* P | *ψυχῇ* Plut. | *παραδόντα* Plut., *ἐπιθέντα* FP | *τετρακτὴν* P ‖ **16** *παγὰν* Plut., *πᾶσαν* FP | *ἀεννάου* FP | *φύσεως* Plut. (*φύσιος* Paris. 1734), *σοφίαν* FP | *ῥίζωμά τ'* Plut. optimi codd. (ex sil.), *ῥιζώματα* F, *ῥιζόμ̄* P | ad v. **15. 16** P² mrg add. *παραδόντα τετρακτὺν παγὰν ἀεννάου φύσεως ῥιζώματ' ἔχουσαν* ‖ **19** *πέπεισμαι* FP: corr. Meineke | *νομίσαι* om. P ‖ **20** *Πυθαγόρας* P¹ | post *ἀριθμοῦ* add. P², ut *Πυθαγόραν* infinitivum haberet ad quem referretur (*νομίσαι* enim deest

γος ἀπορησίας ἔχεται, πῶς ἃ μηδὲ ἔστιν ἐπινοεῖται καὶ γεννᾶν. ὃ δὲ οὐκ ἐξ ἀριθμοῦ, κατὰ δὲ ἀριθμὸν ἔλεγε
[304] πάντα γίγνεσθαι, ὅτι ἐν ἀριθμῷ τάξις πρώτη, ἧς μετουσία κἀν τοῖς ἀριθμητοῖς πρῶτόν τι καὶ δεύτερον καὶ τἄλλα ἑπομένως τέτακται.

14 ⟨Aetii plac. (I 3 p. 283—286 Diels.).⟩

Ἡράκλειτος καὶ Ἵππασος ἀρχὴν τῶν ἁπάντων τὸ πῦρ. Πρῶτον μὲν γὰρ τὸ παχυμερέστερον αὐτοῦ εἰς αὐτὸ συστελλόμενον ⟨γῆ⟩ γίγνεται, ἔπειτα ἀναχαλωμένην τὴν γῆν ὑπὸ τοῦ πυρὸς χύσει ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δὲ ἀέρα γίγνεσθαι. Πάλιν δὲ τὸν κόσμον καὶ τὰ σώματα πάντα ὑπὸ τοῦ πυρὸς ἀναλοῦσθαι ἐν τῇ ἐκπυρώσει.

Μητρόδωρος Θεοκρίτου Χῖος τὰ ἀδιαίρετα καὶ τὸ κενόν.

Διογένης δὲ ὁ Ἀπολλωνιάτης ἀέρα ἄπειρον.

[306] Ζήνων Μνασέου Κιτιεὺς ἀρχὰς τὸν θεὸν καὶ τὴν ὕλην, στοιχεῖα δὲ τέσσαρα.

Λεύκιππος Μιλήσιος ἀρχὰς καὶ στοιχεῖα τὸ πλῆρες καὶ τὸ κενόν.

Δημόκριτος τὰ ναστὰ καὶ κενόν.

Ἐπίκουρος ἀρχὰς εἶναι τῶν ὄντων σώματα λόγῳ

---

in P), *λέγεν*: quod (in spatio vacuo post titulum scriptum in P) initio eclogae posuit Canter (unde Meineke coni. *περὶ εὐσεβείας λόγου*) | *αὐτὸς* FP: *οὗτος* Heeren

1 *ἀπορήσας ἔρχεται* FP¹, *ἀπορίας ἔχεται* P²: *ἀπορησίας ἔχεται* Meineke, *ἀπορίας ἀρχὴ* Iacobs ep. cr. p. 233, *ἀπορήσεως ἔχεται* Mullach | *ἐπινοῆσαι* P | *καὶ* del. Heeren ‖ **2** *ἃ γέννα δὲ* FP: *γεννᾶν. ὃ δὲ* Heeren ‖ **4** *τι* (corr. *ι* ex *ε*) F ‖ **5** *τἄλλ' ἃ* FP: *τἄλλα* corr. cod. Vatic. ‖ **7** *Ἡράκλειτος καὶ Ἵππασος* (immo *Ἵππαλος*) F non in textu sed mrg habet; *ἡρακλείτου καὶ ἱππάλου* (*λ* m. 2 corr. in *σ*) P; ceterum *ἱππάλου* etiam pinacogr. Phot. ‖ **9** *αὐτὸ* Plut., *αὐτὸ* FP | *γῆ* ex Plut. hic addidi, quippe quod ante *γίγνεται* interciderit | post *γίγνεται* add. P² *γῆ*, quod in Canteriano apogr. transit in *γὰρ*, unde Canterus iterum effecit *γῆ* ‖ **10** *χύσει* corr. Döhner quaest. Plut. II p. 6 pro *φύσει* ‖ **16** *Ἀπολλωνάτης* P¹ ‖ **17** *Μνασέου* Plut., *Μνασαίου* FP | *Κιτιεὺς* Plut., *Κητιεὺς* FP ‖ **19** *Λεύκισπος* P¹ ‖ **21** *κενόν* scripsi pro *κενά*; etiam rectius esset *τὸ κενόν* (cf. Diels p. 285), sed apud Stobaeum non necessarium

θεωρητά, ἀμέτοχα κενοῦ, ἀγένητα, ἀδιάφθαρτα οὔτε θραυσθῆναι δυνάμενα οὔτε ἀλλοιωθῆναι. Εἴρηται δὲ ἄτομος οὐχ ὅτι ἐστὶν ἐλαχίστη, ἀλλ' ὅτι οὐ δύναται τμηθῆναι, ἀπαθὴς οὖσα καὶ ἀμέτοχος κενοῦ.

15 Ἑρμοῦ (p. 27 Patrit., p. 39 Parthey.).

Ἡ γὰρ μονάς, οὖσα πάντων ἀρχὴ καὶ ῥίζα, ἐν πᾶσίν ἐστιν ὡς ἂν ῥίζα καὶ ἀρχή, ἄνευ δὲ ἀρχῆς οὐδέν· ἀρχὴ δὲ ἐξ οὐδενός, ἀλλ' ἐξ αὐτῆς, εἴ γε ἀρχή ἐστι τῶν ἑτέρων. [μονὰς] οὖσα οὖν ἀρχὴ πάντα ἀριθμὸν ἐμπεριέχει, ὑπὸ μηδενὸς ἐμπεριεχομένη· καὶ πάντα ἀριθμὸν γεννᾷ, ὑπὸ μηδενὸς γεννωμένη ἑτέρου ἀριθμοῦ. Πᾶν δὲ τὸ γεννώμενον ἀτελὲς καὶ διαιρετὸν καὶ αὐξητὸν καὶ μειωτόν· τῷ δὲ τελείῳ οὐδὲν τούτων γίγνεται. Αὕτη οὖν, ὦ Τάτ, κατὰ τὸ δυνατόν σοι [308] *ὑπογέγραπται τοῦ θεοῦ εἰκών.*

16a ⟨Aetii plac. (I 3 p. 285—289 Diels.).⟩

Ἔκφαντος Συρακούσιος, εἷς τῶν Πυθαγορείων, πάντων τὰ ἀδιαίρετα σώματα καὶ τὸ κενόν. Τὰς γὰρ Πυθαγορικὰς μονάδας οὗτος πρῶτος ἀπεφήνατο σωματικάς.

Πλάτων Ἀρίστωνος τρεῖς ἀρχάς, τὸν θεόν, τὴν p. 28 C. *ὕλην, τὴν ἰδέαν· ὑφ' οὗ, ἐξ οὗ, πρὸς ὅ. Ὁ δὲ θεὸς νοῦς*

---

1 *ἀγέννητα* FP | post *ἀδιάφθαρτα* add. FP *τὰ* quod del. Heeren ‖ **1. 2** *θραυσθῆναι* Plut., *στρωθῆναι* F, *τρωθῆναι* P ‖ **4** *ἀπαθὴς* Plut., *ἀπαθεῖς* (*ει* corr. ex *η*) F, *ἀπαθεῖς* P | *οὖσα* Plut., *οὖσαι* FP | *ἀμέτοχοι* P¹ ‖ **5** lemma habet F mrg, P in textu ‖ **6** *πάντων οὖσα* Herm. vulg. ‖ **7** post *ἀρχὴ* add. Herm. *οὖσα* ‖ **8** *ἀλλ' ἐξ αὐτῆς* FP, *ἢ ἐξ αὐτῆς* Herm. *A*, *τὰ ἄλλα δὲ ἐξ αὐτῆς* Herm. *B* | *εἴ γε* FP, *ἐπεὶ* Herm. | post *ἑτέρων* add. Herm. *αὕτη γάρ ἐστιν, ἐπεὶ μὴ ἄλλης ἀρχῆς ἔτυχεν οὖσα* (corrige *ἔτυχεν· οὖσα*) ‖ **8. 9** *μονὰς οὖσα οὖν ἀρχὴ* FP, *οὖσα* (vide supra) *μονὰς οὖν ἀρχὴ καὶ* Herm. *AB*, *μονὰς οὖν ἀρχὴ οὖσα* Herm. vulg.: *μονὰς* del. Meineke (dubitanter, sed rectissime) ‖ **12** *διαίρετον* Herm. ‖ **13** post *γίγνεται* add. Herm. nonnulla | *οὖν* FP, *σοι* Herm. | *Τάτ* om. P in quo lac. 4 litt. | *σοι* om. Herm. ‖ **16** lemma add. P in textu *ἐκφάντου συρακουσίου*, F mrg (*ἔ*)*κφαντος* | *Συρακόσιος* Meineke | *εἷ τῶν* P¹ | *πυγορείων* F ‖ **16. 17** *Πυθαγόρᾳ ὑπαντώντων* Usener | *πάντων τῶν* F | ‘post *πάντων* addebat *ἀρχὰς* Heeren, quod utique audiendum est’ Diels ‖ **19** F mrg add. lemma (*π*)*λάτωνος* ‖ **20** *ὁ μὲν θεὸς* Heeren; potuit facilius *ὁ δὴ θεὸς*; sed etiam Plut. (cf. Diels p. 34) habet *ὁ δὲ θεὸς*, idemque *τοῦ κόσμου* (p. 128, 1), quod Heeren delevit

ἐστι τοῦ κόσμου, ἡ δὲ ὕλη τὸ ὑποκείμενον γενέσει καὶ φθορᾷ, ἰδέα δὲ οὐσία ἀσώματος ἐν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις τοῦ θεοῦ.

Ἀριστοτέλης Νικομάχου Σταγειρίτης ἀρχὰς μὲν εἶδος, ὕλην, στέρησιν· στοιχεῖα δὲ τέσσαρα, πέμπτον δέ τι σῶμα τὸ αἰθέριον, ἀμετάβλητον· στοιχεῖα δὲ τῶν γενητῶν κατὰ μὲν τὰς δυνάμεις θερμόν, ψυχρόν, ὑγρόν, ξηρόν, κατὰ δὲ τὰς οὐσίας, ἐν αἷς καὶ περὶ ἃς ὑπάρχουσιν αὗται, τὰ τέσσαρα.

[310] *Διόδωρος ἐπίκλην Κρόνος τὰ ἀμερῆ σώματα ἄπειρα, τὰ δ' αὐτὰ λεγόμενα καὶ ἐλάχιστα· ἄπειρα μὲν κατ' ἀριθμόν, ὡρισμένα δὲ κατὰ μέγεθος.*

16[b] ⟨Aetii (I 2 p. 275 Diels.) et Platonis (Tim. p. 30[A]).⟩

Οἱ μὲν οὖν περὶ Ἀριστοτέλην καὶ Πλάτωνα διαφέρειν ἡγοῦνται ἀρχὴν καὶ στοιχεῖα.

Θαλῆς δ' ὁ Μιλήσιος ταὐτὸν νομίζει ἀρχὴν καὶ στοιχεῖα. ⟨Πλεῖστον δὲ ὅσον διαφέρει ἀλλήλων. Τὰ μὲν γὰρ στοιχεῖά⟩ ἐστι σύνθετα, τὰς δὲ ἀρχάς φαμεν εἶναι οὔτε συνθέτους οὔτε ἀποτελέσματα· οἷον στοιχεῖα μὲν καλοῦμεν γῆν, ὕδωρ, ἀέρα, πῦρ· ἀρχὰς δὲ λέγομεν διὰ τὸ οὐδὲν ἔχειν πρότερον ἐξ οὗ γεννᾶται, ἐπεὶ οὐκ ἔσται ἀρχή, ἀλλ' ἐκεῖνο ἐξ οὗ γεννᾶται. Τῆς δὲ γῆς καὶ τοῦ ὕδατος ἔστι τινὰ πρότερον ἐξ ὧν γέγονεν, ὕλη ἄμορφος καὶ ἀνείδεος.

Λέγει γοῦν ἐν Τιμαίῳ (p. 30[A])· *„βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ* [312] *ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας“.*

---

2 *ταῖς νοήμασι* FP ‖ **4** *εἰκομάχου* FP[1] ‖ **6** *τὸ* del. Heeren, sed habet etiam Theodoret. IV 11 ‖ **10—12** cf. Dionys. episc. Eusebii pr. ev. XIV 23, 4 p. 773[b] ‖ **10. 11** *ἄπειρα* delebat Diels; videtur *ἄναρμα* latere cf. Galen. hist. phil. 18 ‖ **11. 12** *κατὰ τὸν ἀριθμὸν* cod. Aug. ‖ **12** *κατὰ τὸ μέγεθος* vulgo ‖ **14** lemma *πλάτωνος ἀριστοτέλους* add. F mrg, P in textu | *οὖν* om. P ‖ **17** *πλεῖστον δὲ – στοιχεῖα* (18) add. Heeren ex Plut. ‖ **21** *οὐκ ἔστιν ἀρχὴ ἄλλ' ⟨ἤ⟩* Usener | post *ἀρχὴ* add. *τοῦτο* Diels ex Plut. ‖ **24** fort. post *γοῦν* addendum *Πλάτων* ‖ **25** *φαῦλον* P

16c ⟨Arii Didymi (fr. phys. 21 p. 458 Diels.).⟩

Χρυσίππου. Περὶ δὲ τῶν ἐκ τῆς οὐσίας στοιχείων τοιαῦτά τινα ἀποφαίνεται, τῷ τῆς αἱρέσεως ἡγεμόνι Ζήνωνι κατακολουθῶν, τέτταρα λέγων εἶναι στοιχεῖα ⟨πῦρ, ἀέρα, ὕδωρ, γῆν, ἐξ ὧν συνίστασθαι πάντα καὶ ζῷα⟩ καὶ φυτὰ καὶ τὸν ὅλον κόσμον καὶ τὰ ἐν αὐτῷ περιεχόμενα καὶ εἰς ταῦτα διαλύεσθαι. τὸ δὲ ⟨πῦρ καὶ⟩ κατ' ἐξοχὴν στοιχεῖον λέγεσθαι διὰ τὸ ἐξ αὐτοῦ πρώτου τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολὴν καὶ εἰς αὐτὸ ἔσχατον πάντα χεόμενα διαλύεσθαι, τοῦτο δὲ μὴ ἐπιδέχεσθαι τὴν εἰς ἄλλο χύσιν ἢ ἀνάλυσιν· |συνίστασθαι δὲ ἐξ αὐτοῦ τὰ λοιπὰ καὶ χεόμενα εἰς τοῦτο ἔσχατον τελευτᾶν· παρὸ καὶ στοιχεῖον λέγεσθαι, ὃ πρῶτον ἔστηκεν οὕτως, ὥστε σύστασιν διδόναι ἀφ' αὑτοῦ καὶ αὐτὸ τῶν λοιπῶν χύσιν καὶ διάλυσιν δέχεσθαι εἰς αὑτό]· κατὰ μὲν τὸν λόγον τοῦτον αὐτοτελῶς λεγομένου τοῦ πυρὸς στοιχείου· οὐ μετ' ἄλλου [314]
γάρ· κατὰ δὲ τὸν πρότερον καὶ μετ' ἄλλων συστατικὸν εἶναι, πρώτης μὲν γιγνομένης τῆς ἐκ πυρὸς κατὰ σύστασιν εἰς ἀέρα μεταβολῆς, δευτέρας δ' ἀπὸ τούτου εἰς ὕδωρ, τρίτης δ' ἔτι μᾶλλον κατὰ τὸ ἀνάλογον συνισταμένου τοῦ ὕδατος εἰς γῆν. πάλιν δ' ἀπὸ ταύτης διαλυομένης καὶ διαχεομένης πρώτη μὲν γίγνεται χύσις εἰς ὕδωρ, δευτέρα δ' ἐξ ὕδατος εἰς ἀέρα, τρίτη δὲ καὶ ἐσχάτη εἰς πῦρ. Λέγεσθαι ⟨δὲ⟩ πῦρ τὸ πυρῶδες πᾶν καὶ ἀέρα τὸ ἀερῶδες καὶ

2 lemma FP mrg habent ‖ **4** *πῦρ – ζῷα* (5) add. Diels ‖ **7** *τὸ δὲ πῦρ* usque ad *ἐσχάτη εἰς πῦρ* (23) sive *ὁμοίως τὰ λοιπὰ* (p. 130, 1) Hirzel, *Untersuch. z. Cic. phil. Schr.* II p. 740 sq. scholiastae cuidam tribuit: talem tamen qualem finxit operam Didymi scripta experta esse demonstrari nequit; lectoris quae ego infra v. 11—15 statui additamenta etiam alibi (cf. p. 154, 24) deprehenduntur | *πῦρ καὶ* add. Usener, *πῦρ* Heeren ‖ **8** post *λέγεσθαι* add. *καὶ* P ‖ **11** *συνίστασθαι – εἰς αὐτὸ* (15) seclusi ut a lectore margine addita ad argumentum denotandum ‖ **13** *ἔστηκεν* FP ‖ **14** *ἀπ αὐτοῦ* FP: corr. Meineke | *ἀπὸ* FP: *αὐτὸ* Usener ‖ **15** *εἰς αὐτὸ* FP: corr. Meineke | verba *κατὰ μὲν τὸν λόγον – γὰρ* (17) Diels Addend. p. 854 ad priora retulit coll. Stob. I 14, 1[1] p. 144, 6 sq. ‖ **16** *στοιχεῖον* P[1] | *οὐ μετ' ἄλλου γὰρ* (17) hic om., post *πρότερον* (17) ponunt FP: transposuit Heeren ‖ **19** *δεύτερος* P[1] ‖ **20** *ἔτι* P[2], *ἐστὶ* FP[1] ‖ **22** *διαδεχομένης* P[1] | *δευτέρα* P[2], *δεύτερον* FP[1] ‖ **24** *δὲ* add. Heeren

ὁμοίως τὰ λοιπά. Τριχῶς δὴ λεγομένου κατὰ Χρύσιππον τοῦ στοιχείου, καθ' ἕνα μὲν τρόπον τοῦ πυρός, διὰ τὸ ἐξ αὐτοῦ τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολὴν καὶ εἰς αὐτὸ λαμβάνειν τὴν ἀνάλυσιν· καθ' ἕτερον δέ, καθὸ λέγεται τὰ τέσσαρα στοιχεῖα, πῦρ, ἀήρ, ὕδωρ, γῆ (ἐπεὶ διὰ τούτων τινὸς ἢ τινῶν ἢ καὶ πάντων τὰ λοιπὰ συνέστηκε, διὰ μὲν τῶν τεττάρων, ὡς τὰ ζῷα καὶ τὰ ἐπὶ γῆς πάντα συγκρίματα, διὰ δυοῖν δέ, ὡς ἡ σελήνη διὰ πυρὸς καὶ ἀέρος συνέστηκε, δι' ἑνὸς δέ, ὡς ὁ ἥλιος, διὰ πυρὸς γὰρ
p. 20 C. *μόνου, ὁ γὰρ ἥλιος πῦρ ἐστιν εἰλικρινές), κατὰ τρίτον λόγον λέγεται στοιχεῖον * * εἶναι ὃ πρῶτον συνέστηκεν οὕτως, ὥστε γένεσιν διδόναι ἀφ' αὑτοῦ ὁδῷ μέχρι τέλους καὶ ἐξ ἐκείνου τὴν ἀνάλυσιν δέχεσθαι εἰς ἑαυτὸ τῇ ὁμοίᾳ ὁδῷ.*
[316] *Γεγονέναι δ' ἔφησε καὶ τοιαύτας ἀποδόσεις περὶ στοιχείου, ὡς ἔστι τό τε δι' αὑτοῦ εὐκινητότατον καὶ ἡ ἀρχὴ ⟨καὶ ὁ σπερματικὸς⟩ λόγος καὶ ἡ ἀΐδιος δύναμις φύσιν ἔχουσα τοιαύτην, ὥστε αὐτήν τε κινεῖν κάτω πρὸς [γῆν] τὴν τροπὴν καὶ ἀπὸ τῆς τροπῆς ἄνω πάντῃ κύκλῳ, εἰς αὐτήν τε πάντα καταναλίσκουσα καὶ ἀφ' αὐτῆς πάλιν ἀποκαθιστᾶσα τεταγμένως καὶ ὁδῷ.*

CAPVT XI (XII Heeren.).

ΠΕΡΙ ΥΛΗΣ.

1 ⟨Aetii plac. (I 9, 1 p. 307 Diels.)⟩

Ὕλη ἐστὶ τὸ ὑποκείμενον πάσῃ γενέσει καὶ φθορᾷ καὶ ταῖς ἄλλαις μεταβολαῖς.

---

1 δὲ FP: δὴ scripsi ‖ **4** καθ' ὃ P ‖ **6** ἢ καί τινων Heeren dormitanter | καὶ om. P ‖ **9** διὰ δὲ ἑνὸς P ‖ **10** κατὰ τρίτον – ὁδῷ (13) interpolatori tribuit Hirzel p. 745 | post τρίτον add. δὲ Meineke ‖ **11** post λόγον lacunam signavit Usener | post στοιχεῖον puto coll. p. 129, 24 sq. haec fere hausta esse καὶ πᾶν τὸ στοιχειῶδες. Ἔφησε δὲ καὶ στοιχεῖον ‖ **12** ἀπ' αὐτοῦ FP: corr. Meineke ‖ **15** αὐτοῦ FP: corr. Heeren ‖ **15. 16** καὶ ὁ σπερματικὸς add. Usener, καὶ ὁ Meineke ‖ **17** ὥστε πάντων ποιεῖν κάτω πρὸς γῆν τὴν τροπὴν Diels | γῆν τε FP: αὐτήν τε scripsi, αὐτὴν sive αὐτὴ αὐτὴν Hirzel p. 753 | γῆν delet Hirzel p. 748 ‖ **17. 18** τροφὴν FP: corr. Usener ‖ **18** τροφῆς FP: corr. idem | αὐτὴν FP: corr. Meineke ‖ **19** καὶ τὸ αὐτῆς FP: κἀπὸ αὐτῆς (i. e. καὶ ἀφ' αὐτῆς) Meineke, καὶ ἐξ αὐτῆς Zeller phil. Gr. III 1 p. 183³ n. 1 ‖ **24** πρώτη γενέσει Plut. plac. phil. I 9 | φθόρος P¹

2 Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ. (p. 51[b] Patrit.).

Καὶ γέγονεν, ὦ τέκνον, ἡ ὕλη καὶ ἦν, ὕλη γὰρ ἀγγεῖον γενέσεώς ἐστι, γένεσις δὲ ἐνεργείας τρόπος τοῦ ἀγενήτου καὶ προόντος Θεοῦ. Τὸ σπέρμα οὖν τῆς γενέσεως λαμ- [318]
βάνουσα γέγονε καὶ τρεπτὴ ἐγένετο καὶ ἰδέας ἔσχε μορφοποιουμένη· ἐφέστηκε γὰρ αὐτῇ τρεπομένῃ ἡ τεχνιτεύουσα τὰς τῆς τροπῆς ἰδέας. Ἀγενησία οὖν τῆς ὕλης ἀμορφία ἦν, ἡ δὲ γένεσις τὸ ἐνεργεῖσθαι.

3 ⟨Aetii plac. (I 9, 2—5 p. 307 sq. Diels.).⟩

Οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρου, λέγω δὲ τοὺς μέχρι τῶν Στωικῶν καταβεβηκότας σὺν Ἡρακλείτῳ, τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ μεταβλητὴν καὶ ῥευστὴν ὕλην δι' ὕλης τὴν ὕλην ἀπεφήναντο.

Οἱ ἀπὸ Δημοκρίτου ἀπαθῆ τὰ πρῶτα, τὴν ἄτομον καὶ τὸ κενόν.

Πλάτων τὴν ὕλην σωματοειδῆ, ἄμορφον, ἀνείδεον, ἀσχημάτιστον, ἄποιον, ὅσον ἐπὶ τῇ ἰδίᾳ φύσει, δεξαμενὴν δὲ τῶν εἰδῶν καὶ οἷον τιθήνην καὶ ἐκμαγεῖον καὶ μητέρα γίγνεσθαι.

(Timae. p. 50[B–D]) *Ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως· ταὐτὸν ἀεὶ προσρητέον αὐτήν· ἐκ γὰρ τῆς ἑαυτῆς τὸ παράπαν οὐκ ἐξίσταται δυ-*
νάμεως. Δέχεται γὰρ ἀεὶ τὰ πάντα καὶ μορφὴν οὐδεμίαν [320]
ποτὲ οὐδενὶ τῶν εἰσιόντων ὁμοίως εἴληφεν οὐδαμῇ οὐδαμῶς· ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται κινούμενόν τε καὶ διασχηματιζόμενον ὑπὸ τῶν εἰσιόντων. Φαίνεται δὲ

---

2 ante *ὕλη γὰρ* add. *ἡ* P | ante *γὰρ* add. *καὶ* Patrit. ‖ **3** *τόπος* FP: *τρόπος* Heeren | *ἀγεννήτου* FP ‖ **4** *προνοοῦντος* Heeren | ante *Θεοῦ* add. FP *τοῦ*, quod del. P[2] ‖ **5** *εἶχε* FP: *ἔσχε* Meineke ‖ **5. 6** *μεμορφωμένη* Patrit. ‖ **6** *αὐτὴ τρεπομένη ἢ* FP: *αὐτῇ τρεπομένῃ ἡ* corr. cod. Vat. Aug. | fort. post *ἡ* addendum coll. p. 63, 4 *εἱμαρμένη* ‖ **7** *ἀγεννησία* FP ‖ **10** hic FP in textu add. lemma *Θαλῆς* (*ἅλης* F) *καὶ ἕτεροι* | *Θάλεω* FP, *Θάλητος* August. | *δὴ* FP: *δὲ* tacite Heeren | *τοῖς* P[1] ‖ **16** hic add. in textu FP lemma *πλάτωνος* ‖ **17** *δεξαμενὴ* P[1] ‖ **18** *τιθήνην* Plut. plac. phil. I 9, *τιθυνὴν* F, *τιθεινὴν* P ‖ **22** *αὐτὴν* ante *ἀεὶ* (21) transponit Plat. ‖ **23** *δέχεταί τε γὰρ* Plat. ‖ **24** *οὐδενὶ* Plat., *οὐδὲ ἑνὶ* FP | *ὁμοίαν* Plat.

δι' ἐκεῖνα ἄλλοτε ἀλλοῖον. Τὰ δ' εἰσιόντα καὶ ἐξιόντα τῶν ὄντων ἀεὶ μιμήματα, τυπωθέντα ἀπ' αὐτῶν τρόπον τινὰ δύσφραστον καὶ θαυμαστόν, ὃν εἰσαῦθις μέτιμεν. Ἐν δ' οὖν τῷ παρόντι διανοηθῆναι ⟨χρὴ⟩ γένη τριττά, τὸ μὲν γιγνόμενον, τὸ δ' ἐν ᾧ γίγνεται, τὸ δὲ ὅθεν ἀφομοιούμενον φύεται τὸ γιγνόμενον. Καὶ δὴ καὶ προσεικάσαι πρέπον τὸ μὲν δεχόμενον μητρί, τὸ δὲ ὅθεν πατρί, τὴν δὲ μεταξὺ τούτων φύσιν ἐκγόνῳ."

4 ⟨Arii Didymi (fr. phys. 2 p. 448 Diels.).⟩

Ἀριστοτέλους. Ἐπειδὴ δ' ἡ μὲν φύσις κατ' ἐπίνοιαν ἀρχή τίς ἐστι κινήσεως καὶ στάσεως, οὔτε δὴ κινούμενον ἡ ὕλη κατὰ τὸν ἴδιον λόγον οὔτε τὸ εἶδος. ἡ μὲν γὰρ ἀνείδεος, τὸ δὲ εἶδος ἀεί, καὶ ἡ μὲν οὐ σῶμα,
[322] *σωματικὴ δέ, τὸ δὲ καθάπαξ ἀσώματον. Οὐ σῶμα δὲ τὴν ὕλην φασίν, οὐ μόνον ὅτι ἐστερῆσθαι δοκεῖ τῶν περὶ σῶμα διαστάσεων, ἀλλ' ὅτι καὶ πολλῶν ἄλλων ἀπολείπεται κατὰ τὸν ἴδιον λόγον, ἃ τοῖς σώμασιν ὑπάρχει, σχήματος, χρώματος, βαρύτητος, κουφότητος, ὅλως πάσης ποιότητος καὶ ποσότητος. Εἰ γὰρ τούτων μετεῖχε, τῶν ποιῶν ⟨ἂν⟩ ἦν καὶ ποσῶν· οὐ μετειληφυῖα δὲ κατὰ λόγον σῶμα μὲν οὐκ ἂν εἴη, σωματικὴ δὲ διὰ τὸ πάσαις ὥσπερ ἐκμαγεῖον ὑποκεῖσθαι ταῖς ποιότησιν· ὃν τρόπον γὰρ τὸ εἶδος τῆς ὕλης ἀφαιρεθὲν ἀσώματον εἶναι τυγχάνει, οὕτως καὶ τὴν ὕλην τοῦ εἴδους χωρισθέντος οὐ σῶμα. Δεῖν γὰρ ἀμφοῖν τῆς συνόδου πρὸς τὴν τοῦ σώματος ὑπόστασιν.*

5ª ⟨Arii Didymi (fr. phys. 20 p. 457 sq. Diels.).⟩

Ζήνωνος. Οὐσίαν δὲ εἶναι τὴν τῶν ὄντων πάντων

---

2 post *ἀεὶ* add. Plat. *Ἀ ὄντα* | *μιμήματα* Plat., *μιμητὰ* FP | *ἀπ'* Plat., *ὑπ'* FP ‖ **4** *χρὴ* addidi ex Platone, in quo *χρὴ γένη διανοηθῆναι* ‖ **5** *δ' ἐννῶ* F ‖ **6** *προσεικάσαι* Plat., *προσείκασε* FP ‖ **7** *πρέπει* Plat. | *τῇ μητρὶ* FP ‖ **10** *Ἀριστοτέλους* F mrg, P in textu habet ‖ **12** *οὔτε τὸ εἶδος* FP: *οὔτε κατὰ τὸ εἶδος* vulgo ‖ **14** *τοδὲ* F ‖ **15** *οὐχ ὅτι οὐ μόνον* FP: *οὐ μόνον ὅτι* (deleto *οὐχ*) Usener ‖ **18** *σχηματισμὸς* P¹, *σχηματισμοῦ* P² ‖ **20** *ἂν* add. Meineke | *δὲ* P², *δὴ* FP¹ | *κατὰ λόγον* FP: *κατὰ τὸν λόγον* Canter ‖ **21** post *ὥσπερ* add. *καὶ* P ‖ **27** *ζήνωνος* F mrg, P in textu habet | *ὄντων* P, *πρώτων* F

πρώτην ὕλην, ταύτην δὲ πᾶσαν ἀΐδιον καὶ οὔτε πλείω γιγνομένην οὔτε ἐλάττω· τὰ δὲ μέρη ταύτης οὐκ ἀεὶ ταὐτὰ διαμένειν, ἀλλὰ διαιρεῖσθαι καὶ συγχεῖσθαι. Διὰ ταύτης δὲ διαθεῖν τὸν τοῦ παντὸς λόγον, ὃν ἔνιοι εἱμαρμένην καλοῦσιν, οἷόν περ καὶ ἐν τῇ γονῇ τὸ σπέρμα.

Χρυσίππου Στωικοῦ. Τῶν κατὰ ποιότητα ὑφ- [324]
ισταμένων πρώτην ὕλην· ταύτην δὲ ἀΐδιον, οὔτε αὔξησιν οὔτε μείωσιν ὑπομένουσαν, διαίρεσιν δὲ καὶ σύγχυσιν ἐπιδεχομένην κατὰ μέρη, ὥστε φθορὰς γίγνεσθαι ἔκ τινων μερῶν εἴς τινα [οὐ] κατὰ διαίρεσιν, ἅμα κατ' ἀναλογίαν τῇ συγχύσει τινῶν γιγνομένων ἔκ τινων.

5[b] ⟨Actii plac. (I 9, 6. 7 p. 308 Diels.).⟩

Οἱ δὲ ὕδωρ λέγοντες ἢ πῦρ ἢ ἀέρα ἢ γῆν τὴν ὕλην p. 30 C.
οὐκέτι ἄμορφον αὐτὴν λέγουσιν, ἀλλὰ σῶμα· οἱ δὲ τἀμερῆ καὶ τὰς ἀτόμους ἄμορφον.

Οἱ Στωικοὶ σῶμα τὴν ὕλην ἀποφαίνονται.

5[c] ⟨Arii Didymi (fr. phys. 20 p. 458 Diels.).⟩

Ποσειδωνίου. Ἔφησε δὲ ὁ Ποσειδώνιος τὴν τῶν ὅλων οὐσίαν καὶ ὕλην ἄποιον καὶ ἄμορφον εἶναι, καθ' ὅσον οὐδὲν ἀποτεταγμένον ἴδιον ἔχει σχῆμα οὐδὲ ποιότητα καθ' αὑτήν, ἀεὶ δ' ἔν τινι σχήματι καὶ ποιότητι εἶναι. Διαφέρειν δὲ τὴν οὐσίαν τῆς ὕλης, τὴν ⟨αὐτὴν⟩ οὖσαν κατὰ τὴν ὑπόστασιν, ἐπινοίᾳ μόνον.

6 *Πλάτωνος ἐκ τοῦ Παρμενίδου* (p. 144[B]).

Ἐπὶ πάντα ἄρα πολλὰ ὄντα ἡ οὐσία νενέμηται καὶ οὐδενὸς ἀποστατεῖ τῶν ὄντων, οὔτε τοῦ σμικροτάτου οὔτε

---

2 *ταὐτὰ* F, *ταῦτα* P ‖ **5** *καὶ* vulgo omissum ‖ **6** lemma F mrg, P in textu habet ‖ **7** *δὲ ἀΐδιον* FP ‖ **9** *τῶν* FP: *τινων* Diels Add. p. 854 ‖ **10** *οὐ* delet Usener (ut interpolatum post corruptum *ἅμα*) | *ἀλλὰ* FP: *ἅμα* Usener ‖ **10. 11** *κατ' ἀνάλυσιν ἢ σύγχυσιν* Diels ‖ **11** *ἔκ τινος* FP: *ἔκ τινων* scripsi ‖ **14** *οἱ δὲ τὰ ἀμερῆ* P[2] mrg, Plut. l. s., *οὐδὲ οἱ τὰ μέρη* FP[1] ‖ **16** F mrg lemma add. *(o)ἱ στωικοί*, in textu P *στωικοί* ‖ **18** hic lemma *ποσειδωνίου*, quod F mrg, P in textu habet, vulgo omissum ‖ **20** *ἴδιον* delet Diels Add. p. 854 ‖ **21** *κατ' αὐτὴν* FP: corr. Diels ‖ **22** *τὴν οὖσαν* delet Heeren | *αὐτὴν* add. Hirzel, *Unters.*, II p. 759 n. 1 ‖ **23** *ἐπίνοια* P[1] ‖ **26** *ἀποτεῖ* P[1]

τοῦ μεγίστου; ἢ τοῦτο μὲν καὶ ἄλογον ἔρεσθαι; πῶς γὰρ ἂν ἡ οὐσία γε τῶν ὄντων του ἀποστατοίη; — Οὐδαμῶς. — Κατακεκερμάτισται ἄρα ὡς οἷόν τε σμικρότατα καὶ μέγιστα καὶ πανταχῶς ὄντα καὶ μεμέρισται πάντων μάλιστα, καὶ ἔστι μέρη ἀπέραντα τῆς οὐσίας. — Ἔχει οὕτως.

[362] ## CAPVT XII (XIII Heeren.).

ΠΕΡΙ ΙΔΕΩΝ.

1ª ⟨Aetii (I 10 p. 308 sq. Diels.)⟩

Ἰδέα ἐστὶν οὐσία ἀσώματος, αἰτία τῶν οἷα ἐστὶν αὐτη καὶ παράδειγμα τῆς τῶν κατὰ φύσιν ἐχόντων αἰσθητῶν ὑποστάσεως, αὐτὴ μὲν ὑφεστῶσα καθ' ἑαυτὴν [ἓν], εἰκονίζουσα δὲ τὰς ἀμόρφους ὕλας καὶ αἰτία γιγνομένη τῆς τούτων διατάξεως, πατρὸς ἐπέχουσα τοῖς αἰσθητοῖς τάξιν.

Πυθαγόρας τὰ λεγόμενα εἴδη καὶ τὰς ἰδέας ἐν τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις αὐτῶν καὶ τοῖς καλουμένοις γεωμετρικοῖς ἐτίθετο ἀχώριστα τῶν σωμάτων.

1ᵇ ⟨Arii Didymi (fr. phys. 5 p. 448 Diels.)⟩

[328] *Ἀριστοτέλους. Ταύτας δὲ τὰς ἀρχὰς ποτὲ μὲν εἶναί φησιν Ἀριστοτέλης δύο, τήν τε ὕλην καὶ τὸ εἶδος, ὃ καὶ μορφὴν καλεῖ καὶ ἐντελέχειαν καὶ τὸ τί ἦν εἶναι καὶ οὐσίαν τὴν κατὰ τὸν λόγον καὶ ἐνέργειαν· οὕτως αὐτῷ πλούσιόν τε καὶ πολυώνυμόν ἐστι τὸ εἶδος. Τοσοῦτο μὲν*

---

1 *ἐρέσθαι* F Plat. *B* | *ὡς* P¹ ‖ **2** *ἂν δὴ οὐσία* Plat. | *γε* om. P | *ἀποστατεῖ* Plat. *B*, *ἀποστατοῖ* Plat. al. ‖ **3** *κατακεκερμάτισται* P¹ ‖ **4** *μεμέρισται* Plat., *μεριστὰ* FP ‖ **4. 5** *μάλιστα δὲ ἔστι* P et vulgo ‖ **5** *ὄντως* P¹ ‖ **7** *περὶ ἰδεῶν* ind. flor. Laur. litt. *I* n. 3 (item Euseb. praep. ev. XV 32, 8 in indice Plutarchi epitomes); *περὶ ἰδέας* F mrg P in textu, Phot. ‖ **9** *τῶν οἷα* FP: 'quod a grammatica excuses' Diels; intercidisse *τοιούτων ὄντων* putat Meineke, *τοιούτων* Diels, *ὄντων* Usener; praetulerim *τοῦ εἶναι οἷα* coll. p. 136, 9 | *αὕτη* F ‖ **11** *ἑαυτὴν ἓν· εἰκονίζουσα* FP¹, *ἑαυτὴν ἐνεικονίζουσα* P²: ἓν delevi ‖ **13** *διατάξεως* FP, *δείξεως* Plut. plac. I 10, Euseb. pr. ev. XV 45 | *πατρὸς – τάξιν*] cf. Plat. Tim. p. 50ᴰ ‖ **14** FP in textu lemma addunt *Πυθαγόρου* ‖ **18** lemma, quod FP mrg habent (P *ἀριστοτέλ*), vulgo omissum | *δὲ* F, *τε* P ‖ **22** *τοσούτῳ* FP: *τοσοῦτο* corr. cod. Vat. Aug.

οὖν διαφέρειν τὸ εἶδος τῆς μορφῆς, ὅτι τὸ μέν ἐστι διῆκον διὰ βάθους, ἡ δ' ἐπιπολαῖος· καὶ ἡ μὲν παραπλήσιος λευκότητι ⟨τῇ⟩ κατὰ τὴν ζωγραφίαν, τὸ δὲ τῇ περὶ τὴν τοῦ γάλακτος οὐσίαν· ταὐτὸν δὲ εἶδος λέγεται, καθ' ὅσον τὸ μὲν εἰδοποιεῖ, τὸ δὲ διαμορφοῖ τὴν ὕλην. Ἐντελέχειαν ⟨δ'⟩ αὐτὸ προσεῖπεν ἤτοι διὰ τὸ ἐνδελεχῶς ὑπάρχειν, ἢ ὅτι τῶν μετεχόντων αὐτοῦ ἕκαστον παρέχεται τέλειον· ὃ γὰρ χαλκὸς ἀνδριὰς οὐδέπω, πλὴν ὅτι μὴ δυνάμει, διαπλασθεὶς δὲ καὶ τὴν πρόσφορον λαβὼν μορφὴν ἐντελεχείᾳ λέγεται· τότε γὰρ ἀπείληφε τὸ τέλος. Τὸ δὲ τί ἦν εἶναι προσηγόρευσε παρὰ τὸ τῶν ὄντων ἐπιφέρειν ἑκάστῳ τὴν τοῦ εἶναι δύναμιν· οὐσίαν δὲ τὴν κατὰ τὸν λόγον, ὅτι διαλλάττει τῆς κατὰ τὴν ὕλην, ὡς ἀνδριὰς χαλκοῦ καὶ Θηρίκλειον ἀργυροῦ καὶ τῶν ἀγαλμάτων ὁτιοῦν λίθου· τὸ γὰρ ᾧ περιττεύει ταῦτα τῆς ὕλης, ἐξ ἧς δεδημιούργηται, τοῦτ' ἔστιν ἡ κατὰ τὸν λόγον οὐσία. Ἐνέργειαν δὲ ἐκάλεσεν, ὅτι τῶν ὄντων οὐθὲν ἂν ἐνεργεῖν ἠδύνατο μὴ πρότερον εἰδοποιηθέν. [339]

2[6] ⟨Arii Didymi (fr. phys. 1 p. 447 Diels.).⟩

⟨Πλάτωνος.⟩ Περὶ δὲ τῶν ἰδεῶν ὠδὶ διεξήρχετο, τῶν κατὰ φύσιν αἰσθητῶν κατὰ μέρος ὡρισμένα τινὰ παραδείγματα φάμενος εἶναι τὰς ἰδέας, ἀφ' ὧν τὰς ἐπιστήμας γίγνεσθαι καὶ τοὺς ὅρους· παρὰ πάντας γὰρ ἀν-

---

2 ἐπιπολαίως FP: ἐπιπολαῖος Gaisford ‖ **3** τῇ add. Usener | τὸν (τ�ὸ P²) δὲ δὴ περὶ τὴν FP¹: τὸ δὲ τῇ περὶ τὴν scripsi, τὸ δ' εἰδοποιεῖ τὴν Diels (quod propter v. 5 displicet) ‖ **5** ante τὴν add. P καὶ ‖ **6** δ' add. Heeren | ἐνδελεχῶς Meineke (ἐντελεχῶς legitur et in FP et in Canteriana) ‖ **8. 9** διπλασθεὶς F ‖ **9** τροφὴν F | ἐνδελέχεια FP¹, ἐντελέχεια P²: ἐντελεχείᾳ Diels ‖ **10** ἀπάληφε P ‖ **14** ἀργυροῦν P ‖ **15** γὰρ ᾧ P², γὰρ ὃ FP¹ | ἧς ὁ δημιουργῆται P¹ ‖ **17** ἐδύνατο FP, ἠδύνατο cod. Aug.: δύναιτο Heeren ‖ **18** post finem huius eclogae insertum est in FP quod infra legitur p. 136, 21 (τὰ ἐννοήματα)—137, 1 (εἶναι τὰς ἰδέας) ‖ **20** Πλάτωνος lemma addidi ex more Stobaei (vide supra), vulgo Πλάτων addunt: haec Eusebius praep. ev. XI 23, 2 ἐν τῶν Διδύμῳ περὶ τῶν ἀρεσκόντων Πλάτωνι συντεταγμένων attulit ‖ **21** μέρος Alcin. epit. Plat. dogm. c. 12, γένος FP Eus. | τινὰ om. F ‖ **22** ἀφ' om. Eus. Alc.

θρώπους ἄνθρωπόν τινα νοεῖσθαι καὶ παρὰ πάντας ἵπ-
πους ἵππον καὶ κοινῶς παρὰ τὰ ζῷα ζῷον ἀγένητον καὶ
ἄφθαρτον· ὃν τρόπον δὲ σφραγῖδος μιᾶς ἐκμαγεῖα γίνε-
σθαι πολλὰ καὶ συχνὰς εἰκόνας ἑνὸς ἀνδρός, οὕτω καὶ
p. 31 C. *μιᾶς ἑκάστης ἰδέας αἰσθητῶν σωμάτων φύσεις παμπλη-* 5
θεῖς, τῆς μὲν ἀνθρώπων ἀνθρώπους ἅπαντας, ⟨τῆς δὲ
ἵππων ἵππους ἅπαντας⟩, καὶ κατὰ τὸν αὐτὸν λόγον ἐπὶ
τῶν ἄλλων τῶν κατὰ φύσιν. Εἶναι δὲ τὴν ἰδέαν ἀΐδιον
οὐσίαν, αἰτίαν καὶ ἀρχὴν τοῦ ἕκαστον εἶναι τοιοῦτον οἷα
ἐστὶν αὐτή. Καθάπερ οὖν τὰς κατὰ μέρος ὥσπερ ἀρχέ- 10
τυπα τῶν αἰσθητῶν προηγεῖσθαι συμβέβηκε σωμάτων,
οὕτως τὴν πάσας ἐν ἑαυτῇ περιέχουσαν καλλίστην καὶ τε-
λειοτάτην οὐσίαν ὑπάρχειν ⟨τοῦδε παράδειγμα τοῦ κόσμου⟩.

2 b *Λέγει γοῦν καὶ ἐν τῷ Παρμενίδῃ* (p. 132 C. D) *„Ἀλλ',*
ὦ Παρμενίδη, μάλιστα ἔμοιγε καταφαίνεται ὧδε ἔχειν· 15
[332] *τὰ μὲν εἴδη ταῦτα ὥσπερ παραδείγματα ἑστάναι ἐν τῇ*
φύσει, τὰ δὲ ἄλλα τούτοις ἐοικέναι καὶ εἶναι ὁμοιώματα·
καὶ ἡ μέθεξις αὕτη τοῖς ἄλλοις γίγνεσθαι τῶν εἰδῶν οὐκ
ἄλλη τις ἢ εἰκασθῆναι αὐτοῖς.“

3 ⟨Arii Didymi (fr. phys. 40 p. 472 Diels.)⟩ 20

Ζήνωνος ⟨καὶ τῶν ἀπ' αὐτοῦ⟩. Τὰ ἐννοήματά
φασι μήτε τινὰ εἶναι μήτε ποιά, ὡσανεὶ δέ τινα καὶ
ὡσανεὶ ποιὰ φαντάσματα ψυχῆς· ταῦτα δὲ ὑπὸ τῶν ἀρ-
χαίων ἰδέας προσαγορεύεσθαι. Τῶν γὰρ κατὰ τὰ ἐννοή-

---

1. 2 *ἵππους* F, *ἀνθρώπους* P ‖ **2** *παρὰ πάντα ζῷα* Meineke ‖ **3. 4** *γίνεσθαι* Euseb., *γενέσθαι* FP, *γίνεται* Alc. ‖ **4** *οὕτως καὶ* P, *οὕτως ἐκ* Euseb. ‖ **6** *τῆς δὲ – ἅπαντας* (7) add. Meineke ‖ **10** *αὕτη* Euseb. | *τὰ* FP: *τὰς* Usener ‖ **11** *συμβέβηκε* om. Euseb. ‖ **12** *πάσας* FP, *πᾶσαν* Euseb. ‖ **13** *οὐσίαν* cod. Aug. Euseb., *οὖσαν* FP | *τοῦδε – κόσμου* addidi ex Eusebio, qui etiam alia adnectit ‖ **16** *ἐν* om. Plat. vulg. ‖ **21** lemma *Ζήνωνος* habet F mrg, *ζηνώνορος* P[1] in textu, *ζήνωνος* P[2]: *καὶ τῶν ἀπ' αὐτοῦ* add. Diels; ceterum haec ecloga (sine lemmate usque ad *ἰδέας* p. 137 v. 1) supra iterata est in FP; vide ad p. 135, 18 adnotata ‖ **22** *φασὶ* F utroque loco, P priore loco; *φησὶ* P hic | *εἶναι* om. P priore loco ‖ **23** *ὡς ἄν εἴποι* FP hic, *ὡς ἂν εἴπη* FP priore loco: *ὡσανεὶ ποιὰ* Iacobs ep. crit. p. 233 | ante *ψυχῆς* add. *τῆς* P[2] priore loco

ματα ὑποπιπτόντων εἶναι τὰς ἰδέας, οἷον ἀνθρώπων, ἵππων, κοινότερον εἰπεῖν πάντων τῶν ζῴων καὶ τῶν ἄλλων ὁπόσων λέγουσιν ἰδέας εἶναι. Ταύτας δὲ οἱ Στωικοὶ φιλόσοφοι φασιν ἀνυπάρκτους εἶναι καὶ τῶν μὲν ἐννοημάτων μετέχειν ἡμᾶς, τῶν δὲ πτώσεων, ἃς δὴ προσηγορίας καλοῦσι, τυγχάνειν.

CAPVT XIII (XIV Heeren.). [334]

ΠΕΡΙ ΑΙΤΙΩΝ.

1ª ⟨Aetii (I 11, 1. 2 p. 309 Diels.) et Platonis Timaei.⟩

Αἴτιόν ἐστι δι' ὃ τὸ ἀποτέλεσμα, ἢ δι' ὃ συμβαίνει τι. ἀρκεῖ γὰρ ὑπογραφικῶς.

Πλάτων τριχῶς τὸ αἴτιον, ὑφ' οὗ, ἐξ οὗ, πρὸς ὅ· κυριώτατον δ' ἡγεῖται τὸ ὑφ' οὗ, τοῦτο δ' ἦν τὸ ποιοῦν. Λέγει γοῦν ἐν Τιμαίῳ (p. 28$^{A.B}$)· „πᾶν δὲ αὖ τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἐξ ἀνάγκης γίγνεται· παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν. Ὅταν οὖν ὁ δημιουργὸς πρὸς τὸ κατὰ ταὐτὰ ἔχον βλέπων ἀεί, τοιούτῳ

---

2 *κοινοτέρως* P | *εἶπε* FP: *εἰπεῖν* Meineke | *παΐ'* P ‖ **3** *ταῦτα* FP: *ταύτας* Meineke ‖ **5. 6** ultima vix sana et absoluta; certe id quod Prantelius, hist. log. I p. 420 n. 63 his verbis significari vult, non expressum est; neque Dilesii explicatio potest probari, quippe quae cum ipsa Stoicorum de nominibus doctrina pugnet (cf. R. Schmidt, Stoic. gramm. p. 23sqq.); fuitne fortasse *τὰς δὲ ποιότητας ἐπωνυμιῶν, ἃς ὀ. π. καλοῦσι, τυγχάνειν* (an *πτώσεων* ex *ἐπωνυμιῶν* corrupto in fine talia fere interciderint *τὰς κοινὰς ποιότητας*)? cf. Laert. Diog. VII 58; ineptit Heerenus b. l. ‖ **7** hoc caput iteratur in flor. Laur. fol. 165 vers. sq. ‖ **8** inscriptionem om. L, habet F mrg P in textu, flor. Laur. ind. litt. *A* 29; *αἰτιῶν* P^1 ‖ **10** *(αἴ)τιον* L ‖ **12** *Πλάτων* add. L (in quo litt. init. non *Π* sed *α* rubr.), om. FP, sed F mrg habet *Πλάτωνος* | *(τ)ριχῶς* F ‖ **13** *κυριώτερον* Plut. plac. I 11 | *δ' ἡγεῖται* L, *δὲ ἡγεῖται* P^2 Plut., *διηγεῖται* FP^1 | *δ' ἦν* L Plut., *δὴ* FP ‖ **14** *(λ)έγει* FL | *σιμαίῳ* L ‖ **15** *γίγνεσθαι* Plat. ‖ **16** *σχεῖν* Plat. | *ὅτου μὲν οὖν* (*οὖν* om. *A*) *ἂν ὁ* Plat. ‖ **17** *ταυτὰ* Plat., *ταῦτα* FPL | *ἔχων* L

τινὶ χρώμενος παραδείγματι, τὴν ἰδέαν καὶ τὴν δύναμιν ἀπεργάζηται, καλὸν ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶν·
[336] *ὁπόταν δ' εἰς τὸ γεγονός, γενητῷ παραδείγματι προσχρώμενος, οὐ καλόν.*"

1[b] ⟨Aetii (I 11, 3. 4 p. 310 Diels.).⟩

Πυθαγόρας τὰ μὲν πρῶτα αἴτια ἀσώματα, τὰ δὲ κατὰ μετοχὴν ἢ κατὰ συμβεβηκὸς τῆς σωματικῆς ὑποστάσεως εἶναι.

Ἀριστοτέλης ἔφησε δηλοῦν ἕκαστον χρώμενον σχήμασι τῆς ἑρμηνείας τοιούτοις, τό τε ἐξ οὗ λέγοντα ⟨τὴν ὕλην⟩, καὶ τὸ ὑφ' οὗ τὸ ποιοῦν, τὸ δὲ καθ' ὃ τὸ εἶδος, τὸ δὲ δι' ὃ τὸ τέλος.

1[c] ⟨Arii Didymi (fr. phys. 18 p. 457 Diels.).⟩

Ζήνωνος. Αἴτιον δ' ὁ Ζήνων φησὶν εἶναι δι' ὅ· οὗ δὲ αἴτιον συμβεβηκός· καὶ τὸ μὲν αἴτιον σῶμα, οὗ δὲ αἴτιον κατηγόρημα· ἀδύνατον δ' εἶναι τὸ μὲν αἴτιον παρεῖναι, οὗ δέ ἐστιν αἴτιον μὴ ὑπάρχειν. Τὸ δὲ λεγόμενον τοιαύτην ἔχει δύναμιν· αἰτιόν ἐστι δι' ὃ γίνεταί τι, οἷον διὰ τὴν φρόνησιν γίνεται τὸ φρονεῖν καὶ διὰ τὴν ψυχὴν γίνεται τὸ ζῆν καὶ διὰ τὴν σωφροσύνην γίνεται τὸ σωφρονεῖν. ἀδύνατον γὰρ εἶναι σωφροσύνης περί τινα οὔσης μὴ σωφρονεῖν, ἢ ψυχῆς μὴ ζῆν, ἢ φρονήσεως μὴ φρονεῖν.
[338] *Χρυσίππου. Χρύσιππος αἴτιον εἶναι λέγει δι' ὅ.*

---

1 χρώμενος L (ubi ·: τε mrg), προσχρώμενος Plat. | τὴν ante δύναμιν om. Plat. | post δύναμιν add. Plat. αὐτοῦ ‖ **2** οὕτω FPL | πᾶν FP, που L ‖ **3** οὗ δ' ἂν εἰς Plat. | γένος P | γενητῷ P[2] Plat., γένη, τῷ FP[1]L ‖ **6** lemma πυθαγόρου add. F mrg, P in textu | (Π)υθαγόρας F, Θυθαγόρας L (Θ rubr.) | (τ)ὰ L ‖ **9—12** fort. rectius ad Didymum referas ‖ **9** lemma ἀριστοτέλους add. F mrg, P in textu | Ἀριστοτέλη δέ φασι Heeren, Ἀριστοτέλη δέ φησι (sc. auctor Stobaei) Meineke; sed δηλοῦν est *apparere* ‖ **9. 10** σχήμασι L, σχήματι F, χρώματι P[1], χρώμασι P[2] ‖ **10** τοιούτῳ Heeren | τε om. Vat. Aug. | λέγονται P ‖ **10. 11** τὴν ὕλην add. Canter ‖ **14** lemma ζήνωνος, quod F mrg P in textu habent, addidi | αἴτιος F | διὸ PL ‖ **15** οὗ δὲ (priore l.) P, οὐδ' FL | οὗ δὲ (posteriore l.) P[2], οὐδ' FP[1]L ‖ **19** γίνεται om. L ‖ **20. 21** σωφρονεῖν P[2]L, φρονεῖν FP[1] ‖ **21** γὰρ] ἄρ' expectet Usener ‖ **23** lemma Χρυσίππου quod P in textu habet (F mrg Χρύσιππος) addidi | ἐρύσιππος L (ἐ rubr.) | διὸ P[1]

Καὶ τὸ μὲν αἴτιον ὂν καὶ σῶμα, ⟨οὗ δὲ αἴτιον μήτε ὂν μήτε σῶμα·⟩ καὶ αἴτιον μὲν ὅτι, οὗ δὲ αἴτιον διά τι. Αἰτίαν δ' εἶναι λόγον αἰτίου, ἢ λόγον τὸν περὶ τοῦ αἰτίου ὡς αἰτίου.

Ποσειδωνίου. Ποσειδώνιος δὲ οὕτως· αἴτιον δ' ἐστί τινος, δι' ὃ ἐκεῖνο, ἢ τὸ πρῶτον ποιοῦν, ἢ τὸ ἀρχηγὸν ποιήσεως. καὶ τὸ μὲν αἴτιον ὂν καὶ σῶμα, οὗ δὲ αἴτιον οὔτε ὂν οὔτε σῶμα, ἀλλὰ συμβεβηκὸς καὶ κατηγόρημα.

1[d] ⟨Aetii (I 11, 6—8 p. 310 Diels.).⟩

Θαλῆς καὶ οἱ ἐφεξῆς τὸ πρῶτον αἴτιον ἀκίνητον ἀπεφήναντο.

⟨Οἱ⟩ Στωικοὶ τὸ πρῶτον αἴτιον ὡρίσαντο κινητόν.

Οἱ Περιπατητικοὶ τῶν αἰτίων εἶναι τὰ μὲν αἰσθητά, p. 32 C.
τὰ δὲ νοητά.

2 *Ὀκέλλου.*

Ὀκελλος ἔφησεν εἶναι αἴτιον δι' ὃ γίγνεταί τι. λέγει γὰρ ἐν τῷ Περὶ νόμου (fr. phil. Gr. I p. 407 Mullach.) *οὕτως·*

Συνέχει γὰρ τὰ μὲν σκάνεα τῶν ζῴων ⟨ζωά⟩, ταύτας [340]
δ' αἴτιον ψυχά· τὸν δὲ κόσμον ἁρμονία, ταύτας δ' αἴτιος ὁ θεός· τῶς δ' οἶκως καὶ τὰς πόλιας ὁμόνοια, ταύτας δ' αἴτιος νόμος. Τίς ὢν αἰτία ἦν φύσις, τὸν μὲν κόσμον ἁρμόχθαι διὰ παντὸς καὶ μηδέποκ' ἐς ἀκοσμίαν ἐκβαίνειν,

---

1. **2** *οὗ δὲ – σῶμα* addidi coll. infra v. 7. 8 ‖ **2** *αἴτιον* (ante *μὲν*) del. Heeren, Diels | *μὲν* add. L, om. FP | *οὐδὲ* FPL: *οὗ δὲ* Heeren | *διατί* FPL: corr. Heeren ‖ **3** *τὸν* L, *τὸν* corr. ex *τὴν* F, *τὴν* P | *τοῦ* om. L ‖ **5** lemma *Ποσειδωνίου*, quod P in textu habet, addidi ‖ **6** *δι' ὃ* om. P ‖ **7** *οὐδ'* FPL: *οὗ δὲ* Heeren ‖ **10** lemma *Θάλης καὶ οἱ λοιποί* F et P in textu habent | *καλῆς* (*κ* rubr.) L, (*θ*)*άλης* F ‖ **12** (*σ*)*τωικοί* F, *στωικοὶ* (*στ* rubr.) L, *στωικοὶ* P: *οἱ στωικοὶ* cod. Vat. Aug. | *ὥρισαν τὸ* L ‖ **13** lemma *οἱ περιπαπατητικοὶ* add. F in textu, *περιπατητικοὶ* P in textu ‖ **15** (*ὀ*)*κέλλου* F (*ὁ* ead. m. mrg scriptum), *ὀκέλλου* P, om. L ‖ **16** *Ὀκελλος* F, *Ὀκελλος* L (*Ο* rubr., *ὄ* m. 2 add.) | *αἴτιον εἶναι* L ‖ **18** *τῶν ζῴων* quod FPL habent vulgo om. | *ζωά* om. FP[1]L, sed infra mrg add. P[2] ‖ **20** *ὁ* del. Meineke | *τοὶς* FPL ‖ **21** *οὖν* FP, *οὐβῆ* L | *καὶ* FP: *ἦν* Usener ‖ **22** *ἁρμόσθαι* P | *μηδέποτ'* FPL: corr. Mullach | *ἐς* PL, *'ς* F | *ἐκβαίνειν* Meineke

τὰς δὲ πόλιας καὶ τὼς οἴκως ὀλιγοχρονίως ἦμεν; Ὅσα μὲν ὦν γεννατὰ καὶ θνατὰ τὰν φύσιν, ἐξ ἃς συνέστακεν ὕλας, τὰν αὐτὰν αἰτίαν ἔχει τᾶς διαλύσιος· συνέστακε γὰρ ἐκ μεταβαλλοίσας καὶ ἀειπαθέος. Ἁ γὰρ τῶν γεννωμένων ἀπογέννασις σωτηρία τᾶς γενετείρας ὕλας. Τὸ δὲ ἀεικίνητον κυβερνῇ, τὸ δ' ἀειπαθὲς κυβερνᾶται· καὶ τὸ μὲν πρότερον τᾷ δυνάμι, τὸ δὲ ὕστερον· καὶ τὸ μὲν θεῖον καὶ λόγον ἔχον καὶ ἔμφρον, τὸ δὲ γεννατὸν καὶ ἄλογον [τὸ μεταβάλλον].

CAPVT XIV (XV Heeren.).

ΠΕΡῚ ΣΩΜΆΤΩΝ ΚΑῚ ΠΕΡῚ ΤΗ̂Σ ΤΟΎΤΩΝ ΤΟΜΗ̂Σ ΚΑῚ ΠΕΡῚ ΕΛΑΧΊΣΤΟΥ.

1ª ⟨Aetii (I 12, 1—3 med. p. 310 Diels.)⟩

Σῶμά ἐστι τὸ τριχῇ διαστατόν, πλάτει, βάθει, μήκει· ἢ ὄγκος ἀντίτυπος, ὅσον ἐφ' αὑτῷ.

[342] Πλάτων μήτε βαρὺ μήτε κοῦφον εἶναί τι φύσει ἐν τῷ οἰκείῳ τόπῳ ὑπάρχον, ἐν δὲ τῷ ἀλλοτρίῳ γενόμενον τότε νεῦσιν ἴσχειν, ἐκ δὲ τῆς νεύσεως ῥοπὴν ἤτοι πρὸς βαρύτητα ἢ κουφότητα.

---

1 τὼς LP², τῶν FP¹ ‖ **2** ὦν FP, ὢν L: ὧν cod. Aug. | τὴν L | ἧς FPL ‖ **3** τᾶς P, τὰς F, τῆς L | διαλύσεως L | συνέστηκε L, συνέστη FP ‖ **4** ἢ FPL ‖ **4. 5** γεννωμένων FPL: γενναμένων vulgo ‖ **5** ἀπογέννεσις F, ἀπογένεσις PL: ἀπογέννασις cod. Vat. | γενέτορος L, γεννέτορος F, γεννάτορος P (α m. 2 in lac. add.): corr. Usener ‖ **6** ἀεικίνητον P, ἀεικίνατον FL | κυβερνεῖ et κυβερνεῖται FPL ‖ **7** πρῶτον FPL: πρότερον Mullach, πρᾶτον vulgo | τῇ L | δυνάμει FPL ‖ **9** τὸ (τὰ P²) μεταβάλλον glossema esse vidit Heeren, καὶ ἄφρον expulsum putat Meineke; καὶ μεταβάλλον coni. Mullach ‖ **11** τῆς περὶ (pro περὶ τῆς) FP Phot. p. 112ᵇ 11 antiquo mendo, quod in Photio corr. Bekker, in Stobaeo nemo ‖ **14** (σ)ῶμα F | ἐστι P, εἶναι F ‖ **15** ἢ ὄγκος P², ἴσον FP¹: ὄγκος Fabric. ad Sext. Emp. adv. math. I 21 coll. Sext. l. s. et Plut. plac. phil. I 12, ἢ ὄγκον Meineke, ὄγκον Diels | ἀντίτυπος P² (ut Fabric.), ἀντίτυπον F, ἀτίτυπον P¹ | ἐφ' αὑτῷ Plut. plac. phil. l. s., ἐπ' αὐτῷ FP ‖ **16** cf. Plat. Tim. p. 62 sq. ‖ **18** ἴσχειν Plut. plac. I 12, ἴσχει FP ‖ **19** βαρύττα (cum compendio) ἢ κουφόττα (item) F

Ἀριστοτέλης βαρύτατον μὲν εἶναι τὴν γῆν, κουφότατον δὲ τὸ πῦρ, ἀέρα δὲ καὶ ὕδωρ ἄλλοτ' ἄλλως.

1[b] ⟨Aetii (I 16, 3 p. 315, 5 Diels.) de Aristotele.⟩

Καὶ δυνάμει μὲν εἰς ἄπειρον τέμνεσθαι, ἐντελεχείᾳ δὲ μηδαμῶς.

1[c] ⟨Arii Didymi (fr. phys. 5 p. 449 Diels.) de Aristotele.⟩

Τῶν δὲ ἁπλῶν σωμάτων εἶναι τὰς ποιότητας ἁπλᾶς· διαιρεῖσθαι δὲ εἰς ἄπειρον τὰ μεγέθη καὶ τὰ μέγεθος ἔχοντα. ταῦτα δὲ καὶ συνεχῆ καλεῖσθαι· μεγέθη δ' εἶναι μῆκος, πλάτος, βάθος· τὰ δ' ἔχοντα μέγεθος ἐξ ὑπάρχειν, σῶμα, τόπον, ἐπιφάνειαν, γραμμήν, κίνησιν, χρόνον. ἐπιφάνειαν δ' εἶναι σώματος πέρας δυσὶν ὁριζομένην διαστάσεσι· γραμμὴν δὲ τὸ τῆς ἐπιφανείας πέρας κατὰ μίαν διάστασιν. σῶμα δὴ τοίνυν ἐστὶ ⟨τὸ⟩ τὰς τρεῖς ἔχον διαστάσεις. ἐπεὶ δὲ καὶ περὶ τὸν τόπον εἰσὶν αὗται, προσθετέον τό τε μετ' ἀντερείσεως καὶ τὸ μὴ δεχόμενον ἕτερον εἰς τὸν αὐτὸν τόπον [σῶμα]· πληρωτικὸν γὰρ εἶναι τοῦ τόπου τὸ σῶμα, καθάπερ καὶ τὸν τόπον τοῦ σώματος δεκτικόν. ποιεῖν δὲ καὶ πάσχειν τὰ σώματα ταῖς ἀσωμάτοις δυνάμεσι· κατὰ γὰρ τὰς ἐν ταύταις διαφορὰς ἀποτελεῖσθαι τάς τε τῶν δραστικῶν καὶ τὰς τῶν παθητικῶν φύσεις. [944]

1[d] ⟨Aetii (I 12, 3 med. p. 311, 1 Diels.) de Aristotele.⟩

Μηδὲν δὲ πῦρ κυκλοτερῶς φύσει κινεῖσθαι, μόνον δὲ τὸ πέμπτον σῶμα.

---

1 lemma *ἀριστοτέλους* FP mrg add. ‖ **2** post *πῦρ* add. Heeren *ἁπλῶς* ex Plut. l. s. | *ὕδωρ*] *πῦρ* Gaisford cum Heereno dormitanter ‖ **4** *ἐντελεχείᾳ* P[2] Plut. plac. I 16, *ἐντελέχεια* FP[1] ‖ **6** haec quamquam Aetianis sunt interposita Ario tribuit Diels Doxogr. p. 75 n. 2 et p. 449 n. ‖ **7—14** cf. Arist. de cael. I 1 ‖ **7** *τοῦ δὲ* P ‖ **14** *τὸ* ante *τὰς* add. Diels ‖ **15** *ἐπεὶ δὲ* FP: *ἐπειδὴ* Canter, *ἐπειδὴ δὲ* Heeren ‖ **16** *ἀντερείσεως. καὶ* edit. cum Heereno dormitanter ‖ **17** *τρόπον* (sed *ρ* m. 1 del.) P, *τρόπον* F | *σῶμα* del. Usener ‖ **20** *κατὰ* F, *καὶ* P ‖ **24** *πῦρ*] *σῶμα* Meineke ‖ **25** *τὸ πρῶτον σῶμα* scripsisset Aristoteles cf. de cael. I 3 p. 270[b] 2 et 21, II 12 p. 291[b] 32; sed *τὸ πέμπτον* dixit cum aliis (ut Porphyr. in schol. Plat. p. 438) Aetius cf. infra I 21, 6; 25, 3; 26, 3

1e ⟨Aetii (I 16, 4 p. 315, 8 Diels.).⟩

Χρύσιππος ἔφασκε τὰ σώματα εἰς ἄπειρον τέμνεσθαι καὶ τὰ τοῖς σώμασι προσεοικότα, οἷον ἐπιφάνειαν, γραμμήν, τόπον, κενόν, χρόνον· εἰς ἄπειρόν τε τούτων τεμνομένων οὔτε σῶμα ἐξ ἀπείρων σωμάτων συνέστηκεν οὔτ' ἐπιφάνεια οὔτε γραμμὴ οὔτε τόπος ⟨οὔτε κενὸν οὔτε χρόνος⟩.

1f ⟨Aetii (I 12, 4—6 p. 311, 3 Diels.).⟩

[346] *Οἱ Στωικοὶ δύο μὲν ἐκ τῶν τεσσάρων στοιχείων κοῦφα, πῦρ καὶ ἀέρα· δύο δὲ βαρέα, ὕδωρ καὶ γῆν. Κοῦφον γὰρ ὑπάρχει φύσει, ὃ νεύει ἀπὸ τοῦ ἰδίου μέσου, βαρὺ δὲ τὸ εἰς μέσον. Καὶ τὸ μὲν περίγειον φῶς κατ' εὐθεῖαν, τὸ δ' αἰθέριον περιφερῶς κινεῖται.*

p. 33 C. *Ἐπίκουρος ἀπερίληπτα εἶναι τὰ ⟨ἄτομα⟩ σώματα. καὶ τὰ πρῶτα δὲ ἁπλᾶ· τά τε ἐξ ἐκείνων συγκρίματα βάρος ἔχειν. Κινεῖσθαι δὲ τὰ ἄτομα τότε μὲν κατὰ στάθμην, τότε δὲ κατὰ παρέγκλισιν· τὰ δὲ ἄνω κινούμενα κατὰ πληγὴν καὶ ἀποπαλμόν.*

[348] *Δημόκριτος τὰ πρῶτά φησι σώματα (ταῦτα δ' ἦν τὰ νοητά) βάρος μὲν οὐκ ἔχειν, κινεῖσθαι ⟨δὲ⟩ κατ' ἀλλη-*

---

2 lemma *Χρυσίππου* add. FP mrg | *τά τε σώματα* Meineke tacite || **6. 7** *οὔτε κενὸν οὔτε χρόνος* add. Heeren; sed praestat fort. supra (v. 4) *κενὸν, χρόνον* delere cf. Laert. VII 140. 141 et Stob. I 18, 4d || **9** lemma *στωικοὶ* F mrg, P in textu add. || **10** ante *κοῦφα* add. *φύσει* Meineke | *δύο δὲ* F Plut. plac. I 12, 4, *φύσει δὲ δύο* P || **11** *ὃ νεύει* F, *ὃ ν* lac. 3 litt. P, *ὃ νεύσει* Plut. l. s. cod. *ABC* || **12** num *ὃ εἰς μέσον*? || **14** lemma *Ἐπίκουρος* F mrg, *ἐπικούρου* P in textu add. | *ἄτομα* add. Usener (ad Epic. frg. 275 p. 195, 29) || **15** *τὰ πρῶτα δὲ* F Plut. plac., *πρῶτα δὲ* P: *τὰ πρῶτα μὲν* Reiske ad Plut., *πρῶτά τε* Wyttenbach, *πρῶτα καὶ* Heeren; haec gravius corrupta esse ipsius Aetii culpa credidit Diels p. 52 || **15** *τὰ δὲ* FP Plut.: *τά τε* Usener || **16** et **17** *τοτὲ* bis F, *τοτὲ* et *τό τὲ* P: *τότε* bis Canter, *ποτὲ* bis Meineke cum Plut. cod. *A* || **17** *παρέγκλισιν* FP2 mrg, *παρατέλισιν* P1 || **18** *ὑπὸ παλμόν* F, *ὑποπαλμόν* P, *κατὰ παλμόν* Plut.: *ἀποπαλμόν* Heeren coll. Laert. X 44 || **19** lemma *Δημοκρίτου* add. FP mrg || **19. 20** *ταῦτα εἶναι νοητὰ βάρος μὲν οὐκ ἔχοντα* Iacobs ep. cr. p. 233 | *ἦν τὰ* F, *ἂν τὰ* P: *ὄντα* Heeren || **20** *δὲ* add. P2, om. FP1

λοτυπίαν ἐν τῷ ἀπείρῳ. Δυνατὸν εἶναι κοσμιαίαν ὑπάρχειν ἄτομον.

1ᵍ ⟨Aetii (I 16, 2 p. 315, 3 Diels.)⟩

Ὁ δ' αὐτὸς ἔλεγε περὶ τἀμερῆ ἱστασθαι τὴν τομήν.

1ʰ ⟨Aetii (I 12, 7 p. 311, 23 Diels.)⟩

Στράτων μὲν προσεῖναι τοῖς σώμασι φυσικὸν βάρος, τὰ δὲ κουφότερα τοῖς βαρυτέροις ἐπιπολάζειν, οἷον ἐκπυρηνιζόμενα.

1ⁱ ⟨Aetii (I 16, 1 p. 314, 30 Diels.)⟩

Οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρου παθητὰ ⟨τὰ⟩ σώματα καὶ τμητὰ εἰς ἄπειρον, καὶ πάντα τὰ συνεχῆ, γραμμήν, ἐπιφάνειαν, στερεὸν σῶμα, τόπον, χρόνον.

Περὶ ἐλαχίστου.

1ᵏ ⟨Aetii (I 13, 1—4 p. 312, 2 Diels.)⟩

Ἐμπεδοκλῆς ἔφη πρὸ τῶν τεσσάρων στοιχείων θραύσματα ἐλάχιστα, οἱονεὶ στοιχεῖα πρὸ τῶν στοιχείων [350] ὁμοιομερῆ.

Ἡράκλειτος πρὸ τοῦ ἑνὸς δοκεῖ τισι ψήγματα καταλείπειν.

Ξενοκράτης καὶ Διόδωρος ἀμερῆ τὰ ἐλάχιστα ὡρίζοντο.

Ἡρακλείδης θραύσματα.

1ˡ ⟨Arii Didymi (fr. phys. 19 p. 457 Diels.) de Stoicis.⟩

Σῶμά ἐστι τὸ τριχῇ διαστατόν, πλάτει, βάθει, μήκει·

---

1 ante εἶναι add. δ' Heeren ‖ **4** τὰ μέρη FP: τἀμερῆ Heeren ‖ **6** lemma στράτων add. P in textu, τράτων F mrg | (σ)τράτων F ‖ **7. 8** ἐκπυρρηνιζόμενα FP ‖ **10** lemma θάλεα καὶ πυθαγόρου add. F mrg, P in textu | Θάλεω FP: Θαλέως Heeren dormitanter, inde Θάλητος Meineke | ἀναριθμητὰ Iacobs ep. cr. p. 234 | τὰ add. Diels ‖ **11** τὰ om. P ‖ **13** περὶ ἐλαχίστου, quod infra (v. 15) ante ἔφη FP add., hic posui ut partis titulum quales saepius adhibuit Stobaeus cf. *Stud.* p. 48 n. 1 ‖ **15** lemma ἐμπεδοκλέους FP mrg add. ‖ **16** πρὸ del. Meineke coll. Stob. I 17, 1; sed Plutarch. I 13 item habet πρὶν στοιχείων ‖ **18** lemma Ἡρακλείτου P in textu et mrg, Ἡράκλειτος F in textu add. ‖ **20** lemma Ξενοκράτης F, ξενοκράτης καὶ διόδωρος P in textu add. ‖ **22** lemma Ἡρακλείδης F, ἡρακλείδου P add. in textu ‖ **24** ἐστι] εἶναι dubitanter Diels | διστατὸν P

ταῦτα δὲ πλεοναχῶς λέγεσθαι, ὅτὲ μὲν γὰρ μῆκος εἶναι λέγεσθαι τὸ μέγιστον διάστημα τοῦ σώματος, ὅτὲ δὲ μόνον τὸ κάτωθεν ἄνω· καὶ πλάτος ὅτὲ ⟨μὲν⟩ τὸ δεύτερον διάστημα, ὅτὲ δὲ τὸ ἐκ δεξιᾶς καὶ ἐξ εὐωνύμου· καὶ βάθος ὅτὲ μὲν τὸ εἰς ἑαυτὸ διάστημα, ὅτὲ δὲ τὸ πρόσω καὶ ὀπίσω· κατὰ μὲν τὸν πρότερον λόγον οὔτε τῶν σφαιρῶν
[352] οὔτε τῶν τετραγώνων καὶ τῶν ὁμοίων οὐδὲν τῶν διαστημάτων τούτων ἐχόντων, κατὰ δὲ τὸν δεύτερον παντὸς σώματος τὰς τρεῖς ἔχοντος διαστάσεις διὰ τὸ κατὰ πᾶσαν θέσιν ὑπὸ τὸν λόγον τοῦτον πίπτειν αὐτό.

2 *Παρμενίδου* (102—104 Karsten. p. 792 Stein.).

Πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ,
μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον
οὔτε τι βαιότερον πελέναι χρεών ἐστι τῇ ἢ τῇ.

CAPVT XV (XVI Heeren.).

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

1 *Ὁμήρου* (Il. Θ 16).

Τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.

[354] 2[a] ⟨Anonymi poetae.⟩

Ἀλλ' ὄγε πάντοθεν ἶσος ⟨ἐὼν⟩ καὶ πάμπαν ἀπείρων.

---

1 *πλεοναχῶς* P[2], *πλέον ἄλλως* FP[1] ‖ **2** *λέγεσθαι* del. Diels ‖ **3** *μὲν* add. cod. Vatic. ‖ **4** *δὲ* om. P ‖ **5** *καὶ εἰς ἑαυτὸ* F, *εἰς ἑαυτὸ* P: *τὸ εἰς ἑαυτὸ* Diels Add. p. 854, *τὸ ἐλάχιστον* Usener ‖ **6** *πρῶτον* FP: *πρότερον* Usener ‖ **10** *τοῦτο* FP: *τοῦτον* corr. cod. August. ‖ **11** lemma FP mrg habent ‖ **12** *ἐγκύκλου* P | *σφαίρας* FP ‖ **14** *βαιότερον* P[2] Plat. sophist. p. 244[E], *βιαιότερον* FP[1] | *πελεναι χρεόν* Plat. *B*, *πελέναι χρεών* Simpl. ad phys. I p. 52, 28 Diels., *πέλεν, ἄχρεόν* FP ‖ **18** (*T*)*όσσον* F, *ὅσσον* P[1] ‖ **19** ad hunc v. *Παρμενίδου* lemma in Vatic. adscriptum esse testatur Heeren in adnot. sed non in appar. crit.; ego de veritate testimonii dubito; Parmenidi vindicat Brandis comm. Eleat. p. 132, sed obstat (nisi scripseris *ἶσος ὅμως δ' οὐ πάμπαν*) Parmenidis v. 109 Karsten., quo contrarium Parmenidem docuisse probatur; Empedocli tribuit Diels Doxogr. p. 313 n. fort. recte, sed cum proximo Empedocleo non cohaeret, quippe cui alium versum antecedere per Simplicium phys. f. 272[b] constet ‖ **20** *ἐὼν* om. FP: add. Grotius; malim addi *ὁμοῦ* s. *ὁμῶς* et v. supra

2ᵇ ⟨Ἐμπεδοκλέους (v. 138 Stein.).⟩

σφαῖρος κυκλοτερής, μονίῃ περιηγέϊ γαίων.

3ᵃ *Πορφυρίου.*

3ᵇ ⟨Aetii (I 14, 1 p. 312, 12 Diels.).⟩

Σχῆμά ἐστιν ἐπιφάνεια καὶ περιγραφὴ καὶ πέρας σώματος.

4 *Πλάτωνος.*

Πλάτων ἔφησε σφαιροειδῆ τὸν κόσμον ὑπάρχειν. Λέγει γὰρ οὕτως ἐν τῷ Τιμαίῳ (p. 33ᴮ)· „*Σχῆμα δ' ἔδωκεν αὐτῷ τὸ πρέπον καὶ τὸ συγγενές· τῷ δὲ πάντα ζῷα ἐν αὐτῷ περιέχειν μέλλοντι ζῴῳ πρέπον ἂν εἴη σχῆμα τὸ περιειληφὸς ἐν αὐτῷ πάνθ' ὁπόσα σχήματα. Διὸ καὶ σφαιροειδές, ἐκ μέσου πάντῃ πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον, κυκλοτερὲς αὐτὸ ἐτορνεύσατο, πάντων τελεώτατον ὁμοιότατόν τε αὐτὸ ἑαυτῷ σχημάτων, νομίσας μυρίῳ κάλλιον ὅμοιον ἀνομοίου.*“ P. 349.

5 *Ἐν ταὐτῷ* (Timae. p. 62ᴰ—63ᴬ). [350]

Τοῦ γὰρ παντὸς οὐρανοῦ σφαιροειδοῦς ὄντος, ὅσα μὲν ἀφεστῶτα ἴσον τοῦ μέσου γέγονεν ἔσχατα, ὁμοίως αὐτὰ χρὴ ἔσχατα προσπεφυκέναι, τὸ δὲ μέσον τὰ αὐτὰ μέτρα τῶν ἐσχάτων ἀφεστηκὸς ἐν τῷ καταντικρὺ νομίζειν δεῖ πάντων εἶναι· τοῦ δὴ κόσμου ταύτῃ πεφυκότος τί τῶν εἰρημένων ἄνω τις ἢ κάτω τιθέμενος [ὂν] οὐκ ἐν δίκῃ δόξει τὸ μηθὲν προσῆκον ὄνομα λέγειν; Ὁ μὲν γὰρ μέσος

---

2 *μονίῃ* Simplic. l. s., *μιμίης* FP, *μόνῃ* Procl. in Tim. p. 160, *μονῆ* Antonin. XII 3 *A* | *περιηγέι* Simpl., Tatius in Arat. p. 77 Petav., *περιτεθῆ* F, *περιτείθη* P (*θη* in ras.), *περιήθει* Anton. *v* | *γαίων* Simpl., *γεαίων* Anton. *A*, *χαίρων* FP ‖ **3** huius eclogae nihil praeter lemma in FP mrg relictum est, quod ad perversam de placitorum physicorum auctore opinionem seduxit Volkmannum in ann. phil. 1871 p. 705; cf. Diels p. 48 n. 1 ‖ **7** lemma et in textu et mrg P, mrg F habet ‖ **9** *οὕτως* (corr. in *οὗτος*) P | *τῷ* addidi ex P ‖ **10** *δὲ τὰ πάντ' ἐν αὐτῷ ζῷα* Plat. ‖ **11** *αὐτῷ* FP | *πρέπων* P ‖ **12** *αὐτῷ* FP ‖ **13** *ἴσον* scripsi ex Plat. pro *τόσον* ‖ **15** *ἑαυτῷ* P² Plat., *ἐν αὐτῷ* FP¹ | *μυρίῳ* scripsi ex Plat. pro *μυρίων* ‖ **17** *'ν ταυτῷ* F, *ἐν αὐτῷ* P ‖ **18** *τοῦ* Plat., *ὁ* FP ‖ **19** *ἔσχατοι* P¹ ‖ **20** *πεφυκέναι* Plat. ‖ **23** *ὂν* ante *οὐκ* add. FP: delevi cum Plat.

ἐν αὐτῷ τόπος οὔτε κάτω πεφυκὼς οὔτε ἄνω λέγεσθαι δίκαιος, ἀλλ' αὐτὸ ἐν μέσῳ· ὁ δὲ πέριξ οὔτε δὴ μέσος, οὔτε ἔχων διάφορον αὑτοῦ μέρος ἕτερον θατέρου μᾶλλον πρὸς τὸ μέσον ἢ τι τῶν καταντικρύ. τοῦ δὲ ὁμοίως πάντῃ πεφυκότος ποῖά τις ἐπιφέρων ὀνόματα αὐτῷ ἐναντία καὶ πῇ καλῶς ἂν ἡγοῖτο λέγειν; εἰ γάρ τι καὶ στερεὸν εἴη κατὰ μέσον τοῦ παντὸς ἰσοπαλές, εἰς οὐδὲν ἄν τί ποτε τῶν ἐσχάτων ἐνεχθείη διὰ τὴν πάντῃ ὁμοιότητα αὐτῶν· ἀλλ' εἰ καὶ περὶ ταὐτὸ πορεύοιτό τις ἐν κύκλῳ, πολλάκις ἂν στὰς ἀντίπους ταὐτὸν αὐτοῦ κάτω καὶ ἄνω προσείποι· τὸ μὲν γὰρ ὅλον, καθάπερ εἴρηται νῦν δή, σφαιροειδὲς ὂν τόπον τινὰ κάτω, τὸν δὲ ἄνω λέγειν ἔχειν οὐκ ἔμφρονος.

6ᵃ ⟨Aetii (I 14, 2—6 p. 312, 14 Diels.).⟩

Οἱ ἀπὸ Πυθαγόρου [τὸν κόσμον] σφαιρικὰ τὰ σχήματα τῶν τεττάρων στοιχείων· μόνον δὲ τὸ ἀνώτατον πῦρ κωνοειδές.

Ἀναξαγόρας τὰ ὁμοιομερῆ πολυσχήμονα.

Οἱ ἀπὸ Λευκίππου τὰ ἄτομα πολυσχήμονα.

Κλεάνθης μόνος τῶν Στωικῶν τὸ πῦρ ἀπεφήνατο κωνοειδές.

Ζήνων ἔφασκε τὸ πῦρ κατ' εὐθεῖαν κινεῖσθαι.

6ᵇ ⟨Aetii (II 2, 1. 2 p. 329, 6 Diels.).⟩

Οἱ Στωικοὶ σφαιροειδῆ τὸν κόσμον ἀπεφήναντο.

---

2 *δίκαιος* P Plat., *δίκαιον* F | *αὐτὸ* Plat., *αὖ τὸ* FP ‖ **3** *αὐτου* FP ‖ **6** *ἂν* om. Plat. *A* ‖ **7** *τί* om. Plat. ‖ 8 *ἐνεχθείη* F Plat., *ἀνεχθείη* (supra *εχ* sprscr. m. 2 *νε*) P¹ ‖ **9** *αὐτὸ* Plat. ‖ **10** *στὰς* F Plat., *τὰς* P | *ἀντιτύπους* P² | *ταὐτὸν* F Plat., *αὐτὸν* P ‖ **14** lemma *πυθαγορείων* add. FP mrg | *τὸν κόσμον* om. Plut. plac. I 14, 2: seclusit Diels ‖ **14. 15** *σφαῖραν κατὰ σχῆμα* FP, *σφαιρικὰ τὰ σώματα* Plut.: *σφαιρικὰ τὰ σχήματα* Diels ‖ **17** lemma *ἀναξαγόρα* add. P in textu, *ναξαγόρας* F mrg ‖ **17** *τὰ ἄτομα* et **18** *τὰ ὁμοιομερῆ* FP: inter se mutavi; Diels cum Zellero hist. phil. Gr. I p. 881⁴ n. 1 potius philosophorum nomina mutari voluit; sed solet Aetius Anaxagoram ante Leucippum afferre cf. infra I 29, 1; Plut. plac. V 25 ‖ **18** lemma *λευκιππείων* F mrg, P in textu ald. ‖ **19** lemma *λεάνθης* F, *κλεάνθου* P in textu add. | *μόνος* om. P ‖ **21** lemma *ζήνωνος* add. P in textu ‖ **23** lemma *στωικοί* P in textu, F mrg add. | *(Οἱ σ)τωικοὶ* F

Λεύκιππος καὶ Δημόκριτος σφαιροειδῆ τὸν κόσμον.

6c ⟨Aetii (II 8, 1 p. 337, 26 Diels.).⟩

Διογένης καὶ Ἀναξαγόρας ἔφησαν, μετὰ τὸ συ- [358]
στῆναι τὸν κόσμον καὶ τὰ ζῷα ἐκ τῆς γῆς ἐξαγαγεῖν ἐγκλιθῆναί πως τὸν κόσμον ἐκ τοῦ αὐτομάτου εἰς τὸ μεσημβρινὸν αὐτοῦ μέρος, ἴσως ὑπὸ προνοίας, ἵν' ἃ μὲν ἀοίκητα γένηται, ἃ δὲ οἰκητὰ μέρη τοῦ κόσμου κατὰ ψῦξιν καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν.

6d ⟨Aetii (II 7, 6 p. 336, 16; II 8, 2 p. 338, 6; II 10, 2 p. 339, 16 Diels.).⟩

Ἐμπεδοκλῆς ἔλεγε μὴ διὰ παντὸς ἑστῶτας εἶναι μηδ' ὡρισμένους τοὺς τόπους τῶν στοιχείων, ἀλλὰ πανταχῶς ἀλλήλων μεταλαμβάνειν. — Τοῦ δὲ ἀέρος εἰξαντος τῇ τοῦ ἡλίου ὁρμῇ ἐπικλιθῆναι τὰς ἄρκτους καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι, καθὸ καὶ τὸν ὅλον κόσμον. — Καὶ δεξιὰ μὲν αὐτοῦ τὰ κατὰ τὸν θερινὸν τροπικόν, ἀριστερὰ δὲ τὰ κατὰ τὸν χειμερινόν.

6e ⟨Aetii (II 10, 1 p. 339, 2 Diels.).⟩

Πυθαγόρας, Πλάτων, Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου τὰ ἀνατολικὰ μέρη, ἀφ' ὧν ἡ ἀρχὴ τῆς κινήσεως [διὰ τὰς ἀνατολάς], ἀριστερὰ δὲ τὰ δυτικά. Οὔθ' ὕψος [360]
δέ φασιν οὔτε βάθος ἔχειν τὸν κόσμον, καθ' ὃν λόγον ὕψος μὲν λέγεται τὸ κάτωθεν ἄνω διάστημα, βάθος δὲ τὸ ἄνωθεν κάτω. Μηδὲν γὰρ εἶναι τῶν οὕτως διαστη-

---

1 lemma *λευκίππου καὶ δημοκρίτου* P in textu, (λ)*εύκιππος καὶ δημόκριτος* F mrg add. ‖ **4** lemma *διογένους καὶ ἀναξαγόρα* P in textu, *ιογένης καὶ* (sic!) F mrg add. ‖ **5** *ἀναγαγεῖν* Heeren ‖ **6** *ταὐτομάτου* Meineke ‖ **7** *αὐτοῦ* FP: corr. Meineke | *ὑπὸ* F, *ἐκ* P ‖ **12** lemma *ἐμπεδοκλέους* FP mrg add. ‖ **13. 14** *πάντας τοὺς* F (?) P, *πάντα τοὺς* Plut. plac. II 7 cod. *AB*: *πανταχῶς* scripsi, *πανταχοῦ* Diels, *πάντας αὐτοὺς* Heeren ‖ **14. 15** *ἤξαντος* P ‖ **20** lemma *πυθαγόρου καὶ ἑτέρων* add. P mrg | post *Πλάτων* add. *καὶ* Aug. ‖ **22** *διὰ τὰς ἀνατολὰς* om. Plut. II 10: del. Heeren | post *τὰ δυτικὰ* verba *Ζήνων ἔφασκε τὸ πῦρ κατ' εὐθεῖαν κινεῖσθαι* (supra p. 146, 21) iterant FP | *οὐθ'* P, *οὐδ'* F ‖ **24** *λέγεται* P, *λέγεσθαι* F ‖ **25** *οὕτως* FP: *ὄντως* cum Heereno ceteri

μάτων λεγομένων περὶ τὸν κόσμον διὰ τὸ περὶ τὸ ἑαυτοῦ μέσον αὐτὸν συνεστάναι, ἀφ' οὗ πρὸς ἅπαν ἐστὶ καὶ πρὸς ὃ πανταχόθεν ταὐτό.

7 *Φιλολάου Βάκχαι* (fr. 5 Mull.).

Ὁ κόσμος εἷς ἐστιν. Ἤρξατο δὲ γίγνεσθαι ἄχρι τοῦ μέσου, καὶ ἀπὸ τοῦ μέσου εἰς τὸ ἄνω διὰ τῶν αὐτῶν τοῖς κάτω ἐστὶ τὰ ἄνω τοῦ μέσου ὑπεναντίως κείμενα τοῖς κάτω. Τοῖς γὰρ κάτω τὸ κατωτάτω μέγα ἐστὶν ὥσπερ [362 *τὸ ἀνωτάτω, καὶ τὰ ἄλλα ὡσαύτως. Πρὸς γὰρ τὸ μέσον* p. 55 C. *κατὰ ταὐτά ἐστιν ἑκάτερα, ὅσα μὴ μετενήνεκται.*

CAPVT XVI (XVII Heeren.).

ΠΕΡΙ ΧΡΩΜΑΤΩΝ.

1 ⟨Aetii (I 15, 1—11 p. 313, 4 Diels.)⟩

Χρῶμά ἐστι ποιότης σώματος ὁρατὴ προηγουμένως. ⟨*Οἱ*⟩ *Πυθαγόρειοι χροιὰν ἐκάλουν τὴν ἐπιφάνειαν τοῦ σώματος, τὰ δὲ γένη τῶν χρωμάτων λευκόν τε καὶ μέλαν, ἐρυθρόν τε καὶ ὠχρόν· τὰς δὲ διαφορὰς τῶν χρωμάτων παρὰ τὰς* ⟨*ποιὰς*⟩ *μίξεις τῶν στοιχείων, τὰς δὲ τῶν ζώων παρὰ τὰς ποικιλίας τῶν τροφῶν καὶ τῶν ἀέρων.*

---

1 *τὸ* post *περὶ* add. FP: om. cum Heereno ceteri dormitanter ‖ **3** *πρὸς τὸ* FP: *πρὸς ὃ* Diels | *τοῦτο* FP: *ταὐτό* Heeren ‖ **4** cf. Böckh, Philol. p. 90 sqq., Leop. Schmidt, quaest. Epich. p. 58—64 ‖ **5** *ἄχρι*] *ἀπὸ* cum Zellero phil. Gr. I⁴ p. 381 n. 1 Meineke ‖ **6** *εἰς τὸ ἄνω*] *τὰ ἄνω* Böckh p. 93; del. Nutzhorn philol. XXII p. 337 ‖ **6. 7** *διὸ τῷ αὐτῷ τρόπῳ ἐστὶ τὰ ἄνω* Mullach | num *τῷ κάτω*? ‖ **7** *κάτω. ἔστι δὲ τὰ* Heeren, *κάτω ἐστὶν ὡς τὰ* Schmidt p. 63; malim *κάτω, καὶ ἔστι τὰ* ‖ **8** *καὶ γὰρ κάτω τῷ κατωτάτω τὰ μέσα* Nutzhorn l. s. | *τὰ κατωτάτω* ut *τὰ ἀνωτάτω* (9) Heeren tamquam ex Vat. | *τὸ* ante *κατωτάτω* vel *μέγα* del. Zeller phil. Gr. I⁴ p. 407 n. 3 | *μέγα* FP: *μέσα* Canter mrg; fortasse *μέρος* fuit | interpunctionem ante *ὥσπερ* delevi ratus *ὥσπερ τὸ ἀνωτάτω* esse praedicatum ‖ **9** *τῷ ἀνωτάτω* F (quod defendit Schmidt p. 64): *τοῖς ἄνω* Böckh p. 94 ‖ **15** lemma *πυθαγορείων* add. P in textu | *οἱ* add. Diels ‖ **17** *ὠχρόν* corruptum quidem sed in Stobaeo non corrigendum cf. Diels p. 50 (*χλωρόν* iam Burchard Democr. p. 22) ‖ **18** *ποιὰς* hic om. FP., sed infra (vide p. 149, 2) cum Plut. plac. I 15 add. ‖ **19** *γραφῶν* P¹

Ἐμπεδοκλῆς χρῶμα εἶναι ἀπεφαίνετο τὸ τοῖς πόροις [364]
τῆς ὄψεως ἐναρμόττον. Τέτταρα δὲ τοῖς στοιχείοις ἰσάριθμα, λευκόν, μέλαν, ἐρυθρόν, ὠχρόν.

Πλάτων φλόγα ἀπὸ τῶν σωμάτων σύμμετρα μόρια ἔχουσαν πρὸς τὴν ὄψιν.

Ἀρίσταρχος Σάμιος μαθηματικός, ἀκουστὴς Στράτωνος, φῶς εἶναι τὸ χρῶμα τοῖς ὑποκειμένοις ἐπιπῖπτον.

Ζήνων ὁ Στωικὸς τὰ χρώματα πρώτους εἶναι σχηματισμοὺς τῆς ὕλης.

Δημόκριτος φύσει μὲν μηδὲν εἶναι χρῶμα, τὰ μὲν γὰρ στοιχεῖα ἄποια, τά τε ναστὰ καὶ τὸ κενόν· τὰ δὲ ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι διαταγῇ τε καὶ ῥυθμῷ καὶ προτροπῇ, ὧν ἡ μέν ἐστι τάξις, ὃ δὲ σχῆμα, ἡ δὲ θέσις· παρὰ ταῦτα γὰρ αἱ φαντασίαι. Τούτων δὲ τῶν πρὸς τὴν φαντασίαν χρωμάτων τέτταρες αἱ διαφοραί, λευκοῦ, μέλα- [366]
νος, ἐρυθροῦ, ὠχροῦ.

Ἐπίκουρος καὶ Ἀρίσταρχος τὰ ἐν τῷ σκότῳ σώματα χρόαν οὐκ ἔχειν.

Ἀριστοτέλης πέρας ἐν ὡρισμένῳ διαφανεῖ, διαφανὲν δὲ ὕλην εἶναι διηθημένην καθαρὰν καὶ ἀμιγῆ, τούτου δὲ αὐτοῦ τὸ κινητικὸν χρῶμα ὑπάρχειν· ἐν δὲ τῷ

---

1 lemma *ἐμπεδοκλέους* add. P mrg | *σπόροις* F ‖ **2** *ἐναρμόττον* Plut. plac. l. s., *ἐναρμόττων* FP | post *ἐναρμόττον* iterant FP *τὰς δὲ διαφορὰς — τὰς τῶν τροφῶν ποικιλίας* (sic!) = p. 148, 17—19 | *δὲ* om. P ‖ **3** *ὠχρόν*] vide supra p. 148, 17 ‖ **4** lemma *πλάτων* add. P in textu | *τῶν* om. Heeren dormitanter ‖ **6** lemma *ἀριστάρχου σαμίου* add. P mrg ‖ **7** *ἐπιπίπτων* FP: corr. Canter ‖ **8** lemma *ζήνωνος* add. P in textu ‖ **10** lemma *δημοκρίτου* add. P mrg | *φύσιν* FP: *φύσει* Meineke | *χρώματα* FP: *χρῶμα, τὰ* Canter mrg ‖ **11** *ποιὰ* FP: *ἄποια* Heeren | *μεστὰ* FP: *ναστὰ* Diels ‖ **12** *κέχρωσται* FP: corr. Canter ‖ **13** *τροπῇ* Meineke coll. Aristot. de gen. et corr. I 2 | *ἡ δὲ σχῆμα* P, om. F: corr. Meineke ‖ **16** *ὠχροῦ*] cf. supra p. 148, 17 ‖ **17** lemma *ἐπικούρου καὶ ἀριστάρχου* add. P in textu ‖ **18** *χρώματα* FP: *σώματα* Usener coll. Plut. adv. Colot. 7, Philodem. *π. σημ.* 18, 8 Gomp. | *ἔχει* F ‖ **19. 20** *διαφανῆ* Heeren ‖ **20** ante *ὕλην* add. Canter *τὴν* | *διηθημένην* corruptum putat Diels ‖ **21** *τὸ* om. Heeren | *κινητὸν* FP: corr. Diels

σκότῳ τὰ σώματα χρόαν δυνάμει μὲν ἔχειν, ἐνεργείᾳ δὲ μηδαμῶς· πολὺ δὲ τὸ μεταξὺ τοῦ τε μὴ ἔχειν καὶ μὴ ὁρᾶσθαι.

Οἱ μὲν ἄλλοι τὰ στοιχεῖα κεχρῶσθαι φυσικῶς, οἳ δὲ τὰ ὁμοιομερῆ ποιότητος μετέχειν τὰ πρῶτα, οἳ δὲ τὰ ἄτομα πάντα συλλήβδην ἄχροα, ἐξ ἀποίων δὲ τῶν λόγῳ θεωρητῶν τὰς αἰσθητὰς ὑποφαίνουσι γίγνεσθαι ποιότητας.

2 *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 67[C]—68[D]).

Τέταρτον γὰρ δὴ λοιπὸν ἔτι γένος ἡμῖν αἰσθητικόν, ὃ διελέσθαι δεῖ συχνὰ ἐν αὐτῷ ποικίλματα κεκτημένον, ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων ἀπορρέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν· ὄψεως δ' ἐν τοῖς πρόσθεν αὐτῶν περὶ τῶν αἰτίων τῆς γενέσεως ὀλίγα ἐρρήθη. Τῇδε οὖν τῶν χρωμάτων πέρι μάλιστα εἰκὸς πρέποι τ' ἂν τὸν ἐπιεικῆ λόγον διεξελθεῖν· τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μόρια ἐμπίπτοντά τε εἰς τὴν ὄψιν τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω, τὰ δὲ ἴσα τοῖς αὐτοῖς τῆς ὄψεως μέρεσιν εἶναι. Τὰ μὲν οἷν ἴσα ἀναίσθητα, ἃ δὴ καὶ διαφανῆ λέγομεν· τὰ δὲ μείζω καὶ ἐλάττω, τὰ μὲν συγκρίνοντα, τὰ δὲ διακρίνοντα αὐτήν, τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς καὶ τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς καὶ ὅσα θερμαντικὰ ὄντα δριμέα ἐκαλέσαμεν ἀδελφὰ εἶναι, τά τε λευκὰ καὶ τὰ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει τὰ αὐτά, φανταζόμενα δὲ ἄλλα διὰ ταύτας τὰς αἰτίας. Οὕτως οὖν αὐτὰ προσρητέον, τὸ μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ' ἐναντίον αὐτοῦ μέλαν, τὴν δὲ ὀξυτέραν φορὰν

---

1 *χρώματα* FP: *σώματα* Usener cf. supra p. 149, 18 ‖ **2** *τοῦ μεταξὺ* FP: corr. cod. Vat. ‖ **4** *κεχρῶσθαι* P[2], *κεχρῆσθαι* FP ‖ **5** *ποιότητος* P[2], *ποιότητα* FP[1] ‖ **6** *τῶν λόγῳ* P[2], *τῶν λόγων* FP[1]: *τῷ λόγῳ* Heeren ‖ **10** *γὰρ* om. Plat. | *αἰσθητὸν* F ‖ **11** *αὐτῷ* Plat., *αὐτῷ* FP ‖ **13** *ἑκάστω* F ‖ **14** *αὐτῶν* Plat. cet., *αὐτὸ* FP Plat. *A* ‖ **15** *ὀλίγα* Plat. praeter *A* om. ‖ **16** *πρέποι τἂν* (*εἰκὸς* deleto) Meineke | *τὸν ἐπιεικῆ* FP Plat. *A*, *ἐπιεικεῖ* Plat. cet. ‖ **16. 17** *λόγον* P[2], *λόγῳ* FP[1] Plat. ‖ **19** *αὐτῆς* Plat. ‖ **21** *μείζονα* P ‖ **23** *ὄντα* om. P ‖ **25** *μέλαινα* F

καὶ γένους πυρὸς ἑτέρου προσπίπτουσαν καὶ διακρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀφθαλμῶν, αὐτάς τε τῶν ὀμμάτων p. 36 C. τὰς διεξόδους βίᾳ διωθοῦσαν καὶ τήκουσαν, πῦρ μὲν ἀθρόον καὶ ὕδωρ, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν, αὐτὴν δὲ οὖσαν πῦρ, ἐξ ἐναντίας ἀπαντῶσαν, καὶ τοῦ μὲν ἐκπηδῶντος πυρὸς οἷον ἀπὸ ἀστραπῆς, τοῦ δὲ εἰσιόντος καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου, παντοδαπῶν ἐν τῇ κυκήσει ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν, τὸ δὲ τοῦτο ἀπεργαζόμενον λαμπρόν τε καὶ στίλβον ἐπωνομάσαμεν. Τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένῃ, χρῶμα ἔναιμον παρασχομένῃ τοὔνομα ἐρυθρον λέγομεν. Λαμπρὸν δὲ ἐρυθρῷ λευκῷ τε μιγνύμενον ξανθὸν γέγονε. Τὸ δὲ ὅσον μέτρον ὅσοις, οὐδ' εἴ τις εἰδείη, νοῦν ἔχει τὸ λέγειν, ὧν μήτε τινὰ ἀνάγκην μήτε τὸν εἰκότα λόγον καὶ μετρίως ἄν τις εἰπεῖν εἴη δυνατός· ἐρυθρὸν δὲ δὴ μέλανι λευκῷ τε κραθὲν ἁλουργοῦν· ὄρφνινον δὲ ὅταν τούτοις μεμιγμένοις καυθεῖσί τε μᾶλλον συγκραθῇ μέλαν· πυρρὸν δὲ ξανθοῦ τε καὶ φαιοῦ κράσει γίγνεται, φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος· τὸ δὲ ὠχρὸν λευκοῦ ξανθῷ μιγνυμένου· λαμπρῷ δὲ λευκὸν συνελθὸν καὶ εἰς μέλαν κατακορὲς ἐμπεσὸν κυανοῦν χρῶμα ἀποτελεῖται· κυανοῦ δὲ λευκῷ κεραννυμένου γλαυκόν· πυρροῦ δὲ μέλανι πράσιον. Τὰ δ' ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι διασῴζοι τὸν εἰκότα μῦθον. Εἰ δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι, τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον.

---

2 *μέχρι τῶν ὀμμάτων* Plat. | *τῶν ὀφθαλμῶν* (post *τε*) Plat. ‖ 4 *ἀθρόον* Plat. (ubi vulg. post *ὕδωρ*) ‖ 8 *κινήσει* P ‖ 12 *οὔ* F Plat., *ὃν* P ‖ 13 *νοτῆδος* P^1 | *γῇ* P | *μιγνυμένου* Stephanus ‖ 14 *λαμπρόν τε* Plat. ‖ 16 *ἔχει* Plat. cod. quid., *ἔχειν* FP Plat. *A* ‖ 19 *ἁλουργοῦν* FP, *ἁλουργόν* Plat. *A* ‖ 22 *μεμιγμένοις* Gaisford ‖ 25 *πράσιος* P ‖ 28 *λαμβάνοι τὸ* Plat. cet., *λαμβάνοιτο τὸ* FP, *λαμβάνοιτο* Plat. *A* ‖ 29 *διάφορος* P

[368] # CAPVT XVII (XVIII Heeren.).

ΠΕΡΙ ΜΙΞΕΩΣ ΚΑΙ ΚΡΑΣΕΩΣ.

1 ⟨Aetii (I 17, 1—4 p. 315, 17 Diels.).⟩

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ κράσεις εἶναι τὰς τῶν στοιχείων μίξεις κατ' ἀλλοίωσιν.

⟨Οἱ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον⟩ τὰς κράσεις κατὰ παράθεσιν γίγνεσθαι τῶν στοιχείων.

Ἐμπεδοκλῆς καὶ Ξενοκράτης ἐκ μικροτέρων ὄγκων τὰ στοιχεῖα συγκρίνει, ἅπερ ἐστὶν ἐλάχιστα καὶ οἱονεὶ στοιχεῖα στοιχείων.

Πλάτων τὰ μὲν τρία σώματα τρεπτὰ εἰς ἄλληλα, πῦρ, ἀέρα, ὕδωρ· τὴν δὲ γῆν εἴς τι τούτων ἀμετάβλητον.

2 ⟨Arii Didymi (fr. phys. 4 p. 449 Diels.).⟩

[370] *Ἀριστοτέλους καὶ τῶν ἀπ' αὐτοῦ. Τὰ μὲν σώματά φασι θρυπτόμενα κατὰ μικρὰ μόρια παρατίθεσθαι ἀλλήλοις, τοῖς δ' ἀσωμάτοις λόγοις, εἴ τινές εἰσι λόγοι, συγκιρνᾶσθαι.*

3 ⟨Arii Didymi (fr. phys. 38 p. 469 Diels.).⟩

Ζήνωνα δὲ οὕτως ἀποφαίνεσθαι διαρρήδην· „τοιαύτην δὲ δεήσει εἶναι ἐν περιόδῳ τὴν τοῦ ὅλου διακόσμησιν ἐκ τῆς οὐσίας, ὅταν ἐκ πυρὸς τροπῇ εἰς ὕδωρ δι' ἀέρος

---

2 titulus iteratur in ind. flor. Laur. *M* 10 ‖ **4** lemma *θάλεω καὶ ἑτέρων* add. FP in textu | *κράσιν* FP: *κράσεις* corr. cod. Aug. ‖ **6** *Οἱ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον* om. FP: add. ex Plut. plac. I 17 Meineke ‖ **8** lemma *ἐμπεδοκλέους καὶ ξενοκράτους* add. P in textu | *μικροτάτων* Galen. hist. phil. 12 ‖ **11** lemma *πλάτωνος* add. P in textu ‖ **12** *ἀμετάβλητον* Plut., *τῶν ἀμεταβλήτων* FP ‖ **14** *καὶ οἱ ἀπ'* F ‖ **15** *φησι* P | *καὶ τὰ* FP: *κατὰ* Diels ‖ **16** *τοῖς δ' ἀσωμάτοις λόγοις* coni. Diels pro *τοὺς δ' ἀσωμάτους λόγους* ‖ **16. 17** *εἴ τινές εἰσι λόγοι* Heeren seclusit; tu cf. Meinekii adnot. cr. add. p. CCIX ‖ **16** *οἵ τινές* FP: *εἴ τινες* corr. cod. Aug. ‖ **17** *συγκιρνᾶσθαι* scripsi cum Meinekio coll. Laert. VII 158 pro *συγκρίνασθαι* ‖ **19** lemma *ζήνωνος* add. P | *ζήνων* P ‖ **20** *δὲ* del. Heeren | ante *τὴν* add. Diels *τινὶ* ‖ **21** *τροπῇ* FP: *τροπὴ* Heeren tamquam ex Aug., *τραπῇ* (deleto *γένηται*) Meineke coll. Laert. VII 142

γένηται, τὸ μέν τι ὑφίστασθαι καὶ γῆν συνίστασθαι, [καὶ] ἐκ τοῦ λοιποῦ δὲ τὸ μὲν διαμένειν ὕδωρ, ἐκ δὲ τοῦ ἀτμιζομένου ἀέρα γίγνεσθαι, λεπτυνομένου δὲ τοῦ ἀέρος πῦρ [372] ἐξάπτεσθαι, τὴν δὲ μῖξιν ⟨καὶ⟩ κρᾶσιν γίγνεσθαι τῇ εἰς ἄλληλα τῶν στοιχείων μεταβολῇ σώματος ὅλου δι' ὅλου τινὸς ἑτέρου διερχομένου."

Κλεάνθης (fr. phys. 13, II p. 11 Wachsm.) δὲ οὕτω πώς φησιν· ἐκφλογισθέντος τοῦ παντὸς συνίζειν τὸ μέσον αὐτοῦ πρῶτον, εἶτα τὰ ἐχόμενα ἀποσβέννυσθαι δι' ὅλου. Τοῦ δὲ παντὸς ἐξυγρανθέντος τὸ ἔσχατον τοῦ πυρός, ἀντιτυπήσαντος αὐτῷ τοῦ μέσου, τρέπεσθαι πάλιν εἰς τοὐναντίον, εἶθ' οὕτω τρεπόμενον ἄνω φησὶν αὔξεσθαι καὶ ἄρχεσθαι διακοσμεῖν τὸ ὅλον· καὶ τοιαύτην περίοδον αἰεὶ καὶ διακόσμησιν ποιουμένου τὸν ἐν τῇ τῶν ὅλων οὐσίᾳ p. 37 C. τόνον μὴ παύεσθαι. Ὥσπερ γὰρ ἑνός τινος τὰ μέρη πάντα φύεται ἐκ σπερμάτων ἐν τοῖς καθήκουσι χρόνοις, οὕτω καὶ τοῦ ὅλου τὰ μέρη, ὧν καὶ τὰ ζῷα καὶ τὰ φυτὰ ὄντα τυγχάνει, ἐν τοῖς καθήκουσι χρόνοις φύεται. Καὶ ὥσπερ τινὲς λόγοι τῶν μερῶν εἰς σπέρμα συνιόντες μίγνυνται καὶ αὖθις διακρίνονται γενομένων τῶν μερῶν, οὕτως ἐξ [374] ἑνός τε πάντα γίνεσθαι καὶ ἐκ πάντων [εἰς] ἓν συγκρίνεσθαι, ὁδῷ καὶ συμφώνως διεξιούσης τῆς περιόδου.

4 ⟨Arii Didymi (fr. phys. 28 p. 463 Diels.).⟩

Χρύσιππος δὲ τοιοῦτόν τι διεβεβαιοῦτο· εἶναι τὸ

---

1 *μέν τοι* F | *ὑφίσταται* FP: corr. Canter | *καὶ* ante *ἐκ* (2) del. Heeren ‖ **3** *ἔκ τινος δὲ τοῦ ἀέρος* FP: *λεπτυνομένου δὲ τοῦ ἀέρος* scripsi coll. Chrysipp. apud Plut. sto. rep. c. 41, 3, *λεπτυνθέντα δὲ τὸν ἀέρα* Usener ‖ **4** *ἐξάπτειν* FP: *ἐξάπτεσθαι* Diels cf. infra I 21, 5, *ἐξάττειν* Meineke | *καὶ* ante *κρᾶσιν* add. Diels ‖ **6** *τίνας* F ‖ **7** lemma *Κλεάνθου* add. P in textu ‖ **10** *ἐξυγραθέντος* P ‖ **12** *τρεπομένου* FP: corr. Canter ‖ **13** *τοσαύτην* FP: corr. Meineke ‖ **14** *ποιουμένου τοῦ πυρὸς* Cludius, Cleanth. p. 18 | *τοῦ* et **15** *τόνου* FP: *τὸν – τόνον* (sive *τοὺς – τόνους*) Meineke, cf. Zeller phil. Gr. III p. 119⁴ n. 2 et Hirzel, *Unters.* II p. 126 n. 1 ‖ **19** *σπέρματα* P ‖ **20** *γεινομένων* F, *γινομένων* P (quod probat Hirzel p. 127 n. 1): corr. Meineke ‖ **21** *τε* P², *τι* FP¹ | *ἐκ πάντων* del. Hirzel l. s. | *εἰς* seclusit Diels cum Meinekio ‖ **24** lemma *χρυσίππου* add. P in textu

ὂν πνεῦμα κινοῦν ἑαυτὸ πρὸς ἑαυτὸ καὶ ἐξ αὐτοῦ, ἢ πνεῦμα ἑαυτὸ κινοῦν πρόσω καὶ ὀπίσω· πνεῦμα δὲ εἴληπται διὰ τὸ λέγεσθαι αὐτὸ ἀέρα εἶναι κινούμενον· ἀνάλογον δὲ γίνεσθαι κἀπὶ τοῦ αἰθέρος, ὥστε καὶ εἰς κοινὸν λόγον πεσεῖν αὐτόν. Ἡ τοιαύτη δὲ κίνησις κατὰ μόνους γίνεται τοὺς νομίζοντας τὴν οὐσίαν πᾶσαν μεταβολὴν ἐπιδέχεσθαι καὶ σύγχυσιν καὶ σύστασιν καὶ σύμμιξιν καὶ σύμφυσιν καὶ τὰ τούτοις παραπλήσια. Διαφέρειν γὰρ ἀρέσκει τοῖς ἀπὸ τῆς Στωικῆς αἱρέσεως παράθεσιν, μῖξιν, κρᾶσιν, σύγχυσιν. Παράθεσιν μὲν γὰρ
[376] εἶναι σωμάτων συναφὴν κατὰ τὰς ἐπιφανείας, ὡς ἐπὶ τῶν σωρῶν ὁρῶμεν, ἐν οἷς πυροί τε καὶ κριθαὶ καὶ φακοὶ καὶ εἴ τινα τούτοις ἄλλα παραπλήσια περιέχεται καὶ τῶν ἐπὶ τῶν αἰγιαλῶν ψήφων καὶ ἄμμων. Μῖξιν δ' εἶναι δύο ἢ καὶ πλειόνων σωμάτων ἀντιπαρέκτασιν δι' ὅλων, ὑπομενουσῶν τῶν συμφυῶν περὶ αὐτὰ ποιοτήτων, ὡς ἐπὶ τοῦ πυρὸς ἔχει καὶ τοῦ πεπυρακτωμένου σιδήρου, ἐπὶ τούτων γὰρ ⟨δι'⟩ ὅλων γίγνεσθαι τῶν σωμάτων τὴν ἀντιπαρέκτασιν. Ὁμοίως δὲ κἀπὶ τῶν ἐν ἡμῖν ψυχῶν ἔχειν· δι' ὅλων γὰρ τῶν σωμάτων ἡμῶν ἀντιπαρεκτείνουσιν, ἀρέσκει γὰρ αὐτοῖς σῶμα διὰ σώματος ἀντιπαρήκειν. Κρᾶσιν δὲ εἶναι λέγουσι δύο ἢ καὶ πλειόνων σωμάτων ὑγρῶν δι' ὅλων ἀντιπαρέκτασιν τῶν περὶ αὐτὰ ποιοτήτων ὑπομενουσῶν· [Τὴν μὲν μῖξιν καὶ ἐπὶ ξηρῶν γίγνεσθαι σωμάτων, οἷον

---

1 αὐτοῦ P ‖ **2** πρόσω P² Aug., προσώπω FP¹ ‖ **3** αὐτὸ iterant FP: corr. Canter ‖ **4** κἄπειτα FP: κἀπὶ τοῦ Diels coll. infra v. 19 ‖ **5** αὐτὰ FP: corr. Hirzel p. 752 ‖ **7** χύσιν FP: σύγχυσιν Heeren ‖ **8** ἔμφυσιν P ‖ 8 sq. cf. Philo de confus. lingu. 37 I p. 433 ed. Mang. ‖ **12** σιρῶν Meineke ‖ **18** ὅλου F, ὅλον P: δι' ὅλων Meineke coll. v. 15, 19, 22 ‖ **19** ἔχει FP: corr. Usener ‖ **24** totum enuntiatum τὴν μὲν μῖξιν usque ad γίγνεσθαι τῶν ὑγρῶν (p. 155, 3), quod paucis argumentum eorum quae modo exposita sunt describit, neque novi quidquam addit neque ulla coniunctione cum antecedentibus copulatur, sed conexum turbat (γὰρ enim illud in p. 155 v. 3 ad τῶν περὶ αὐτὰ ποιητότων ὑπομενουσῶν v. 23 spectat) ut ex margine in textum oscitanter illatum seclusi ‖ **24** ante τὴν add. καὶ Meineke, post μὲν Heeren οὖν

πυρὸς καὶ σιδήρου, ψυχῆς τε καὶ τοῦ περιέχοντος αὐτὴν σώματος· τὴν δὲ κρᾶσιν ἐπὶ μόνων φασὶ γίνεσθαι τῶν ὑγρῶν·] συνεκφαίνεσθαι γὰρ ἐκ τῆς κράσεως τὴν ἑκάστου [378]
τῶν συγκραθέντων ὑγρῶν ποιότητα, οἷον οἴνου, μέλιτος,
ὕδατος, ὄξους, τῶν παραπλησίων. Ὅτι δ' ἐπὶ τοιούτων
κράσεων διαμένουσιν αἱ ποιότητες τῶν συγκραθέντων,
πρόδηλον ἐκ τοῦ πολλάκις ἐξ ἐπιμηχανήσεως ἀποχωρί-
ζεσθαι ταῦτα ἀπ' ἀλλήλων. Ἐὰν γοῦν σπόγγον ἡλαιω-
μένον καθῇ τις εἰς οἶνον ὕδατι κεκραμένον, ἀποχωρίσει
τὸ ὕδωρ τοῦ οἴνου ἀναδραμόντος τοῦ ὕδατος εἰς τὸν
σπόγγον. Τὴν δὲ σύγχυσιν δύο ⟨ἢ⟩ καὶ πλειόνων ποι-
οτήτων περὶ τὰ σώματα μεταβολὴν εἰς ἑτέρας διαφερούσης
τούτων ποιότητος γένεσιν, ὡς ἐπὶ τῆς συνθέσεως ἔχει
τῶν μύρων καὶ τῶν ἰατρικῶν φαρμάκων.

CAPVT XVIII (XIX Heeren.).

ΠΕΡΙ ΚΕΝΟΥ ΚΑΙ ΤΟΠΟΥ ⟨ΚΑΙ ΧΩΡΑΣ⟩. p. 38 C.

1ª ⟨Aetii (I 18, 1—3 p. 315, 32 Diels.).⟩

Οἱ ἀπὸ Θάλεω φυσικοὶ πάντες τὸ κενὸν ὡς ὄντως κενὸν ἀπέγνωσαν.

Ἐμπεδοκλῆς (v. 91 Stein.).

Οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει οὐδὲ περιττόν.

Δημόκριτος καὶ ἕτεροι, Λεύκιππος, Μητρό- [380]

---

3 τῶν κράσεων Vatic., Meineke ‖ **8** οὖν FP: γοῦν Meineke ‖ **8. 9** ἐλαιούμενον FP: corr. Meineke ‖ **9** ἀποχωρίσει P, ἀποχωρίση F ‖ **11** ἢ add. Meineke coll. p. 154, 22 ‖ **12** ἑτέρας P, ἑτέραν F ‖ **14** sequitur hic in FP Posidonii locus e cap. 20, 7 (infra p. 177, 21—p. 179, 17) temere iteratus ‖ **16** titulus iteratur in ind. flor. Laur. K 9 | καὶ χώρας om. FP, add. Phot. p. 112b 4 et flor. Laur. ‖ **18** hic lemma (θ)άλης καὶ ἕτεροι add. F in textu, θάλητος καὶ ἑτέρων P mrg | οἱ ἀπὸ θάλεω FP: Θαλῆς καὶ ἕτεροι cum cod. August. post Hecrenum vulg. | post πάντες add. Plut. plac. I 18 μέχρι Πλάτωνος ‖ **20** ἐμπεδοκλῆς F mrg, P in textu habet; praeterea P in textu add. lemma ἐμπεδοκλέους ‖ **21** κενεὸν Theodoret. IV 14, κενὸν FP ‖ **22** hic lemma (δ)ημόκριτος F, δημοκρίτου καὶ ἑτέρων P add.

δωρος, Ἐπίκουρος τὰ μὲν ἄτομα ἄπειρα τῷ πλήθει, τὸ δὲ κενὸν ἄπειρον τῷ μεγέθει.

1[b] ⟨Aetii (I 18, 4 p. 316, 8 et 19, 3 p. 317, 27 Diels.).⟩

Στράτων ἐξωτέρω μὲν ἔφη τοῦ κόσμου μὴ εἶναι κενόν, ἐνδοτέρω δὲ δυνατὸν γενέσθαι. — Τόπον δὲ εἶναι τὸ μεταξὺ διάστημα τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου.

1[c] ⟨Aetii (I 18, 6 p. 316, 14 Diels.).⟩

Ἀριστοτέλης ἐν τετάρτῳ Φυσικῆς ἀκροάσεως (c. 6 p. 213[b] 22) *γράφει· „εἶναι δέ φασιν οἱ Πυθαγόρειοι κενὸν καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι.“ Ἐν δὲ τῷ Περὶ τῆς Πυθαγόρου φιλοσοφίας πρώτῳ* (fr. 196 p. 1513[a] 29) *γράφει, τὸν μὲν οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι δὲ ἐκ τοῦ ἀπείρου χρόνον τε*
[382] *καὶ πνοὴν καὶ τὸ κενόν, ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί. Καὶ ἐν ἄλλοις λέγει, τόπον εἶναι τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον, ἢ ἐν ᾧ μένει τε καὶ κινεῖται τὰ σώματα, πλήρη μέν, ὅταν πανταχόθεν περιέχῃ τὸ σῶμα, κενὸν δέ, ὅταν μηθὲν ἔχῃ τὸ παράπαν ἐν ἑαυτῷ. Τόπον μὲν οὖν ἀναγκαῖον ὑπάρχειν καὶ σῶμα, κενὸν δὲ οὐδαμῶς, εἰ μὴ μόνον πρὸς νόησιν· ἀναιρετικὴν γὰρ εἶναι τὴν κατ᾽ ἐνδελέχειαν αὐτοῦ φύσιν τῆς τε τῶν ὄντων συμπαθείας καὶ τῆς τῶν σωμάτων ἀλληλουχίας· τὰς δὲ κινήσεις γίνεσθαι τὰς κατὰ τόπον [κατὰ τὸ πρότερον] ἀντιπεριισταμένων ἀλλήλοις τῶν σωμάτων. Ἄπειρον δὲ οὐθὲν ἀπολείπει οὔτε κατὰ τὸ πλῆθος οὔτε κατὰ τὸ μέγεθος.*

1[d] ⟨Aetii (I 18, 5 p. 316, 11 et 20, 1 p. 317, 31 Diels.).⟩

Ζήνων καὶ οἱ ἀπ᾽ αὐτοῦ ἐντὸς μὲν τοῦ κόσμου μηδὲν εἶναι κενόν, ἔξω δ᾽ αὐτοῦ ἄπειρον. — Διαφέρειν δὲ

---

4 hic lemma *στράτωνος* F in textu, P mrg add. ‖ **7** horum pars videtur Ario tribuenda esse cf. Diels l. s. ‖ **8** hic lemma *ἀριστοτλ* FP mrg add. ‖ **9** *δ᾽ ἔφασαν καὶ* Arist. ‖ **10** *ἐπεισιέναι αὐτὸ* Arist., *ἐτήσιον ἐν αὐτῷ* FP ‖ **12. 13** *τὸν δὲ οὐρανὸν* FP: *τὸν μὲν οὐρανὸν* Heeren ‖ **14** *καὶ πνοὴν*] *τῇ πνοῇ* Heeren ‖ **16** *περά* P[1] ‖ **17** *περιέχει* F ‖ **20** *προνόησιν* P ‖ **23** *κατὰ τὸ πρότερον* del. Usener; de binis lectionibus archetypi cf. *Stud.* p. 66 | *ἀντιπεριισταμένων* P[2], *ἀντιπερισταμένας* FP[1] ‖ **27** hic add. FP lemma *ζήνωνος καὶ ἑτέρων*

κενόν, τόπον, χώραν· καὶ τὸ μὲν κενὸν εἶναι ἐρημίαν σώματος, τὸν δὲ τόπον τὸ ἐπεχόμενον ὑπὸ σώματος, τὴν p. 39 C.
δὲ χώραν τὸ ἐκ μέρους ἐπεχόμενον.

1[e] *Θαλῆς ἐρωτηθείς, Τί τὸ μέγιστον; ἔφησε, Τόπος·* [384]
τἆλλα μὲν γὰρ ὁ κόσμος, τὸν δὲ κόσμον οὗτος περιέχει.

2 *Ἑρμοῦ ἐκ τῶν πρὸς Ἀσκληπιόν* (p. 18[b] Patrit., p. 19 Parthey.).

⟨ἙΡΜ.⟩ Πᾶν τὸ κινούμενον, ὦ Ἀσκληπιέ, οὐκ ἔν τινι κινεῖται καὶ ὑπό τινος;

⟨ΑΣΚΛ.⟩ Μάλιστα.

⟨ἙΡΜ.⟩ Οὐκ ἀνάγκη δὲ μεῖζον εἶναι ⟨τὸ⟩ ἐν ᾧ κινεῖται ⟨ἢ⟩ τὸ κινούμενον;

⟨ΑΣΚ.⟩ Ἀνάγκη.

⟨ἙΡΜ.⟩ Ἰσχυρότερον ἄρα τὸ κινοῦν τοῦ κινουμένου;

⟨ΑΣΚ.⟩ Ἰσχυρότερον γάρ.

⟨ἙΡΜ.⟩ Ἐναντίαν δὲ ἔχειν φύσιν ἀνάγκη τὸ ἐν ᾧ κινεῖται τῇ τοῦ κινουμένου;

⟨ΑΣΚ.⟩ Καὶ πάνυ.

⟨ἙΡΜ.⟩ Μέγας οὖν οὗτος ⟨ὁ⟩ κόσμος, οὗ μεῖζον οὐκ ἔστι σῶμα;

⟨ΑΣΚ.⟩ Ὁμολόγηται.

⟨ἙΡΜ.⟩ Καὶ στιβαρός; πεπλήρωται γὰρ ἄλλων σωμάτων μεγάλων πολλῶν, μᾶλλον δὲ πάντων ὅσα ἐστὶ σώματα;

⟨ΑΣΚ.⟩ Οὕτως ἔχει.

⟨ἙΡΜ.⟩ Σῶμα δὲ ὁ κόσμος;

⟨ΑΣΚ.⟩ Σῶμα.

⟨ἙΡΜ.⟩ Καὶ κινούμενον;

⟨ΑΣΚ.⟩ Μάλιστα.

---

1 *χώρας* P | ante *ἐρημίαν* add. *ἐν* P ‖ **4** hic lemma *Θάλητος* FP mrg add. ‖ **6** *Ἀσκληπιὸν* FP, *Τὰτ* Herm. cod. *AB* ‖ **8** personarum distinctiones (in Herm. *B* obviae sed *Τάτ* pro *Ἀσκληπιός* scripto) hic et infra semper in FP desunt, item in Herm. *A*: add. Heeren et Parthey | *οὐκ* om. Patr. ‖ **11** *μείζων* P[1] | *τὸ* om. FP, add. Herm. ‖ **12** *ἢ* om. FP, add. Herm. ‖ **14** *ἆρα* Patr. ‖ **16** *ἔχειν φύσιν* FP Herm.: *φύσιν ἔχειν* Gaisford et Herm. Patr. | *τὴν* FP Herm.: *τὸ* scripsi ‖ **19** *ὁ* om. FP, add. Herm. | *μείζων* F ‖ **25–27** *σῶμα δὲ ὁ κόσμος, σῶμα καὶ (σῶμα δὲ* cod. Aug. ut Herm. Patr.) *κινούμενον;* FP

⟨Ἑρμ.⟩ *Πηλίκον οὖν δεῖ τὸν τόπον εἶναι ἐν ᾧ κινεῖται καὶ ποταπὸν τὴν φύσιν; Οὐ πολὺ μείζονα, ἵνα δυνηθῇ δέξασθαι τῆς φορᾶς τὴν συνέχειαν καὶ μὴ θλιβόμενον τὸ κινούμενον ὑπὸ τῆς στενότητος ἐπίσχῃ τὴν κίνησιν;*

⟨Ἀσκ.⟩ *Παμμέγεθές τι χρῆμα, ὦ Τρισμέγιστε.*

⟨Ἑρμ.⟩ *Ποταπῆς δὲ φύσεως; τῆς ἐναντίας ἆρα, ὦ Ἀσκληπιέ; σώματι δὲ ἐναντία φύσις τὸ ἀσώματον;*

⟨Ἀσκ.⟩ *Ὁμολόγηται.*

[386] ⟨Ἑρμ.⟩ *Ἀσώματος οὖν ὁ τόπος, τὸ δὲ ἀσώματον ἢ ⟨τὸ⟩ θεῖόν ἐστιν ἢ ὁ θεός. Τὸ δὲ θεῖον λέγω νῦν οὐ τὸ γενητόν, ἀλλὰ τὸ ἀγένητον.*

3 *Ἐν ταὐτῷ* (p. 19 Patrit., p. 25 Parthey.).

⟨Ἑρμ.⟩ *Οὐδὲ ἓν τῶν ὄντων ἐστὶ κενὸν τῷ τῆς ὑπάρξεως λόγῳ· τὸ δὲ ὂν οὐκ ἂν ἠδύνατο εἶναι ὄν, εἰ μὴ μεστὸν τῆς ὑπάρξεως ἦν· τὸ γὰρ ὑπάρχον κενὸν οὐδέποτε γενέσθαι δύναται.*

⟨Ἀσκ.⟩ *Οὐκ ἔστιν οὖν κενά τινα, ὦ Τρισμέγιστε, οἷον κάδος καὶ κέραμος καὶ ληνὸς καὶ τὰ ἄλλα τὰ παραπλήσια;*

⟨Ἑρμ.⟩ *Φεῦ τῆς πολλῆς πλάνης, ⟨ὦ⟩ Ἀσκληπιέ· τὰ μᾶλλον πληρέστατα καὶ μεστότατα, ταῦτα κενὰ ἡγῇ εἶναι;*

⟨Ἀσκ.⟩ *Πῶς λέγεις, ὦ Τρισμέγιστε;*

⟨Ἑρμ.⟩ *Οὐ σῶμά ἐστιν ὁ ἀήρ;*

⟨Ἀσκ.⟩ *Σῶμα.*

---

4 *στερότητος ἐπισχεῖ* Patr. | *ἐπίσχῃ* FP ‖ **6** *(π)αμμεγεθές* F ‖ **7** *ἆρα* scripsi ex Herm. pro *ἄρα* ‖ **11** *τὸ* ante *θεῖον* add. Meineke | *ὁ* om. P et Herm. ‖ **11. 12** *οὐ τὸν* F ‖ **12** *γεννητὸν* et *ἀγέννητον* FP ‖ **14** de personarum distinctione vide supra ad p. 157 v. 8 adnotata | *οὐδὲν δὲ τῶν ὄντων* Herm. ‖ **14. 15** *τῷ τῆς ὑπάρξεως λόγῳ* om. Herm., qui add. *μόνον δὲ τὸ μὴ ὂν κενόν ἐστι καὶ ξένον τῆς ὑπάρξεως* (quae hic fort. interciderunt) ‖ **19** *κάδδος κενὸς* Herm. | *κέραμος κενὸς* F Herm. | ante *καὶ ληνὸς* add. *καὶ φρέαρ κενὸν* Herm. Patr. | *ληνὸς*] *ποταμὸν ὅλον* Herm. *AB* | post *ἄλλα* add. *πάντα* Herm. *AB* ‖ **21** *σπάνης* F | *ὦ* om. FP ‖ **22** *μᾶλλον* om. Patr. | *μεστότατα*] *μέγιστα ὄντα* Herm. praeter Patr. | *ταῦτα* om. Patr. ‖ **25** *σῶμα* om. Herm. praeter Patr.

〈ΕΡΜ.〉 *Τοῦτο δὲ τὸ σῶμα οὐ διὰ πάντων διήκει τῶν ὄντων καὶ πάντα διῆκον πληροῖ; σῶμα δὲ οὐκ ἐκ τῶν τεσσάρων κεκραμένον συνέστηκε; Μεστὰ οὖν πάντα ἐστίν, ἃ σὺ φῂς κενά, τοῦ ἀέρος, εἰ δὲ τοῦ ἀέρος, καὶ τῶν τεσσάρων σωμάτων· καὶ συμβαίνει ὁ ἐναντίος λόγος ἐκφαίνεσθαι, ὅτι ἃ σὺ φῂς μεστά, ταῦτα πάντα κενά ἐστι τοῦ ἀέρος ἐκείνων ὑπ' ἄλλων σωμάτων στενοχωρουμένων καὶ μὴ ἐχόντων τόπον δέξασθαι τὸν ἀέρα. Ταῦτα οὖν, ἃ* [388] *σὺ φῂς 〈κενά〉, κοῖλα δεῖ ὀνομάζειν, οὐ κενά· ὑπάρξει γὰρ μεστά ἐστιν ἀέρος καὶ πνεύματος.*

〈ΑΣΚ.〉 *Ἀναντίρρητος ὁ λόγος, ὦ Τρισμέγιστε. Τὸν οὖν τόπον, ἐν ᾧ κινεῖται τὸ πᾶν, τί εἴπωμεν;*

〈ΕΡΜ.〉 *Ἀσώματον, 〈ὦ〉 Ἀσκληπιέ.*

〈ΑΣΚ.〉 *Τὸ οὖν ἀσώματον 〈τί〉 ἐστι;*

〈ΕΡΜ.〉 *Νοῦς 〈καὶ λόγος〉, ὅλος ἐξ ὅλου ἑαυτὸν ἐμπεριέχων, ἐλεύθερος σώματος παντός, ἀπλανής, ἀπαθής, ἀναφής, αὐτὸς ἐν ἑαυτῷ ἑστώς, συγχωρητικὸς πάντων καὶ σωτήριος τῶν ὄντων, οἷ ὥσπερ ἀκτῖνές εἰσι τὸ ἀγαθόν, ἡ ἀλήθεια, τὸ ἀρχέτυπον φῶς, τὸ ἀρχέτυπον τῆς ψυχῆς.*

---

3 post *τεσσάρων* add. Herm. *AB* *σωμάτων* | *συνέστηκε* om. Herm. *AB* | *μεστὰ*] *δὲ μετὰ* P ‖ **6** *μεστὰ* Herm., *μετὰ* FP ‖ **7** *ἀπ'* Patr. ‖ **8** *ἐχόντων δέξασθαι τὸν ἀέρα ἐν τόπῳ αὐτῶν* Herm. (quod corrigas *τόπον ἐν αὑτῷ*) | *τόπον* Herm. *B* mrg, *τοῦτον* FP: *τούτῳ* Heeren ‖ **9** *κενὰ* ante *κοῖλα* addidi coll. supra v. 4 et 6 (*εἶναι κενὰ* add. Herm.) | *οὐ*] *οὔπω* Heeren oscitanter ‖ **9. 10** *ὑπάρχει γὰρ καὶ* Herm. ‖ **11** *ἐναντίρρητος* P¹ ‖ **11—15** cum Heereno vulgo verba *τὸν οὖν τόπον – εἴπωμεν* tribuunt Mercurio, v. 13 *ἀσώματον, ὦ Ἀσκληπιὲ* (quod mutant in *Τρισμέγιστε*) Aesculapio, denique v. 14. 15 *τὸ οὖν ἀσώματόν ἐστι νοῖς κτλ.* Mercurio (Meineke v. 14 Mercurio, v. 15—19 Aesculapio); restitui Hermetis cod. *B* distinctionem ‖ **11** post *Τρισμέγιστε* Herm. nonnulla add. ‖ **12** *τὸ πᾶν κινεῖται* Herm. | *εἴπομεν* FP ‖ **13** *ὦ* om. FP ‖ **14** *τί* add. ex Herm. Mein. ‖ **15** *ὁ νοῦς* Patr. | *καὶ λόγος* add. ex Herm. Meineke ‖ **16** post *ἀπαθὴς* add. Herm. *σώματι καὶ* ‖ **17** *ἀναφὴς* scripsi ex Herm. pro *ἀφανὴς* | *ἑστηκὼς* Heeren oscitanter | *χωρητικὸς* P et Herm. | *τῶν πάντων* Herm. ‖ **18** *οὗ ὥσπερ* FP, *οὗπερ* Herm. *AB* ‖ **19** *φῶς* Herm., *πνεύματος* FP | *τῆς* om. F

〈ΑΣΚ.〉 Ὁ οὖν θεὸς τί ἐστιν;

〈ΕΡΜ.〉 Ὁ μηδὲ ἓν τούτων ὑπάρχων, ὢν δὲ καὶ τοῦ εἶναι τούτοις αἴτιος καὶ πᾶσι καὶ ἑνὶ ἑκάστῳ τῶν ὄντων πάντων.

4ᵃ 〈Aetii (I 20, 2 p. 318, 1 Diels.).〉

Ἐπίκουρος ὀνόμασι [πᾶσιν] παραλλάττειν κενόν, τόπον, χώραν.

4ᵇ 〈Aetii (II 9, 1—3 p. 338, 13 Diels.).〉

[390] Οἱ 〈ἀπὸ〉 Πυθαγόρου ἐκτὸς εἶναι τοῦ κόσμου κενόν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ.

Οἱ Στωικοὶ εἶναι κενόν, εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται ὁ κόσμος, ἄπειρον ὄν.

Ποσειδώνιος ἔφησε τὸ ἐκτὸς τοῦ κόσμου οὐκ ἄπειρον, ἀλλ' ὅσον αὔταρκες εἰς διάλυσιν.

4ᶜ 〈Aetii (I 19, 1 p. 317, 23 et II 9, 4 p. 338, 22 Diels.) et Platonis Timaei.〉

Πλάτων τόπον εἶναι τὸ μεταληπτικὸν τῶν εἰδῶν,
p. 40 C. ὅπερ εἴρηκε μεταφορικῶς τὴν ὕλην, καθάπερ τινὰ τιθήνην καὶ δεξαμενήν. — Κενὸν δὲ μὴ εἶναι μήτε ἐκτὸς τοῦ κόσμου, μήτε ἐν τῷ κόσμῳ.

Λέγει γὰρ ἐν τῷ Τιμαίῳ (p. 32ᶜ—33ᴬ) οὕτως· „Τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθείς, πρῶτον μέν, ἵνα ὅλον ὅ τι μάλιστα ζῷον τέλειον ἐκ τελείων τῶν

1—4 uni Aesculapio vulgo tribuunt, Meineke v. 1 Mercurio, 2—4 Aesculapio; restitui Hermetis cod. *B* distinctionem ‖ **1** ὁ οὖν θεὸς Herm., ταῦτ' οὖν FP | τί om. Herm. *AB* ‖ **2** ὃ FP | ὑπάρχων, ὢν Herm., ὤν, ὤν FP ‖ **3** τούτοις FP, τοίτων Herm. *AB* | post αἴτιος add. ὢν FP quod om. Herm. | ἓν FP, ἐπὶ Herm. *AB*: ἑνὶ Patr. | post ἑκάστῳ add. Herm. *AB* μέρει ἐφ' ἕκαστον τούτων ‖ **4** πάντων om. Patr. ‖ **6** lemma ἐπικούρου add. P mrg | πᾶσιν del. Usener ‖ **9** lemma πυθαγ add. P mrg | ἀπὸ add. Diels ‖ **10** (κ)αὶ F ‖ **11** lemma στωικῶν add. P mrg ‖ **12** ἄπειρος ὤν FP: ἄπειρον ὄν Heeren | **13** lemma ποσειδωνίου add. P mrg ‖ **17** lemma πλάτων add. P mrg ‖ **18** εἴρηται P¹ ‖ **21** ἐν τῷ Τιμαίῳ om. P in lac. 5 litt. ‖ **26** τέλεον ἐκ τελέων Plat.

μερῶν εἴη· πρὸς δὲ τούτοις ἓν ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν. — (ibid. p. 33[B]) Λεῖον δὲ κύκλῳ πᾶν ἔξωθεν αὐτὸ ἀπηκριβοῦτο πολλῶν χάριν. Ὀμμάτων τε γαρ ἐπεδεῖτο οὐδέν, ὁρατόν [τε] γὰρ οὐθὲν ἔξωθεν ὑπελείπετο· οὐδ' ἀκοῆς, οὐδὲ ⟨γὰρ⟩ ἀκουστόν· πνεῦμά τε οὐκ ἦν περιεστὼς δεόμενον ἀναπνοῆς.

4[d] ⟨Arii Didymi (epit. fr. phys. 25 p. 460 Diels.)⟩

Χρυσίππου. Τόπον δ' εἶναι ὁ Χρύσιππος ἀπεφαίνετο τὸ κατεχόμενον δι' ὅλου ὑπὸ ὄντος ἢ τὸ οἷόν ⟨τε⟩ κατέχεσθαι ὑπὸ ὄντος καὶ δι' ὅλου κατεχόμενον εἴτε ὑπὸ [392] τινὸς ⟨εἴτε⟩ ὑπὸ τινῶν. Ἐὰν δὲ τοῦ οἷόν τε κατέχεσθαι ὑπὸ ὄντος τὶ μὲν κατέχηται, τὶ δὲ μή, τὸ ὅλον ⟨οὔτε⟩ κενὸν ἔσεσθαι οὔτε τόπον, ἕτερον δέ τι οὐκ ὠνομασμένον· τὸ μὲν γὰρ κενὸν τοῖς κενοῖς ἀγγείοις λέγεσθαι παραπλησίως, τὸν δὲ τόπον τοῖς πλήρεσι· χώραν δὲ πότερον τὸ μεῖζον οἷόν τε κατέχεσθαι ὑπὸ ὄντος καὶ οἷον μεῖζον ἀγγεῖον σώματος, ἢ τὸ χωροῦν μεῖζον σῶμα; Τὸ μὲν οὖν κενὸν ἄπειρον εἶναι λέγεσθαι· τὸ γὰρ ἐκτὸς τοῦ κόσμου τοιοῦτ' εἶναι· τὸν δὲ τόπον πεπερασμένον διὰ τὸ μηδὲν σῶμα ἄπειρον εἶναι. Καθάπερ δὲ τὸ σωματικὸν πεπερασμένον εἶναι, οὕτως τὸ ἀσώματον ἄπειρον, ὅ τε γὰρ χρόνος ἄπειρος καὶ τὸ κενόν. Ὥσπερ γὰρ τὸ μηδὲν οὐδέν ἐστι πέρας, οὕτως οὐδὲ τοῦ μηδενός, οἷόν ἐστι τὸ κενόν. Κατὰ γὰρ τὴν αὐτοῦ ὑπόστασιν ἄπειρόν ἐστι· περατοῦται δ' αὖ τοῦτο ἐκπληρούμενον· τοῦ δὲ πληροῦντος ἀρθέντος [394] οὐκ ἔστιν αὐτοῦ νοῆσαι πέρας.

---

1 εἴη P, εἰσὶ F ‖ **3** δὲ δὴ Plat. | ἀπηκριβοῦτο Plat., ἀπηκριμῶτο F, ἀπηκριμᾶτο P ‖ **4** τε post ὁρατὸν om. Plat.: seclusi ‖ **5** ὑπελείπετο ἔξωθεν Plat. | γὰρ add. Plat. ‖ **6** περιεστὼς FP, περιεστὸς Plat. ‖ **8** lemma χρυσίππου in textu FP habent ‖ **9** διόλου P | οἷον FP: οἷόν ⟨τε⟩ Diels ‖ **11** εἴτε post τινὸς add. Heeren | οἷον τε FP ‖ **12** οὔτε ante κενὸν (13) add. Canter int. lat. ‖ **13** ἔσται et τόπος FP: corr. Usener | δέ τε FP: δέ τι Canter ‖ **14** αἰτίοις FP: ἀγγείοις Canter ‖ **17** αἴτιον FP: ἀγγεῖον Canter | μεῖζον σώματι P ‖ **19** τοιοῦτ' F, τοῦ ὀντ' P ‖ **22** οὐδὲν] οὐδὲ ἓν F, ἓν P: corr. Canter ‖ **23** οὕτως δὲ FP: οὕτως οὐδὲ Usener, οὕτως καὶ vulgo cum Aug. ‖ **24** αὐτοῦ FP: corr. Diels ‖ **25** αὖ τοῦτο F. αὐτοῦ τὸ P

CAPVT XIX (XX Heeren.).

ΠΕΡΙ ΚΙΝΗΣΕΩΣ.

1 ⟨Aetii (I 23 p. 318, 30 Diels.).⟩

Πυθαγόρου. Κίνησίς ἐστι διαφορότης ἢ ἑτερότης ἐν ὕλῃ, ᾗ ἔστιν ὕλη. Οὗτος πάσης κινήσεως κοινὸς ὅρος.

Δημόκριτος ἓν γένος κινήσεως τὸ κατὰ παλμὸν ἀπεφαίνετο. Ἐπίκουρος δύο εἴδη κινήσεως, τὸ κατὰ στάθμην καὶ τὸ κατὰ παρέγκλισιν. Εἰσὶ δέ τινες, οἳ καὶ τέταρτον εἶδος εἰσάγουσι, τὸ κατ' οὐσίαν, ὅπερ ἐστὶ τὸ
[396] *κατὰ γένεσιν. Ἄλλοι δὲ καὶ τὴν διανοητικὴν προστιθέασι, μέχρι γὰρ τῶν πέντε προὔβησαν.*

Διόδωρος ὁ Κρόνος κεκινῆσθαι μέν τι, κινεῖσθαι δὲ μηδέν.

Ἡράκλειτος ἠρεμίαν μὲν καὶ στάσιν ἐκ τῶν ὅλων ἀνῄρει, κίνησιν δὲ τοῖς πᾶσιν ἀπεδίδου.

Ἡρόφιλος κινήσεως τὴν μὲν λόγῳ θεωρητήν, τὴν δὲ αἰσθητήν.

Ἀσκληπιάδης πᾶσαν κίνησιν αἰσθητὴν ἀπεφήνατο.

Ἀριστοτέλης τὴν κίνησιν ἐνέργειαν εἶναι τοῦ δυνάμει κινητοῦ ᾗ κινητόν. Τῶν δὲ κινήσεων τὰς μὲν εἶναι
[398] *κατὰ τὸ ποσόν, τὰς δὲ κατὰ τὸ ποιόν, τὰς δὲ κατὰ τόπον. Κατὰ μὲν τὸ ποσὸν αὔξησιν καὶ μείωσιν, ἐν προσθέσει*

---

1 titulus iteratur in ind. flor. Laur. *K* 10 ‖ **4** *πυθαγόρας* F, *πυθαγόρου. πυθαγόρας* P, qui post *ὕλη* (v. 5) add. *ἔφασκε* | *διαφερότης* FP: corr. Heeren ‖ **6** hic lemma *δημοκρίτου* add. P | *κατὰ πληγὴν* Gassendus ad Laert. l. X p. 211 ‖ **7** hic lemma *ἐπικούρου* add. P | *κινήσεων* F ‖ **8** post *παρέγκλισιν* putat Meineke tertium motus genus intercidisse (et spatium vacuum est in P); sed primum est Democriteum, cf. Diels Add. p. 853 ‖ **10** *διανοητικὴν*] cf. Didym. (fr. phys. 16) in Stob. ecl. I 58 ‖ **12** lemma *διοδώρου* add. P mrg | *κεκινεῖσθαι* FP: corr. Gaisford | *μέν τι οι* F | *κινῆσθαι* P ‖ **14** lemma *ἡρακλείτου* add. P ‖ **16** lemma *ἡροφίλου* add. P mrg ‖ **18** lemma *ἀσκληπιάδ* add. P mrg ‖ **19**—p. **163, 13** haec fort. rectius Ario tribuas cf. Diels p. 319 n. ‖ **19** lemma *ἀριστοτέλ* add. P mrg ‖ **20** *κινητικοῦ ἢ κινητὸν* FP^1, *κινητικοῦ ᾗ κινητικόν* P^2, *κινητικοῦ ἢ κινητοῦ* P^2 mrg: *κινητοῦ ᾗ κινητόν* Diels coll. Arist. phys. III 2 p. 202^a 8 ‖ **22** *προθέσει* FP: corr. Gaisford

τινὶ θεωρουμένην καὶ ἀφαιρέσει· κατὰ δὲ τὸ ποιὸν ἀλλοίωσιν καὶ μεταβολήν, ὡς τὴν ἐκ θερμοῦ εἰς ψυχρόν, ἐκ γλυκέος εἰς πικρόν· κατὰ δὲ τόπον, ἣν ἰδιώτερον φορὰν ὠνόμασε (phys. VIII 7 p. 260[a] 28), *καθ' ὃν ἐξ οὗ εἰς ὃ μεταβαίνει τὰ κινούμενα. Ταύτης δὲ τρεῖς εἶναι διαφοράς, ὧν δύο μὲν ἁπλᾶς, τήν τε κατ' εὐθεῖαν καὶ τὴν ἐν κύκλῳ, μίαν δὲ μικτήν· ⟨κατ'⟩ εὐθεῖαν μὲν τὴν ἄνω καὶ κάτω κατά τε κουφότητα καὶ βαρύτητα τῶν σωμάτων, ἐν κύκλῳ δὲ τὴν περιφερῆ, μικτὴν δὲ τὴν κατ' ἔγκλισιν· τῆς δὲ κατὰ τόπον κινήσεως τὴν μὲν ἀπὸ τοῦ μέσου γίνεσθαι, τὴν δὲ ἐπὶ τὸ μέσον,* p. 41 C. *τὴν δὲ περὶ τὸ μέσον· πυρὸς μὲν οὖν καὶ ἀέρος ἀπὸ τοῦ μέσου, γῆς καὶ ὕδατος ἐπὶ τὸ μέσον, τοῦ πέμπτου [ὅλον] περὶ τὸ μέσον. Τούτοις δὲ πληροῦσθαι τὸν ὅλον κόσμον.*

2 *Ἑρμοῦ ἐκ τοῦ πρὸς Ἀσκληπιόν* (p. 18[b] Patrit., p. 21, 12 Parthey.).

⟨ΕΡΜ.⟩ Πᾶν τὸ κινούμενον οὐκ ἐν κινουμένῳ κινεῖται, ἀλλὰ ἐν ἑστῶτι· καὶ τὸ κινοῦν δὴ ἕστηκεν, ἀδυνατοῦν [400] *συγκινεῖσθαι.*

⟨ΑΣΚ.⟩ Πῶς οὖν, ὦ Τρισμέγιστε, τὰ ἐνθάδε συγκινεῖται τοῖς κινουμένοις; τὰς γὰρ σφαίρας ἔφης τὰς πλανωμένας κινεῖσθαι ὑπὸ τῆς ἀπλανοῦς σφαίρας.

⟨ΕΡΜ.⟩ Οὐκ ἔστιν αὕτη, ὦ Ἀσκληπιέ, συγκίνησις, ἀλλ' ἀντικίνησις· οὐ γὰρ ὁμοίως κινοῦνται, ἀλλ' ἐναντίως ἀλλήλαις. Ἡ δὲ ἐναντίωσις τὴν ἀντέρεισιν τῆς κινήσεως ἑστῶσαν ἔχει· ἡ γὰρ ἀντιτυπία στάσις φορᾶς. Διὸ καὶ αἱ πλανώμεναι σφαῖραι ἐναντίως κινούμεναι ἀλλήλαις ὑπὸ τῆς ἀπλανοῦς, τῇ ἐναντίᾳ ὑπαντήσει περὶ τὴν ἐναντιότητα

---

3 ἣν P[2], ἂν FP[1]: ἣν δὴ Meineke ‖ **7** κατ' addidi ‖ **9** κατάλυσιν FP: κατ' ἔγκλισιν Canter int. lat. ‖ **12** post γῆς add. δὲ Meineke | τὸ δὲ ὅλον FP: τοῦ πέμπτου (i. e. τοῦ π̄ corruptum in τὸ δὲ) Usener (ὅλον del.) ‖ **13** κληροῦσθαι FP: corr. Heeren, τελειοῦσθαι Canter | κόσμον ὅλον F ‖ **16** personarum distinctiones add. Herm. ‖ **17** δὲ FP: δὴ scripsi ex Herm. | ἀδύνατον FP, ἀδυνατὸν γὰρ αὐτῷ Herm.: correxi ‖ **20** κινουμένοις Herm., κινοῦσιν FP ‖ **22** κίνησις Herm. ‖ **23** ἀλλ' ἀντικίνησις om. P | ἐναντίαι Herm. *A* ‖ **24** ἐναντίωσις Herm., ἐναντίως FP ‖ **25** στάσεώς ἐστι φορά Herm. | διὸ καὶ om. Herm. ‖ **26** αἱ om. FP[1], add. P[2] Herm. ‖ **26. 27** ἀλλήλαις ὑπὸ τῆς ἀπλανοῦς, scripsi pro τῇ ἀπλανεῖ, ὑπ' ἀλλήλων

ἑστῶσαν αὐτὴν ὑπ' αὐτῆς κινοῦνται. Τὰς γὰρ ἄρκτους ταύτας, ἃς ὁρᾷς μήτε δυνούσας μήτε ἀνατελλούσας, περὶ δὲ τὸ αὐτὸ στρεφομένας, οἴει κινεῖσθαι ἢ ἑστάναι;

〈ΑΣΚ.〉 Κινεῖσθαι, ὦ Τρισμέγιστε.

〈ΕΡΜ.〉 Κίνησιν ποίαν, ὦ Ἀσκληπιέ;

〈ΑΣΚ.〉 Τὴν περὶ τὸ αὐτὸ ἀναστρεφομένην.

[402] 〈ΕΡΜ.〉 Ἡ δὲ περιφορὰ ἡ περὶ τὸ αὐτὸ κίνησίς ἐστιν ὑπὸ στάσεως κατεχομένη· τὸ γὰρ περὶ αὐτὸ κωλύει τὸ ὑπὲρ αὐτό, οὕτω καὶ ἡ ἐναντία φορὰ ἕστηκεν ἑδραία, ὑπὸ τῆς ἐναντιότητος στηριζομένη. Παράδειγμα δέ σοι ἐπίγειον τοῖς ὀφθαλμοῖς ἐμπῖπτον φράσω· τὰ ἐπίγεια ζῷα, οἷον τὸν ἄνθρωπον λέγω, νηχόμενα θεώρησον· φερομένου γὰρ τοῦ ὕδατος ἡ ἀντιτυπία τῶν ποδῶν καὶ τῶν χειρῶν στάσις γίνεται τῷ ἀνθρώπῳ τοῦ μὴ συγκατενεχθῆναι τῷ ὕδατι.

〈ΑΣΚ.〉 Σαφὲς τὸ παράδειγμα, ὦ Τρισμέγιστε.

〈ΕΡΜ.〉 Πᾶσα οὖν κίνησις ἐν στάσει καὶ ὑπὸ στάσεως κινεῖται. Ἡ οὖν κίνησις τοῦ κόσμου καὶ παντὸς ζῴου ὑλικοῦ οὐχ ὑπὸ τῶν κατεκτὸς [τοῦ κόσμου] συμβαίνει

---

1 ἑστῶσαν αὐτὴν ὑπ' αὐτῆς FP, αὐτὴν ὑπὸ τῆς ἑστώσης Herm. | κινοῦνται Herm., ἕξει FP | ante τὰς γὰρ add. Herm. καὶ ἄλλως ἔχειν ἀδύνατον ‖ **3** ἀντιστρεφομένας Turn. | οἴει P² mrg, Herm. *B*, ποιεῖ FP¹, ἢ οἴει Herm. *A* | post οἴει add. ἢ Herm. vulg. | ἢ P² mrg Herm., καὶ FP¹ ‖ **6** τὰ αὐτὰ FP, αὐτὸ Herm.: τὸ αὐτὸ Parthey | στρεφομένην Herm.: ἀεὶ στρεφομένην Patr. ‖ **8** ὑποστάσεως FP¹ ‖ **9** post ὑπὲρ αὐτὸ add. κωλυόμενον δὲ τὸ ὑπὲρ αὐτὸ εἰ ἔστι (εἰ ἕστηκεν Parthey; fort. ἐνίσταται) εἰς τὸ περὶ αὐτό Herm. | καὶ οὕτω Patr. | ἕστηκεν FP, ἕστη ἡ Herm. *A*, ἕστη Herm. *B* ‖ **10** ante στηριζομένη add. ἀεὶ Patr. ‖ **11** ἐπίγειον om. Herm. | ἐπιπίπτον FP, πῖπτον Herm.: ἐμπῖπτον Patr. | ante φράσω add. Patr. περὶ τούτου ap. Herm. et Stob. vulg. servatum | ἐπίγεια Herm., ἐπίκηρα FP: aut supra ἐπίγειον cum Herm. delendum, aut hic in ἐπίκηρα aliud latet, fort. ἠπειρωτικὰ ‖ **12** θεώρει (θεωρία *A*) νηχόμενον Herm. | νηχόμενα Meineke pro νηχόμενον ‖ **12. 13** φερομένου γὰρ τοῦ Herm., φερόμενον τοῦ γὰρ FP ‖ **14** τοῦ om. Herm. | μήτε Meineke ‖ **15** post ὕδατι add. Patr. μήτε δῦναι ὑπ' αὐτό quod ap. Herm. et ap. Stob. vulg. servatum ‖ **16** σαφέστατον παράδ. εἶπες Herm. ‖ **17. 18** ὑποστάσεως FP, ὑποστάσει Herm. *A* ‖ **18** κόσμου] ζώου Herm. *A* ‖ **19** τοῦ κόσμου Herm., τοῦ σώματος FP: seclusi

γίνεσθαι, ἀλλ' ὑπὸ τῶν ἐντὸς [εἰς τὸ κατεκτός], τῶν νοητῶν, ψυχῆς ἢ πνεύματος ἢ ἄλλου τινὸς ἀσωμάτου. Σῶμα γὰρ ⟨σῶμα⟩ ἔμψυχον οὐ κινεῖ, ἀλλ' οὐδὲ τὸ σύνολον σῶμα κἂν ᾖ ἄψυχον.

⟨Ἀσκ.⟩ Πῶς τοῦτο λέγεις, ὦ Τρισμέγιστε; Τὰ οὖν ξύλα καὶ τοὺς λίθους καὶ τὰ ⟨ἄλλα⟩ πάντα ἄψυχα οὐ σώ- [404]
ματά ἐστι ⟨τὰ κινοῦντα⟩;

⟨Ἑρμ.⟩ Οὐδαμῶς, ⟨ὦ⟩ Ἀσκληπιέ. Τὸ γὰρ ἔνδον τοῦ σώματος τοῦ κινοῦντος, τὸ ἔμψυχον, οὐ σῶμα ἐκεῖνό ἐστι τὸ ἀμφότερα κινοῦν καὶ τὸ τοῦ βαστάζοντος καὶ τὸ τοῦ βασταζομένου· διόπερ ἄψυχον οὐκ ἄψυχον κινήσει. ὁρᾷς γοῦν καταβαρυνομένην τὴν ψυχήν, ὅταν ⟨μόνη⟩ δύο σώματα φέρῃ.

3 ⟨Arii Didymi (epit. fr. phys. 22 p. 459 Diels.)⟩

Χρυσίππου. Κίνησιν δέ φησιν εἶναι ὁ Χρύσιππος μεταβολὴν κατὰ τόπον ἢ ὅλῳ ἢ μέρει, ἢ μεταλλαγὴν ἐκ τόπου ἢ καθ' ὅλον ἢ κατὰ μέρος. Καὶ ἄλλως· κίνησιν μεταλλαγὴν κατὰ τόπον ἢ σχῆμα· φορὰν δὲ μετέωρον κίνησιν ὀξεῖαν, μονὴν δὲ τὸ μὲν οἷον ἀκινησίαν σώματος, τὸ δ' οἷον σώματος σχέσιν κατὰ ταὐτὰ καὶ ὡσαύτως νῦν τε καὶ πρότερον. Πολλαχῶς δὲ λέγεσθαι τὴν κίνησιν καὶ τὴν μονήν, διὸ καὶ πολλοὺς καθ' ἕκαστον σημαινόμενον [406]
ἀποδίδοσθαι ὅρους. Τὰς δὲ πρώτας κινήσεις εἶναι δύο,

---

1 *εἰς τὸ κατεκτὸς* seclusi ‖ **1. 2** *τῶν νοητῶν*] *ἤτοι* Herm. **2** ante *πνεύματος* add. *τοῦ* F ‖ **3** *σῶμα* post *γὰρ* addidi ex Herm. *AB* (ubi vulg. om.) ‖ **4** *ᾖ* om. Herm. ‖ **6** *οἱ λίθοι* Heeren | *ἄλλα* om. FP, add. Herm. | *ἔμψυχα* Herm. ‖ **7** *τὰ κινοῦντα* om. FP, add. Herm. ‖ **8** *ὦ* om. FP ‖ **9** *τοῦ κινοῦντος* FP, *τὸ κινοῦν* Herm. | *ἔμψυχον* scripsi pro *ἄψυχον* ‖ **10** *βαστάζοντος* Herm., *βαστάζοντα* F, *βαστάζοντος* (*ος* in *α* corr.) P ‖ **11** *βασταζομένου*; Parthey | *ἄψυχον οὐκ ἄψυχον κινήσει*] *ἔμψυχον τὸ καθεῦδον* (*καθεαυτὸν* Fluss., *κινοῦν* Patr.), *ἐπεὶ κινεῖ* Herm. ‖ **12** *καὶ βαρυνομένην* FP, *καταβαρουμένην* Herm.: *καταβαρυνομένην* Patr. | *μόνη* addidi ex Herm. ‖ **13** *φέρῃ* P^2, *φέρει* FP^1 Herm. ‖ **15** *δ'* *εἶναί φησιν* P ‖ **16** *μεταλλαγὴν*] *μεταβολὴν* Heeren oscitanter ‖ **17** *ὅλου* cum cod. Aug. Gaisford | post *μέρος* clausula in F | (*κ*)*αὶ* F ‖ **18** ante *μεταλλαγὴν* add. *μὲν* Diels | *μετεώρου* FP: *μετέωρον* Diels, *ἐκ μετεώρου* Meineke ‖ **20** *οἷον* P | *ταῦτα* FP: corr. Heeren ‖ **22** *δημαινόμενον* P^1

τήν τε εὐθεῖαν καὶ τὴν καμπύλην· διὰ τούτων δὲ πολλαχῶς μιγνυμένων γίνεσθαι πολλὰς κινήσεις καὶ διαφερούσας.

4 ⟨Arii Didymi (epit. fr. phys. 23 p. 459 Diels.).⟩

p. 42 C. Ζήνωνος. Τῶν δ' ἐν τῷ κόσμῳ πάντων τῶν κατ' ἰδίαν ἕξιν συνεστώτων τὰ μέρη τὴν φορὰν ἔχειν εἰς τὸ τοῦ ὅλου μέσον, ὁμοίως δὲ καὶ αὐτοῦ τοῦ κόσμου· διόπερ ὀρθῶς λέγεσθαι πάντα τὰ μέρη τοῦ κόσμου ἐπὶ τὸ μέσον τοῦ κόσμου τὴν φορὰν ἔχειν, μάλιστα δὲ τὰ βάρος ἔχοντα· ταὐτὸν δ' αἴτιον εἶναι καὶ τῆς τοῦ κόσμου μονῆς ἐν ἀπείρῳ κενῷ, καὶ τῆς γῆς παραπλησίως ἐν τῷ κόσμῳ περὶ τὸ τούτου κέντρον καθιδρυμένης ἰσοκρατῶς. Οὐ πάντως δὲ σῶμα βάρος ἔχειν, ἀλλ' ἀβαρῆ εἶναι ἀέρα καὶ πῦρ· τείνεσθαι δὲ καὶ ταῦτά πως ἐπὶ τὸ τῆς ὅλης σφαίρας τοῦ κόσμου μέσον, τὴν δὲ σύστασιν πρὸς τὴν περιφέρειαν αὐτοῦ ποιεῖσθαι· φύσει γὰρ ἀνώφοιτα ταῦτ' εἶναι διὰ
[408] τὸ μηδενὸς μετέχειν βάρους. Παραπλησίως δὲ τούτοις οὐδ' αὐτόν φασι τὸν κόσμον βάρος ἔχειν διὰ τὸ τὴν ὅλην αὐτοῦ σύστασιν ἔκ τε τῶν βάρος ἐχόντων στοιχείων εἶναι καὶ ἐκ τῶν ἀβαρῶν. Τὴν δ' ὅλην γῆν καθ' ἑαυτὴν μὲν ἔχειν ἀρέσκει βάρος· παρὰ δὲ τὴν θέσιν διὰ τὸ τὴν μέσην ἔχειν χώραν (πρὸς δὲ τὸ μέσον εἶναι τὴν φορὰν τοῖς τοιούτοις σώμασιν) ἐπὶ τοῦ τόπου τούτου μένειν.

5 (7 H. G. M.) ⟨Arii Didymi (epit. fr. phys. 24 p. 460 Diels.).⟩

Ἀπολλοδώρου. Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ τέχνῃ κίνησιν εἶναι μεταβολὴν κατὰ τόπον ἢ σχῆμα ἢ ὅλῳ ἢ [τοῖς] μέρεσι· σχέσιν δὲ συνοχὴν κατὰ τόπον ἢ σχῆμα
[410] καὶ τὸ ἴσχεσθαι τοιοῦτο· γένη δὲ κινήσεως εἶναι πρῶτα

---

4 ζήνωνος habent FP mrg | τῶν (post πάντων) servat nunc Usener **8** τὰ F m. y et P mrg, τὸ F^1P ‖ **10** τῇ γῇ FP: corr. Heeren ‖ **11** post καθιδρυμένης clausula in P, qui om. ἰσοκρατῶς, sed mrg lemma ἰσωκράτ habet ‖ **12** ἀβαρῆ P, ἀβαρεῖ F ‖ **13** γίνεσθαι FP: τείνεσθαι Diels, κινεῖσθαι Meineke ‖ **15** ἀνώφυτα FP^1, ἀνώτατα P^2: corr. Canter mrg ‖ **17** an φησι? ‖ **23** quae hic in FP leguntur eclogae Platonici Parmenidis Timaeique (infra ecl. 6. 7) transposui ante ecl. 8 cuius titulo τοῦ αὐτοῦ pristinus ordo demonstratur ‖ **24** Ἀπολλοδώρου om. F ‖ **26** τοῖς del. Diels ! post δὲ add. καὶ P ‖ **27** τοιοῦτο FP: τοιοῦτον Gaisford cum cod. Aug., κατὰ τὸ αὐτὸ Diels; num ἐν τοιούτῳ?

δύο, τήν τε κατ᾽ εὐθεῖαν καὶ τὴν ἐγκύκλιον. Τούτων δὲ εἴδη γίγνεσθαι πλείονα. Περὶ τὸ αὐτὸ δὲ κινήσεις γίγνεσθαι πολλὰς καὶ ἐν τῷ αὐτῷ τόπῳ, οἷον περιπατεῖν καὶ τρέχειν μὴ ἐκβαίνοντα τὸν αὐτὸν τόπον, καὶ ἅμα κινεῖσθαι τήν τε ἐπ᾽ εὐθεῖαν καὶ τὴν εἰς τὰ πλάγια καὶ τὴν ἔμπροσθεν καὶ τὴν ὄπισθεν καὶ τὴν εἰς δεξιὰν καὶ ἀριστερὰν καὶ ἐγκύκλιον, καὶ ταχέως ἅμα καὶ βραδέως, καθάπερ ἐπὶ τῶν πλεόντων καὶ τῶν ὁμοίως τούτοις διακειμένων συντυγχάνειν. Ὥσπερ δὲ παντὸς σώματος ἐλέγομεν μέρος εἶναι σῶμα καὶ πάσης ἐπιφανείας ἐπιφάνειαν καὶ πάσης γραμμῆς γραμμὴν καὶ παντὸς τόπου τόπον καὶ παντὸς χρόνου χρόνον, οὕτως καὶ πάσης κινήσεως κίνησιν εἶναι ῥητέον καὶ πάσης σχέσεως σχέσιν κατὰ τὴν αὐτὴν ἀναλογίαν.

6 (5 H. G. M.) *Πλάτωνος ἐκ τῶν Παρμενίδου* (p. 138[B]).

Ὅτι κινούμενόν γε ἢ φέροιτο ἢ ἀλλοιοῖτο ἄν, αὗται γὰρ μόναι κινήσεις; — Ναί.

7 (6 H. G. M.) *Τοῦ αὐτοῦ ἐκ τοῦ Τιμαίου* (p. 43[B]).

Ὥστε τὸ μὲν ὅλον κινεῖσθαι ζῷον, ἀτάκτως μὴν ὅπῃ τύχοι προϊέναι καὶ ἀλόγως, τὰς ἓξ ἁπάσας κινήσεις ἔχον· εἴς τε γὰρ τὸ πρόσθεν καὶ ὄπισθεν καὶ πάλιν εἰς δεξιὰ καὶ ἀριστερά, κάτω τε καὶ ἄνω καὶ πάντῃ κατὰ τοὺς ἓξ τόπους πλανώμενα.

8 *Τοῦ αὐτοῦ ἐκ τοῦ Θεαιτήτου* (p. 181[C. D]).

Καί μοι λέγε· ἆρα κινεῖσθαι καλεῖς, ὅταν τι χώραν ἐκ χώρας μεταβάλλῃ, ἢ καὶ ἐν τῷ αὐτῷ στρέφηται; — Ἔγωγε. — Τοῦτο μὲν τοίνυν ἓν ἔστω εἶδος· ὅταν δὲ ᾖ μὲν ἐν τῷ αὐτῷ, γηράσκῃ δέ, ἢ μέλαν ἐκ λευκοῦ ἢ σκληρὸν ἐκ

---

1 ἔγκυκλον FP: corr. Heeren ‖ **4** ἀσώματον FP: αὐτὸν Diels | καὶ FP: ἢ Canter | ἅμα FP[2], ἄλλα P[1] | κινῆσθαι P[1] ‖ **5** εὐθείας P ‖ **8. 9** οὖν τυγχάνειν FP: συντυγχάνειν Meineke ‖ **9** λέγομεν Diels ‖ **15** hic interposui duas Platonis eclogas; vide supra p. 166, 23 ‖ **16** γε Plat. cod. quid., τε FP Plat. vulg., γε corr. ex τε Plat. *A* ‖ **19** μὴν scripsi ex Plat. pro μὲν ‖ **20** προσιέναι Plat. *A* | ἓξ P[2] Plat., ἐξ FP[1] ‖ **23** post πλανώμενα add. Plat. προῆειν ‖ **24** τοῦ αὐτοῦ] Πλάτωνος Meineke ‖ **27** ἢ Plat., ἠβᾷ FP ‖ **28** γηράσκει P

μαλακοῦ γίγνηται, ἢ τινα ἄλλην ἀλλοίωσιν ἀλλοιῶται, ἆρα οὐκ ἄξιον ἕτερον εἶδος κινήσεως φάναι; — Ἀναγκαῖον μὲν οὖν. — Δύο δὴ λέγω τούτω εἴδη κινήσεως, ἀλλοίωσιν, τὴν δὲ περιφοράν.

[412] 9 Ἐν ταὐτῷ (p. 152D—153D).

Ἐγὼ ἐρῶ καὶ μάλα οὐ φαῦλον λόγον· ὡς ἄρα ἓν μὲν αὐτὸ καθ' ἑαυτὸ οὐδέν ἐστιν, οὐδ' ἄν τι προσείποις ὀρθῶς οὐδ' ὁποιονοῦν τι, ἀλλ' ἐὰν ὡς μέγα προσαγορεύῃς τι, καὶ μικρὸν φανεῖται, καὶ ἐὰν βαρύ τι, κοῦφον, ξύμπαντά τε οὕτως, ὡς μηδενὸς ὄντος ἑνὸς μήτε τινὸς μήτε ὁποιουοῦν· ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα γίγνεται πάντα, ἃ δή φαμεν εἶναι, οὐκ ὀρθῶς
p. 43 C. προσαγορεύοντες· ἔστι μὲν γὰρ οὐδέποτε οὐδέν, ἀεὶ δὲ γίγνεται. καὶ περὶ τούτου πάντες ἑξῆς οἱ σοφοὶ πλὴν Παρμενίδου ξυμφέρονται, Πρωταγόρας τε καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς καὶ τῶν ποιητῶν οἱ ἄκροι τῆς ποιήσεως ἑκατέρας, κωμῳδίας μὲν Ἐπίχαρμος, τραγῳδίας δὲ Ὅμηρος, ⟨ὃς⟩ εἰπών,

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν (Il. Ξ 201)

πάντα εἰρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως. Τίς οὖν ἂν ἔτι πρός γε τοσοῦτον στρατόπεδον καὶ στρατηγὸν Ὅμηρον δύναιτο ἀμφισβητήσας μὴ καταγέλαστος γενέσθαι; — Οὐ ῥᾴδιον, ὦ Σώκρατες. —

---

1 *ἀλλοιῶται* Plat., *ἀλλοιοῦται* FP | *ἆρα* Plat., *ἄρα* FP ‖ **2** *φάναι κινήσεως* Plat. | ante *ἀναγκαῖον* Plat. add. *ἔμοιγε δοκεῖ*, quod potest deesse (ut delevit Badham), si Socrati dein verba *δύο δὴ κτλ.* (3) tribuimus ‖ **3** *τούτων* P ‖ **4** *τήν τε* P | *περιφοράν* FP et Plat. *B*, quod ut librarius cod. Vindob. suppl. 7 ita Heindorfius in *φοράν* correxit; sed fort. *ἀλλοίωσιν τὴν δὲ περιφορὰν* pro interpretamento habenda ‖ **8** *ὁποιονοῦν* F m. y Plat., *ὁποιοῦν οὖν* P1, *ὁποιονοῦν οὖν* F1, *ὁποιοῦν* P2 | *προσαγόρευσις* P | *τι* ante *καὶ* om. Plat. ‖ **9** *τι* ante *κουφόν* om. Plat. ‖ **10. 11** *ὁποιουοῦν* F m. y Plat., *ὁποίου* F1P ‖ **14** *τούτου* F m. y P2 Plat., *τοῦ* F1P1 ‖ **15** *ξυμφέρονται* F1, *συμφέρονται* P, *ξυμφερέσθων* F m. y mrg, Plat. Vindob. 21, *συμφερέσθων* Plat. apogr. *V* et *B*, *συμφέρεσθον* Plat. *D T*, *ξυμφέρεσθον* Euseb. praep. ev. XIV 4 ‖ **18** *ὃς* add. Heindorf ‖ **20** *ἔγγονα* FP: corr. ex Plat. Meineke | ante *τίς* add. *ἢ οὐ δοκεῖ τοῦτο λέγειν; ἔμοιγε* F m. y mrg et Plat. ‖ **22** supra *μὴ* add. F m. y *οὐ* (ut Plat. Vind. suppl. 7)

Οὐ γάρ, ὦ Θεαίτητε. ἐπεὶ καὶ τάδε τῷ λόγῳ σημεῖα ἱκανά, ὅτι τὸ μὲν εἶναι δοκοῦν καὶ τὸ γίγνεσθαι κίνησις παρέχει, τὸ δὲ μὴ εἶναι καὶ ἀπόλλυσθαι ἡσυχία· τὸ γὰρ θερμόν τε καὶ πῦρ, ὃ δὴ καὶ τἆλλα γεννᾷ καὶ ἐπι-
5 *τροπεύει, αὐτὸ γεννᾶται ἐκ φορᾶς καὶ τρίψεως· τοῦτο δ' ἡ κίνησις. Καὶ μὴν τό γε τῶν ζῴων γένος ἐκ τῶν αὐτῶν τούτων φύεται. — Πῶς δ' οὔ; — Τί δέ; ἡ τῶν σωμάτων ἕξις οὐχ ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεως ἐπὶ τὸ πολὺ σῴζεται; — Ναί.*
10 *— Ἡ δ' ἐν τῇ ψυχῇ ἕξις οὐχ ὑπὸ μαθήσεως μὲν καὶ μελέτης, κινήσεων ὄντων, κτᾶται μαθήματα καὶ σῴζεται καὶ γίγνεται βελτίων, ὑπὸ δ' ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης οὔτε τι μανθάνει ἅ τε ἂν μάθῃ ἐπιλαν-*
θάνεται; — Καὶ μάλα. — Τὸ μὲν ἄρα ἀγαθὸν κίνησις
15 *κατά τε ψυχὴν καὶ κατὰ τὸ σῶμα, τὸ δὲ τοὐναντίον; — Ἔοικεν. — Ἔτι οὖν σοι λέγω νηνεμίας τε καὶ γαλήνας καὶ ὅσα τοιαῦτα, ὅτι αἱ μὲν ἡσυχίαι σήπουσι καὶ ἀπολλῦσι, τὰ δ' ἕτερα σῴζει· καὶ ἐπὶ τούτοις τὸν κολοφῶνα ἀναγκάζω προβιβάζων, τὴν χρυσῆν σειρὰν ὡς οὐδὲν ἄλλο ἢ τὸν*
20 *ἥλιον Ὅμηρος λέγει, καὶ δηλοῖ ὅτι ἕως μὲν ἂν ἡ περιφορὰ ᾖ κινουμένη καὶ ὁ ἥλιος, πάντα ἔστι καὶ σῴζεται ἐν θεοῖς τε καὶ ἀνθρώποις, εἰ δὲ σταίη τοῦτο ὥσπερ δοθέν, πάντα χρήματ' ἂν διαφθαρείη καὶ γένοιτ' ἂν τὸ λεγόμενον [τὰ] ἄνω κάτω πάντα;*

---

1 *οὐ γὰρ* Plat., *οὐ ῥᾴδιον* FP ‖ **2** *δοκοῦν* del. Schanz ‖ **5** *φθορᾶς* F^1 | *τρέψεως* F^1P^1 ‖ **5. 6** *τοῦτο* (*τοῦτω* B^2) *δὲ κινήσεις* Plat. *BD*, *τοῦτο δὲ κίνησις* F m. y mrg, Plat. TD^2: fort. *τ. δὲ δὴ κ.* ‖ **6** ante *καὶ μὴν* add. Plat. et F m. y mrg *ἢ οὐχ αὗται γενέσεις πυρός; αὗται μὲν οὖν* ‖ **9** *κινήσεων* Plat. ‖ **10** *τῇ* om. Heeren ‖ **11** *κινήσεσιν ὄντοιν* Buttmann | post *κτᾶται* add. Plat. *τε* ‖ **14** *τὸ* (ead. m. *ῶ* sprscr.) F, *τῷ* P ‖ **15** *τὸ* (ante *σῶμα*) om. Plat. | *τὸ* (ante *δὲ*) F m. y, *τῷ* F^1P ‖ **16** *ἔοικεν. ἔτι* F m. y Plat., *ἐοικέναι τι* F^1P ‖ **17** *ἀπόλλυσι* F^1P, *ἀπολλύουσι* F m. y, *ἀπολλύασι* Plat.: correxi coll. Plat. leg. IV p. 106 C ‖ **18** *τὸ κολοφῶνα* P ‖ **18. 19** *ἀναγκάζω προβιβάζων* FP et Plat. *BD*, *ἀναγκάζω προσβιβάζων* Plat. *T* ‖ **20. 21** *ἡ περιφορὰ ᾖ* F m. y Plat., *ᾖ περιφορὰ ἡ* F^1P ‖ **21** post *σῴζεται* add. Plat. *τὰ* ‖ **23** *δοθὲν* FP et Plat. *B*, *δεθὲν* Plat. TB^2 ‖ **24** *τὰ* om. Plat.: seclusi

CAPVT XX (XXI Heeren.).

ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ ΚΑΙ ΦΘΟΡΑΣ.

1[a] ⟨Aetii (I 24, 1 p. 320, 17 Diels.).⟩

Παρμενίδης καὶ Μέλισσος ἀνήρουν γένεσιν καὶ φθορὰν διὰ τὸ νομίζειν τὸ πᾶν ἀκίνητον.

1[b] *Ἡράκλειτός φησιν, ὅτι πάντα χωρεῖ καὶ οὐδὲν μένει· καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα λέγει ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης.*

1[c] ⟨Aetii (II 4, 2 p. 330, 18 Diels.).⟩

Πλάτων φθαρτὸν μὲν τὸν κόσμον, ὅσον ἐπὶ τῇ
[414] *φύσει, αἰσθητὸν γὰρ εἶναι, διότι καὶ σωματικόν, οὐ μὴν φθαρησόμενόν γε προνοίᾳ καὶ συνοχῇ θεοῦ.*

1[d] ⟨Aetii (I 24, 2. 3 p. 320, 20 Diels.).⟩

Ἐμπεδοκλῆς, Ἀναξαγόρας, Δημόκριτος, Ἐπίκουρος καὶ πάντες, ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτομερῶν σωμάτων κοσμοποιοῦσι, συγκρίσεις μὲν καὶ διακρίσεις εἰσάγουσι, γενέσεις δὲ καὶ φθορὰς οὐ κυρίως. Οὐ γὰρ κατὰ τὸ ποιὸν ἐξ ἀλλοιώσεως, κατὰ δὲ τὸ ποσὸν ἐκ συναθροισμοῦ ταύτας γίνεσθαι.

Πυθαγόρας καὶ πάντες, ὅσοι παθητὴν τὴν ὕλην ὑποτίθενται, κυρίως γενέσεις καὶ φθορὰς γίνεσθαι· ἐκ γὰρ ἀλλοιώσεως τῶν στοιχείων καὶ τροπῆς καὶ ἀναλύσεως [γενέσεως καὶ φθορᾶς] παράθεσιν καὶ μῖξιν, κρᾶσίν τε καὶ σύγχυσιν γίνεσθαι.

---

1 titulus iteratur in ind. flor. Laur. Γ 9 ‖ **4** lemma *παρμενίδου καὶ μελίσσου* add. FP in textu ‖ **6** haec non ex Aetio petita sunt, sed adiecta a Stobaeo e Platone Cratyl. p. 402[A] (ubi initio *λέγει που Ἡράκλειτος ὅτι*) | lemma *ἡρακλείτου* add. P mrg | cf. Heracl. fr. 20 Schl., 41 Byw. ‖ **7** *ἀπεικάζον* P ‖ **8** *ἐς* etiam FP ‖ **10** lemma *πλάτωνος* P mrg add. ‖ **14** lemma *ἐμπεδοκλέους καὶ ἑτέρων* F in textu et P mrg add. ‖ **17** *ἄγουσι* FP: *εἰσάγουσι* Heeren ex Plut. plac. I 24 | *καὶ* Plut. l. s., *ἢ* FP ‖ **20** lemma *πυθαγόρου καὶ ἑτέρων* add. FP in textu ‖ **23** *γενέσεως καὶ φθορᾶς* cum Plut. l. s. del. Heeren | *τε* P[2], *δὲ* FP[1]

1e ⟨Arii Didymi (epit. fr. phys. 36 p. 468 Diels.).⟩

Ζήνωνι καὶ Κλεάνθει καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν μεταβάλλειν οἷον εἰς σπέρμα τὸ πῦρ, καὶ πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν, p. 44 C. *οἵα πρότερον ἦν. Παναίτιος πιθανωτέραν εἶναι νομίζει καὶ μᾶλλον ἀρέσκουσαν αὐτῷ τὴν ἀϊδιότητα τοῦ κόσμου* [416] *ἢ τὴν τῶν ὅλων εἰς πῦρ μεταβολήν.*

1f ⟨Aetii (II 4, 12. 11. 13. 6. 10 p. 332 Diels.).⟩

Ἀριστοτέλης τὸ ὑπὸ τὴν σελήνην μέρος τοῦ κόσμου παθητικὸν ἀπεφαίνετο, ἐν ᾧ καὶ τὰ περίγεια κηραίνεται.

Ξενοφάνης, Παρμενίδης, Μέλισσος ἀγένητον καὶ ἀΐδιον καὶ ἄφθαρτον τὸν κόσμον.

[Καὶ] οἱ φάμενοι δὲ τὴν διακόσμησιν αἰώνιον ὑπάρχειν περιοδευτικοὺς εἶναί φασι χρόνους, καθ' οὓς κατὰ ταὐτὰ καὶ ὡσαύτως γίγνεσθαι πάντα καὶ τὴν αὐτὴν διασῴζεσθαι τοῦ κόσμου διάταξίν τε καὶ διακόσμησιν.

Ἀναξίμανδρος, Ἀναξιμένης, Ἀναξαγόρας, Ἀρχέλαος, Διογένης, Λεύκιππος φθαρτὸν τὸν κόσμον.

Καὶ οἱ Στωικοὶ φθαρτὸν τὸν κόσμον, κατ' ἐκπύρωσιν δέ.

Ἐμπεδοκλῆς τὸν κόσμον ⟨γίνεσθαι καὶ⟩ φθείρεσθαι κατὰ τὴν ἀντεπικράτειαν τοῦ νείκους καὶ τῆς φιλίας.

---

2 lemma *ζήνωνος καὶ ἑτέρων* F in textu, P mrg habet | *καὶ* ante *κλεάνθει* om. F ‖ **3** *οἷα* F | ante *τὸ* add. *εἰς* Heeren ‖ **5** lemma *παναιτίου τοῦ στωικοῦ* hic add. FP·| *εἶναι νομίζει*] *ἐμφανίζει* Usener | *νομίζειν* FP: corr. Canter, *φησὶν* Lynden de Panaetio p. 69; num *δογματίζει*? ‖ **6** *αὐτῷ* FP: corr. Meineke ‖ **9** hic lemma *ἀριστοτέλους* F in textu et P mrg add. ‖ **11** *Ξενοφάνης – Μέλισσος* habent FP, praeterea P lemma *ξενοφάνους· παρμενίδου· μελίσσου* ‖ **11. 12** *ἀγέννητον* P, *δὲ γέννητον* F ‖ **12** *εἶναι ἀΐδιον* FP: *καὶ ἀΐδιον* Diels ‖ **13** *καὶ* ante *οἱ* del. Heeren ‖ **14** *κατὰ* F, *καὶ* P ‖ **15** *ταῦτα* FP: *ταὐτὰ* Heeren tamquam ex Vat. Aug. | *αὐτοῦ* FP: *αὐτὴν* Diels ‖ **17** lemma *ἀναξιμάνδρου καὶ ἑτέρων* add. F in textu, P mrg ‖ **18** post *Λεύκιππος* add. *δὲ* F ‖ **20** hic add. lemma *στωικῶν* P ‖ **20. 21** *κα ἐπύρωσιν* P¹ ‖ **22** lemma *ἐμπεδοκλέους* add. P | *γίνεσθαι καὶ* add. Sturz Emped. p. 224 ‖ **23** *ἐπικράτειαν* P

[418] *Δημόκριτος φθείρεσθαι τὸν κόσμον τοῦ μείζονος τὸν μικρότερον νικῶντος.*

Ἐπίκουρος πλείστοις τρόποις τὸν κόσμον φθείρεσθαι· καὶ γὰρ ὡς ζῷον καὶ ὡς φυτὸν καὶ πολλαχῶς.

1ᵍ ⟨Aetii (II 5, 3 p. 333, 4 Diels.)⟩

Φιλόλαος διττὴν εἶναι τὴν φθορὰν τοῦ κόσμου, τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος.

2 *Φιλολάου Πυθαγορείου ἐκ τοῦ Περὶ ψυχᾶς.*

Φιλόλαος ἄφθαρτον τὸν κόσμον εἶναι. Λέγει γοῦν οὕτως ἐν τῷ Περὶ ψυχᾶς (fr. 21 Mull.)·

[420] *Παρὸ καὶ ἄφθαρτος καὶ ἀκαταπόνατος διαμένει τὸν ἄπειρον αἰῶνα· οὔτε γὰρ ἔντοσθεν ἄλλα τις αἰτία δυναμικωτέρα αὐτᾶς εὑρεθήσεται οὔτ' ἔκτοσθεν, φθεῖραι αὐτὸν δυναμένα· ἀλλ' ἧς ὅδε ὁ κόσμος ἐξ αἰῶνος καὶ ἐς αἰῶνα διαμένει, εἷς ὑπὸ ἑνὸς τῶ συγγενέος καὶ κρατίστω καὶ ἀνυπερθέτω κυβερνώμενος. — Ἔχει δὲ καὶ τὰν ἀρχὰν τᾶς κινάσιός τε καὶ μεταβολᾶς ὁ κόσμος εἷς ἐὼν καὶ συνεχὴς καὶ φύσι διαπνεόμενος καὶ περιαγόμενος ἐξ*

---

1 lemma *δημοκρήτου* add. P mrg ‖ **3** lemma *ἐπικούρου* add. P mrg | *τοὺς κόσμους* Meineke ‖ **6** lemma *φιλολάου στωικοῦ* add. FP ‖ **6. 7** *τὸ μὲν – ἀποχυθέντος* (8) iterantur infra c. 21, 6ᵈ p. 186, 24; quode cf. Diels Doxogr. p. 68 | *τὸ μὲν* et *τὸ δὲ* FP infra, Galen. hist. phil. 48, *τοτὲ μὲν* et *τοτὲ δὲ* FP hic, Plut. plac. II 5 ‖ **7** *ἐξ οὐρανοῦ* FP infra, Plut., *ἐξ ὑγροῦ* FP hic: *ἐξ οὐρανίου* Corsinus | *ἐξ* ante *ὕδατος* (antiquo errore in Aetio scriptum) del. Usener, quem v. etiam ad Comm. Luc. p. 47, 22 ‖ **8** *ἀέρος ἀποχυθέντος* FP infra, Plut., *ἀστέρος ῥυέντος* FP hic ‖ **9** *Πυθαγορείου* post *ψυχῆς* (sic!) ponunt FP: corr. Canter ‖ **10** *εἶναι* om. P ‖ **11** *ἐν τῷ* om. P | *ψυχῆς* FP ‖ **12** sqq. cf. Böckh Philol. p. 165 sqq., Rose de Arist. libr. p. 91, Rohr de Philol. fr. π. *ψυχῆς* (Bern. 1874), Zeller phil. Gr. I⁴ p. 341 n. 4 ‖ **12** *ἀκατοπόνατος* P, *οὐκ ἀταπείνωτος* F ‖ **13** *ἀλλὰ* P¹ ‖ **14** *αὐτᾶς* P, *αὐτὰς* FP corr. ‖ **15** *δυναμένου* FP: corr. Canter | *ἧν* FP | *εἷς* FP ‖ **16** *διαμένων* F, *διαμένειν* P: *διαμένει* Heeren tamquam ex Vat. Aug., Böckh | *τῶ συγγενέω* FP: *τῶ ξυγγενέος* Böckh, *τῶν συγγενέων* Badham ad Phileb. p. 99 ‖ **17** *ἀνυπερθάτω* tacite Heeren; inde *ἀνυπερβάτω* Böckh, *ἀνυπερβλάτω* sive *καθυπερτάτω* Krische theol. p. 80 | *καὶ* (ante *τὰν*) om. F ‖ **18** *τὰς* F | *κινήσιός* F, *κινήσεώς* P ‖ **19** *φύσει διαπνεόμενος* F, *φύσις συνδιαπνεόμενος* P | *περιαγεόμενος* FP: corr. Canter

ἀρχᾶς ἀϊδίω· καὶ τὸ μὲν ἀμετάβλατον αὐτῷ, τὸ δὲ μεταβάλλον ἐντί· καὶ τὸ μὲν ἀμετάβολον ἀπὸ τᾶς τὸ ὅλον περιεχοίσας ψυχᾶς μέχρι ⟨τᾶς⟩ σελάνας περαιοῦται, τὸ δὲ μεταβάλλον ἀπὸ τᾶς σελάνας μέχρι τᾶς γᾶς· ἐπεὶ δέ γα καὶ τὸ κινέον ἐξ αἰῶνος ἐς αἰῶνα περιπολεῖ, τὸ δὲ κινεόμενον ὡς τὸ κινέον ἄγει οὕτω διατίθεται, ἀνάγκα τὸ μὲν ἀεικίνατον τὸ δὲ ἀειπαθὲς εἶμεν· καὶ τὸ μὲν νῷ καὶ ψυχᾶς ἀνάκωμα πᾶν τὸ δὲ γενέσιος καὶ μεταβολᾶς, καὶ [422
τὸ μὲν πρότερον τᾷ δυνάμι καὶ ὑπερέχον τὸ δ' ὕστερον καὶ καθυπερεχόμενον· τὸ δὲ ἐξ ἀμφοτέρων τούτων, τῷ μὲν ἀεὶ θέοντος θείω τῷ δὲ ἀεὶ μεταβάλλοντος γενατῷ, κόσμος. Διὸ καὶ καλῶς ἔχει λέγεν, κόσμον εἶμεν ἐνέργειαν ἀΐδιον θεῷ τε καὶ γενέσιος κατὰ συνακολουθίαν τᾶς μεταβλατικᾶς φύσιος. Καὶ ὃ μὲν εἷς ἀεὶ διαμένει κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχων, τὰ δὲ καὶ γινόμενα καὶ φθειρόμενα πολλά· καὶ τὰ ἐν φθορᾷ ἐόντα καὶ φύσι καὶ μορφᾷ σῴζεται τᾷ γονᾷ πάλιν τὰν αὐτὰν [μορφὰν] ἀποκαθιστάντα τῷ γεννάσαντι πατρὶ καὶ δαμιοεργῷ.

3 Ὀκέλλου.

Ὄκελλος ἀΐδιον τὸν κόσμον· ὧδὶ γὰρ ἐν τοῖς Περὶ

---

1 *ἀρχιδίου* FP: *ἀρχᾶς ἀιδίω* Rose de Arist. libr. ord. p. 35, *ἀιδίω* Meineke | *ἀμετάβλαστον* Böckh coll. v. 14; sed cf. Meineke p. LXIII | *αὐτοῦ* FP ‖ **2** *ἐστὶ* FP | *τὰς* FP: *τᾶς* Canter ‖ **3** *περιεχούσας* FP | *ψυχᾶς* P corr., *ψυχὰς* FP | *τᾶς* add. Meineke | *σελήνας* FP | *περαιοῦνται* F ‖ **4** *τὰς* P | *σελήνας* FP ‖ **4. 5** *δέ γε* FP ‖ **5** *εἰς* F ‖ **6** *οὕτως* FP | *διατίθεσθαι* FP: corr. Heeren | *ἀνάγκη* FP ‖ **7** *νόω* Böckh ‖ **8** „*ἀνάκωμα*] *regnum* interpretatur Böckhius p. 173, nisi *ἀνακώναμα* scribendum sit; latet sine dubio aliud quid" Meineke ‖ **9** *πρῶτον* F, *πρᾶτον* P: correxi | *τὲ* FP: *τᾷ* Böckh | *δυνάμει* FP | *ὕστερον*] *δεύτερον* Meineke ‖ **10. 11** *τοῦ* et *θείου* FP ‖ **11. 12** *τοῦ* et *γενναστοῦ* FP ‖ **12** *κόσμου* FP: corr. Heeren | *ἔχειν ἔλεγε* FP: *ἔχει λέγεν* Badham | *ἦμεν* FP ‖ **14** *μεταβλαστικᾶς* F | *ἐς* FP: *εἰς* Usener ‖ **16** *μὲν φθορὰ ὄντα* FP: *ἐν φθορᾷ ἐόντα* scripsi, *μὲν* ⟨*ἐν*⟩ *φθορᾷ ἐόντα* Meineke, *μὲν φθαρέντα* Heeren ‖ **16. 17** *καὶ φύσει καὶ μορφὰς* FP: *καὶ φύσι καὶ μορφᾷ* Meineke, *κατὰ φύσεις καὶ μορφὰς* Heeren ‖ **17** *καὶ γονὴ* FP: *τᾷ γονᾷ* Heeren, *γονῇ* Böckh (del. *καὶ*) | *μορφὰν* seclusi ut interpretamentum, nisi ⟨*φύσιν καὶ*⟩ *μορφὰν* scribendum ‖ **18** *γεννόσαντι* F, *γεννήσαντι* P | *πατέρι* FP quod omnes servant | *δημιουργῷ* FP ‖ **19** *Ὀκέλλου* P mrg, *κέλλου* F ‖ **20** *Ὄκελλος* P, *κελλος* F | *ἐν τῆς* FP: *ἐν τοῖς* corr. Vatic.

τᾶς τῶ παντὸς φύσιος (I 15 phil. Gr. I p. 393 sq. Mullach.) *λέγει·*

[424] *Ἔτι δὲ ⟨τὸ ἄναρχον⟩ καὶ τὸ ἀτελεύτατον καὶ τῶ σχήματος καὶ τᾶς κινάσιος καὶ τῶ χρόνω καὶ τᾶς ὠσίας τοῦτο πιστοῦται, διότι ἀγένητος ὁ κόσμος καὶ ἄφθαρτος. Ἅ τε γὰρ τῶ σχήματος ἰδέα κύκλος, οὗτος δὲ πάντοθεν ἴσος καὶ ὅμοιος, διόπερ ἄναρχος καὶ ἀτελεύτατος· ἅ τε τᾶς κινάσιος κατὰ κύκλον, αὕτα δὲ ἀπαράβατος καὶ ἀδιέξοδος·*
p. 45 C. *ὅ τε χρόνος ἄπειρος, ἐν ᾧπερ ἁ κίνασις, διὰ τὸ μήτε ἀρχὰν εἰληφέναι τὸ κινούμενον μήτε τελευτὰν λαψεῖσθαι· ἅ γε μὰν ὠσία τῶν πραγμάτων ἀνέκβατος καὶ ἀμετάβλατος διὰ τὸ μήτε ἀπὸ τῶ χείρονος ἐπὶ τὸ βέλτιον μήτ' ἀπὸ τῶ βελτίονος ἐπὶ τὸ χεῖρον πεφύκειν μεταβάλλεν.*

(II 1 p. 394 Mull.) *Ἐπεὶ δ' ἐν τῷ παντὶ τὸ μὲν γένεσις τὸ δὲ αἰτία γενέσιος, καὶ γένεσις μὲν ὅπου μεταβολὰ καὶ ἔκβασις τῶ ὑποκειμένω, αἰτία δὲ γενέσιος ὅπου ταυτότας καὶ ὑπόστασις τῶ ὑποκειμένω, φανερὸν ὅτι περὶ μὲν τὰν αἰτίαν τὰν γενέσιος τό τε ποιεῖν καὶ ⟨τὸ⟩ κινεῖν ἐστι, περὶ δὲ τὸ δεχόμενον τὰν γένεσιν τό τε πάσχειν καὶ τὸ κινεῖσθαι.*

4 ⟨Eiusdem (II 6 p. 396 Mull.).⟩

Πράτως γὰρ ὕλα, τὸ πανδεχές, κοινὸν γὰρ ὑπόκειται
[426] *πᾶσιν· ὥστε πρᾶτον μὲν τὸ δυνάμι σῶμα αἰσθητόν, ἀρχά·*

---

1 *τῆς* (*τῆς* om. P) *τοῦ παντὸς φύσεως* FP ‖ **3** *τὸ ἄναρχον* add. Ocell., in quo doricae formae sublatae ‖ **4** *τὰς* P | *κινάους* P | *τὰς* P | *ὠδίας* F ‖ **5** *ἀγένητος* Oc. cod. Par. *A*, *ἀγέννητος* FP ‖ **7.** 8 *ἥ τε κίνησις* Vizzanius ‖ **7** *τὰς* P ‖ **8** *αὕτη δὲ* Oc., *αὐτὰ δ'* FP ‖ **9** ante *ἄπειρος* add. *ὁ* Oc. Par. *AB* | num *ἄπειρος* post *κίνασις* transponendum? | *κίνησις* F ‖ **10** *λήψεσθαι* Oc., *λάμψεις* (*λάμψειν* P²) *ὃ δὴ* FP: correxi (cf. Valckenaer ad Herodot. III 42) ‖ **11** *ἅ τε* P | *οὐσία* FP ‖ **12** *διὰ τῶ* F | *ἀπὸ τὸ* F | *ἐπὶ* Oc., *εἰς* FP ‖ **13** *ἀπὸ τοῦ* F | *πέφυκε* FP, *πεφυκέναι* Oc.: *πεφύκειν* scripsi, *πεφυκὲν* Badham ad Phileb. p. 101 | *μεταβάλλειν* F ‖ **14** ante *παντὶ* add. *περὶ* P | *τὸ μέν τοι* Oc. ‖ **16** *τῷ ὑποκειμένῳ* F ‖ **17** *ὅτι περὶ* Oc., *ποτὶ* F, *περὶ* P ‖ **18** *τὰν γενέσιος* FP, *τῆς γενέσεως* Oc. | *τό τε – τὰν γένεσιν* (19) om. F | *τε* om. Oc. | *τὸ* ante *κινεῖν* om. P, add. Oc. ‖ **19** *πάσχειν* FP ‖ **20** *τὸν κινεῖσθαι* P¹ ‖ **22** *πρώτως δὲ* Oc. ‖ **23** *ὥστε* Oc., *ὥσπερ* FP | *πρῶτον* P | *τὸ*] *τῷ* Heeren

δεύτερον δὲ αἱ ἐναντιώσιες, οἷον θερμότας καὶ ψυχρότας καὶ ὑγρότας καὶ ξηρότας· τρίτον δὲ πῦρ καὶ ὕδωρ καὶ γᾶ καὶ ἀήρ, ταῦτα γὰρ μεταβάλλοντι ἐς ἄλλαλα, αἱ δὲ ἐναντιώσιες ⟨οὐ⟩ μεταβάλλοντι.

5 ⟨Eiusdem (III 4. 5 p. 401 sq. Mull.).⟩

Παντελὴς δὲ φθορὰ τᾶς περὶ τὰν γᾶν διακοσμάσιος οὔτε γέγονεν οὔτε ἐσεῖταί ποκα. Διὸ καὶ τοῖς λεγόντεσσι ταν τᾶς Ἑλλανικᾶς ἱστορίας ἀρχὰν ἀπὸ Ἰνάχω ἦμεν τῶ Ἀργείω ποθεκτέον οὕτως, ὡς οὐκ ἀπό τινος ἀρχᾶς πράτας ἀλλὰ τᾶς γενομένας μεταβολᾶς κατ' αὐτόν. Πολλάκις γὰρ ἤδη καὶ γέγονε καὶ ἐσεῖται βάρβαρος ἃ Ἑλλάς, οὐχ ὑπ' ἀνθρώπων μόνον γινομένα μετανάστατος, ἀλλὰ καὶ ὑπ' αὐτᾶς τᾶς φύσιος, οὔτε μείζονος οὔτε μείονος αὐτᾶς [428]
γινομένας, ἀλλὰ καινοτέρας ἀεὶ καὶ ποθ' ἁμὲ ἀρχὰς λαμβανοίσας. Περὶ μὲν ὧν τῶ ὅλω καὶ παντός, ἔτι δὲ γενέσιος καὶ φθάρσιος τᾶς ἐν αὐτῷ γινομένας, ὡς τ' ἔχει ὡς θ' ἑξεῖ τὸν ἅπαντα αἰῶνα, τᾶς μὲν ἀεικινάτω φύσιος

| *δυνάμει* FP | num *σῶμα* post *αἰσθητὸν* transponendum? | *αἰσθητὰ ἀρχά* Usener | *αἰσθητὸν* Oc., *αἰσθητὴν* FP | *ἀρχὰ* (*ἀρχὰν* P) videtur delendum

1 *δὲ αἱ* FP, *δὲ καὶ* Oc. Par. *A*, *δὲ* Oc. cet. | *θερμότητος καὶ ψυχρότητος κτλ.* Oc. praeter *A* ‖ **2** post *τρίτον δὲ* add. Oc. *αἱ οὐσίαι* ‖ **3** *μεταβάλλοντ'* FP: corr. Heeren | *ἄλληλα* FP ‖ **4** *ἐναντιώσεις* F | *οὐ* om. FP Oc. cod. *C*, add. Oc. *AB* ‖ **7** *ἔσται* FP: *ἐσεῖταί* Meineke | *λέγουσι* Oc., *λέγοντες* FP: corr. Koen ad Greg. Cor. p. 155 n. 60 ‖ **8** *τὰς* P | *ἑλληνικᾶς* FP ‖ **9** *οὐχ ὡς ἀπὸ* Oc. | *πρώτας* FP ‖ **10** ante *κατ'* add. *καὶ* P Oc. cod. Vatic. Siebenkeesii | *αὐτὸν* Oc. Vat. Siebenk. (ut Iacobs ep. crit. p. 234 coni.), *αὐτὰν* FP, *αὐτὴν* Oc. cet. ‖ **11** *ἤδη* om. Oc. | *Ἑλλὰς* P^2, *ἀελλὰς* FP^1, *ἡ Ἑλλὰς* Oc. ‖ **12** *γιγνόμενα* FP, *γινομένη* Oc. | *μετανάστατος* Oc., *μετανάστασις* FP ‖ **13** *οὐ μείζονος οὐδὲ μείονος* Oc. | *αὐτὰς* F ‖ **14** *γινομένης* Oc., *γενομένας* FP | *καὶ νεοτέρας* Oc. cod. Vat. Barth. | *ποθεμὲ* F, *ποθεμεα* P, *πρὸς ἡμᾶς* Oc.: corr. Gaisford ‖ **14. 15** *λαμβανούσας* FP ‖ **15** *οὖν* FP, om. Oc. praeter *A* | *τοῦ ὅλου* FP | post *δὲ* add. *καὶ* Oc. ‖ **16** *ἀφθαρσίας* FP, *φθορᾶς* Oc.: *φθάρσιος* novavit Meineke | *τὰ* FP: *τᾶς* Canter | *αὐτῷ* Oc. *A*, *αὐτᾷ* F, *αὐτῇ* P | *ὡς τ'* FP, *ὡς οὕτως* Oc. Par. *C*, *οὕτως* Oc. cet. ‖ **17** *ἕξει* FP | *ἅπαντ'* F | *ἀεικινήτω* F

ἐάσας τᾶς δ' ἀειπαθέος, ⟨καὶ⟩ τᾶς μὲν ἀεὶ κυβερνώσας τᾶς δὲ κυβερνωμένας, ἱκανῶς εἴρηταί μοι διὰ τούτων.

6 Ἀριστάιου.

Ἀριστᾶος ἔφησεν ἄφθαρτον εἶναι τὸν κόσμον, λέγει γοῦν ἐν τῷ Περὶ ἁρμονίας οὕτως·

Ἐπεὶ δὲ ⟨ἁ⟩ ἀρχά, ἅτε δὴ οὖσα ἀρχά, πρὸ παντός
[430] τέ ἐστι καὶ ἀγέννητος καὶ αὐτοτελής, (οὔτε γάρ αἱ μεθ' ἄτερόν τι ἦς, ὑπάρχοι κα ἔτι πρὸ παντός· οὔτε γενομένα ποκὰ [καὶ] ἔκ τινος [οὔτε γὰρ] ἀγέννητός κα εἴη ἔτι, οὐδὲ μὰν ἀρχά τε καὶ αἰτία τῶν γενομένων, [οὔτε γὰρ αὐτοτελής,] ἄτέρω γάρ τινός ποτιδεηθήσεται τῶ σώσοντος αὐτὰν καὶ κινάσοντος), δῆλον δή, ὡς αὐτὰ καθ' αὑτὰν ἁ ἀρχὰ ἀγέννητός τέ ἐστι καὶ ἄϊδιος καὶ αἰτία γενέσιός τε καὶ κινάσιος, καὶ κινέουσα πάντα αὐτὰ ἐξ αὑτᾶς [φύσις] ἐστὶ καὶ αὐτοτελέα παρεχομένα τἆλλα αὐτὰ ἐξ αὑτᾶς αὐτοτελής

---

1 *τὰς δ'* P | *καὶ* om. FP, add. Oc. | *τὰς* hic et 2 FP ‖ **2** *κυβερνεωμένας* F, *κυβερνεομένας* P: corr. Meineke coll. supra p. 172, 17 | *ἱκανῶς* Oc., *ἄνω* FP | *διὰ* Oc., *περὶ* FP ‖ **3** lemma om. F, habet P mrg; *ἀριστάιωνος* P¹ mrg, *ἀρίστωνος* P², *ἀριστάιου* codex pinacographi Photiani ap. Phot. p. 114ª 24; esse fingitur discipulus Pythagorae, qui *Ἀριστᾶος* appellatur ab Iamblycho vit. Pythag. 23 et 36 ‖ **4** *ριστάιων* F, *ἀριστάιων* P¹, *ἀρίστων* P²: correxi ‖ **6** *ἁ* add. Meineke | *ἅτε μὴ δέουσα ἀρχᾶς* Meineke | *ἀρχάς* (ante *πρὸ*) FP (sed in P *ς* m. 1 del.) ‖ **7** *ἀγέννητος* FP | *εἰ* FP ‖ **7. 8** *μὲ μεθ' ἓξ θερόντι εἶς* FP: *μεθ' ἄτερόν τι ἦς* Koen ad Gregor. Cor. p. 118 et Heeren, qui *μὲν* (quod habet Vatic. pro *μὲ*) ante *μεθ'* add.; *μετὰ μεθεξάτερόν τι ἦς* Meineke ‖ **8** *ἂν* FP: *κα* Meineke | *γινόμενον* FP: *γενομένα* Meineke ‖ **9** *καὶ* post *ποκὰ* del. Meineke | *οὔτε γὰρ* ante *ἀγέννητος* del. Meineke | *ἀγέννητος* FP | *ἂν* FP: *κα* Meineke ‖ **9. 10** *οὔτε μὴν* FP: *οὐδὲ μὰν* Meineke, *ἀλλὰ μὰν* Heeren ‖ **10** num *ἀρχὰ ἔτι*? | *γινομένων* FP: corr. Heeren | *οὔτε γὰρ αὐτοτελής* seclusi: nam tota argumentatio per parenthesin adiecta (v. 7—12) id efficere vult, *τὴν ἀρχὴν* necessario etiam *αὐτοτελῆ* esse | *γὰρ* post *οὔτε* del. Meineke ‖ **11** *ἑτέρῳ* F, *ἑτέρω* P | *ποτὲ δεηθήσεται* FP: *ποτιδεηθήσεται* Meineke | *σώζοντος* FP: corr. Meineke | *αὐτὰ* FP: corr. Heeren ‖ **12** *κινήσαντος* FP: corr. Meineke | *δ'* FP: *δὴ* Heeren | *αὐτὰ καθ' αὑτὰν* ut infra v. 14 et 15 *αὐτὰ ἐξ αὑτᾶς* premenda sunt ‖ **13** *ἀγέννητός* FP ‖ **13. 14** *κινάσι* P ‖ **14** *καὶ* (ante *κινοῦσα*) om. P | *κινοῦσα* FP | *ἐξ αὐτᾶς* hic et 15 FP | *φύσις* FP: seclusi, *κίνασις* malit Heeren ‖ **15** *παρεχομένη* FP

ἐστι. Εἰκόνες δὲ καὶ ὁμοιώσιες τᾶς ἀρχᾶς ταύτας καὶ ἐν τοῖς φύσι γινομένοις καὶ ἐν τοῖς κατὰ τέχναν. Ἐπεὶ δὲ τὸ ἀθάνατον τὸ ἀκάματον, τὸ δὲ ἀκάματον τὸ μὴ κάμνον ⟨κινοῦν⟩, ὁ δὲ θεὸς τοιοῦτος, ⟨ἀεὶ⟩ κινέων γα τὸ ὅλον καὶ τὸ [432]
*πᾶν, φανερόν, ὡς ἀΐδιός κα εἴη ὁ κόσμος. Αἰ γὰρ ἀρχὰν λαψεῖται διακοσμάσιος, ἔκαμέ ποκα τὸ κινέον αὐτὸν κατ' ἄμπαυσιν διακοσμάσιος. Αἰ δέ γα κάμνοι καὶ ἀμπαύοιτο τὸ κινέον, φθαρτὸν καὶ γενητὸν ὑπάρχον καὶ αὐτὸ πέρας ἔξει κινάσιος, καὶ τὸ ὅλον δὲ καὶ τὸ πᾶν διακοσμάσιος. ὥστ' ἀνάγκα ἤτοι γένεσιν ἀναιρέν, ἢ γεννᾶν ἐκ τῶ μὴ ὄντος, ἢ τόνδε τὸν κόσμον καταλείπεται ἀθάνατον καὶ ἀγήρατον εἶμεν. Λέγοιτο δέ κα ἁρμονία φύσιος, ὅτι πάντα κατὰ λόγον φύεται τὸν ταύτας * * ποταλλήλως, ὡς ὁ τεχνίτας ποτὶ τὰν τέχναν, οὕτως θεὸς ποθ' ἁρμονίαν. Ἅ τε γὰρ τέχνα ἐστὶ λόγος καὶ ἰδέα τῶν γινομένων καὶ ⟨ἁ⟩ φύσις. Τὸ μὲν ἔργον ἁμαρτάνεται [ἐν] τοῖς τεχνίταις, ὅκκα* p. 46 C.
παραλλάξῃ τὸν τᾶς τέχνας λόγον· τὰ δὲ γινόμενα φύσι φθείρεται, πηρὰ καὶ ἄναρθρα γινόμενα, ὅκκα παραλλάξῃ τὸν τᾶς ἁρμονίας λόγον.

7 ⟨Arii Didymi epit. (fr. phys. 27 p. 462 Diels.)⟩

Ποσειδωνίου. Ποσειδώνιος δὲ φθορὰς καὶ γενέ- p. 37 C.

---

1 *ἐστιν* FP | *ὁμοιώσεις* F ‖ **2** *φύσει* FP ‖ **3** *τὸ δὲ – κάμνον* seclusit Heeren ‖ **4** *κινοῦν* add. Usener | *δὲ* ante *θεός* om. P | *ἀεὶ* addidi | *τε* FP: *γα* Meineke ‖ **5** *ἂν* FP: *κα* Meineke | *εἰ* FP ‖ **6** *λήψεται* FP: corr. Meineke | *αὐτὸ καὶ* FP: *αὐτὸν κατ'* Usener ‖ **7** *ἄμπαυσιν*] *ἄμπαυσιν ⟨ἔλαβε⟩* Meineke; *ἀνεπαύσατο* Mullach | *εἰ δέ γε* FP | *κάμνον* FP: corr. Heeren ‖ **9** *ἔξε* FP: corr. Canter | *δὲ* del. Aug. ‖ **10** *ἀναιρεῖν* FP | *καὶ γεννᾶν* Meineke | *ἐκ* P, *ἐν* F ‖ **11** *κατέλιπέ τε* FP: *καταλείπεται* Valckenaer ad Eurip. Hippol. 370 ‖ **12** *δὲ καὶ* FP: *δέ κα* Meineke | *φύσεως* FP ‖ **13** *τῶ* FP: *τὸν* Heeren | *ταύτας* F, *πάντας* P | lacunam signavit Usener | *ποτ' ἀλλήλως* F: *ποτ' ἀλλήλων* Heeren | *ὡς ⟨θ'⟩* Meineke, *⟨καὶ⟩ ὡς* Heeren ‖ **14** *ποτὲ* FP: *ποτὶ* Canter | *τὰν τέχναν* P, *παντέχναν* F ‖ **15** *τέχνας* FP: *τέχνα* tacite Heeren | *γενομένων* FP: corr. Heeren | *ἃ* add. Meineke ‖ **15. 16** post *φύσις* add. *τῶν φυομένων* Usener, sed cf. v. 1. 2 ‖ **16** post *μὲν* add. Heeren *ὢν* | *ἁμαρτάντι ἐν* FP: corr. Heeren | *ὅκκα* F, *καὶ ὅκα* P ‖ **17** *φύσις* F, *φύσει* P ‖ **18** *ὅκκα* F, *ὅκα* P ‖ **20** hoc fr. hic legitur in FP usque ad *ἀνάλυσιν* (p. 178, 7), totum iteratum supra in fine c. 17 ‖ **21** lemma 17 et 20 mrg P et 20 F habet | *δὲ φθορὰς* F 17 P 17, *ὁ φθορεὺς* F 20, *φθορὰς* P 20

σεις τέτταρας εἶναί φησιν ἐκ τῶν ὄντων εἰς τὰ ὄντα γινο-
[434] μένας. Τὴν μὲν γὰρ ἐκ τῶν οὐκ ὄντων καὶ τὴν εἰς οὐκ ὄντα, καθάπερ εἴπομεν πρόσθεν, ἀπέγνωσαν ἀνύπαρκτον οὖσαν. Τῶν δ' εἰς ὄντα γινομένων μεταβολῶν τὴν μὲν εἶναι κατὰ διαίρεσιν, τὴν δὲ κατ' ἀλλοίωσιν, τὴν δὲ κατὰ σύγχυσιν, τὴν δ' ἐξ ὅλων, λεγομένην δὲ κατ' ἀνάλυσιν. Τούτων δὲ τὴν κατ' ἀλλοίωσιν περὶ τὴν οὐσίαν γίνεσθαι, τὰς δ' ἄλλας τρεῖς περὶ τοὺς ποιοὺς λεγομένους τοὺς ἐπὶ τῆς οὐσίας γινομένους. Ἀκολούθως δὲ τούτοις καὶ τὰς γενέσεις συμβαίνειν. Τὴν γὰρ οὐσίαν οὔτ' αὔξεσθαι
p. 38 C. οὔτε μειοῦσθαι κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν, ἀλλὰ μόνον ἀλλοιοῦσθαι, καθάπερ ἐπ' ἀριθμῶν καὶ μέτρων συμβαίνειν. Ἐπὶ ⟨δὲ⟩ τῶν ἰδίως ποιῶν, οἷον Δίωνος καὶ Θέωνος,
[436] καὶ αὐξήσεις καὶ μειώσεις γίνεσθαι. Διὸ καὶ παραμένειν τὴν ἑκάστου ποιότητα ἀπὸ τῆς γενέσεως μέχρι τῆς ἀναιρέσεως, ⟨ὡς⟩ ἐπὶ τῶν ἀναίρεσιν ἐπιδεχομένων ζῴων καὶ φυτῶν καὶ τῶν τούτοις παραπλησίων. Ἐπὶ δὲ τῶν ἰδίως ποιῶν φησι δύο εἶναι τὰ δεκτικὰ μόρια, τὸ μέν τι κατὰ τὴν τῆς οὐσίας ὑπόστασιν, τὸ δέ ⟨τι⟩ κατὰ τὴν τοῦ ποιοῦ. Τοῦτο γάρ, ὡς πολλάκις ἐλέγομεν, τὴν αὔξησιν καὶ τὴν μείωσιν ἐπιδέχεσθαι· μὴ εἶναι δὲ ταὐτὸν τό τε ποιὸν

---

1 *φασὶν* F 20 P 20, om. P 17 | ante *ὄντων* add. *οὐκ* F 17 P 17 ‖ **2** *τῶν εἰς* F 17 | post *εἰς* add. *τὰ* Diels ‖ **3** *εἴπομεν* om. F 17 P 17 | *ἐπέγνωσαν* F 17 P 17, *ἀπέσωσαν* F 20 P 20: *ἀπέγνωσαν* (sc. Stoici) Diels; *ἀπέγνω ὡσὰν* Usener, *ἀπέγνωσεν ὡς* Heeren ‖ **4** ante *ὄντα* add. *τὰ* Diels ‖ **6** *δὲ δι' ὅλων* Meineke | *λεγομένων* F 17 P 17 ‖ **7** *κατάλυσιν* F 20 P 20 ‖ **8** *ποιοὺς*] cf. Prantl hist. log. I p. 432 ‖ **10** *τὴν δὲ* FP: *τὴν γὰρ* Heeren ‖ **11** *πρόθεσιν* FP: corr. Heeren ‖ **12** post *μέτρων* add. *καὶ* F ‖ **12. 13** *συμβαίνειν ἐπὶ τῶν* FP: corr. (sed *συμβαίνει*) Heeren ‖ **13** *ἰδέως* FP: *ἰδίως* tamquam ex Aug. Vat. Heeren | post *οἷον* add. *καὶ* Heeren ‖ **15** post *ποιότητα* add. *τὰ* FP: del. Heeren ‖ **16** *ὡς* post *ἀναιρέσεως* add. Heeren | *ἐπὶ δεχομένων* F, *δεχομένων* P: corr. Aug. ‖ **18** *δύο μὲν εἶναί φησι* Heeren (tacite) | *φασι* FP (quod tuetur Diels): corr. Heeren ‖ **19** *τὴν* om. F | *τι* add. Heeren ‖ **19. 20** *ποιητοῦ. τὸ γὰρ* FP: *ποιοῦ* (quod tamquam ex Vat. laudat Heeren)· *τοῦτο γὰρ* Canter, *ποιοῦ· τοιοῦτο γὰρ* Bake, de Posid. p. 55, *ποιοῦ· τὸ γὰρ ⟨ἰδίως ποιὸν⟩* Zeller, phil. Gr. III 1³ p. 95 n. 5 ‖ **20** *λέγομεν* FP: *ἐλέγομεν* Meineke ‖ **21** *εἶναί τε* FP: *εἶναι δὲ* Diels

ἰδίως καὶ τὴν οὐσίαν [ὃ] *ἐξ ἧς ἔστι τοῦτο, μὴ μέντοι γε μηδ' ἕτερον, ἀλλὰ μόνον οὐ ταὐτὸν διὰ τὸ καὶ μέρος εἶναι τῆς οὐσίας καὶ τὸν αὐτὸν ἐπέχειν τόπον, τὰ δ' ἕτερα τινῶν λεγόμενα δεῖν καὶ τόπῳ κεχωρίσθαι καὶ μηδ' ἐν μέρει θεωρεῖσθαι.*

Τὸ δὲ μὴ εἶναι ταὐτὸ τό τε κατὰ τὸ ἰδίως ποιὸν καὶ τὸ κατὰ τὴν οὐσίαν, δῆλον εἶναί φησιν ὁ Μνήσαρχος· ἀναγκαῖον γὰρ τοῖς αὐτοῖς ταὐτὰ συμβεβηκέναι. Εἰ γάρ τις πλάσας ἵππον, λόγου χάριν, συνθλάσειεν, ἔπειτα κύνα ποιήσειεν, εὐλόγως ἂν ἡμᾶς ἰδόντας εἰπεῖν, ὅτι τοῦτ' οὐκ ἦν πάλαι, νῦν δ' ἔστιν· ὥσθ' ἕτερον εἶναι τὸ ἐπὶ τοῦ ποιοῦ λεγόμενον τόδε καὶ ⟨τὸ⟩ ἐπὶ τῆς οὐσίας. Καθόλου νομίζειν τοὺς αὐτοὺς ἡμᾶς εἶναι ταῖς οὐσίαις ἀπίθανον εἶναι φαί- [438]
νεται· πολλάκις γὰρ συμβαίνει τὴν μὲν οὐσίαν ὑπάρχειν πρὸ τῆς γενέσεως, εἰ τύχοι, τῆς Σωκράτους, τὸν δὲ Σωκράτην μηδέπω ὑπάρχειν, καὶ μετὰ τὴν τοῦ Σωκράτους ἀναίρεσιν ὑπομένειν μὲν τὴν οὐσίαν, αὐτὸν δὲ μηκέτ' εἶναι.

8 *Πλάτωνος ἐν τῷ Τιμαίῳ* (p. 49 B–E).

[*Ὅτι τὰ στοιχεῖα εἰς ἄλληλα μεταβάλλεται.*] *Πῶς* p. 46 C.
οὖν δὴ τοῦτο αὐτὸ καὶ πῇ καὶ τί περὶ αὐτῶν εἰκότως διαπορηθέντες ἂν λέγοιμεν; Πρῶτον μὲν ὃ δὴ νῦν ὕδωρ ὠνομάκαμεν πηγνύμενον, ὡς δοκοῦμεν, λίθους καὶ γῆν γιγνόμενον ὁρῶμεν, τηκόμενον δὲ καὶ διακρινόμενον αὖ ταὐτὸν τοῦτο πνεῦμα καὶ ἀέρα, ξυγκαυθέντα δὲ ἀέρα πῦρ, ἀνάπαλιν δὲ πῦρ ξυγκριθὲν καὶ κατασβεσθὲν εἰς ἰδέαν τε

---

1 ὃ del. Heeren | ἐξ ἧς P, ἐξῆς F: ἐφ' ἧς Bake l. s. ‖ **3** *τὴν οὐσίαν* FP: *τῆς οὐσίας* cod. Vat. ‖ **4** *τόπῳ* P corr., *τόποις* FP ‖ **7** *Μνήσαρχος* P², *Μνήσταρχος* FP¹ ‖ **8** *ταῦτα* FP: *ταὐτὰ* Heeren | *συμβηκέναι* F ‖ **11** *ὥστ'* P ‖ **12** *τὸ δὲ καὶ* FP: *τόδε καὶ ⟨τὸ⟩* Usener, *τό τε* [*καὶ*] Heeren | post *καθόλου* add. Heeren *οὖν* ‖ **14** *ξυμβαίνει* FP ‖ **16** *τὴν τῆς* FP: *τὴν τοῦ* Diels, *μὲν τὴν* Heeren oscitanter ‖ **18** lemma F in textu, P mrg habet ‖ **19** *ὅτι τὰ – μεταβάλλεται* seclusi cum Heereno ut argumenti indicem quondam a lectore margini adscriptum ‖ **20** post *δή* add. *που* Plat. *A* ‖ **21** *ἂν* om. Plat. praeter *A* | *λέγοιμεν* Plat. *A*, *λέγωμεν* F, *λέγομεν* P Plat. cet. ‖ **25** *ἀνάπαλιν καὶ πῦρ* Plat. *A* | *κατασβεσθὲν* Plat., *κατασβεθὲν* FP

ἀπιὸν αὖθις ἀέρος [πῦρ], καὶ πάλιν ἀέρα ξυνιόντα καὶ πυκνούμενον νέφος καὶ ὁμίχλην, ἐκ δὲ τούτων ἔτι μᾶλλον συμπιλουμένων ῥέον ὕδωρ, ἐξ ὕδατος δὲ γῆν καὶ λίθους αὖθις, κύκλον τε οὕτω διαδιδόντα εἰς ἄλληλα, ὡς φαίνεται, τὴν γένεσιν. Οὕτω δὴ τούτων οὐδέποτε τῶν αὐτῶν ἑκάστων φανταζομένων, ποῖον αὐτῶν ὡς ὂν ὀτιοῦν τοῦτο καὶ οὐκ ἄλλο παγίως διισχυριζόμενος οὐκ αἰσχυνεῖταί τις ἑαυτόν; οὐκ ἔστιν· ἀλλ' ἀσφαλέστατα μακρῷ περὶ τούτων τιθεμένους ὧδε λέγειν· ἀεὶ ὃ καθορῶμεν ἄλλοτε ἄλλῃ γιγνόμενον, ὡς πῦρ, μὴ τοῦτο ἀλλὰ τὸ τοιοῦτον ἑκάστοτε προσαγορεύειν πῦρ, μηδὲ ὕδωρ τοῦτο ἀλλὰ τὸ τοιοῦτον ἀεί· μηδὲ ἄλλο ποτὲ μηδὲν ὡς τιν' ἔχον βεβαιότητα, ὅσα δεικνύντες τῷ ῥήματι τῷ 'τόδε' καὶ 'τοῦτο' προσχρώμενοι δηλοῦν ἡγούμεθά τι· φεύγει γὰρ οὐχ ὑπομένον τὴν τοῦ 'τόδε' καὶ 'τοῦτο' καὶ τὴν 'τῷδε' καὶ πᾶσαν ὅση μόνιμα ὡς ὄντα αὐτὰ ἐνδείκνυται φάσις.

9ª ⟨In eodem.⟩

Ὅτι δὲ τὸ πᾶν ἀΐδιον, δηλοῖ σαφῶς· λέγει γοῦν ἐν ⟨τῷ⟩ *Τιμαίῳ* (p. 32ᶜ) οὕτως·

Ἔκ τε δὴ τούτων καὶ τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων τὸ τοῦ κόσμου σῶμα ἐγενήθη δι' ἀναλογίας ὁμολογῆσαν, φιλίαν τε ἔσχεν ἐκ τούτων, ὥστ' εἰς τὸ αὐτὸ αὑτῷ ξυνελθὸν ἄλυτον ὑπὸ τῶν ἄλλων πλὴν ὑπὸ τοῦ ξυνδήσαντος γενέσθαι.

9ᵇ ⟨In eodem (p. 38ᴮ·ᶜ).⟩

Χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν, ἵνα ἅμα γεννη-

---

1 post αὖθις add. δὲ F Plat. *A* | πῦρ delevi cum Plat. *A* ‖ **3** λίθος P ‖ **4** διαδιδόντας F ‖ **8** ἀσφαλέστατα FP Plat. *A* al., ἀσφαλέσταθ' ἂν Plat. quid.: ἀσφαλέστατον Bekker ‖ **9** λέγειν· ἀεὶ ὃ Plat., λέγειν ἀεί· ὃ FP | καθαρῶμεν P (inde ὅκα θαρῶμεν Cant.!) ‖ **14** δηλοῦν om. P ‖ **15** καὶ 'τοῦτο' etiam Plat. *A*, καὶ τὴν 'τούτου' Plat. cet. ‖ **16** φύσις P ‖ **17** ἐν ταυτῷ add. tacite Gaisford ‖ **19** τῷ add. Gaisford ‖ **20** καὶ post τούτων om. Plat. praeter *A* ‖ **21** ἐγενήθη FP Plat. *A* ex corr., ἐγεννήθη Plat. cet. | ἀναλογίαν P ‖ **22. 23** τὸ αὐτῷ αὐτῷ FP, ταὐτὸν αὑτῷ Plat. ‖ **23** ξυνελθεῖν Plat. *A* | ἄλυτον om. P | τῶν ἄλλων FP Plat. vulg.: του ἄλλου Plat. *A* ‖ **23. 24** ξυνδήσαντος Plat., ξυμφήσαντος FP: ξυμφύσαντος Gaisford ‖ **26** μετ' αὐτοῦ F | γενηθέντες Plat. *A* ex corr.

θέντες ἅμα καὶ λυθῶσιν, ἄν ποτε λύσις τις αὐτῶν γίγνηται, καὶ κατὰ τὸ παράδειγμα τῆς διαιωνίας φύσεως, ἵν' ὡς ὁμοιότατος αὐτῷ κατὰ δύναμιν ᾖ· τὸ μὲν γὰρ δὴ παράδειγμα πάντα αἰῶνά ἐστιν ὄν, ὁ δ' αὖ διὰ τέλους τὸν ἅπαντα ⟨χρόνον⟩ γεγονώς τε καὶ ὢν καὶ ἐσόμενος.

10 *Ἐν ταὐτῷ* (p. 41A. B).

Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γιγνόμενα ἄλυτα ἐμοῦ γε θέλοντος. Τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν· τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν θέλειν κακοῦ. Διὸ καὶ ὑμεῖς ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστέ, οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι μὲν δὴ λυθήσεσθέ γε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς ὅτε ἐγίγνεσθε συνεδεῖσθε.

CAPVT XXI (XXII Heeren.).

ΠΕΡΙ ΚΟΣΜΟΥ ΚΑΙ ΕΙ ΕΜΨΥΧΟΣ ΚΑΙ ΠΡΟΝΟΙΑΙ ΔΙΟΙΚΟΥΜΕΝΟΣ ΚΑΙ ΠΟΥ ΕΧΕΙ ΤΟ ΗΓΕΜΟΝΙΚΟΝ ΚΑΙ ΠΟΘΕΝ ΤΡΕΦΕΤΑΙ. p. 47 C.

1 *Πλάτωνος.*

Πλάτων τὸν κόσμον ἔφησε ζῷον ἔμψυχον ἔννουν τε, ὅτι τε ἀφ' ἑαυτοῦ τρέφεται, τὸ δὲ ἡγεμονικὸν τοῦ κόσμου [440] *ἐν οὐρανῷ τίθεται. Λέγει γοῦν οὕτως ἐν τῷ Τιμαίῳ* (p. 30A. B.)·

Βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς τε καὶ ἀτάκτως αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος

---

2 *αἰωνίας* Plat. ‖ 5 *χρόνον* addidi ex Plat. ‖ 6 lemma F in textu, P mrg habet ‖ 7 *θεοὶ θεῶν* Plat., *θεὸς θεῶν* FP ‖ 8 *γενόμενα* Plat. | *γε θέλοντος*] sic etiam Proclus; de memorabili discrepantia cf. Bernays ad [Phil.] *π. ἀφθ. κ.* 223, 9 p. 64 ‖ 9 *τὸ δέ γε μὴν* Plat. *A* ‖ 10 *ἐθέλειν* Plat. | *δι' ἃ* Plat. | *ὑμεῖς* om. Plat. ‖ 11 *ἀθάνατοι* Plat., *ἀθανάτου* FP | *ἐστέ* P2 Plat., *ἐστί* FP1 ‖ 16—18 hic titulus iteratur in ind. flor. Laur. litt. *K* n. 13 ‖ 17 *ἔχοι* F ‖ 22 *οὖν* FP: correxi ‖ 24 post *δὲ* add. FP1 *καὶ*, quod P2 del., om. Plat. ‖ 25 *πλημμελῆσαι* P1 ‖ 26 *τε* om. Plat.

ἐκεῖνο τούτου πάντως ἄμεινον· θέμις δὲ οὔτε ἦν οὔτε ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο, πλὴν τὸ κάλλιστον. Λογισάμενος οὖν εὗρισκεν ἐκ τῶν κατὰ φύσιν ὁρατῶν οὐδὲν ἀνόητον τοῦ νοῦν ἔχοντος ὅλον ὅλου κάλλιον ἔσεσθαί ποτε ἔργον, νοῦν δὲ αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. Διὰ δὴ τὸν λογισμὸν τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι συνιστὰς τὸ πᾶν συνετεκταίνετο, ὅπως ὅ τι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. Οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν.

2 *Ἐν ταὐτῷ* (p. 33 C).

Ἀπῄει τε γὰρ οὐδὲν οὐδὲ προσῄει αὐτῷ ποθέν· οὐδὲ γὰρ ἦν· αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον καὶ πάντ' ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν.

3 a ⟨Aetii (II 1, 4—6 p. 328, 1 Diels.).⟩

Ἐμπεδοκλῆς τὸν τοῦ ἡλίου περίδρομον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου.

Σέλευκος ὁ Ἐρυθραῖος καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἄπειρον τὸν κόσμον.

Διογένης καὶ Μέλισσος τὸ μὲν πᾶν ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι.

3 b ⟨Aetii (II 1, 7 p. 328, 10; 4, 14 p. 332, 14; 6, 1 p. 333, 15 Diels.).⟩

[442] *Οἱ Στωικοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον· πᾶν μὲν γὰρ εἶναι σὺν τῷ κενῷ τῷ ἀπείρῳ, ὅλον δὲ χωρὶς τοῦ*

---

1 *πάντως* Plat., *παντὸς* FP | *θέμις* Plat., *θέμιν* FP ‖ **4** *ἔδεσθαι* P¹ ‖ **5** *παραγενέσθαι* Plat., *πᾶς γενέσθαι* FP ‖ **6** ante *ψυχῇ* add. P *τῇ* ‖ **8** *ἀπειργασμένον* P ‖ **9** *τὸν* post *λόγον* om. F ‖ **12** lemma habent mrg FP ‖ **13** *προσῄει* F Plat. *A*, *προσείη* P | *ποθὲν οὐδὲν· οὐ γὰρ* Plat. vulg. (unde *οὐδὲν* Heeren recepit) ‖ **18** lemma *ἐμπεδοκλέους* add. P mrg ‖ **20** lemma *σελεύκου καὶ ἡρακλείδου* add. F in textu, P mrg ‖ **21** *ἀπείρατον* P ‖ **22** lemma *διογένους καὶ μελίσσου* add. in textu FP ‖ **23** *πεπεράνθαι* F, *πεπεράσθαι* P: *πεπερασμένον* Heeren tamquam ex Vat. ‖ **26** lemma *στωικῶν* add. F in textu, P mrg ‖ **27** post *εἶναι* add. *τὸ* Plut. plac. II 1

κενοῦ τὸν κόσμον. — Μήτε αὔξεσθαι δὲ μήτε μειοῦσθαι τὸν κόσμον, τοῖς δὲ μέρεσιν ὁτὲ μὲν παρεκτείνεσθαι πρὸς πλείονα τόπον, ὁτὲ δὲ συστέλλεσθαι. — Ἀπὸ γῆς δὲ ἄρξασθαι τὴν γένεσιν τοῦ κόσμου, καθάπερ ἀπὸ κέντρου, ἀρχὴ δὲ σφαίρας τὸ κέντρον.

3^{c} ⟨Aetii (II 3, 1. 2 p. 329, 12 Diels.).⟩

Οἱ μὲν ἄλλοι πάντες ἔμψυχον τὸν κόσμον ⟨καὶ⟩ προνοίᾳ διοικούμενον.

Λεύκιππος δὲ καὶ Δημόκριτος καὶ Ἐπίκουρος οὐδέτερα τούτων, φύσει δὲ ἀλόγῳ ἐκ τῶν ἀτόμων συνεστῶτα.

4 ⟨*Πλουτάρχου.*⟩

Ὅμηρός φησι πεπερασμένον εἶναι τὸν κόσμον, δηλοῦται δὲ διὰ τούτων·

Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς (*O* 189).

Τοῦτο τοίνυν ἑνὶ στίχῳ διαρρήδην ἐδήλωσεν, τὸ γὰρ ἄπειρον οὐκ ἔστιν εἰς μοίρας διελεῖν. Καὶ ἐν τούτοις δὲ τὸ αὐτὸ σημαίνει· [444]

Ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀΐδης δ' ἔλαχεν ζόφον ἠερόεντα,
Ζεὺς δ' ἔλαχ' οὐρανὸν ⟨εὐρὺν⟩ ἐν αἰθέρι καὶ νεφέλῃσι,
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος (*O* 190—193),

ὡς τῶν ἐν μέσῳ φύσεων πεποιημένος τὴν νέμησιν, τὰ δὲ ἄκρα καὶ περατοῦντα ἀνέμητα καταλελοιπώς. Καὶ εἶναι τὴν γῆν μὲν κατωτάτω πάντων, τὸν δὲ Ὄλυμπον ἀνωτάτω δεδήλωκεν ἐν τούτῳ·

---

3 *πλέονα* F ‖ **6** hic lemma *λευκίππου καὶ ἑτέρων* add. F in textu, P mrg ‖ **7** *οἱ μὲν* P^{2}, Plut. plac. II 3; *οὐδὲν* P, *ὐδὲν* F | *καὶ* om. FP, add. Plut. ‖ **12** Plutarcho (personato) adscripsi cum Dilesio Doxogr. p. 852 (Add. ad p. 96, 13) coll. Plut. vit. Hom. c. 94. 103 ‖ **15** *δέ* lac. 2 litt. *σται* P ‖ **16** *ἐνὶ* P ‖ **18** *σημαίνεται* FP: correxi ‖ **19** *ἤτοι ἐγὼν* Hom., *ἤτοι ἐγὼ μὲν* FP | ante *ἔλαχον* add. *τοι* P | *ναιέμεν αἰεὶ* Hom., *ναίειν* (om. *αἰεὶ*) FP ‖ **20** *ἔλαχε* FP ‖ **21** *εὐρὺν* om. FP, add. Hom. | *ἐν αἰθέρι* P^{2} Hom., *ἐν νεφέλῃ* FP^{1} | ante *νεφέλῃσι* add. *ἐν* P ‖ **22** *ἔτι* Hom., *ἔστι* FP

Ἀλλ᾽ ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
p. 48 C. αὐτῇ κεν γαίῃ ἐρύσαιμ᾽ αὐτῇ τε θαλάσσῃ·
σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ᾽ αὖτε μετήορα πάντα γένοιτο (Θ 23—26).

Τὴν γὰρ γῆν μετέωρον γενήσεσθαί φησιν ἐξ ἕδρας ἀνα- 5
σπασθεῖσαν ὡς τὴν κατωτάτω [ὡς τὴν ἀνωτάτω].

5 ⟨Arii Didymi (epit. fr. phys. 31 p. 465 Diels.).⟩

Χρυσίππου. Κόσμον δ᾽ εἶναί φησιν ὁ Χρύσιπ-
πος σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύ-
σεων· ἢ τὸ ἐκ θεῶν καὶ ἀνθρώπων σύστημα καὶ ἐκ τῶν 10
ἕνεκα τούτων γεγονότων. Λέγεται δ᾽ ἑτέρως κόσμος ὁ
[446] θεός, καθ᾽ ὃν ἡ διακόσμησις γίνεται καὶ τελειοῦται. Τοῦ
δὲ κατὰ τὴν διακόσμησιν λεγομένου κόσμου τὸ μὲν εἶναι
περιφερόμενον περὶ τὸ μέσον, τὸ δ᾽ ὑπομένον· περιφε-
ρόμενον μὲν τὸν αἰθέρα, ὑπομένον δὲ την γῆν καὶ τὰ ἐπ᾽ 15
αὐτῆς ὑγρὰ καὶ τὸν ἀέρα. Τὸ γὰρ τῆς πάσης οὐσίας
πυκνότατον ὑπέρεισμα πάντων εἶναι κατὰ φύσιν, ὅνπερ
τρόπον ἐν ζῴῳ τὰ ὀστέα, τοῦτο δὲ καλεῖσθαι γῆν. Περὶ
δὲ ταύτην τὸ ὕδωρ περικεχύσθαι σφαιρικῶς, ὁμαλωτέραν
τὴν ἰσχυν διειληχός. Τῆς γὰρ γῆς ἐξοχάς τινας ἐχούσης 20
ἀνωμάλους διὰ τοῦ ὕδατος εἰς ὕψος ἀνηκούσας, ταύτας
δὴ νήσους καλεῖσθαι· τούτων δὲ τὰς ἐπὶ πλεῖον διηκού-
σας ἠπείρους προσηγορεῦσθαι ὑπ᾽ ἀγνοίας τοῦ περιέχε-
σθαι καὶ ταύτας πελάγεσι μεγάλοις. Ἀπὸ δὲ τοῦ ὕδατος

---

1 ὅτε δὴ Hom., ὅτε κεν FP | ἐρύσσαι Hom., ἐρύσσαις FP ‖ **2** κ᾽ ἐν FP | ἐρύσσαιμ F ‖ **3** περὶ ῥίον P² Hom., περιῤῥέον FP¹ ‖ **4** τάδε FP ‖ **6** ὡς τὴν κατωτάτω ὡς τὴν ἀνωτάτω FP: ὡς τὴν ἀνωτάτω delevi ut alteram lectionem eorundem verborum, cf. *Stud.* p. 66; ὡς ἐκ τῆς κατωτάτω εἰς τὴν ἀνωτάτω Heeren, ὡς τὴν κατωτάτω εἰς τὴν ἀνωτάτω (vel ὡς τὴν ἀνωτάτω [immo κατωτάτω]εἶναι τὴν κατωτάτω [immo ἀνωτάτω]) Meineke ‖ **8** Χρυσίππου om. F ‖ **9** ἐξ P², ἐς FP¹ ‖ **11—16** cf. Hirzel, *Unters.* II p. 767 n. ‖ **11** δ᾽ ἕτερος F, δεύτερος P: δ᾽ ἑτέρως Krische theol. p. 424 n. 1 coll. Arist. de mundo 2 p. 391 b 10 ‖ **15** μὲν P², καὶ FP¹ ‖ **20** ἴσχυν] χύσιν Usener, φύσιν Diels, σχέσιν Hense | δ᾽ εἰληχός FP: διειληχός Canter ‖ **21. 22** ταύτας δὲ FP: ταύτας δὴ (vel ταύτας μὲν) Meineke ‖ **22. 23** διοικούσας P ‖ **23** ἀπείρους FP: corr. Gaisford | προσηγορεύεσθαι P¹, προσαγορεύεσθαι P²

τὸν ἀέρα ἐξῆφθαι καθάπερ ἐξατμισθέντα, καὶ περικεχύσθαι σφαιρικῶς· ἐκ δὲ τούτου τὸν αἰθέρα ἀραιότατον ὄντα καὶ εἰλικρινέστατον. Τὸν μὲν οὖν κατὰ τὴν διακόσμησιν λεγόμενον κόσμον εἰς ταύτας διακεκρίσθαι τὰς φύσεις· τὸ δὲ περιφερόμενον αὐτῷ ἐγκυκλίως αἰθέρα εἶναι, ἐν ᾧ τὰ ἄστρα καθίδρυται, τά τε ἀπλανῆ καὶ τὰ πλανώμενα, θεῖα τὴν φύσιν ὄντα καὶ ἔμψυχα καὶ διοικούμενα κατὰ τὴν πρόνοιαν. Τῶν μὲν οὖν ἀπλανῶν ἄστρων ἀκατάληπτον εἶναι τὸ πλῆθος, τὰ δὲ πλανώμενα ἑπτὰ τὸν ἀριθμὸν [448] εἶναι, πάντα δὲ τὰ πλανώμενα ταπεινότερα τῶν ἀπλανῶν. Τετάχθαι δὲ τὰ μὲν ἀπλανῆ ἐπὶ μιᾶς ἐπιφανείας, ὡς καὶ ὁρᾶται· τὰ δὲ πλανώμενα ἐπ᾽ ἄλλης καὶ ἄλλης σφαίρας· περιέχεσθαι δὲ πάσας τὰς τῶν πλανωμένων ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας. Τῶν δὲ πλανωμένων ὑψηλοτάτην εἶναι μετὰ τὴν ⟨τῶν⟩ ἀπλανῶν τὴν τοῦ Κρόνου, μετὰ δὲ ταύτην τὴν τοῦ Διός, εἶτα τὴν τοῦ Ἄρεος, ἐφεξῆς δὲ τὴν τοῦ Ἑρμοῦ καὶ μετ᾽ αὐτὴν τὴν τῆς Ἀφροδίτης, εἶτα τὴν τοῦ ἡλίου, ἐπὶ πᾶσι δὲ τὴν τῆς σελήνης, πλησιάζουσαν τῷ ἀέρι. Διὸ καὶ ἀερωδεστέραν φαίνεσθαι καὶ μάλιστα διατείνειν τὴν ἀπ᾽ αὐτῆς δύναμιν εἰς τὰ περίγεια. Ὑπὸ δὲ τὴν σελήνην τὴν τοῦ ὑπ᾽ αὐτοῦ φερομένου ἀέρος, εἶτα τὴν ⟨τοῦ⟩ ὕδατος, τελευταίαν δὲ τὴν τῆς γῆς, περὶ τὸ μέσον σημεῖον τοῦ κόσμου κειμένης, ὃ δὴ τοῦ παντός ἐστι κάτω, ἄνω δὲ τὸ ἀπ᾽ αὐτοῦ εἰς τὸ κύκλῳ πάντῃ.

---

1. 2 *σφαικικῶς καὶ περικεχύσθαι* (*περικεχεῖσθαι* F) FP: *καὶ π. σφ.* (‘nisi *σφ.* ex p. 184, 19 insertum sit’) Diels, *καὶ σφ. π.* Meineke ‖ **2** *ἀραιότατόν τε* FP: *ἀραιότατον ὄντα* Meineke ‖ **5** *ὑπερφερόμενον* Meineke in textu | *αὐτοῦ* FP: *αὐτῷ* Meineke in adn. ‖ **6** *καθιδρῦσθαι* Usener ‖ **8** *ἀστέρων* FP: corr. Meineke ‖ **9. 10** *ἑπτὰ τὸν ἀριθμὸν εἶναι, πάντα δὲ τὰ πλανώμενα* om. F, habet hoc loco P (Heereni testimonia falsa et confusa violenter mutavit Meinekius; verum coniectura Dilesius repperit) ‖ **12** *ἀπ᾽ ἄλλης* FP: corr. Heeren | *φορᾶς* FP: *σφαίρας* Diels ‖ **15** *τῶν* add. Meineke ‖ **17** *τῆς* om. P ‖ **21** *τὴν* post *σελήνην* om. P | *ὑπ᾽ αὐτοῦ*] *ἐπὶ ταὐτοῦ* Diels, ut oppositus sit *ὁ περιφερόμενος αἰθήρ* (supra p. 148, 14) cf. Plut. Sto. rep. 42 p. 1053[E]; *πάντοσε* Usener; num *ὑποκάτω*? ‖ **22** *τοῦ* post *τὴν* add. Heeren ‖ **23** *κειμένην* FP: corr. Heeren

6ª ⟨Aetii (II 3, 3 p. 330, 5 Diels.).⟩

Ἔκφαντος ἐκ μὲν τῶν ἀτόμων συνεστάναι τὸν κόσμον, διοικεῖσθαι δὲ ὑπὸ προνοίας.

6ᵇ ⟨Aetii (II 3, 4 p. 330, 8 et II 5, 1 p. 332, 29 Diels.).⟩

Ἀριστοτέλης οὔτε ἔμψυχον ὅλον δι' ὅλου οὔτε λογικὸν οὔτε νοερὸν οὔτε προνοίᾳ διοικούμενον. Τὰ μὲν
[450] *γὰρ οὐράνια πάντων τούτων κοινωνεῖν, σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικάς, τὰ δὲ περίγεια μηδενὸς αὐτῶν, τῆς δ' εὐταξίας κατὰ συμβεβηκός, οὐ προηγουμένως μετέχειν. — Εἰ δὲ τρέφεται ὁ κόσμος, καὶ φθαρήσεται· ἀλλὰ μὴν οὐδεμιᾶς δεῖται τροφῆς, διὰ τοῦτο καὶ ἄϊδιος.*

6ᶜ ⟨Aetii (II 4, 1 p. 330, 16; 1, 1 p. 327, 2; 6, 2 p. 333, 17; 6, 5 p. 334, 8 Diels.).⟩

Πυθαγόρας φησὶ γενητὸν κατ' ἐπίνοιαν τὸν κόσμον, οὐ κατὰ χρόνον. — Ὃς καὶ πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν κόσμον ἐκ τῆς ἐν αὐτῷ τάξεως. — Ἄρξασθαι δὲ τὴν γένεσιν τοῦ κόσμου ἀπὸ πυρὸς καὶ τοῦ πέμ-
p. 49 C. *πτου στοιχείου. — Πέντε δὲ σχημάτων ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικά, ἐκ μὲν τοῦ κύβου φησὶ*
[452] *γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου ⟨τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου⟩ τὴν τοῦ παντὸς σφαῖραν.*

6ᵈ ⟨Aetii (II 5, 3 p. 333, 4 et II 4, 15 p. 332, 19 Diels.).⟩

Φιλόλαος ἔφησε τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου. — Τὸ δὲ ἡγεμονικὸν ἐν τῷ μεσαιτάτῳ πυρί, ὅπερ τρόπεως

---

2 lemma *ἐκφάντου* add. P ‖ **3** *ἀπὸ* FP: *ὑπὸ* corr. Aug. ‖ **5** lemma *ἀριστοτέλους* add. P mrg | *ὅλην* (ante *δι'*) et *λογικὴν* (6) FP¹: corr. P² (Plut.) ‖ **7** *κοινωνεῖν* P² Plut. plac. II 3, *κοινωνεῖ* FP¹ ‖ **8** *ζωτικὰς* P² Plut., *ζωτικὰ* FP¹ ‖ **11** *μὴν* P² Plut. plac. II 5, *μηδὲν* F, *μηδενὸς* P¹ ‖ **14** lemma *πυθαγόρου* add. P mrg | *φασὶ* F | *ἐπίνειαν* P¹ ‖ **18** post *στοιχείου* clausula in F ‖ **21** *τὸ ὕδωρ – δωδεκαέδρου* (22) om. FP: add. ex Plut. plac. II 6 Heeren ‖ **24** lemma *φιλολάου* add. P ‖ **24. 25** supra p. 172, 6—8 iterata, ubi vide ‖ **25** *τοῦ* om. P ‖ **27** *τρόπιος* Heeren

δίκην προϋπεβάλλετο τῇ τοῦ παντὸς ⟨σφαίρᾳ⟩ ὁ δημιουργὸς θεός.

6ᵉ ⟨Aetii (II 5, 16. 17 p. 332, 23 Diels.)⟩

Κλεάνθης ὁ Στωικὸς ἐν ἡλίῳ ἔφησεν εἶναι τὸ ἡγεμονικὸν τοῦ κόσμου.

Ἀρχέδημος τὸ ἡγεμονικὸν τοῦ κόσμου ἐν γῇ ὑπάρχειν ἀπεφήνατο. [454]

6ᶠ ⟨Aetii (II 4, 3—5 p. 331, 5 Diels.)⟩

Ἡράκλειτος οὐ κατὰ χρόνον εἶναι γενητὸν τὸν κόσμον, ἀλλὰ κατ᾽ ἐπίνοιαν.

Ἐπίδικος ὑπὸ φύσεως γεγενῆσθαι τὸν κόσμον.

Ἀρχέλαος ὑπὸ θερμοῦ καὶ ἐμψυχρίας συστῆναι τὸν κόσμον.

7ᵃ Ἐκ τοῦ Φιλολάου Περὶ κόσμω (fr. 1ᵇ Chaign., 3 Mull.).

Ἀνάγκα τὰ ἐόντα εἶμεν πάντα ἢ περαίνοντα ἢ ἄπειρα ἢ περαίνοντά τε καὶ ἄπειρα, ἄπειρα δὲ μόνον οὔ κα εἴη. [456]
Ἐπεὶ τοίνυν φαίνεται οὔτ᾽ ἐκ περαινόντων πάντων ἐόντα οὔτ᾽ ἐξ ἀπείρων πάντων, δῆλόν τᾰρα ὅτι ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη. Δηλοῖ δὲ καὶ τὰ ἐν τοῖς ἔργοις. Τὰ μὲν γὰρ αὐτῶν ἐκ

---

1 τῆς FP: τῇ Diels | σφαίρᾳ add. cum Heereno Diels ‖ **2** θεός om. P ‖ **4** lemma κλεάνθου στωικοῦ add. P ‖ **6** ἀρχεδήμου add. P mrg | Ἀρχίδαμος Heeren, male cf. Zeller III 1² p. 45 et Papyr. Ercol. ed. Compar. p. 76᾽ Diels; redarguitur etiam indice Photiano in quo item Ἀρχεδήμου ‖ **9** lemma ἡρακλείτου add. P mrg | Ἡρακλείδης dubitanter Usener ‖ **11** lemma ἐπιδίκτου add. P mrg | Ἐπίδεκτος P ‖ **12** lemma ἀρχελάου add. P | θεοῦ FP: θερμοῦ Heeren | ἐμψυχίας FP: corr. Meineke ‖ **13** post κόσμον male in FP iteratur ἰωνικὴν – μητροπόλεως ex I 10, 12 p. 124, 14—16 ‖ **14**sqq. prima particula h. ecl. usque ad p. 188, 3 laudatur etiam a Nicomacho arithm. isag. II 18, 4 p. 114, 13 Hoch.; ultima inde a p. 189, 7 (ἁρμονίας) ab eodem harmon. I p. 17 (ὁ Φιλόλαος ἐν τῷ πρώτῳ φυσικῷ) ‖ **14** κόσμου FP ‖ **17** οὐκ ἀεὶ FP (quod tuetur Böckh Philol. p. 49): οὔ κα εἴη Badham ad Phileb. p. 100 ‖ **19** οὐχ ἐξ P | τ᾽ ἄρα FP: corr. Meineke ‖ **19. 20** haec tamquam exordium libri a Demetrio Magnete apud Laert. VIII 85 afferri credunt: mihi secus videtur

περαινόντων περαίνοντα, τὰ δ' ἐκ περαινόντων τε καὶ ἀπείρων περαίνοντά τε καὶ οὐ περαίνοντα, τὰ δ' ἐξ ἀπείρων ἄπειρα φαίνεται.

7[b] ⟨Eiusdem (fr. 2 Chaign., 3 Mull.).⟩

Καὶ πάντα γα μὰν τὰ γιγνωσκόμενα ἀριθμὸν ἔχοντι. Οὐ γὰρ οἷόν τε οὐδὲν οὔτε νοηθῆμεν οὔτε γνωσθῆμεν ἄνευ τούτου.

7[c] ⟨Eiusdem (fr. 3 Chaign., 3 Mull.).⟩

Ὅ γα μὰν ἀριθμὸς ἔχει δύο μὲν ἴδια εἴδεα, περισσὸν καὶ ἄρτιον, τρίτον δὲ ἀπ' ἀμφοτέρων μιχθέντων, ἀρτιο-
[458] *πέρισσον. Ἑκατέρω δὲ τῶ εἴδεος πολλαὶ μορφαί, ὡς ἕκαστον αὐταυτὸ σημαίνει.*

7[d] ⟨Eiusdem (fr. 4 Chaign., 3 Mull.).⟩

Περὶ δὲ φύσιος καὶ ἁρμονίας ὧδε ἔχει· Ἁ μὲν ἐστὼ τῶν πραγμάτων, ἀΐδιος ἔσσα καὶ αὐτὰ μὰν ἃ φύσις, θεία
[460] *ἐντὶ καὶ οὐκ ἀνθρωπίναν ἐνδέχεται γνῶσιν, πλάν γα ἢ ὅτι οὐχ οἷόν τ' ἦς οὐδὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ ἁμῶν γενέσθαι, μὴ ὑπαρχοίσας τᾶς ἐστοῦς τῶν πραγμάτων ἐξ ὧν συνέστα ὁ κόσμος καὶ τῶν περαινόντων*

---

1 *περαίνοντι* FP: *περαίνοντα* Canter ‖ **2** *περαίνοντά τε* P[2], *περαίνοντί τε* FP[1] | *οὐ περαίνοντι* FP: *οὐ περαίνοντα* Canter ‖ **3** *φαινέονται* FP: corr. Usener, *φανέονται* Heeren tamquam ex Vat. Aug. ‖ **5** verbo *ἔχοντι* expl. haec ecloga in P in quo etiam proximae (Hermetis) eclogae deest prior pars usque ad p. 191, 19 ‖ **6** *ὅτιῶν τε* F: *οἷόν τε* Meineke, *ὁτιῶν οἷόν τε* Böckh p. 59 n. 1 | *οὔτ' ἐνοήθημεν οὔτ' ἐγνώσθημεν* F: corr. Böckh ‖ **9** *εἴδη* F ‖ **10. 11** *ἀρτιοπέριττον* F ‖ **11. 12** *ὧν ἑκάστα αὖ ταὐτὸ παθαίνεται* Iacobs ep. cr. p. 234, *ἅν ἑκάστα ὡσαύτως μερίζεται* Mullach | *ἃς* F: *ὡς* Usener ‖ **12** *αὐτ' αὐτὸ* F: *αὐταυτὸ* Gaisford, *αὖ ταὐτὸ* Heeren | *σημαίνει* F: corr. Heeren ‖ **14** *οὔδε* F: corr. Heeren ‖ **14. 15** *ἐστώτων* F: *ἐστὼ τῶν* Böckh p. 62 n. 1 coll. infra c. 35 ecl. 2 p. 714 H. ‖ **15** *αὐτὰ μὲν ἃ* F: *αὐτὰ μὰν ἃ* Usener, *αὐτὰ μόνα* Badham, *αὐτὰ ἃ* vel *ἀεὶ ἐσομένα* Zeller Herm. X p. 188 n. 1 ‖ **15. 16** *θείαν τὲ* F: *θεία ἐντὶ* Badham ‖ **16** *ἀνθρωπίνην* F | *πλέον γα ἢ* F: *πλάν γα ἢ* Badham (partim cum Heereno), *δῆλον γὰρ* Mullach ‖ **17** *οἷον τὴν* F: *οἷόν τ' ἦς* Heeren | *οὐθενὶ* F: *οὐθὲν* Mullach; de *θ* littera cf. Ahrens Dial. Dor. p. 84 | *γιγνωσκομένων* FP: corr. Usener ‖ **18** *γεγνέσθαι* F: corr. Usener, *γνωσθῆμεν* Böckh p. 63 n. 1 | *ὑπαρχούσας* F | *τὰς ἐντοὺς* F: *τᾶς ἐστοῦς* Badham, *αὐτᾶς ἐντὸς* Böckh

καὶ τῶν ἀπείρων. Ἐπεὶ δὲ ταὶ ἀρχαὶ ὑπᾶρχον οὐχ ὁμοῖαι οὐδ' ὁμόφυλοι ἔσσαι, ἤδη ἀδύνατον ἦς κα αὐταῖς κοσμηθῆμεν, αἰ μὴ ἁρμονία ἐπεγένετο, ᾧτινιῶν τρόπῳ ἐγένετο. Τὰ μὲν ὧν ὁμοῖα καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο, τὰ δὲ ἀνόμοια μηδὲ ὁμόφυλα μηδὲ ἰσολαχῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, αἰ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι. Ἁρμονίας δὲ μέγεθός ἐντι συλλαβὰ καὶ δι' [462] ὀξειᾶν· τὸ δὲ δι' ὀξειᾶν μεῖζον τᾶς συλλαβᾶς ἐπογδόῳ· [464] ἔντι γὰρ ἀπὸ ὑπάτας ἐπὶ μέσαν συλλαβά, ἀπὸ δὲ μέσας ἐπὶ νεάταν δι' ὀξειᾶν, ἀπὸ δὲ νεάτας ἐς τρίταν συλλαβά, ἀπὸ δὲ τρίτας ἐς ὑπάταν δι' ὀξειᾶν· τὸ δ' ἐν μέσῳ [466] μέσας καὶ τρίτας ἐπόγδοον· ἃ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀξειᾶν ἡμιόλιον, ⟨τὸ⟩ διὰ πασᾶν δὲ διπλόον. Οὕτως ἁρμονία πέντε ἐπόγδοα καὶ ⟨δύο⟩ διέσιες, δι' ὀξειᾶν δὲ τρία ἐπόγδοα καὶ δίεσις. [468]

8 ⟨Eiusdem (fr. 4 Mullach.).⟩

Τὸ πρᾶτον ἁρμοσθέν, τὸ ἕν, ἐν τῷ μέσῳ τᾶς σφαίρας ἑστία καλεῖται.

9 Ἑρμοῦ ἐκ τοῦ πρὸς Τάτ (inde a p. 191, 19 = p. 38[b] Patric.).

⟨ΤΑΤ⟩ Ἐπεί μοι ἐν τοῖς ἔμπροσθεν γενικοῖς λόγοις

---

1 τε ἀρχαὶ F: ταὶ ἀρχαὶ Badham | ὑπάρχον F | ὅμοιαι F ‖ **2** ἦς καὶ F: ἦς κα Badham | αὐτοῖς F: corr. Böckh ‖ **2. 3** κοσμηθῆναι F ‖ **3** εἰ F | ὡτινιῶν ἂν τρόπων F: ᾧτινιῶν τρόπῳ Meineke, ᾧ τινι ἄρα τρόπῳ Badham ‖ **4** ὧν F: ὧν Heeren | ὅμοια F ‖ **5** ἰσοταχῆ F: ἰσολαχῆ (vel ἰσοπαλῆ) Meineke, ἰσοτελῆ Heeren (tamquam e libris) ‖ **5. 6** τὰ τοιαῦτα F: corr. Badham ‖ **6** ἁρμονίαις F: ἁρμονίᾳ Böckh | ἢ εἰ F: αἰ Meineke ‖ **7** ἐστι F ‖ **8** ὀξεῖαν (ante μεῖζον) F: corr. Böckh ‖ **9** ἔστι F | μέσσαν et μέσσας F ‖ **10** ἐπὶ] ποτὶ Heeren | νέαταν F | ὀξεῖαν F | εἰς F ‖ **11** ὀξεῖαν F | τὸ δὲ μέσσον Heeren (tamquam e libris) ‖ **12** μέσσας F | ἐπ' ὀγδώω F: corr. Heeren | ἐπίτριτος F: corr. Heeren ‖ **13** ὀξεῖαν F | τὸ add. Heeren tacite | πᾶσαν F: πασᾶν Heeren ‖ **14** ἐπ' ὀγδόω καὶ διέσιος F: ἐπόγδοα καὶ ⟨δύο⟩ διέσιες Böckh p. 67 n. 1 coll. Nicom. l. s. | ὀξεῖαν F ‖ **15** ἐπ' ὀγδόα F | post δίεσις add. tacite Heeren συλλαβὰ δὲ δύ' ἐπόγδοα καὶ δίεσις ‖ **16** hoc frg. seiunxit Heeren ‖ **17** ἁρμοχθὲν Meineke ‖ **21** personarum distinctiones desunt in F (ut postea in P), addunt cum Patricio ΑΣΚ. et ΕΡΜ. quod correxi

ὑπέσχου δηλῶσαι περὶ τῶν τριάκοντα ἐξ δεκανῶν, νῦν μοι δήλωσον περὶ αὐτῶν καὶ τῆς τούτων ἐνεργείας.

[470] ⟨ΕΡΜ.⟩ Οὐδεὶς φθόνος, ὦ Τάτ, καὶ ὁ κυριώτατος πάντων λόγος καὶ κορυφαιότατος οὗτος ἂν εἴη· σὺ δὲ νόει οὕτως. Ἔφαμέν σοι περὶ τοῦ ζῳδιακοῦ κύκλου, τοῦ καὶ ζῳοφόρου, καὶ τῶν πέντε πλανητῶν καὶ ἡλίου καὶ σελήνης καὶ τοῦ ἑκάστου τούτων κύκλου.

⟨ΤΑΤ⟩ Ἔφης γάρ, ὦ Τρισμέγιστε.

⟨ΕΡΜ.⟩ Οὕτως βούλομαί σε νοεῖν καὶ περὶ τῶν τριάκοντα ἐξ δεκανῶν μεμνημένον ἐκείνων, ἵν' εὔγνωστός σοι καὶ ὁ περὶ τούτων λόγος γένηται.

⟨ΤΑΤ⟩ Μέμνημαι, ὦ πάτερ.

⟨ΕΡΜ.⟩ Ἔφαμέν που, ὦ τέκνον, περιεκτικὸν τῶν ἁπάντων εἶναι σῶμα· ἐννόησον οὖν καὶ αὐτὸς ὥσπερ κυκλοειδὲς σχῆμα· καὶ γὰρ οὕτως ἔχει τὸ πᾶν.

⟨ΤΑΤ⟩ Τοιοῦτον σχῆμα νοῶ οὕτως ὡς λέγεις, ὦ πάτερ.

⟨ΕΡΜ.⟩ Ὑπὸ δὲ τὸν κύκλον τοῦ σώματος τούτου τετάχθαι τοὺς τριάκοντα ἐξ δεκανούς, μέσους τοῦ παντὸς κύκλου ⟨καὶ⟩ τοῦ ζῳδιακοῦ, διορίζοντας ἀμφοτέρους τοὺς κύκλους, καὶ ὥσπερ ἐκεῖνον μὲν κουφίζοντας τὸν ζῳδια-
[472] κόν, [καθορίζοντας,] συμφερομένους ⟨δὲ⟩ τοῖς πλάνησι, καὶ ἰσοδυναμεῖν τῇ τοῦ παντὸς φορᾷ κατὰ τὸ ἐναλλὰξ τοῖς ⟨θ'⟩ ἑπτά· καὶ τὸ μὲν περιεκτικὸν ἐπέχειν σῶμα (ἔσχατον γὰρ ἂν ἦν ἐν τῇ φορᾷ, αὐτὸ καθ' αὑτὸ ὄν, τῷ τάχει)· ἐπισπεύδειν δὲ τοὺς ἑπτὰ ἄλλους κύκλους διὰ τὸ βραδυ-

---

3 *οὐδὲ εἷς* F: corr. Meineke ‖ **4** *αὐτὸς* F: *οὗτος* Heeren (tamquam e libris) | *εὖ δὲ* F: *σὺ δὲ* Meineke ‖ **5. 6** *καὶ τοῦ ζωοφόρου* F: *τοῦ καὶ ζ.* Meineke, nisi haec verba expungenda sint; *ἢ τοῦ ζ.* Heeren ‖ **9** *σοι* F: *σε* Heeren ‖ **10** *μεμνημένος* F: corr. Meineke ‖ **11** *γένοιτο* F: corr. Meineke ‖ **13** *φαμέν* F: corr. Meineke ‖ **14** *καὶ αὐτὸ* F: *καὶ αὐτὸς* scripsi, nisi *αὐτοῦ* praestat v. *καὶ* deleto, *καὶ αὐτοῦ* Meineke ‖ **16** *νῦν* F: *νοῶ* Heeren ‖ **18** *τούτους* F: corr. Heeren ‖ **20** *καὶ* add. Heeren ‖ **22** *καθορίζοντας* F: ut variam lect. v. *κουφίζοντας* (21) seclusi; *καὶ καθορίζοντας* Heeren | *δὲ* addidi ‖ **24** ⟨*θ'*⟩ add. Usener ‖ **25** *ἐν τῷ πάσχειν* FP: *ὄν, τῷ τάχει* Usener; seclusit Heeren ‖ **26** *διά τε* F: *διὰ τὸ* Heeren (tamquam e libris)

τέραν κίνησιν κινεῖσθαι τοῦ παντὸς κύκλου. Ὥσπερ οὖν ἀνάγκη αὐτοὺς κινεῖσθαι καὶ ⟨τὸν⟩ τοῦ παντός. Νοήσωμεν οὖν καὶ [τὰς] τῶν ἑπτὰ καὶ ⟨τοῦ⟩ παντὸς τὸν κύκλον, μᾶλλον δὲ τὰ ἐν κόσμῳ ἅπαντα ὡσπερεὶ φύλακας αὐτοὺς περιίστασθαι, καὶ συνέχοντας τὰ πάντα καὶ τηροῦντας τὴν τῶν πάντων εὐταξίαν.

⟨*TAT*⟩ Οὕτως γὰρ νοῶ, πάτερ, ἐξ ὧν λέγεις.

⟨*ΕΡΜ.*⟩ Ἔτι δὲ νόησον, Τάτ, ὅτι καὶ ἀπαθεῖς εἰσιν, ὧν οἱ ἄλλοι ἀστέρες πάσχουσιν· οὔτε γὰρ ἐπεχόμενοι τὸν δρόμον στηρίζουσιν οὔτε κωλυόμενοι ἀναποδίζουσιν, ἀλλ' οὐδὲ μὴν ὑπὸ τοῦ φωτὸς τοῦ ἡλίου σκέπονται, ἅπερ πάσχουσιν οἱ ἄλλοι ἀστέρες· ἐλεύθεροι δὲ ὄντες ὑπεράνω πάντων ὥσπερ φύλακες ἀκριβεῖς καὶ ἐπίσκοποι τοῦ παντὸς περιέχονται τῷ νυχθημέρῳ τὸ πᾶν. [474]

⟨*TAT*⟩ Ἆρ' οὖν καὶ οὗτοι, ὦ πάτερ, ἔχουσι πρὸς ἡμᾶς ἐνέργειαν;

⟨*ΕΡΜ.*⟩ Τὴν μεγίστην, ὦ τέκνον. Εἰ γὰρ ἐκείνοις ἐνεργοῦσι, πῶς οὐ καὶ ἡμῖν; καὶ καθ' ἕνα ἕκαστον καὶ κοινῇ; Οὕτως, ὦ τέκνον, τῶν καθολικῶς πάντων συμβαινόντων τῇ ἐνεργείᾳ ἀπὸ τούτων ἐστίν. οἷον (ὃ λέγω νόησον) βασιλειῶν μετατροπαί, πόλεων ἐπαναστάσεις, λιμοί, λοιμοί, ἀμπώτεις θαλάσσης, γῆς σεισμοί, οὐδὲν τούτων, ὦ τέκνον, χωρὶς τῆς τούτων ἐνεργείας γίνεται. Ἔτι τε πρὸς τούτοις νόησον· εἰ γὰρ οὗτοι μὲν ἐπιστατοῦσιν ἐκείνων, ἡμεῖς δὲ καὶ ὑπὸ τοὺς ἑπτά ἐσμεν, οὐ νοεῖς καὶ εἰς

1.2 hiulca videntur; num *ὥσπερ οὖν αὐτούς, ἀνάγκη καὶ τούτους κινεῖσθαι καὶ τὸν τοῦ παντός*? sed cf. supra p. 82, 5. 6 ‖ **2** *τὸν* ante *τοῦ* add. Heeren ‖ **3** *τὰς* ante *τῶν* del. Meineke, *αὐτῶν* coni. Heeren, *τοὺς τῶν* Usener | *καὶ πάντα τὸν κύκλον* F: *καὶ τοῦ παντὸς τὸν κύκλον* scripsi, *καὶ παντὸς τοῦ κύκλου* Meineke, *καὶ τοῦ παντὸς τοῦ κύκλου* Heeren ‖ **4** *τῶν* et *ἁπάντων* FP: correxi ‖ **5** *πάντα συνέχοντας καὶ τὰ πάντα καὶ* F: *καὶ συνέχοντας τὰ πάντα καὶ* scripsi, *πάντα συνέχοντας καὶ* Heeren tamquam e libris ‖ **19** a verbis *οὕτως ὦ τέκνον* rursus incipit P, in quo m. 2 mrg add. *ἐκ τῶν τρισμεγίστου*; cf. supra p. 188, 5 ‖ **20** *τῇ ἐνεργείᾳ ἀπὸ*] *τὰ ἐνεργήματα* Usener; recte opinor, nisi *ἡ ἐνέργεια ἀπὸ* praestat ‖ **21** *βασιλέων* FP: *βασιλειῶν* Heeren | *μετὰ τροπαίων* F, *μετατροπαίων* P: corr. Canter ‖ **21. 22** *λιμοὶ λοιμοὶ* F, *λιμοὶ λιμοὶ* P: *λοιμοὶ λιμοὶ* cum Cantero vulg. ‖ **22** *ἄμπωτις* FP: corr. Meineke ‖ **24** *εἰ γὰρ* F, *οὐ γὰρ* P

ἡμᾶς τινα ἐκείνων φθάνειν ἐνέργειαν, ἤτοι ὑπ' αὐτῶν, ἢ δι' ἐκείνων;

⟨ΤΑΤ⟩ Τίς ⟨δ' ἂν⟩ αὐτοῖς εἴη, ὦ πάτερ, ὁ τοῦ σώματος τύπος;

⟨ΕΡΜ.⟩ Τούτους οὖν καλοῦσιν οἱ πολλοὶ δαίμονας· οὐδὲ γὰρ ἴδιόν τί ἐστι γένος τὸ τῶν δαιμόνων οὔτε ἄλλα σώματα ἔχοντες ἐξ ἰδίας τινὸς ὕλης οὔτε ψυχῇ κινούμενοι ὥσπερ ἡμεῖς, ἀλλὰ ἐνέργειαί εἰσι τῶν τριάκοντα ἓξ τούτων θεῶν.

[476] Ἔτι δὲ πρὸς τούτοις νόησον, ὦ Τάτ, ἐνέργημα τούτων, ὅτι καὶ εἰς τὴν γῆν σπερματίζουσιν ἃς καλοῦσι τάνας, τὰς μὲν σωτηρίους, τὰς δὲ ὀλεθριωτάτας.

Ἔτι καὶ ἐν οὐρανῷ φερόμενοι ἀστέρες γεννῶσιν αὐτοῖς ὑπολειτουργούς, ⟨οὓς⟩ καὶ ὑπηρέτας καὶ στρατιώτας ἔχουσιν. Οὗτοι δὲ ὑπ' ἐκείνων μιγνύμενοι φέρονται ἐν τῷ αἰθέρι αἰωρούμενοι, τὸν τούτου τόπον ἀναπληροῦντες, ὅπως μηδεὶς ᾖ τόπος ἄνω κενὸς ἀστέρων, συγκοσμοῦντες τὸ πᾶν, ἐνέργειαν ἰδίαν ἔχοντες, ὑποτεταγμένην δὲ ⟨τῇ⟩ τῶν τριάκοντα ἓξ ἐνεργείᾳ· ἐξ ὧν καὶ κατὰ τὰς χώρας φθοραὶ γίνονται τῶν ἄλλων ἐμψύχων ζῴων καὶ ἡ πληθὺς τῶν λυμαινομένων ζῴων τοὺς καρπούς.

Ὑπὸ δὲ τούτους ἐστὶν ἡ καλουμένη ἄρκτος, κατὰ μέσον τοῦ ζῳδιακοῦ, ἐξ ἀστέρων συγκειμένη ἑπτά, ἔχουσα ἀντίζυγον ἑτέραν ὑπὲρ κεφαλῆς. Ταύτης μὲν ἡ ἐνέργειά ἐστι καθάπερ ἄξονος, μηδαμοῦ μὲν δυνούσης μηδὲ ἀνατελλούσης, μενούσης δὲ ἐν τῷ αὐτῷ τόπῳ, [τῆς] περὶ ⟨τὸ⟩ αὐτὸ
p. 50 C. στρεφομένης, ἐνεργούσης δὲ τὴν ⟨τοῦ⟩ ζῳοφόρου κύκλου

---

1 *νίεῖς* F, *ἡεῖς* P: *ὑπ'* Usener ‖ **3** *δ' ἂν* add. Usener, *ἄν* Meineke ‖ **5** videtur aliquid deesse | *οὖν* F, *οὕς* P ‖ **7** *οὐδὲ* FP: *οὔτε* Meineke | *ψυχῆς* FP: *ψυχῇ* Heeren ‖ **14** *οὕς* add. Usener ‖ **17** *μηδὲν* FP: *μηδεὶς* Heeren tamquam e libris ‖ **18** *τῇ* addidi, *τὴν* add. Canter ‖ **19** *ἐνέργειαν* FP: correxi | *ὥρας* Hense ‖ **23** *ἐπὰ* P ‖ **24** *ἡ* om. P ‖ **26** *τῆς* FP: seclusi, *καὶ* Heeren | *αὐτὸ* FP: *τὸ αὐτὸ* scripsi coll. p. 164, 3, *αὐτὴν* Meineke ‖ **27** *τοῦ* add. Heeren | *ζωφόρου* FP ‖ **27.** p. **193, 1** *κύκλου* FP: *κύκλου περιφορὰν* Heeren, *κύκλωσιν* (debuit *κύκλησιν*) Meineke

⟨περιφοράν⟩, παραδιδοῦσαν τὸ πᾶν τοῦτο ἀπὸ μὲν τῆς νυκτὸς ἡμέρᾳ, ἀπὸ ⟨δ'⟩ ἡμέρας νυκτί.

Μετὰ δὲ ταύτην ἐστὶν ἄλλος χορὸς ἀστέρων, οὓς ἡμεῖς προσηγοριῶν οὐ κατηξιώσαμεν, οἱ δὲ μεθ' ἡμᾶς μιμησάμενοι μὲν καὶ αὐτοὶ προσηγορίας τούτοις θήσονται.

Κάτωθεν δὲ τῆς σελήνης εἰσὶν ἕτεροι ἀστέρες φθαρτοί, ἀργοί, πρὸς ὀλίγον χρόνον συνιστάμενοι, εἰς [478] τὸν ὑπὲρ γῆς ἀέρα ἐξ αὐτῆς τῆς γῆς ἀναθυμιώμενοι, οὓς καὶ ἡμεῖς ὁρῶμεν διαλυομένους, τὴν φύσιν ὁμοίαν ἔχοντας τοῖς ἀχρήστοις τῶν ἐπὶ γῆς ζῴων, ἐπὶ ἕτερον δὲ οὐδὲν γίνεται ἢ ἵνα μόνον φθαρῇ, οἷον τὸ τῶν μυιῶν γένος καὶ τῶν ψυλλῶν καὶ τῶν σκωλήκων καὶ τῶν ἄλλων τῶν ὁμοίων· καὶ γὰρ ἐκεῖνα, ὦ Τάτ, οὔτε ἡμῖν οὔτε τῷ κόσμῳ χρήσιμά ἐστι, τοὐναντίον δὲ λυπεῖ ἐνοχλοῦντα, παρακολουθήματα ὄντα τῆς φύσεως καὶ κατὰ τὸ περισσὸν τὴν γένεσιν ἔχοντα· τὸν αὐτὸν τρόπον καὶ οἱ ἀπὸ τῆς γῆς ἀναθυμιώμενοι ἀστέρες τὸν μὲν ἄνω τόπον οὐ καταλαμβάνουσιν (ἀδυνατοῦσι γὰρ ὡς κάτωθεν ἀνιόντες), πολὺ δὲ ⟨τὸ⟩ ἐμβριθὲς ἔχοντες, ἑλκόμενοι κάτω ὑπὸ τῆς ἰδίας ὕλης διαχέονται ταχέως καὶ διαλυθέντες πίπτουσι πάλιν εἰς γῆν μηδὲν ⟨ἕτερον⟩ ἐνεργήσαντες, ἢ μόνον ὀχλήσαντες τῷ ὑπὲρ γῆν ἀέρι.

Ἕτερόν ἐστι γένος, ὦ Τάτ, τὸ τῶν καλουμένων κομητῶν, κατὰ καιρὸν ἐπιφαινομένων καὶ πάλιν μετὰ χρόνον ὀλίγον ἀφανῶν γινομένων, μήτε ἀνατελλόντων μήτε δυνόντων μήτε διαλυομένων, οἵτινες φανεροὶ ἄγγελοι καὶ κήρυκες καθολικῶν ἀποτελεσμάτων γίνονται μελλόντων ἔσεσθαι· οὗτοι δὲ τὸν τόπον ἔχουσιν ὑπὸ τὸν κύκλον τὸν τοῦ ἡλίου. Ἐπὰν οὖν μέλλῃ τι τῷ κόσμῳ

---

1 *παραδιδοῦσα* FP: corr. Canter | *τὸ* om. Heeren ‖ **2** *δ'* add. Heeren ‖ **4** *προσηγοριῶν* FP¹(P² legere non potui) ‖ **5** *μὲν* del. Meineke | *μιμησάμενοι* spectat ad imitationem rerum, qua fit vocabulorum impositio | *καὶ αὐτοῖς* (deleto statim *τούτοις*) Meineke ‖ **12** an *γινομένοις*? | *ἵνα*] *ὅτι* Heeren temere ‖ **14** *ἐκεῖναι* F ‖ **16** *τὸ* om. P ‖ **20** *τὸ* add. Usener | *ἀπὸ* P ‖ **22** *ἕτερον* add. Usener ‖ **23** *ἀέρι* F, *ἀνδρὶ* P ‖ **30** *μέλλει* F

συμβαίνειν, οὗτοι φαίνονται ⟨*καὶ*⟩ *φανέντες ὀλίγας ἡμέρας,*
[480] *πάλιν ὑπὸ τὸν κύκλον ἐλθόντες τοῦ ἡλίου ἀφανεῖς μένουσιν, ἐν τῷ ἀπηλιώτῃ φανέντες* ⟨*ἄλλοι*⟩, *ἄλλοι δὲ ἐν τῷ βορρᾷ, ἄλλοι δὲ ἐν τῷ λιβί, ἄλλοι δὲ ἐν τῷ νότῳ· μάντεις δὲ τούτους προσηγορεύσαμεν. Καὶ ἀστέρων ἥδε φύσις.*

[*Ἀστέρες δὲ ἄστρων διαφορὰν ἔχουσιν. Ἀστέρες μὲν γάρ εἰσιν οἱ ἐν τῷ οὐρανῷ αἰωρούμενοι, ἄστρα δὲ τὰ ἐγκείμενα ἐν τῷ σώματι τοῦ οὐρανοῦ, συμφερόμενα δὲ τῷ οὐρανῷ, ἐξ ὧν δώδεκα ζῴδια προσηγορεύσαμεν.*]

Ὁ ταῦτα μὴ ἀγνοήσας ἀκριβῶς δύναται νοῆσαι τὸν θεόν, εἰ δὲ καὶ τολμήσαντα δεῖ εἰπεῖν, καὶ αὐτόπτης γενόμενος θεάσασθαι καὶ θεασάμενος μακάριος γενέσθαι.

⟨*TAT*⟩ *Μακάριος ὡς ἀληθῶς, ὦ πάτερ, ὁ τοῦτον θεασάμενος.*

⟨*ΕΡΜ.*⟩ *Ἀλλ' ἀδύνατον, ὦ τέκνον, τὸν ἐν σώματι τούτου εὐτυχῆσαι. Δεῖ δὲ προγυμνάζειν αὑτοῦ τινα τὴν ψυχὴν ἐνθάδε, ἵνα ἐκεῖ γενομένη, ὅπου αὐτὴν ἔξεστι θεάσασθαι, ὁδοῦ μὴ σφαλῇ. Ὅσοι δὲ ἄνθρωποι φιλοσώματοί εἰσιν, οὗτοι οὐκ ἄν ποτε θεάσαιντο τὴν τοῦ καλοῦ καὶ ἀγαθοῦ ὄψιν. Οἷον γάρ ἐστι κάλλος, ὦ τέκνον, τὸ μήτε σχῆμα μήτε χρῶμα μήτε σῶμα ἔχον.*

⟨*TAT*⟩ *Εἴη δ' ἄν τι, ὦ πάτερ, χωρὶς τούτων καλόν;*

⟨*ΕΡΜ.*⟩ *Μόνος ὁ θεός, ὦ τέκνον, μᾶλλον δὲ τὸ μεῖζόν τι ὄν, τοῦ θεοῦ τὸ ὄνομα.*

---

1 *καὶ* add. Usener | *φανέντας* P (*φανέντες δὲ* Vat.) ‖ **3** *ἄλλοι* (post *φανέντες*) add. Usener ‖ **3** et **4** ter *ἄλλοι* corr. Heeren pro *ἄλλα* ‖ **5** *ἀστέρων* FP: *ἄστρων* Heeren tamquam ex Vat. ‖ **7—10** antiquum glossema esse animadvertit Usener ‖ **10** ante *τῷ* add. FP *ἐν*, quod Meineke del., in *εἰσὶ* mutat Heeren ‖ **12** post *εἰπεῖν* add. *ἔστι* (vel *ἔξεστι*) Meineke ‖ **12. 13** *αὐτόπτην γενόμενον* et *θεασάμενον μακάριον* FP: correxi ‖ **14** *μακάριον* FP: corr. Gaisford ex Aug. ‖ **17** *αὐτοῦ* FP: *αὑτοῦ* Meineke ‖ **19** *ὁδοῦ*] *σκοποῦ* Meineke ‖ **21. 22** vulgo enuntiatum interrogativum esse perperam statuunt

CAPVT XXII (XXIII Heeren.) [482]

ΠΕΡΙ ΤΑΞΕΩΣ ΤΟΥ ΚΟΣΜΟΥ· ⟨ΕΙ ΕΝ ΤΟ ΠΑΝ.⟩

1ª ⟨Aetii (II 7, 1 p. 335, 4 Diels.).⟩

Παρμενίδης στεφάνας εἶναι περιπεπλεγμένας ἐπαλ-
λήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ·
μικτὰς δὲ ἄλλας ⟨ἐκ⟩ φωτὸς καὶ σκότους μεταξὺ τούτων·
καὶ τὸ περιέχον δὲ πάσας τείχους δίκην στερεὸν ὑπάρχειν,
ὑφ' ᾧ πυρώδης στεφάνη· καὶ τὸ μεσαίτατον πασῶν περὶ
ὃ πάλιν πυρώδης· τῶν δὲ συμμιγῶν τὴν μεσαιτάτην ἁπά-
σαις αἰτίαν πάσης κινήσεως καὶ γενέσεως ὑπάρχειν, ἥντινα [484] p. 51 C.
καὶ δαίμονα κυβερνῆτιν καὶ κληδοῦχον ἐπονομάζει, δίκην
τε καὶ ἀνάγκην. Καὶ τῆς μὲν γῆς ἀπόκρισιν εἶναι τὸν
ἀέρα, διὰ τὴν βιαιοτέραν αὐτῆς ἐξατμισθέντα πίλησιν,
τοῦ δὲ πυρὸς ἀναπνοὴν τὸν ἥλιον καὶ τὸν γαλαξίαν κύκλον·
συμμιγῆ δ' ἐξ ἀμφοῖν εἶναι τὴν σελήνην, τοῦ τ' ἀέρος
καὶ τοῦ πυρός. Περιστάντος δ' ἀνωτάτω πάντων τοῦ
αἰθέρος ὑπ' αὐτῷ τὸ πυρῶδες ὑποταγῆναι τοῦθ' ὅπερ
κεκλήκαμεν οὐρανόν, ὑφ' ᾧ ἤδη τὰ περίγεια.

1ᵇ ⟨Aetii (II 7, 5 p. 336, 12 Diels.)⟩

Ἀριστοτέλης πρῶτον αἰθέρα ἀπαθῆ, πέμπτον [486]

---

2 titulus iteratur in ind. flor. Laur. *K* n. 14 ubi est *περὶ κόσμου τάξεως· ἐν αὐτῷ καὶ τάδε· εἰ ἓν τὸ πᾶν κτλ.* (vide *Stud.* p. 74sq.) | *εἰ ἓν τὸ πᾶν* om. hic FP (sed habent infra p. 198, 18), add. Photius p. 112ᵇ 7. 8 ‖ **4** lemma *παρμενίδου* add. P | ante *εἶναι* add. ε̄ (i. e. *πέντε*) Meineke ‖ **6** *τὰς ἄλλας* Meineke | *ἐκ* om. FP, add. Plut. plac. phil. II 7 ‖ **8. 9** *περὶ ὃν* F, *περὶ ὧν* P: *περὶ ὃ* Böckh opusc. VII p. 34; cf. Krische theolog. p. 103 sq. ‖ **9. 10** *ἁπάσαις τε καὶ* FP: *ἁπάσαις αἰτίαν* Krische p. 107 conl. Simplic. ad phys. p. 34, 6 Diels., *ἁπάσαις τοκέα* Davis ad Cic. N. D. I 11 coll. Parmen. v. 128 sq. Karst., *ἀρχὴν τόκου τε καὶ* Zeller hist. phil. Gr. I⁴ p. 525 n. 2, *ἅπασι τοκέα* Stein symb. philol. Bonn. p. 800 ‖ **11** post *δαίμονα* iterat *καὶ* P, sed cf. Parm. v. 127 Karst. | *κυβευνῆτιν* F: *κυβερνήτην* Heeren | *κληροῦχον* FP: *κληδοῦχον* Fülleborn 'Fragm. d. Parm.' p. 42 n. p. ‖ **12** *τὴν ἀπόκρισιν* Heeren ‖ **13** *πίλησιν* F, *πηλυγίν* P ‖ **15** *πυμμιγῆ* P | *τοῦ δ' ἀέρος* P ‖ **16** *περιϊστάντος* Meineke ‖ **18** *ὑφ' οὗ* FP: *ὑφ' ᾧ* Krische p. 114 ‖ **20** lemma *ἀριστοτέλους* add. P; *σῆ* F mrg virid.

τι σῶμα, μεθ' ὃν παθητὰ πῦρ, ἀέρα, ὕδωρ, τελευταίαν δὲ γῆν.

1[c] ⟨Arii Didymi epit. (fr. phys. 9 p. 450 Diels.) de Aristotele.⟩

Περιέχεσθαι δὲ ταῦτα ὑπὸ τοῦ αἰθέρος, ἔνθα τὰ θεῖα διανενεμημένα κατὰ σφαίρας ἵδρυται τῶν λεγομένων ἀπλανῶν τε καὶ πλανωμένων ἀστέρων. Ὅσας δὲ εἶναι τὰς σφαίρας, τοσούτους ὑπάρχειν καὶ τοὺς κινοῦντας θεοὺς ταύτας, ὧν μέγιστον τὸν πάσας περιέχοντα, ζῷον ὄντα λογικὸν καὶ μακάριον, συνεκτικὸν καὶ προνοητικὸν τῶν οὐρανίων. Συνεστάναι δὲ τὰ ἄστρα καὶ τὸν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τοῦτον δὲ οὔτε βαρὺν οὔτε κοῦφον οὔτε γενητὸν οὔτε φθαρτὸν οὔτε αὐξόμενον οὔτε μειούμενον ἐς ἀεὶ διαμένειν ἄτρεπτον καὶ ἀναλλοίωτον, πεπερασμένον καὶ σφαιροειδῆ καὶ ἔμψυχον, κινούμενον περὶ τὸ μέσον ἐγκυκλίως.

1[d] ⟨Aetii (II 7, 7 p. 336, 20 Diels.).⟩

[488] *Φιλόλαος πῦρ ἐν μέσῳ περὶ τὸ κέντρον, ὅπερ ἑστίαν τοῦ παντὸς καλεῖ καὶ Διὸς οἶκον καὶ μητέρα θεῶν, βωμόν τε καὶ συνοχὴν καὶ μέτρον φύσεως· καὶ πάλιν πῦρ ἕτερον ἀνωτάτω, τὸ περιέχον. Πρῶτον δ' εἶναι φύσει τὸ μέσον, περὶ δὲ τοῦτο δέκα σώματα θεῖα χορεύειν, οὐρανόν, τοὺς ε̄ πλανήτας, μεθ' οὓς ἥλιον, ὑφ' ᾧ σελήνην, ὑφ' ᾗ τὴν γῆν, ὑφ' ᾗ τὴν ἀντίχθονα, μεθ' ἃ σύμπαντα τὸ πῦρ, ἑστίας περὶ τὰ κέντρα τάξιν ἐπέχον. Τὸ μὲν οὖν ἀνωτάτω μέρος τοῦ περιέχοντος, ἐν ᾧ τὴν εἰλικρίνειαν εἶναι τῶν στοιχείων,*

[490] *Ὄλυμπον καλεῖ· τὰ δὲ ὑπὸ τὴν τοῦ Ὀλύμπου φοράν, ἐν ᾗ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, κόσμον. Τὸ δ' ὑπὸ τούτοις ὑποσέληνόν τε καὶ περίγειον*

---

1 *μεθ' ὧν* P[1] ‖ **8. 9** *ταύτας θεοὺς* malit Meineke ‖ **10** *συντακτικὸν* (sed prius *τ* eras.) F, *συνακτικὸν* P: *συνεκτικὸν* Aug. ‖ **11** *συνεστάναι – ἐγκυκλίως* (16) iterantur infra c. 23, 2 p. 201, 3—7 ‖ **13** *οὔτε φθαρτὸν* c. 23, *ἢ φθαρτὸν* hic FP | *ἐς* c. 23, *εἰς* hic FP ‖ **18** lemma *φιλολάου* P mrg add. ‖ **22** *οὐρανόν τε* F, *οὐρανόν* P: *οὐρανόν, τοὺς ε̄* (i. e. *πέντε*) Diels; sed cf. Zeller phil. Gr. I[4] p. 383 n. 4 ‖ **23** *σελήνην* FP[2], *δελήγειν* P[1] ‖ **25** *ἐπὶ* FP: *περὶ* Meineke

μέρος, ἐν ᾧ τὰ τῆς φιλομεταβόλου γενέσεως, οὐρανόν. Καὶ περὶ μὲν τὰ τεταγμένα τῶν μετεώρων γίνεσθαι τὴν σοφίαν, περὶ δὲ τῶν γινομένων τὴν ἀταξίαν τὴν ἀρετήν, τελείαν μὲν ἐκείνην, ἀτελῆ δὲ ταύτην.

1e ⟨Aetii (II 7, 2. 3 p. 336, 4 Diels.).⟩

Λεύκιππος καὶ Δημόκριτος χιτῶνα κύκλῳ καὶ ὑμένα περιτείνουσι τῷ κόσμῳ, διὰ τῶν ἀγκιστροειδῶν ἀτόμων συμπεπλεγμένον.

Ἐπίκουρος ἐνίων μὲν κόσμων ἀραιὸν τὸ πέρας, ἐνίων δὲ πυκνόν, καὶ τούτων τὰ μέν τινα κινούμενα, τὰ δ' ἀκίνητα.

1f ⟨Aetii (II 6, 4 p. 334, 1 Diels.) et Platonis Timaei.⟩

Πλάτων τὸν ὁρατὸν κόσμον γεγονέναι παράδειγμα τοῦ νοητοῦ κόσμου. Τοῦ δὲ ὁρατοῦ πρωτέραν μὲν τὴν [492]
ψυχήν, μετὰ δὲ ταύτην τὸ σωματοειδές, τὸ ἐκ πυρὸς μὲν καὶ γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον.

Λέγει γοῦν ἐν Τιμαίῳ (p. 32C. D) *οὕτως· „Τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἵληφεν ἡ τοῦ κόσμου σύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολείπων, τάδε διανοηθείς, πρῶτον μὲν ἵνα ὅλον ὅτι μάλιστα ζῷον τέλειον ἐκ τελείων τῶν μερῶν εἴη, πρὸς δὲ τούτοις ἕν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν.“*

2 ⟨*Πλουτάρχου.*⟩

Ὅμηρος τὸν αἰθέρα τοῦ ἀέρος ὑψηλότερον εἶναί φη- p. 52C.
σιν, εἴρηκε δὲ οὕτως (Ξ 287 sq.)·

---

3 *τὰ γενόμενα* FP: corr. Usener | *τὴν ἀταξίαν* F, *τῆς ἀταξίας* P ‖ **6** lemma *λευκίππου καὶ δημοκρίτου* add. P | *κύκλῳ* P², *κύκλου* FP¹ ‖ **7** *τῶν*] *τινων* Meineke | *ἀγγιστροειδῶν* F ‖ **8** *ἄστρων* FP: *ἀτόμων* Heeren, *αἰτίων* Meineke | *ἐμπεπλεγμένον* F (?) P: corr. Meineke ‖ **9** lemma *ἐπικούρου* add. P | *κόσμων* Plut. plac. II 7, *κόσμον* FP ‖ **10** *τὸ πυκνὸν* Canter ‖ **12** lemma *πλάτωνος* add. P ‖ **13** *τοῦ ἐξ ὁρατοῦ* P | *πρωτέρα* P¹ ‖ **18** ante *παντὸς* add. *ὁ* F ‖ **20** *ὑπολιπὼν* Plat. *A* al. ‖ **21** *τέλεον ἐκ τελέων* Plat. | *ἐκ τελεῖ* F (m. y *ων* sprscr.) ‖ **22** *ἓν ἅτε* Plat., *ἕνα τε* FP | *ὑπολελειμμένων* Plat., *ὑπολελειμμένον* FP ‖ **23** *τοιοῦτο* P ‖ **24** Plutarcho (personato) h. ecl. adscripsi cum Dilesio Doxogr. p. 95; cf. Plut. vit. Hom. c. 95 ‖ **25** lemma *ὁμήρου* F mrg (virid.), P in textu add.

Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν.

Ἐπέκεινα δὲ τοῦ αἰθέρος τὸν οὐρανὸν ὑπάρχειν ἀπεφήνατο· λέγει γὰρ τοιῶσδε (P 424. 425)·

Ὡς οἳ μὲν μάρναντο, σιδήρειος δ' ὀρυμαγδὸς
χάλκεον οὐρανὸν ἶκε δι' αἰθέρος ἀτρυγέτοιο

Ἐπὶ πᾶσι δὲ τὸν Ὄλυμπον ὑπάρχειν κατ' ἐξοχήν τινα καὶ θειότητα· φησὶ γὰρ οὕτως (A 497)·

[494] *Ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε.*

Τὸ γὰρ ἀπωτάτω τῆς γῆς καὶ μήτε τὴν σκιὰν αὐτῆς μήτε τὰς ἀναθυμιάσεις προσδεχόμενον, ὡς ἀειλαμπὲς καὶ ὁλολαμπὲς Ὄλυμπον οἱ παλαιοὶ προσηγόρευσαν. Τοῦτο δὲ καὶ δι' αὐτῶν δηλοῦται ἐν οἷς φησι τοιῶσδε (ζ 42—45)·

Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
ἔμμεναι, οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ
δεύεται, οὐδὲ χιὼν ἐπικίδναται, ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη.

ΕΙ ΕΝ ΤΟ ΠΑΝ.

3ª ⟨Aetii (I 5, 2. 1. 4 p. 291. 292 Diels.).⟩

Ἐμπεδοκλῆς κόσμον ἕνα· οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον, ἀλλὰ ὀλίγον τι τοῦ παντὸς μέρος· τὸ δὲ λοιπὸν ὕλην.

[496] *Οἱ μὲν οὖν ἀπὸ τῆς στοᾶς ἕνα κόσμον ἀπεφήναντο, ὃν δὴ καὶ τὸ πᾶν ἔφασαν εἶναι τὸ σωματικόν.*

---

1 *περιμήκετον* (*τ* in ras., fuit *στ*) P, *περιμήκεστον* F ‖ **2** *πεφυκυῖα* F ‖ **5** *σιδήριος* FP | *ὀρυμαγδὸς* P² Hom., *ὀρυγμαδὸς* FP¹ ‖ **9** *ὄλυμπόν* F ‖ **10** *καὶ μήτε τὴν σκιὰν αὐτῆς* om. P ‖ **13** an *δι' ἄλλων*? ‖ **14** *ὄλυμπόνδ'* F | *ἀεὶ* P ‖ **15** *ὄμβρῳ* P² Hom., *ὄμβρου* FP ‖ **16** *αἰθρήαις* P¹ ‖ **17** *τέτταται* F | *ἐπιδέδωμεν* F ‖ **18** titulum peculiarem hic add. FP: v. supra p. 195, 2 ‖ **20** lemma *ἐμπεδοκλέους* add. P in textu, *ἐνπεδοκῆς* F mrg (virid.) ‖ **22** *ἀργὴν ὕλην* Plut. plac. I 5 ‖ **23** lemma *στωικῶν* add. P mrg, *στωικοὶ* F mrg (*σ* rubr.) | *οἱ – στοᾶς*] *στωικοὶ* P¹, *οἱ στωικοὶ* P² | *οὖν* om. Heeren ‖ **24** *εἶναι τὸ* P² Plut. l. s., *εἶναι τὸν* FP¹

Μητρόδωρος, ὁ καθηγητὴς Ἐπικούρου, φησὶν ἄτοπον εἶναι ἐν μεγάλῳ πεδίῳ ἕνα στάχυν γενηθῆναι καὶ ἕνα κόσμον ἐν τῷ ἀπείρῳ. Ὅτι δὲ ἄπειρος κατὰ τὸ πλῆθος, δῆλον ἐκ τοῦ ἄπειρα τὰ αἴτια εἶναι. Εἰ γὰρ ⟨ὅδε⟩ ὁ κόσμος πεπερασμένος, τὰ δ' αἴτια πάντα ἄπειρα ἐξ ὧν ὅδε ὁ κόσμος γέγονεν, ἀνάγκη ἀπείρους εἶναι. Ὅπου γὰρ ⟨ἀπέραντα⟩ τὰ αἴτια, ἐκεῖ καὶ ⟨τὰ⟩ ἀποτελέσματα. Αἴτια δὲ ἤτοι αἱ ἄτομοι ἢ τὰ στοιχεῖα.

3[b] ⟨Aetii (II 1, 2. 3 p. 327, 8 Diels.).⟩

Θαλῆς, Πυθαγόρας, Ἐμπεδοκλῆς, Ἐκφαντος, Παρμενίδης, Μέλισσος, Ἡράκλειτος, Ἀναξαγόρας, Πλάτων, Ἀριστοτέλης, Ζήνων ἕνα τὸν κόσμον.

Ἀναξίμανδρος, Ἀναξιμένης, Ἀρχέλαος, Ξενοφάνης, Διογένης, Λεύκιππος, Δημόκριτος, Ἐπίκουρος ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κατὰ πᾶσαν περιαγωγήν. [498]

3[c] ⟨Aetii (II 1, 8 p. 329, 1 Diels.).⟩

Τῶν ἀπείρους ἀποφηναμένων τοὺς κόσμους

Ἀναξίμανδρος τὸ ἴσον αὐτοὺς ἀπέχειν ἀλλήλων,

Ἐπίκουρος ἄνισον εἶναι τὸ μεταξὺ τῶν κόσμων διάστημα.

3[d] *Πλάτων ἕνα τὸν κόσμον ἀπεφήνατο· λέγει γὰρ ἐν τῷ Τιμαίῳ* (p. 31[A. B]) *οὕτως·*

---

1 lemma *μητροδώρου* add. P ‖ **2** *γεννηθῆναι* P ‖ **3** *ἄπειρος* antiquum mendum etiam a Plut. lectum: Aetius scripsit *ἄπειροι* (ut coni. Meineke; cf. Laert. X 89) ‖ **4** *ἄπειρα τὰ* P[2] Plut., *ἀπείρατα* F, *ἀπείρατος* P[1] | *ὅδε* add. Usener ‖ **5** *πεπεραγμένος* P ‖ **6** *ὅδε* Plut. *AC* (om. *EB*), *δὲ* FP; sed cf. Diels prol. p. 51 n. 1 ‖ **7** *τὰ αἴτια* FP, *τὰ πάντα αἴτια* Plut. l. s.: *ἀπέραντα τὰ αἴτια* Usener; paullo aliter antiquum mendum explicat Diels p. 51 | *τὰ* ante *ἀποτελέσματα* add. P[2] ‖ **8** *αἱ ἄτομοι* F[2]P[2], *διάτομοι* F[1]P[1] ‖ **10** lemma *θάλεω καὶ ἑτέρων* add. P mrg ‖ **14** lemma *ἀναξιμάνδρου καὶ ἑτέρων* add. P ‖ **17** *περίστασιν* Plut. plac. II 1 ‖ **19** post *τῶν* add. *δ'* Heeren ‖ **20** lemma *ἀναξημάνδρου* add. P ‖ **21** lemma *ἐπικούρου* add. P ‖ **23** lemma *πλάτωνος* add. P

„Πότερον οὖν ὀρθῶς ἕνα οὐρανὸν προσειρήκαμεν, ἢ πολλοὺς καὶ ἀπείρους λέγειν ἦν ὀρθότερον; Ενα· εἴπερ κατὰ τὸ παράδειγμα δεδημιουργημένος ἔσται. Τὸ γὰρ περιέχον πάντα ὁπόσα νοητὰ ζῷα μεθ' ἑτέρου δεύτερον οὐκ ἄν ποτε εἴη. Πάλιν γὰρ ⟨ἂν⟩ ἕτερον εἶναι τὸ περὶ ἐκείνω δέοι ζῷον, οὗ μέρος ἂν εἰήτην ἐκείνω· καὶ οὐκ ἂν ἔτι ἐκείνοιν, ἀλλ' ἐκείνῳ τῷ περιέχοντι τόδ' ἂν ἀφωμοιωμένον λέγοιτο ὀρθότερον. Ἵνα οὖν τόδε κατὰ τὴν μόνωσιν ὅμοιον ᾖ τῷ παντελεῖ ζῴῳ, διὰ ταῦτα οὔτε δύο οὔτε ἀπείρους ἐποίησεν ὁ ποιῶν κόσμους, ἀλλ' εἷς ὅδε μονογενὴς οὐρανὸς γεγονὼς ἔστι τε καὶ ἔτ' ἔσται“.

[500] **CAPVT XXIII (XXIV Heeren.).**

ΠΕΡΙ ΤΗΣ ΟΥΡΑΝΟΥ ΟΥΣΙΑΣ ΚΑΙ ΔΙΑΙΡΕΣΕΩΣ.

1 ⟨Aetii (II 11 p. 339 Diels.).⟩

Ἀναξιμένης καὶ Παρμενίδης τὴν περιφορὰν τὴν ἐξωτάτω τῆς γῆς εἶναι τὸν οὐρανόν.

p. 53 C. *Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος παγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ τὸ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα.*

Ἀναξίμανδρος ἐκ θερμοῦ καὶ ψυχροῦ μίγματος.

Παρμενίδης, Ἡράκλειτος, Στράτων, Ζήνων πύρινον εἶναι τὸν οὐρανόν.

2 ⟨Aetii (II 11, 3 p. 340, 1 Diels.) et Didymi (epit. fr. phys. 9 p. 450 D.) de Aristotele.⟩

Ἀριστοτέλης ἐκ πέμπτου σώματος.

---

5 ἂν (post *γὰρ*) add. Plat.: om. FP ‖ **6** *εἴτην* Plat. *A* al., *εἴη τὴν* FP: *εἰήτην* scripsi ‖ **9** *παντελεῖ* Plat., *ἀτελεῖ* FP ‖ **11** *ἔτ'* om. Plat. praeter *A* ‖ **12** hoc caput iteratum est in flor. Laur. *O* 15 ‖ **15** lemma *ἀναξιμένους καὶ παρμενίδου* add. P | *παρμενίδος* L ‖ **17** lemma *ἐμπεδοκλέους* add. P mrg ‖ **18** *συμπαγέντος* Plut. plac. II 11 | post *πυρὸς* add. *καὶ* F ‖ **19** *ἐν* L Plut., om. FP ‖ **20** lemma *ἀναξιμάνδρου* add. P mrg ‖ **21** lemma *παρμενίδου καὶ ἑτέρων* add. P

Λέγει γοῦν ἐν τοῖς Περὶ τῆς φυσικῆς ἀκροάσεως καὶ [502]
οὐρανοῦ λόγοις οὕτως. —

Συνεστάναι δὲ τὰ ἄστρα καὶ τὸν οὐρανὸν ἐκ τοῦ αἰθέρος· τοῦτον δὲ οὔτε βαρὺν οὔτε κοῦφον οὔτε γενητὸν οὔτε φθαρτὸν οὔτε αὐξόμενον οὔτε μειούμενον ἐς ἀεὶ διαμένειν ἄτρεπτον καὶ ἀναλλοίωτον, πεπερασμένον καὶ σφαιροειδῆ καὶ ἔμψυχον, κινούμενον περὶ τὸ μέσον ἐγκυκλίως.

3 ⟨Aetii (II 12, 1. 2 p. 340, 11 Diels.).⟩

Θαλῆς Πυθαγόρας καὶ οἱ ἀπ' αὐτοῦ μεμερίσθαι τὴν τοῦ παντὸς οὐρανοῦ σφαῖραν εἰς κύκλους πέντε, οὕστινας προσαγορεύουσι ζώνας· καλεῖται δ' αὐτῶν ὁ μὲν ἀρκτικός τε καὶ ἀειφανής, ὁ δὲ θερινὸς τροπικός, ὁ δὲ ἰσημερινός, ὁ δὲ χειμερινὸς τροπικός, ὁ δὲ ἀνταρκτικός τε καὶ ἀφανής. Λοξὸς δὲ [ἐν] τοῖς τρισὶ μέσοις ὁ καλούμενος ζῳδιακὸς ὑποβέβληται, παραψαύων τῶν μέσων τριῶν. Πάντας δ' αὐτοὺς ὁ μεσημβρινὸς πρὸς ὀρθὰς ἀπὸ τῶν ἄρκτων ἐπὶ τὸ ἀντικρὺ τέμνει.

Πυθαγόρας πρῶτος ἐπινενοηκέναι λέγεται τὴν λόξωσιν τοῦ ζῳδιακοῦ κύκλου· ἤντινα Οἰνοπίδης ὁ Χῖος ἐπίνοιαν ὡς ἰδίαν σφετερίζεται.

CAPVT XXIV (XXV Heeren.). [506]

ΠΕΡΙ ΟΥΣΙΑΣ ΑΣΤΡΩΝ ΚΑΙ ΣΧΗΜΑΤΩΝ, ΚΙΝΗΣΕΩΣ ΤΕ ΚΑΙ ΕΠΙΣΗΜΑΣΙΑΣ.

1ª ⟨Aetii (II 13, 1 p. 341, 4 Diels.).⟩

Θαλῆς γεώδη μέν, ἔμπυρα δὲ τὰ ἄστρα.

---

1 de verbis *λέγει γοῦν κτλ.* cf. Diels Doxogr. p. 216 ‖ **2** *αὐτοῦ* FPL: *οὐρανοῦ* Spengel Monac. nunt. doct. XXXI p. 249 ‖ **3** hoc Didymi fragm. iteratum est ex cap. 22 supra p. 196, 11 sq. ‖ **5** *αὐξούμενον* F ‖ **9** lemma *Θάλητος* (*λάλητος* L sed pr. *λ* rubr.) *καὶ ἑτέρων* add. PL | *κάλης* (*κ* rubr.) L ‖ **12** post *τε* lac. 3 litt. in P | *ὁ δὲ θερινὸς – ἀφανής* (14) om. L ‖ **13** *ἀνταρτικός* F ‖ **14** *ἐν* om. Plut. plac. II 12: del. Diels ‖ **15** *ὑποβέβληται* L (?) Plut., *ὑποκέκληται* FP: *ὑποκέκλιται* Heeren, sed cf. Bake ad Cleomed. p. 283 | *παραψαύαν* L ‖ **17** *τὸ ἀντίξουν* Plut. ‖ **18. 19** lemmata *πυθαγρ* et *οἰνοπίδ* add. P mrg ‖ **22** titulus iteratur in ind. flor. Laur. *A* 86 | *περὶ ἄστρων οὐσίας* Laur. ‖ **25** lemma *Θάλητος* add. P mrg

1[b] ⟨Aetii (II 13, 2 et 11 p. 341, 6 et 342, 19 Diels.).⟩

Ἐμπεδοκλῆς πύρινα ἐκ τοῦ πυρώδους, ὅπερ ὁ ἀὴρ ἐν ἑαυτῷ περιέχων [ἐξανέλαμψεν ἤτοι] ἐξανέθλιψε κατὰ τὴν πρώτην διάκρισιν. — Καὶ τοὺς μὲν ἀπλανεῖς ἀστέρας συνδεδέσθαι τῷ κρυστάλλῳ, τοὺς δὲ πλανήτας ἀνεῖσθαι.

1[c] ⟨Aetii (II 13, 3 et 16, 1 p. 341, 10 et 345, 20 Diels.).⟩

[508] *Ἀναξαγόρας τὸν περικείμενον αἰθέρα πύρινον μὲν εἶναι κατὰ τὴν οὐσίαν, τῇ δὲ εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάσαντα πέτρους ἀπὸ τῆς γῆς ⟨καὶ⟩ καταφλέξαντα τούτους ἠστερωκέναι. — Ἀπ' ἀνατολῶν δὲ ἐπὶ δυσμὰς φέρεσθαι πάντας τοὺς ἀστέρας.*

1[d] ⟨Aetii (II 13, 5 et 9 p. 341, 16 et 342, 8 Diels.).⟩

Διογένης κισηροειδῆ τὰ ἄστρα, διαπνοίας δὲ αὐτὰ νομίζει τοῦ κόσμου, εἶναι δὲ διάπυρα. — Συμπεριφέρεσθαι δὲ τοῖς φανεροῖς ἄστροις ἀφανεῖς λίθους καὶ παρ' αὐτὸ τοῦτ' ἀνωνύμους, πίπτοντας δὲ πολλάκις ἐπὶ τῆς γῆς σβέννυσθαι, καθάπερ τὸν ἐν Αἰγὸς ποταμοῖς πυρωδῶς κατενεχθέντα ἀστέρα πέτρινον.

1[e]/[2] ⟨Aetii (II 13, 4 et 15, 3 p. 341, 15 et 344, 12 Diels.).⟩

Δημόκριτος πέτρους. — Καὶ πρῶτα μὲν τὰ ἀπλανῆ, μετὰ δὲ ταῦτα τοὺς πλανήτας.

1[f] ⟨Aetii (II 13, 6 p. 342, 1 Diels.).⟩

[510] *Ἀρχέλαος μύδρους ἔφησεν εἶναι τοὺς ἀστέρας, διαπύρους δέ.*

1[g] ⟨Aetii (II 13, 7 et 15, 6 p. 342, 3 et 345, 9 Diels.).⟩

Ἀναξίμανδρος πιλήματα ἀέρος τροχοειδῆ, πυρὸς ἔμπλεα, κατά τι μέρος ἀπὸ στομίων ἐκπνέοντα φλόγας.

---

2 lemma *ἐμπεδοκλέους* add. P | *αἰθὴρ* Meineke ex Plut. plac. II 13, ubi tamen *AB* cum Euseb. *ἀήρ* ‖ **3** *ἐξανέλαμψεν ἤτοι* del. Diels (est ex dittographiis de quibus dixi *Stud.* p. 66) | *ἤτοι ἐξανέθλιψε* om. P | *ἐξέθλιψε* Meineke ex Plut. l. s. (ubi tamen *AB* cum Euseb. *ἐξανέθλιψε*) ‖ **7** lemma *ἀναξαγόρου* add. P ‖ **9** *καὶ* om. FP: add. Heeren (ex Plut. l. s.; sed Eus. om.) ‖ **10** *ἠστεριχέναι* Plut. ‖ **13** lemma *διογένους* add. P mrg ‖ **16** *πίπτοντας* Plut. plac. II 13, *πίπτοντα* FP ‖ **17** *κατάπερ* F ‖ **20** lemma *δημοκρίτου* add. P mrg | *πέτρους* om. P ‖ **23** lemma *ἀρχελάου* add. P mrg ‖ **26** lemma *ἀναξιμάνδρου* add. P

— *Καὶ ἀνωτάτω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ' αὐτὸν δὲ τὴν σελήνην· ὑπὸ δὲ αὐτοὺς τὰ ἀπλανῆ τῶν ἄστρων καὶ τοὺς πλανήτας.*

1h ⟨Aetii (II 15, 6 [non 14, 5] p. 344, 5 Diels.).⟩

Μητρόδωρος ὁμοίως περὶ σχήματος τῶν ἀστέρων καὶ αὐτὸς ἀπεφήνατο.

1i ⟨Aetii (II 13, 8 et 17, 4 p. 342, 6 et 346, 18 Diels.).⟩

Παρμενίδης καὶ Ἡράκλειτος πιλήματα πυρὸς τὰ ἄστρα. — Τρέφεσθαι δὲ τοὺς ἀστέρας ἐκ τῆς ἀπὸ γῆς ἀναθυμιάσεως.

1k ⟨Aetii (II 13, 10; 14, 3; 19, 2; 16, 6 p. 342, 15; 344, 2; 347, 11; 346, 1 Diels.).⟩

Ἀναξιμένης πυρίνην μὲν τὴν φύσιν τῶν ἄστρων, περιέχειν δέ τινα καὶ γεώδη σώματα συμπεριφερόμενα τούτοις ἀόρατα. — Ἥλιον δὲ δίκην καταπεπηγέναι τὰ ἄστρα τῷ κρυσταλλοειδεῖ. — Τὰς δὲ ἐπισημασίας γίγνεσθαι διὰ τὸν ἥλιον μόνον. — Οὐχ ὑπὸ τὴν γῆν δὲ ἀλλὰ περὶ αὐτὴν στρέφεσθαι τοὺς ἀστέρας.

1l ⟨Aetii (II 13, 12; 17, 6; 15, 4; 19, 1 p. 342, 23; 346, 24; 344, 15; 347, 7 Diels.).⟩

Πλάτων ἐκ μὲν τοῦ πλείστου μέρους πυρίνους, μετέχοντας δὲ καὶ τῶν ἄλλων στοιχείων. — Κοινῶς δὲ τὸν κόσμον ὅλον καὶ τὰ ἄστρα ἐξ αὐτοῦ τρέφεσθαι. — Καὶ πρῶτον μετά γε τὴν τῶν ἀπλανῶν θέσιν φαίνωνα λεγόμενον τὸν τοῦ Κρόνου, δεύτερον φαέθοντα τὸν τοῦ Διός, τρίτον πυρόεντα τὸν τοῦ Ἄρεος, τέταρτον ἑωσφόρον τὸν τῆς Ἀφροδίτης, πέμπτον στίλβωνα τὸν τοῦ Ἑρμοῦ, p. 514 C. [512]

---

2 δὲ post αὐτὸν om. P (et Eus.) ‖ **5** *Μητρόδωρος*] (*M*)*ητροδώρου* F; om. P, sed mrg add. *μητροδώρου*: corr. Heeren | *περὶ σχήματος τῶν ἀστέρων* oscitanter add. Stobaeus: cf. Diels Add. ad p. 344b 5 ‖ **8** lemma *παρμενίδου καὶ ἡρακλείτου* add. P mrg ‖ **9** *τρέφεσθαι* (τ in ras.; fuitne *στ*?) P ‖ **13** lemma *ἀναξιμένους* add. P ‖ **14** *παρέχειν* F (?) P: corr. Meineke ‖ **21** lemma *πλάτωνος* add. P mrg | *μέρους* Plut. plac. II 13, *γένους* F (?) P ‖ **23** *αὐτοῦ* FP: *αὑτοῦ* Gaisford | *στρέφεσθαι* P ‖ **24** *φαίνωνα* F, *φαίνονα* P ‖ **26** *ἄρεος* F corr., *ἀέρος* FP ‖ **27** *τῆς* FP2, *τε* P1 | *στίλβωνα* FP

ἕκτον ἥλιον, ἕβδομον σελήνην. — Τὰς δὲ ἐπισημασίας τάς τε χειμερινὰς καὶ τὰς θερινὰς κατὰ τὰς τῶν ἄστρων ἐπιτολάς τε καὶ δυσμὰς γίνεσθαι.

1m ⟨Aetii (II 13, 13 et 17, 5 p. 343, 1 et 346, 21 Diels.) et Didymi epit. (fr. phys. 8 p. 450 Diels.).⟩

Ἀριστοτέλης ἐκ τοῦ πέμπτου σώματος γεγενῆσθαι τὰ ἄστρα. — Μὴ δεῖσθαι δὲ τὰ οὐράνια τροφῆς, οὐ γὰρ φθαρτὰ ἀλλ' ἀίδια εἶναι. — Πάντα δὲ κινεῖσθαι, τὰ μὲν πρὸς ἡμῶν καλούμενα πλανήτας ὑπὸ τὸν ζῳδιακὸν κύκλον, λοξὸν ὄντα καὶ τῶν τροπικῶν ἐφαπτόμενον, τὰ δὲ ἀπλανῆ ἀπὸ τοῦ αἰεὶ φανεροῦ παρήκοντα μέχρι τοῦ ἀφανοῦς· οὐκ ὀλίγα δὲ αὐτῶν τῆς γῆς εἶναι μείζονα.

1n ⟨Aetii (II 13, 14 et 18, 1 p. 343, 3 et 347, 1 Diels.).⟩

Ξενοφάνης ἐκ νεφῶν μὲν πεπυρωμένων· σβεννυ-
[514] *μένους δὲ καθ' ἑκάστην ἡμέραν ἀναζωπυρεῖν νύκτωρ καθάπερ τοὺς ἄνθρακας. τὰς γὰρ ἀνατολὰς καὶ τὰς δύσεις ἐξάψεις εἶναι καὶ σβέσεις. — Τοὺς δὲ ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, οὓς καὶ Διοσκούρους καλοῦσί τινες, νεφέλια εἶναι, κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντα.*

1o ⟨Aetii (II 13, 15. 16 p. 343, 9 Diels.).⟩

Ἡρακλείδης καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν, γῆν περιέχοντα ⟨καὶ⟩ ἀέρα ἐν τῷ ἀπείρῳ αἰθέρι. Ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς Ὀρφικοῖς φέρεσθαι, κοσμοποιοῦσι γὰρ ἕκαστον τῶν ἀστέρων.

---

1 *ἕκτον ἥλιον, ἕβδομον σελήνην* FP Plut. II 17: sed in libello *ἐρωτοαποκρίσεις φιλοσόφου ἀριστοτέλους* (cod. Laur. 28, 22) legitur *τὸν μὲν κρόνον φασὶν ⟨φαίνοντα, τὸν δὲ δία⟩ φαέθοντα, τὸν δὲ ἄρην πυρόεντα, τὸν ἥλιον πεζοδρόμον, τὴν δὲ ἀφροδίτην ἑωσφόρον, τὸν δὲ ἑρμῆν στίλβοντα, τὴν δὲ σελήνην μίννν* (immo *μήνην*); fueruntne olim similia apud Aetium? ‖ **6** lemma *ἀριστοτέλους* add. P mrg ‖ **9** *καλούμενα* om. P, qui habet lac. 9 litt. ‖ **14** lemma *ξενοφάνους* add. P | *πεπυρωμένων* F, *ἐπυρωμένων* P1. *ἐκπυρωμένων* P2 ‖ **22** lemma *ἡρακλείδου καὶ πυθαγορείων* add. P ‖ **23** *καὶ* add. Diels ex Plut. II 13 | *ἀέρα ⟨τε⟩* Heeren

Ἐπίκουρος οὐδὲν ἀπογινώσκει τούτων, ἐχόμενος τοῦ ἐνδεχομένου.

2ᵃ ⟨Aetii (II 15, 1. 2 p. 344, 8 Diels.).⟩

Ξενοκράτης κατὰ μιᾶς ἐπιφανείας οἴεται κεῖσθαι τοὺς ἀστέρας. [516]

Οἱ δὲ ἄλλοι Στωικοὶ πρὸ τῶν ἑτέρων τοὺς ἑτέρους ἐν ὕψει καὶ βάθει.

2ᵇ ⟨Aetii (II 15, 5; 16, 7; 16, 2. 3 p. 345, 5; 346, 3; 345, 23 Diels.).⟩

Τῶν μαθηματικῶν τινὲς μὲν ὡς Πλάτων φασὶν εἶναι τὴν τάξιν τῶν ἀστέρων, τινὲς δὲ μέσον πάντων τὸν ἥλιον. — Ταὐτὸν δὲ πεπονθέναι τῷ ἑωσφόρῳ τὸν στίλβωνα, ἰσοδραμεῖν δὲ αὐτοὺς τῷ ἡλίῳ καὶ συμπεριφέρεσθαι αὐτῷ· καὶ τότε μὲν προανατέλλοντα ἑωσφόρον φαίνεσθαι, τότε δὲ ἐπικαταδύόμενον ἕσπερον καλεῖσθαι. — Τοὺς δὲ πλανήτας τοῖς ἀπλανέσιν ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς ἀντιφέρεσθαι.

Τούτῳ δὲ συνομολογεῖ καὶ Ἀλκμαίων.

2ᶜ ⟨Aetii (II 16, 4. 5 p. 345, 28 Diels.).⟩

Ἀριστοτέλης δὲ ὑπὸ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος ἐμβέβηκε.

Καὶ Ἀναξίμανδρος ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος βέβηκε, φέρεσθαι.

2ᵈ ⟨Aetii (II 14, 1. 2 p. 343, 18 Diels.).⟩

Οἱ μὲν ἄλλοι ⟨Στωικοὶ⟩ σφαιρικοὺς αὐτούς, Κλεάνθης δὲ κωνοειδεῖς.

2ᵉ ⟨Aetii (II 15, 7 p. 345, 14 Diels.).⟩

Παρμενίδης πρῶτον μὲν τάττει τὸν ἑῷον, τὸν αὐτὸν [518]

---

1 lemma *ἐπικούρου* add. P ‖ **4** lemma *ξενοκράτους* add. P ‖ **6** post *ἄλλοι* add. P² *καὶ οἱ*; videntur potius initio nonnulla antiquitus intercidisse ‖ **10** lemma *μαθηματικῶν* add. P | *Πλάτων* Plut. II 15, *πλατεῖαν* FP ‖ **12** *ταυτὸν* FP: *ταυτὸ* Heeren ‖ **13** *στίλβωνα* FP ‖ **17** *ἀντιφαίνεσθαι* P¹ ‖ **18** *τούτῳ* F, *τοῦτο* P ‖ **20. 21** *ὑφ' ὧν ἕκαστα συμβέβηκε* FP: *ἐφ' ὧν ἕκαστος ἐμβέβηκε* Diels coll. v. 23 ‖ **25** *στωικοὶ* add. Heeren coll. Plut. plac. II 14 ubi *οἱ μὲν στωικοὶ* | *αὐτοὺς* P², *τοὺς* FP¹: num *τοὺς ⟨ἀστέρας⟩* cum Plut. l. s.? ‖ **28** lemma *παρμενίδ* add. P mrg | *ἑῷα* P¹

δὲ νομιζόμενον ὑπ᾽ αὐτοῦ καὶ ἕσπερον, ἐν τῷ αἰθέρι· μεθ᾽ ὃν τὸν ἥλιον, ὑφ᾽ ᾧ τοὺς ἐν τῷ πυρώδει ἀστέρας, ὅπερ οὐρανὸν καλεῖ.

3 ⟨Aetii (II 17, 1—3 p. 346, 11 Diels.).⟩

Μητρόδωρος ἅπαντας τοὺς ἀπλανεῖς ἀστέρας ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι.

Στράτων καὶ αὐτὸς τὰ ἄστρα ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι.

Διότιμος Τύριος, ὁ Δημοκρίτειος, τὴν αὐτὴν τούτοις εἰσηνέγκατο γνώμην.

4 ⟨Aetii (II 19, 3 p. 347, 13 Diels.).⟩

Εὔδοξος καὶ *Ἄρατος* τὰς ἐπισημασίας κατὰ τὰς τῶν ἄστρων ἐπιτολὰς γίνεσθαι. *Λέγει* γοῦν *Ἄρατος* ἐν τοῖς *Φαινομένοις* (10—12) οὕτως·

> Αὐτὸς γὰρ τά γε σήματ᾽ ἐν οὐρανῷ ἐστήριξεν
> ἄστρα διακρίνας· ἐσκέψατο δ᾽ εἰς ἑνιαυτὸν
> ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν.

5 ⟨Arii Didymi epit. (fr. phys. 32 p. 466 Diels.).⟩

Ποσειδωνίου. Ἄστρον δὲ εἶναί φησιν ὁ *Ποσει-*
p. 55 C. *δώνιος* σῶμα θεῖον ἐξ αἰθέρος συνεστηκός, λαμπρὸν καὶ πυρῶδες, οὐδέποτε στάσιν ἔχον, ἀλλ᾽ αἰεὶ φερόμενον ἐγκυκλίως· ἰδίως δὲ τὸν ἥλιον καὶ τὴν σελήνην ἄστρα λέγεσθαι·
[520] διαφέρειν δὲ ἀστέρα ἄστρου· εἰ μὲν γάρ τίς ἐστιν ἀστήρ, καὶ ἄστρον ὀνομασθήσεται δεόντως, οὐ μὴν ἀνάπαλιν.

Χρυσίππου. Ἀνατολὴν δ᾽ εἶναί φησιν ὁ *Χρύσιππος* ἐν ταῖς *Φυσικαῖς τέχναις* ὑπεροχὴν ἄστρου ὑπὲρ γῆς, δύσιν δὲ κρύψιν ἄστρου ὑπὸ γῆν. Γίγνεσθαι δ᾽

---

5 lemma *μητροδώρου* add. P ‖ **9** lemma *διοτίμου* add. P | *διοκρίτιος* FP: *Δημοκρίτειος* Diels, *διακριτικὸς* Heeren, *Διοκρίτου* vel *Διοκράτου* Meineke ‖ **10** *εἰσενέγκατο* P ‖ **12** lemma *εὐδόξου καὶ ἀράτου* add. P mrg ‖ **15** *σώματ᾽* F ‖ **17** *οἵ κε* Arat. Plut. II 19, *οἱ καὶ* P, *οἱ* F: *οἵ τε* (servato *σημαίνουσιν*) Meineke | *σημαίνοιεν* Ar. Plut., *σημαίνουσιν* FP ‖ **19** *ποσειδωνίου* habet P in textu, om. F ‖ **25** *χρυσίππου* habet P mrg, om. F ‖ **26. 27** *ὑπὲρ γῆς – ἄστρου* bis scribit F ‖ **27** *κρίσιν* F, *καὶ κρύψιν* P: *κρύψιν* Heeren, *κατάκρυψιν* Meineke

ἅμα τῶν αὐτῶν ἀνατολὴν καὶ δύσιν πρὸς ἄλλους τε καὶ ἄλλους. Ἐπιτολὴν δὲ ⟨τὴν⟩ ἄστρου ἅμα ἡλίῳ ἀνατολήν, δύσιν δὲ τὴν ἅμα ἡλίῳ δύσιν. Λιχῶς γὰρ λέγεσθαι δύσιν, τὴν μὲν κατὰ τὴν ἀνατολήν, τὴν δὲ κατὰ τὴν ἐπιτολήν. Κυνὸς δ' ἐπιτολὴν ἅμα ἡλίῳ κυνὸς ἀνατολήν, δύσιν δὲ κυνὸς ἅμα ἡλίῳ κυνὸς ἀπόκρυψιν ὑπὸ γῆν. Τὸν δ' ὅμοιον λόγον εἶναι καὶ ἐπὶ τῆς πλειάδος.

Ἀπολλοδώρου. Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ Περὶ θεῶν (fr. 2 ap. Müller. fr. hist. Gr. I p. 428) Πυθαγορείαν εἶναι τὴν περὶ τοῦ τὸν αὐτὸν εἶναι φωσφόρον τε καὶ ἕσπερον δόξαν.

CAPVT XXV (XXVI Heeren.). [522]

ΠΕΡΙ ΟΥΣΙΑΣ ΗΛΙΟΥ ΚΑΙ ΜΕΓΕΘΟΥΣ ΣΧΗΜΑΤΟΣ ΤΕ ΚΑΙ ΤΡΟΠΩΝ ΚΑΙ ΕΚΛΕΙΨΕΩΣ ΚΑΙ ΣΗΜΕΙΩΝ ΚΑΙ ΚΙΝΗΣΕΩΣ.

1ª ⟨Aetii (II 20, 3 et 24, 4 p. 348, 10 et 354, 11 Diels.).⟩

Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων εἶναι τὸν ἥλιον. — Ἔκλειψιν δὲ γίνεσθαι κατὰ σβέσιν· ἕτερον δὲ πάλιν ταῖς ἀνατολαῖς γίνεσθαι. Παριστόρηκε δὲ καὶ ἔκλειψιν ἡλίου ἐφ' ὅλον μῆνα καὶ πάλιν ἐντελῆ, ὥστε τὴν ἡμέραν νύκτα φανῆναι.

1ᵇ ⟨Aetii (II 20, 3 p. 348, 12 Diels.).⟩

Θεόφραστος ἐν τοῖς Φυσικοῖς (fr. 16 ap. Diels Doxogr.

---

2 τὴν addidi ‖ **5. 6** δὲ κυνὸς FP ‖ **6** εἰς FP: ὑπὸ Meineke ‖ **8** ἀπολλοδώρου habet P, om. F ‖ **10** τὴν P², τὸ FP¹: del. Heyne ‖ **13** titulus iteratur in ind. flor. Laur. litt. *H* n. 2 | ἑλισίας ἡλίου P, ἡλίου οὐσίας Laur. ‖ **13. 14** καὶ σχήματος καὶ P ‖ **17** lemma ξενοφάνους add. P mrg | ἐκ νέφους πεπυρωμένου Heeren coll. Plut. II 20 ubi νέφος πεπυρωμένον, sed ἐκ νεφῶν πεπυρωμένων est ap. Euseb. ‖ **20** ἐντελῆ Plut. plac. II 24, ἐν τέλει FP ‖ **23** lemma θεοφράστου add. P mrg; ceterum Stobaei culpa, quam tollere ante θεόφραστος addito ἢ ὡς Usener olim volebat, Theophrasti de Xenophane testimonium tamquam nova opinio affertur; cf. Plut. plac. II 20 et Dilesii adn.

p. 492) *γέγραφεν, ἐκ πυριδίων μὲν τῶν συναθροιζομένων ⟨ἐκ⟩ τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον.*

1c ⟨Aetii (II 20, 1; 21, 1; 24, 2 p. 348, 2; 351, 12; 354, 3 Diels.).⟩

[524] *Ἀναξίμανδρος κύκλον εἶναι ὀκτωκαιεικοσαπλασίονα τῆς γῆς, ἁρματείῳ τροχῷ παραπλήσιον, ἔχοντα κοίλην περιφέρειαν, πλήρη πυρός, κατὰ μέρος ἐκφαίνουσαν διὰ στομίου τὸ πῦρ ὥσπερ διὰ πρηστῆρος. — Καὶ τὸν μὲν ἥλιον ἴσον εἶναι τῇ γῇ· τὸν δὲ κύκλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει καὶ ὑφ' οὗ περιφέρεται εἶναι τοῦ προειρημένου μεγέθους. — Γίγνεσθαι δὲ τὴν ἔκλειψιν τοῦ στομίου τῆς τοῦ πυρὸς ἐκπνοῆς ἀποκλειομένου.*

1d ⟨Aetii (II 20, 1; 23, 1; 22, 1 p. 348, 2; 352, 12; 352, 4 Diels.).⟩

Ἀναξιμένης πύρινον ὑπάρχειν τὸν ἥλιον ἀπεφήνατο. — Ὑπὸ πεπυκνωμένου δὲ ἀέρος καὶ ἀντιτύπου ἐξωθούμενα τὰ ἄστρα τὰς τροπὰς ποιεῖσθαι. — Πλατὺν δ' εἶναι τῷ σχήματι.

1e ⟨Aetii (II 20, 8 p. 349, 10 Diels.).⟩

Παρμενίδης καὶ Μητρόδωρος πύρινον ὑπάρχειν τὸν ἥλιον.

1f ⟨Aetii (II 20, 15 p. 351, 3 Diels.).⟩

Ἀντιφῶν πῦρ ἐπινεμόμενον μὲν τὸν περὶ τὴν γῆν ὑγρὸν ἀέρα, ἀνατολὰς δὲ καὶ δύσεις ποιούμενον, τῷ τὸν

---

1 *μὲν* post *συναθροιζομένων* transp. Plut. ‖ **2** *ἐκ* add. Plut., om. FP ‖ **5** lemma *ἀναξιμάνδρου* add. P mrg ‖ **6** *ἁρματίῳ* F, *ἁρίῳ* P ‖ **7** *περιφέρειαν* glossema esse vocis *ἀψῖδα* ex Plut. [plac. II 20] et c. 25, 1 [i. e. infra c. 26, 1 p. 217, 24] intellegitur' Diels | *κατά τι μέρος* Plut. l. s. ‖ **8** *πρηστῆρος αὐλοῦ* Plut. ‖ **12** *διεκπνοῆς* Plut. | *ἀποκεκλειμένου* Meineke ‖ **15** lemma *ἀναξιμένους* add. P ‖ **17** *δ'* om. P ‖ **18** *τὸ* P ‖ **20** lemma *παρμενίδου καὶ μητροδώρου* add. P mrg | verba *μητρόδωρος – ἥλιον* (21) iterantur in FP (in P mrg *μητροδώρου* addito) infra ante ecl. 1h (p. 209, 11) ‖ **23** haec de Antiphonte memoria infra ante ecl. 3a (p. 209, 21) in FP repetita est, initio ita mutato *ἀντιφῶν ἔφησε τὸν ἥλιον εἶναι πῦρ κτλ.* | lemma *ἀντιφῶντος* add. P mrg hic et infra

μὲν ἐπικαιόμενον αἰεὶ προλείπειν, τοῦ δ' ὑπονοτιζομένου πάλιν ἀντέχεσθαι.

1g ⟨Aetii (II 20, 16; 22, 2; 24, 3; 21, 4 p. 351, 9; 352, 6; 354, 6; 351, 20 Diels.).⟩

Ἡράκλειτος καὶ Ἑκαταῖος ἄναμμα νοερὸν τὸ ἐκ [526]
θαλάττης εἶναι τὸν ἥλιον. — Σκαφοειδῆ δ' εἶναι, ὑπόκυρτον. — Γίνεσθαι δὲ τὴν ἔκλειψιν κατα τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. — Τὸ δὲ μέγεθος ἔχειν „εὖρος ποδὸς ἀνθρωπείου".

1h ⟨Aetii (II 22, 4 p. 352, 8 Diels.).⟩

Ἀλκμαίων πλατὺν εἶναι τὸν ἥλιον.

1i ⟨Aetii (II 22, 5 et 24, 6 p. 352, 9 et 354, 17 Diels.).⟩

Οἱ Πυθαγόρειοι σφαιροειδῆ τὸν ἥλιον. — Ἔκλειψιν δὲ γίγνεσθαι σελήνης αὐτὸν ὑπερχομένης.

2 *Πορφυρίου ἐκ τοῦ Περὶ ἀγαλμάτων.*

Καθάπερ καὶ ὁ ἥλιος τὸν ἐναντίον τῷ πόλῳ ποιεῖται δρόμον [ὥσπερ δοκεῖ τὸν οὐρανὸν ὁ ἥλιος εἰς τἀναντία περιφέρειν] αὐτὸς ἀπὸ δυσμῶν ἐπὶ τὰς ἀνατολὰς φερόμενος.

3a ⟨Aetii (II 20, 6 et 23, 2 p. 349, 6 et 352, 15 Diels.).⟩ p. 56 C.

Ἀναξαγόρας μύδρον ἢ πέτρον διάπυρον εἶναι τὸν ἥλιον. — Τροπὴν δὲ γίγνεσθαι ἀνταπώσει τοῦ πρὸς ταῖς [528]
ἄρκτοις ἀέρος, ὃν αὐτὸς συνωθῶν ἐκ τῆς πυκνώσεως ἰσχυροποιεῖ.

3b ⟨Aetii (II 20, 9 et 24, 1 p. 349, 17 et 353, 17 Diels.).⟩

Θαλῆς γεώδη τὸν ἥλιον. — Ἐκλείπειν δὲ αὐτὸν τῆς

---

1 *ἐπικαιόμενον* FP infra P2 hic, *ἐπικειόμενον* FP1 hic | *ὑποτονιζομένου* F infra ‖ 5 lemma *ἡρακλείτου καὶ ἑκαταίου* add. P | *ἄναλμα* FP: corr. Heeren ‖ 6 *δ'* om. P ‖ 11 hic iteratur in FP Metrodori memoria (vide supra ad p. 208, 20 adn. ‖ 12 lemma *ἀλκμαίωνος* add. P mrg ‖ 14 lemma *πυθαγορείων* add. P mrg ‖ 18 *ὥσπερ – περιφέρειν* (19) seclucit Usener | *ὥσπερ δοκεῖ* F, *ὡς* lac. 3 litt. P ‖ 20 post *φερόμενος* iteratur in FP Antiphontis memoria cf. supra ad p. 208, 23 adn. ‖ 22 lemma *ἀναξαγόρου* add. P mrg ‖ 23 *ἀνταπώσει* Plut. plac. II 23, *ἀνταποδώσει* F, *ἀνταποδόσει* P | *πυρὸς* P1 ‖ 27 *γαιοειδῆ* FP: *γεώδη* infra p. 210, 1 et 218, 2

σελήνης ὑπερχομένης κατὰ κάθετον, οὔσης φύσεως γεώδους· βλέπεσθαι δὲ τοῦτο κατοπτρικῶς ὑποτιθέμενον τῷ δίσκῳ.

3c ⟨Aetii (II 20, 10 et 23, 4 p. 349, 18 et 353, 6 Diels.).⟩

Διογένης κισηροειδῆ τὸν ἥλιον, εἰς ὃν ἀπὸ τοῦ ἀιθέρος ἀκτῖνες ἐναποστηρίζονται. — Ὑπὸ δὲ τοῦ ἀντιπίπτοντος τῇ θερμότητι ψυχροῦ σβέννυσθαι.

3d ⟨Aetii (II 20, 12 p. 349, 21 Diels.).⟩

[530] *Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ τὸν ἥλιον, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τό τε φῶς καὶ τὴν ἀλέαν, ὥστε τρόπον τινὰ διττοὺς ἡλίους γίγνεσθαι, τό τε ἐν τῷ οὐρανῷ πυρῶδες καὶ τὸ ἀπ' αὐτοῦ πυροειδὲς κατὰ τὸ ἐσοπτροειδές· εἰ μή τις καὶ τρίτον λέξει, τὴν ἀπὸ τοῦ ἐνόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν.*

3e ⟨Aetii (II 20, 13; 23, 3; 21, 2; 24, 7 p. 350, 7; 353, 1; 351, 18; 354, 20 Diels.).⟩

Ἐμπεδοκλῆς δύο ἡλίους, τὸν μὲν ἀρχέτυπον, πῦρ ὂν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τοῦ κόσμου, πεπληρωκὸς τὸ ἡμισφαίριον, αἰεὶ κατ' ἀντικρὺ τῇ ἀνταυγείᾳ ἑαυτοῦ τεταγμένον· τὸν δὲ φαινόμενον, ἀνταύγειαν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ, τῷ τοῦ ἀέρος τοῦ θερμομιγοῦς πεπληρωμένῳ, ἀπὸ κυκλοτεροῦς τῆς γῆς κατ' ἀνάκλασιν γιγνομένην εἰς τὸν ἥλιον κρυσταλλοειδῆ, συμπεριελκομένην τῇ κινήσει τοῦ πυρίνου. Ὡς δὲ βραχέως εἰρῆσθαι συντεμόντι ἀνταύγειαν εἶναι τοῦ περὶ τὴν γῆν πυρὸς τὸν ἥλιον. — Τροπὴν δὲ γίγνεσθαι ὑπὸ τῆς περιεχούσης αὐτὸν σφαίρας κωλυόμενον ἄχρι παντὸς εὐθυπορεῖν καὶ ὑπὸ τῶν τροπικῶν

---

1 *κράθετον* P1 ‖ **2** *ταύτην κατοπτρικῶς ὑποτιθεμένην* Wyttenbach | *κατοπερικῶς* P1 | *ὑποτιθεμένῳ* Plut., *ὑποτιθεμένην* Euseb.: *ὑποτιθεμένων* Usener ‖ **5** lemma *διογένους* add. P ‖ **7** *ψυχρὸν* P1, *ψύχους* Plut. ‖ **9** lemma *φιλόλαου* add. P mrg ‖ **10** *πρὸς* FP: *πυρὸς* Heeren ex Plut. II 20 ‖ **14** *τρίτην* Heeren temere ‖ **18** lemma *ἐμπεδοκλέους* add. P ‖ **19** *πεπληρωκὸς* Plut. II 20, *πεπληρωκότος* FP et Euseb. ‖ **24** *κρυσταλλοειδῆς περιελκομένη* P ‖ **25** *συντεμόντα* FP, etiam Plut.: *συντεμόντι* Meineke; antiquum glossema esse mavult Diels prol. p. 55 ‖ **27. 28** *κωλυόμενον* FP: corr. Heeren ‖ **28** *ροπικῶν* P1

κύκλων. — Ἴσον δὲ τῇ γῇ τὸν κατὰ τὴν ἀνταύγειαν. — Ἔκλειψιν δὲ γίνεσθαι σελήνης αὐτὸν ὑπερχομένης.

3f ⟨Aetii (II 20, 14 et 21, 5 p. 350, 21 et 352, 1 Diels.).⟩

Ἐπίκουρος γήινον πύκνωμα τὸν ἥλιόν φησιν εἶναι
κισηροειδῶς καὶ σπογγοειδῶς ταῖς κατατρήσεσιν ὑπὸ πυρὸς [532]
ἀνημμένον. — Τηλικοῦτον δὲ ἡλίκος φαίνεται, ἢ μικρῷ τινι μείζω ἢ ἐλάττω.

3g ⟨Aetii (II 20, 8a p. 349, 12 Diels.).⟩

Παρμενίδης τὸν ἥλιον καὶ τὴν σελήνην ἐκ τοῦ
γαλαξίου κύκλου ἀποκριθῆναι, τὸν μὲν ἀπὸ τοῦ ἀραιοτέρου
μίγματος, ὃ δὴ θερμόν, τὴν δὲ ἀπὸ τοῦ πυκνοτέρου, ὅπερ
ψυχρόν.

3h ⟨Aetii (II 20, 7 et 23, 7 p. 349, 8 et 353, 15 Diels.).⟩

Δημόκριτος μύδρον ἢ πέτρον διάπυρον. — Τροπὴν
δὲ γίνεσθαι ἐκ τῆς περιφερούσης αὐτὸν δινήσεως.

3i ⟨Aetii (II 20, 4 et 23, 5 p. 349, 4 et 353, 9 cum Add. p. 853 Diels.).⟩

Κλεάνθης ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης τὸν
ἥλιον. — Περὶ δὲ τῶν τροπῶν φασι κατὰ τὸ διάστημα
*τῆς ὑποκειμένης τροφῆς· ὠκεανὸς δ' ἐστὶ * * ἧς τὴν*
ἀναθυμίασιν ἐπινέμεται. Συγκαταφέρεσθαι δὲ τὸν ἥλιον
κινούμενον ἕλικα ἐν τῇ σφαίρᾳ, ἀπὸ τοῦ ἰσημερινοῦ ἐπί [534]
τε ἄρκτου καὶ νότου, ἅπερ ἐστὶ πέρατα τῆς ἕλικος· ἄλλοι
δὲ ἐπ' εὐθείας αὐτὸν κινεῖσθαι τὴν ἕλικα οὐ περὶ σφαῖ-
ραν ποιοῦντα, περὶ δὲ κύλινδρον.

---

4 lemma *ἐπικούρ* add. P mrg ‖ **5** *κισηροειδὲς καὶ σπογγοειδὲς* Euseb. vulg. (quod Aetius scripsit) ‖ **7** *μείζων ἢ ἐλάττων* FP: corr. Diels ‖ **9** lemma *παρμενίδ* add. P mrg ‖ **10** *τὸ μὲν* FP: corr. Canter ‖ **14** lemma *δημοκρίτου* add. P ‖ **15** *τῆς* om. F ‖ **18. 19** haec de Stoicis testatur Plut. plac. II 20 ‖ **18** lemma *κλεάνθους* add. P mrg | *ἄναλμα* FP: corr. Heeren, cf. Plut. II 20 ‖ **19—21** haec iterum de Stoicis testatur Plut. II 23 ‖ **19** *τροφῶν* FP: *τροπῶν* Bake Posidon. p. 67 (*στροφῶν* Vat. Aug.) | *φασι* FP: *φησι* scripsi progr. de Zen. et Cleanth. II p. 10 n. 1 ‖ **20** lacuna fuit in Aetii exemplo, quod cum Ps. Plutarcho legit Stobaeus; Plut. *ἡ* (*ἢ* om. *AB*) *γῆ* add.; Aetius *καὶ ἡ μεγάλη θάλασσα* vel simile scripsit cf. Laert. VII 145, infra ecl. 5b p. 214, 2, Galen c. 65 p. 627, 1 Diels.; olim addebam *καὶ γῆ* | *ἧς*] *οὗ* Bake Posidon. p. 67 ‖ **25** *περὶ δὲ κύλινδρον* cum proxima ecl. copulant FP

3[k] ⟨Aetii (II 24, 8. 9 p. 355, 1 Diels.).⟩

Ἀρίσταρχος τὸν ἥλιον ἵστησι μετὰ τῶν ἀπλανῶν, τὴν δὲ γῆν κινεῖσθαι περὶ τὸν ἡλιακὸν κύκλον καὶ κατὰ τὰς ταύτης ἐγκλίσεις σκιάζεσθαι.

Ξενοφάνης πολλοὺς εἶναι ἡλίους καὶ σελήνας κατὰ τὰ κλίματα τῆς γῆς καὶ ἀποτομὰς καὶ ζώνας. Κατά δέ τινα καιρὸν ἐκπίπτειν τὸν δίσκον εἰς τινα ἀποτομὴν τῆς γῆς οὐκ οἰκουμένην ὑφ' ἡμῶν καὶ οὕτως ὡσπερεὶ κενεμβατοῦντα ἔκλειψιν ὑποφαίνειν· ὁ δ' αὐτὸς τὸν ἥλιον εἰς ἄπειρον μὲν προϊέναι, δοκεῖν δὲ κυκλεῖσθαι διὰ τὴν ἀπόστασιν.

p. 57 C. 4 ⟨Arii Didymi epit. (fr. phys. 10 p. 450 Diels.).⟩

Ἀριστοτέλους. Ἀριστοτέλης ἐκ πέμπτης οὐσίας τὸν ἥλιον. Πυροῦσθαι δὲ τὸν ἀέρα καὶ σφόδρα γίνεσθαι θερμὸν ἀνίσχοντός τε τοῦ ἡλίου καὶ πλησιάζοντος ἡμῖν, οὐ διὰ τὸ πύρινον εἶναι τὴν οὐσίαν, ἀλλὰ διὰ τὴν ὀξύτητα τῆς κινήσεως αὐτοῦ καὶ τὴν πρὸς τὸν ἀέρα παρά-
[536] *τριψιν ὑποβεβλημένον αὐτοῦ τῇ φορᾷ καὶ παρακείμενον· οὔτε δὲ τὸν ἥλιον οὔτε τῶν ἄλλων ἄστρων ὁτιοῦν πῦρ εἶναι· σφαιροειδῆ μὲν γὰρ τούτων τὰ σχήματα, πυρὸς δὲ ἐκτός· οὔτε γὰρ τὴν περὶ τὸ μέσον οἰκείαν εἶναι κίνησιν πυρός, ἀλλὰ τὴν ἀπὸ τοῦ μέσου· οὔτε τὴν τῆς αὐξήσεως τῶν ζῴων καὶ φυτῶν δύναμιν, ἀλλὰ τὴν τῆς φθορᾶς· οὐδὲ τὴν καθ' ἑαυτὸ διαμονήν, τὸ γὰρ πῦρ ἀχώριστον εἶναι τῆς ὕλης. Ἐκ πέμπτης ἄρα τινὸς καὶ διαφερούσης τοῦ πυρὸς οὐσίας τόν τε οὐρανὸν ὑπάρχειν καὶ τὰ ἐν αὐτῷ πάντα. Καὶ τὸν μὲν ἥλιον ἡμέραν ἀπεργάζεσθαι ὑπὲρ γῆν ἰόντα, νύκτα δὲ χωρήσαντα ὑπὸ γῆν.*

---

2 lemma *ἀριστάρχου* add. P mrg ‖ **5** lemma *ξενοφάν* add. P mrg | *πολλὰς εἶναι ἡλίου καὶ σελήνης* (sc. *ἐκλείψεις*) Wyttenbach ad Plut. plac. II 24, sed cf. Diels Doxogr. p. 141 ‖ **6** *τὰ* del. Diels | *ἐρῶνας* P ‖ **8** *οἰκουμένην* Plut., *οἰκουμένης* FP ‖ **13** lemma *ἀριστοτέλους* P mrg habet, om. F ‖ **18** *περικείμενον* Usener ‖ **19** *δὲ τὸν* F^2P^2, *διὰ τὸν* F^1P^1 ‖ **21. 22** num *κίνησιν* post *μέσον* transponendum cum *οἰκείαν εἶναι πυρὸς* etiam ad v. 22—24 pertineat? ‖ **24** *καθ' ἑαυτὰ* FP: corr. Usener ‖ **25** *τινὸς* P, *πυρὸς* F ‖ **27** *ἐν* om. P | *ἡμέρας* FP: corr. Diels ‖ **28** *χωρίσαντα* P

Καὶ τοῦ μὲν ἑτέρου τῶν τροπικῶν ἐφαψάμενον βραχυτάτην ποιεῖν τὴν ἡμέραν, μακροτάτην δὲ τὴν νύκτα· θατέρου δὲ ἀνάπαλιν· τοῦ δ' ἰσημερινοῦ ἰόντα τε καὶ ἀπιόντα, διαθεῖν δὲ τὸν ἴδιον ⟨ἐν⟩ ἐνιαυτῷ κύκλον. Ἔκλειψιν δὲ τοῦ ἡλίου φαίνεσθαι σελήνης ὑποδραμούσης ὑπὸ τὸν αὐτοῦ κύκλον καὶ ταῖς ἡμετέραις ὄψεσιν ἀντιφραττούσης, προσγειοτάτην γὰρ εἶναι τῶν ἄλλων ἄστρων· ὁπότ' οὖν κατὰ διάμετρον ὑπ' αὐτὸν γένοιτο, ταῖς προσπιπτούσαις ἀπ' αὐτοῦ πρὸς τὴν γῆν ἀκτῖσιν ἐπιπροσθεῖν, ὥστε τοσοῦτον τόπον ἀφώτιστον ἀπεργάζεσθαι τῆς γῆς, ὁπόσον ἂν αὐτῆς ἐπίσχῃ τὸ σκίασμα, παρ' ὃ καὶ μήτε κατὰ πᾶν κλίμα τῆς γῆς μήτε κατὰ τὴν αὐτὴν ὥραν μήτε ἐπὶ πολὺν ἄγαν [538]
τόπον διατείνειν τὸ τῆς ἡλιακῆς ἐκλείψεως πάθος.

5 ⟨Arii Didymi epit. (fr. phys. 33 p. 467 Diels.).⟩

Ζήνωνος. Ζήνων τὸν ἥλιόν φησι καὶ τὴν σελήνην καὶ τῶν ἄλλων ἄστρων ἕκαστον εἶναι νοερὸν καὶ φρόνιμον, πύρινον πυρὸς τεχνικοῦ. Δύο γὰρ γένη πυρός, τὸ μὲν ἄτεχνον καὶ μεταβάλλον εἰς ἑαυτὸ την τροφήν, τὸ δὲ τεχνικόν, αὐξητικόν τε καὶ τηρητικόν, οἷον ἐν τοῖς φυτοῖς ἐστι καὶ ζῴοις, ὃ δὴ φύσις ἐστὶ καὶ ψυχή· τοιούτου δὴ πυρὸς εἶναι τὴν τῶν ἄστρων οὐσίαν· τὸν δὲ ἥλιον καὶ τὴν σελήνην δύο φορὰς φέρεσθαι, τὴν μὲν ὑπὸ τοῦ κόσμου ἀπ' ἀνατολῆς ἐπ' ἀνατολήν, τὴν δὲ ἐναντίαν τῷ κόσμῳ ζῳδιον ἐκ ζῳδίου μεταβαίνοντας. Τὰς δ' ἐκλείψεις τούτων γίγνεσθαι διαφόρως, ἡλίου μὲν περὶ τὰς συνόδους, σελήνης δὲ περὶ τὰς πανσελήνους. Γίνεσθαι δ' ἐπ' ἀμφοτέρων τὰς ἐκλείψεις καὶ μείζους καὶ ἐλάττους.

---

3 num *ἰσημερίαν* post *ἀπιόντα* addendum? ‖ **4** *ἐν* add. Heeren ‖ **5** *αὐτὸν* FP: corr. Heeren ‖ **6** *ἡμετέραις* P, *ἡμέραις τε* F | *ἀντιπρατούσης* F, *ἀντιπραττούσης* P: *ἀντιφραττούσης* Bake ad Cleomed. p. 445 ‖ **8** *προπιπτούσαις* FP: corr. Kontos Athenaei VI p. 101 ‖ **11** *κατὰ πᾶν* P, *κατὰ σπᾶν* F ‖ **15** lemma *ζήνωνος* P mrg habet, om. F ‖ **17** *πύρινον πῦρ ὡς* P, *πῦρ ὡς* F: correxi, *πύρινον ⟨δὲ⟩ πυρὸς* Diels coll. infra p. 219, 13, *⟨καὶ⟩ πύρινον πυρὸς* Heeren ‖ **19** *διατηρητικόν* Usener ‖ **25** *διαφόρους* FP: corr. Usener ‖ **27** *ἐμπαφοτέρων* P | *μείους* FP: *μείζους* corr. cod. Aug.

[540] *Χρυσίππου. Χρύσιππος τὸν ἥλιον εἶναι τὸ ἀθροισθὲν ἔξαμμα νοερὸν ἐκ τοῦ τῆς θαλάσσης ἀναθυμιάματος, σφαιροειδῆ δὲ εἶναι τῷ σχήματι.*

6 *Εὐριπίδης πῦρ εἶναι τὸν ἥλιον. Λέγει γοῦν ἐν Φοινίσσαις* (v. 3)

Ἥλιε θοαῖς ἵπποισιν εἰλίσσων φλόγα,

ἐν δὲ Φαέθοντι (fr. 776 Nauck.)

Θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς.

7 ⟨*Πλουτάρχου.*⟩

Ὅμηρος μὴ εἶναι πῦρ τὸν ἥλιον, ἀλλὰ φῶς καθαρώτατον. Δείκνυσι δὲ τοῦτο σαφῶς διὰ τῶν ἐπῶν· λέγει γὰρ οὕτως (*X* 133—135)·

Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δεινήν, ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
ἢ πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος.

Τί οὖν φαίνεται ποιῶν ἄλλο, ἢ τῇ διαζεύξει μαρτυρόμενος, ὅτι πῦρ οὐ νομίζει τὸν ἥλιον, ἀλλ' ἕτερον μὲν πυρός, φαινόμενον δὲ ἐν ταῖς ἀνατολαῖς πυρώδη διὰ τὴν ὑγρότητα καὶ τὴν ἀναθυμίασιν, ᾗ μιγνύμενον ἐρυθραίνεται πᾶν τὸ λαμπρόν;

8 (4) *Φιλολάου ἐκ Βακχῶν.*

[542] 9 (5) ⟨*Ἀράτου Φαινομένων* (822—891).⟩

p. 58 C. *Μή οἱ ποικίλλοιτο νέον βάλλοντος ἀρούρας*
κύκλος, ὅτ' εὐδίου κεχρημένος ἤματος εἴης,
μηδέ τι σῆμα φέροι, φαίνοιτο δὲ λιτὸς ἁπάντῃ.

---

1 *Χρυσίππου* om. F ‖ **4** lemma *εὐριπίδ* add. P ‖ **6** *εἰλίσσων* FP ‖ **8** *ὑπερτελοῦσα* P ‖ **9** Plutarcho (personato) adscripsi cum Dilesio Doxogr. p. 96 coll. Ps. Plut. vit. Hom. c. 104 sq. ‖ **10** lemma *ὁμήρου* add. P mrg ‖ **19** *ἐρυθαίνεται* FP^2, *ἐρυθένεται* P^1: *ἐρυθραίνεται* corr. cod. Vat. Aug. ‖ **21** huius ecl. nil praeter lemma a librariis servatum ‖ **22** lemma addidi cum Gaisfordo nisi quod scripsi *Φαινομένων*, Gaisford *Διοσημείων*, quem tamquam singularem titulum neque Stobaeus adhibuit (cf. infra cap. 26 sect. 6 [2] p. 224, 1) neque veterum quisquam novit ‖ **23** *ποικίλλοιτο* Arat., *ποικίλον τὸ* FP ‖ **25** *τοι* P

Εἰ δ' αὔτως καθαρόν μιν ἔχοι βουλύσιος ὡρη,
δύνοι δ' ἀνέφελος μαλακὴν ὑποδείελος αἴγλην,
καί κεν ἐπερχομένης ἠοῦς ἔθ' ὑπεύδιος εἴη.
Ἀλλ' οὐχ ὁππότε κοῖλος ἐειδόμενος περιτέλλῃ,
οὐδ' ὁπότ' ἀκτίνων αἳ μὲν νότον, αἳ δὲ βορῆα
σχιζόμεναι βάλλωσι, τὰ δ' αὖ περὶ μέσσα φαείνῃ·
ἀλλά που ἢ ὑετοῖο διέρχεται ἢ ἀνέμοιο.

Σκέπτεο δ' εἴ κέ τοι αὐγαὶ ὑπείκωσ' ἠελίοιο
αὐτὸν ἐς ἠέλιον (τοῦ γὰρ σκοπιαὶ καὶ ἄρισται),
εἴ τί που ⟨ἢ⟩ καὶ ἔρευθος ἐπιτρέχει, οἷά τε πολλὰ
ἑλκομένων νεφέων ἐρυθαίνεται ἄλλοθεν ἄλλα,
ἢ εἴ που μελανεῖ· καί τοι τὰ μὲν ὕδατος ἔστω
σήματα μέλλοντος, τὰ δ' ἐρευθέα πάντ' ἀνέμοιο·
εἴ γε μὲν ἀμφοτέρων ἄμυδις κεχρωσμένος εἴη, [544]
καί κεν ὕδωρ φορέοι καὶ ὑπηνέμιος τανύοιτο.
Εἰ δέ τοι ἢ ἀντίοντος ἢ αὐτίκα δυομένοιο
ἀκτῖνες συνίωσι καὶ ἀμφ' ἑνὶ πεπλήθωσιν,
ἦ ποτε καὶ νεφέων πεπιεσμένος ἢ ὅγ' ἐς ἠῶ
ἔρχηται παρὰ νυκτὸς ἢ ἐξ ἠοῦς ἐπὶ νύκτα,
ὕδατί κεν κατιόντι παρατρέχοι ἤματα κεῖνα.
Μηδ' ὅτε οἱ ὀλίγη νεφέλη πάρος ἀντέλλῃσι,
τὴν δὲ μετ' ἀκτίνων κεχρημένος αὐτὸς ἀερθῇ,
ἀμνηστεῖν ὑετοῖο. Πολὺς δ' ὅτε οἱ περὶ κύκλος
οἷον τικομένῳ ἐναλίγκιος εὐρύνηται,
πρῶτον ἀνερχομένοιο καὶ ἂψ ἐπὶ μεῖον ἴῃσιν,

---

1 *βουλύσιος* Ar., *βουλήσιος* FP Ar. *M* ‖ **2** *ἀνέφελος* Ar. nonn., *ἄν νέφελος* FP, *ἀννέφελος* Ar. *FHLM* ‖ **3** *ἔθ' ὑπεύδιος* Ar., *εὐθυπέδιος* FP ‖ **4** *περιτέλλῃ* Ar. nonn., *περιτέλλοι* FP Ar. *BEM* ‖ **6** *ἂν* P | *μέσα* FP | *φαείνῃ* P ‖ **7** *ἀνέμοι* P¹ ‖ **9** *ἥλιον* F | *καὶ ἄρισται* Ar., *εἰσὶν ἄρισται* FP Ar. *A* (unde *σκοπαί εἰσιν ἄρισται* Buttmann) ‖ **10** *ἦ* add. Heeren ex Arato, cuius alii codices vel *τί οἱ που ἦ* vel *τί που ἦ οἱ* habent ‖ **11** *ἐρυθαίνεται* etiam FP ‖ **12** *μελανεῖ* Ar. quid., *μελάνει* FP Ar. *CFHLM* ‖ **13** *ἐρευθέα* Ar., *εὐρεθέα* FP ‖ **14** *ἀμφοτέρων* FP Ar. *C*, *ἀμφοτέροις* Ar. cet. | *ἄμμιδις* P | *κεχρωσμένος* etiam FP ‖ **16** *τοι* FP Ar. *A*: *οἱ* Ar. cet. ‖ **18** *ἦ ποτε* F | *ὅγ'* Ar. *A*, *ὅς γ'* FP, *ὅτ'* Ar. cet. ‖ **19** *ἔρχεται* P ‖ **21** *μὲν δ'* P ‖ **22** *κεχρωσμένος* Ar. praeter *CGL*

εὔδιός κε φέροιτο· καὶ εἴ ποτε χείματος ὥρῃ
ὠχρήσαι κατιών· ἀτὰρ ὕδατος ἡμερινοῖο
γινομένου, κατόπισθε περὶ νέφεα σκοπέεσθαι
κἀδ δὴ δυομένου τετραμμένος ἠελίοιο.
Ην μὲν ὑποσκιάῃσι μελαινομένῃ εἰκυῖα
ἠέλιον νεφέλῃ, ταὶ δ' ἀμφί μιν ἔνθα καὶ ἔνθα
ἀκτῖνες μεσσηγὺς ἑλισσόμεναι διχόωνται,
ἦτ' ἂν ἔτ' εἰς ἠῶ σκέπαος κεχρημένος εἴης.
[546] Εἰ δ' ὃ μὲν ἀνέφελος βάπτοι ῥόον ἑσπερίοιο,
ταὶ δὲ κατερχομένου νεφέλαι καὶ ἀποιχομένοιο
πλησίαι ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρὴ
αὔριον οὐδ' ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο·
ἀλλ' ὁπότ' ἠελίοιο μαραινομένῃσιν ὁμοῖαι
ἐξαπίνης ἀκτῖνες ἀπ' οὐρανόθεν τανύωνται,
οἷον ἀμαλδύνονται, ὅτε σκιάῃσι κατ' ἰθὺ
ἱσταμένη γαίης τε καὶ ἠελίοιο σελήνη.
οὐδ' ὅτε οἱ ἐπέχοντι φανήμεναι ἠῶθι πρὸ
φαίνονται νεφέλαι ὑπερευθέες ἄλλοθεν ἄλλαι,
ἄρραντοι γίγνονται ἐπ' ἤματι κείνῳ ἄρουραι.
Μηδ' αὕτως, ἔτ' ἐόντι πέρην ὁπότε προταθεῖσαι
ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι πρό,
ὕδατος ἢ ἀνέμοιο κατοισομένου λελαθέσθαι.
Ἀλλ' εἰ μὲν κεῖναι μᾶλλον κνέφαος φορέοιντο
ἀκτῖνες, μᾶλλόν κεν ἐφ' ὕδατι σημαίνοιεν·
εἰ δ' ὀλίγος τανύοιτο περὶ δνόφος ἀκτίνεσσιν,
οἷόν που μαλακαὶ νεφέλαι φορέουσι μάλιστα,

---

2 ὠχρήσαι Ar., ὠχρήσῃ P, ὠχρήαι F | ὕδατος ἀτὰρ F ‖ **4** καδδὴ Ar., καὶ δὴ FP ‖ **5** μὲν σκια lac. 3 litt. P ‖ **6** τὰ P ‖ **7** ἑλισσόμεναι Ar. plerique, ἑλισσομένην FP, ἑλισσομένην Ar. *AK* | διχόωντα Ar., διχόωντα FP ‖ **8** σκέπως P ‖ **9** ἀννέφελος F Ar. *CHM* ‖ **10** ἀποιχομένοιο Ar., ἔτ' οἰχομένοιο FP ‖ **11** οὔσαι F ‖ **13** μαραινομένῃσιν Ar. plerique, μαραινομένοισιν P Ar. *AK*, μαραινομένοι εισιν (sic!) F ‖ **14** τανύονται FP Ar. ‖ **15** ἀμαλδύνονται Ar. *A*, ἀμαλδύνωνται FP, ἀμαλδύνηται Ar. cet. | σκιάῃσι Ar., σκιάνσι FP ‖ **16** ἱσταμένη Ar., ἱσταμένης FP | σελήνη Ar., σελήνης FP ‖ **17** οὐδ' ὅτε Ar., οὐδέ τε FP ‖ **18** φαίνονται P Ar., φαίνοντ' αἱ F | ὑπερενθέες P ‖ **25** γνόφος F ‖ **26** φέρουσι P

ἦτ᾽ ἂν ἐπερχομένοιο περιδνοφέοιντ᾽ ἀνέμοιο.
Οὐδὲ μὲν ἠελίου σχεδόθεν μελανεῦσαι ἀλωαὶ
εὔδιοι· ἀσσότεραι δὲ καὶ ἀστεμφὲς μελανεῦσαι
μᾶλλον χειμέριαι· δύο δ᾽ ἂν χαλεπώτεραι εἶεν.
Σκέπτεο δ᾽ ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο
εἴ πού ⟨οἱ⟩ νεφέων, τὰ παρήλια κικλήσκονται, [548] p. 59C.
ἢ νότου ἠὲ βορῆος ἐρεύθεται ἢ ἑκάτερθεν.
μηδ᾽ οὕτω σκοπιὴν ταύτην ἀμενηνὰ φυλάσσειν·
οὐ γὰρ, ὅτ᾽ ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχωσιν
ἠέλιον κεῖναι νεφέλαι σχεδὸν ὠκεανοῖο,
γίγνεται ἀμβολίη Διόθεν χειμῶνος ἰόντος.
Εἴ γε μὲν ἐκ βορέαο μί᾽ οἵη φοινίσσοιτο,
ἐκ βορέω πνοιάς κε φέροι, νοτίη δὲ νότοιο,
ἢ καί που ῥαθάμιγγες ἐπιτροχόωσ᾽ ὑετοῖο.
Ἑσπερίοις καὶ μᾶλλον ἐπίτρεπε σήμασι τούτοις·
ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.

CAPVT XXVI (XXVII Heeren.).

ΠΕΡΙ ΣΕΛΗΝΗΣ ΟΥΣΙΑΣ ΚΑΙ ΜΕΓΕΘΟΥΣ ΚΑΙ ΣΧΗΜΑΤΟΣ ⟨ΦΩΤΙΣΜΩΝ ΤΕ ΚΑΙ ΠΕΡΙ ΕΚΛΕΙΨΕΩΣ ΚΑΙ ΕΜΦΑΣΕΩΣ ΚΑΙ ΠΕΡΙ ΑΠΟΣΤΗΜΑΤΩΝ ΚΑΙ ΣΗΜΕΙΩΝ⟩.

1ª ⟨Aetii (II 25, 1. 2 p. 355, 16 Diels.).⟩

Ἀναξίμανδρος κύκλον εἶναι ἐννεακαιδεκαπλάσιον τῆς γῆς, ὅμοιον ἁρματείῳ ⟨τροχῷ⟩, κοίλην ἔχοντα τὴν [550] ἀψῖδα καὶ πυρὸς πλήρη, καθάπερ τὸν τοῦ ἡλίου, κείμενον

---

1 ἦτ᾽ Ar., ἦτ᾽ FP | περιδ᾽ ὀφνέοιντ᾽ F ‖ 2 ἠελίοιο P ‖ 3 ἀστεμφὲς Ar. plerique, ἀστεμφέες FP Ar. *CK* ‖ 6 οἱ add. Ar., om. FP ‖ 9 μέσον FP ‖ 11 ἰόντος Ar., ἐόντος FP Ar. *A* ‖ 13 πλοιάσκε F | νοτίη Ar., νοτέη FP ‖ 15 ἐπίτρεπε σημασι Ar., ἐπιτρεπὲς ἥμασι (ἥματι P) FP ‖ 16 σημαίνεται Ar. nonn., σημαίνετον FP Ar. *FGHLM* ‖ 19 φωτισμῶν – σημείων (20) accessit e Photio p. 112ᵇ 12 sq. ubi καὶ ἐμφάσεως add. *A* ‖ 22 lemma ἀναξιμάνδρου add. P ‖ 23 ἁρματίῳ FP | τροχῷ add. Plut. plac. II 25; cf. supra c. 25 ecl. 1ᶜ p. 208, 6 | ἔχοντι FP: corr. Diels ex p. 208, 6

λοξόν, ὡς κἀκεῖνον, ἔχοντα μίαν ἐκπνοήν, οἷον πρηστῆρος αὐλόν· ἐκλείπειν δὲ κατὰ τὰς τροπὰς τοῦ τροχοῦ.

Ἀναξιμένης πυρίνην τὴν σελήνην.

1[b] ⟨Aetii (II 25, 3 et 26, 2 p. 356, 2 et 357, 9 Diels.).⟩

Παρμενίδης πυρίνην. — Ἴσην δὲ τῷ ἡλίῳ, καὶ γὰρ ἀπ' αὐτοῦ φωτίζεται.

1[c] ⟨Aetii (II 27, 2 p. 358, 1 Diels.).⟩

Ἡράκλειτος σκαφοειδῆ τῷ σχήματι.

1[d] ⟨Aetii (II 25, 4 p. 356, 3 Diels.).⟩

Ξενοφάνης νέφος εἶναι πεπιλημένον.

1[e] ⟨Aetii (II 25, 8—14 p. 356, 14 Diels.).⟩

Θαλῆς γεώδη τὴν σελήνην ἀπεφήνατο.

Ἀναξαγόρας καὶ Δημόκριτος στερέωμα διάπυρον,
[552] *ἔχον ἐν ἑαυτῷ πεδία καὶ ὄρη καὶ φάραγγας.*

Διογένης κισηροειδὲς ἄναμμα τὴν σελήνην.

Ἴων σῶμα τῇ μὲν ὑελοειδές, διαυγές, τῇ δὲ ἀφεγγές.

Βήρωσος ἡμιπύρωτον σφαῖραν τὴν σελήνην.

Ἡρακλείδης καὶ Ὄκελλος γῆν ὁμίχλῃ περιεχομένην.

Πυθαγόρας κατοπτροειδὲς σῶμα.

1[f] ⟨Aetii (II 25, 15 et 27, 3. 4 p. 357, 2 et 358, 3 Diels.).⟩

Ἐμπεδοκλῆς ἀέρα συνεστραμμένον νεφοειδῆ, πε-

---

1 *κἀκεῖνος* P ‖ **2** *τροπὰς* F, *τροφὰς* P[1], *στροφὰς* P[2] ‖ **3** lemma *ἀναξιμένους* add. P ‖ **5** lemma *παρμενίδου* add. P | *γὰρ* absurdum; sed cf. Diels p. 62 ‖ **8** lemma *ἡρακλείτου* add. P mrg ‖ **10** lemma *ξενοφάνους* add. P | post *εἶναι* add. *τὴν σελήνην* P ‖ **12** lemma *θάλητος* add. P ‖ **13** lemma *ἀναξαγορ καὶ δημοκρίτου* add. P | *Δημόκριτος καὶ Ἀναξαγόρας* P ‖ **15** lemma *διογένους* add. P mrg ‖ **16** lemma *ἴωνος* add. P mrg | *ἴων* P, *ῶν* F: *Ἀλκμαίων* Heeren, *Ἀντιφῶν* Meineke; sed cf. Müller, fr. hist. Gr. II p. 50 et Ionis nomen hoc loco etiam Photii pinacographus p. 114[b] 3 legit ‖ **17** lemma *βησόρου* add. P[1] mrg, P[2] del. | *βηρωσός* P[2] mrg, *(β)ήσορος* F, *βησορος* P[1]; *Βηρώσου* Photii pinacographus p. 114[a] 28; ceterum cf. Müller, fr. hist. Gr. II p. 495 n. | *σαῖραν* P[1] ‖ **18** lemma *ἡρακλείδ καὶ ὀκέλλου* add. P mrg | *ὄκελλος* FP | *ὁμίχλῃ* Plut. II 25, *ὁμίχλην* FP ‖ **20** lemma *πυθαγ'* add. P mrg ‖ **22** lemma *ἐμπεδοκλέους* add. P

πηγότα ὑπὸ πυρός, ὥστε σύμμικτον. — Δισκοειδῆ δὲ τῷ σχήματι.

Τινὲς δὲ κυλινδροειδῆ. [554]

1g ⟨Aetii (II 25, 6 p. 356, 8 Diels.).⟩

Πλάτων ἐκ πλείονος τοῦ πυρὸς εἶναι τὴν σελήνην.

1h ⟨Aetii (II 25, 7 et 26, 3 p. 356, 10 et 357, 11 Diels.).⟩

Ἀριστοτέλης σελήνην ἐν μεθορίοις ἀέρος τεταγμένην καὶ τῆς πέμπτης οὐσίας μετέχουσαν ἐν μηνὶ περιέρχεσθαι τὸν ἴδιον κύκλον. — Ἐλάττονα δὲ τῆς γῆς εἶναι τῷ μεγέθει.

1i ⟨Arii Didymi epit. (fr. phys. 34 p. 467 Diels.).⟩

Ζήνων τὴν σελήνην ἔφησεν ἄστρον νοερὸν καὶ φρόνιμον, πύρινον δὲ πυρὸς τεχνικοῦ.

Κλεάνθης πυροειδῆ τὴν σελήνην, πιλοειδῆ δὲ τῷ σχήματι.

1k ⟨Aetii (II 25, 5; 26, 1; 27, 1 p. 356, 5; 357, 6 et 14 Diels.).⟩

Ποσειδώνιος δὲ καὶ οἱ πλεῖστοι τῶν Στωικῶν μικτὴν ἐκ πυρὸς καὶ ἀέρος. — Μείζονα δὲ τῆς γῆς, ὡς καὶ τὸν ἥλιον. — Σφαιροειδῆ δὲ τῷ σχήματι· σχηματίζεσθαι δὲ αὐτὴν πολλαχῶς, καὶ γὰρ πανσέληνον γινομένην καὶ διχότομον καὶ ἀμφίκυρτον καὶ μηνοειδῆ.

1l ⟨Arii Didymi epit. (fr. phys. 34 p. 467 Diels.).⟩

Χρύσιππος τὸ ἀθροισθὲν ἔξαμμα μετὰ τὸν ἥλιον νοερὸν ἐκ τοῦ ἀπὸ τῶν ποτίμων ὑδάτων ἀναθυμιάματος· [556] *διὸ καὶ τούτοις τρέφεσθαι. Σφαιροειδῆ δὲ εἶναι. Μῆνα δὲ καλεῖσθαι τὴν τοῦ δρόμου αὐτῆς περίοδον. Μεὶς δ'*

---

3 *κυλινδοειδῆ* P1 ‖ **5** lemmata *πλάτωνος· ἀριστοτέλους* add. P mrg ‖ **7** ante *σελήνην* add. *τὴν* P2 | *ἀέρος* P2, *κέρος* F, *κερὸς* P1 | post *ἀέρος* add. *καὶ τοῦ αἰθέρος* Meineke ‖ **8** *μετέχουσαν* P, *ὑπάρχουσαν* F ‖ **10** *τὸ* P ‖ **12** lemma *ζήνωνος* add. P mrg ‖ **14** lemma *κλεάνθους* add. P mrg | *πηλοειδῆ* FP: corr. Lipsius de phys. sto. II 13; *κωνοειδῆ* Krische theolog. p. 435 ‖ **18** lemma *ποσειδωνίου καὶ στωικῶν* add. P | *δὲ* om. P ‖ **21** *δὲ* (ante *αὐτὴν*) FP | *γὰρ* del. vel *γίγνεσθαι* scribit Meineke; sed *γάρ* valet idem quod *nempe* ‖ **24** lemma *χρυσίππου* add. P ‖ **25** *νοερὸν* om. P

ἐστί, φησί, τὸ φαινόμενον τῆς σελήνης πρὸς ἡμᾶς, ἢ σελήνη μέρος ἔχουσα φαινόμενον πρὸς ἡμᾶς.

2 ΠΕΡΙ ΔΕ ΦΩΤΙΣΜΩΝ ΑΥΤΗΣ.

⟨Aetii (II 28, 1—6 p. 358, 7 Diels.).⟩

Ἀναξίμανδρος, Ξενοφάνης, Βήρωσος ἴδιον αὐτὴν ἔχειν φῶς.

Ἀριστοτέλης ἴδιον μέν, ἀραιότερον δέ πως.

Οἱ Στωικοὶ ἀμαυροφανές, ἀεροειδὲς γάρ.

Ἀντιφῶν ἰδιοφεγγῆ μὲν τὴν σελήνην, τὸ δ' ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου τὸ ἀσθενέστερον ἀμαυροῦν· ὃ δὴ συμβαίνειν καὶ περὶ τὰ ἄλλα ἄστρα.

p. 60 C. [558] *Θαλῆς πρῶτος ἔφη ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι. Πυθαγόρας, Παρμενίδης, Ἐμπεδοκλῆς, Ἀναξαγόρας, Μητρόδωρος ὁμοίως.*

Ἡράκλειτος ταὐτὸν πεπονθέναι τήν τε σελήνην καὶ τὸν ἥλιον. Σκαφοειδεῖς δὲ ὄντας τοῖς σχήμασι τοὺς ἀστέρας, δεχομένους τὰς ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιάσεως αὐγάς, φωτίζεσθαι πρὸς τὴν φαντασίαν, λαμπροτέρως μὲν τὸν ἥλιον, ἐν καθαρωτέρῳ γὰρ ἀέρι φέρεσθαι, τὴν δὲ σελήνην ἐν θολωτέρῳ καὶ διὰ τοῦτο ἀμαυροτέραν φαίνεσθαι.

3 ΠΕΡΙ ΔΕ ΕΚΛΕΙΨΕΩΣ ΣΕΛΗΝΗΣ.

⟨Aetii (II 29, 1—8 p. 359, 12 Diels.).⟩

Ἀναξίμανδρος τοῦ στομίου τοῦ περὶ τὸν τροχὸν ἐπιφραττομένου.

---

1. **2** ἡ σελήνη P ‖ **2** ante φαινόμενον add. τὸ Diels ‖ **3** δὲ del. Gaisford ‖ **5** βηρωσὸς P^2 mrg, βήρῶσος F, βήσορος P^1: cf. supra p. 218, 17 ‖ **8** lemma στωικῶν add. P mrg ‖ **9** lemma ἀντιφῶντος add. P mrg ‖ **13** lemma θάλητος add. P mrg | ἔφη FP: ἔφησε Heeren ‖ **14** lemma πυθαγόρου καὶ ἑτέρων add. P mrg ‖ **16** lemma ἡρακλείτου add. P mrg ‖ **18** τοὺς ἀπὸ P ‖ **21** θολερωτέρῳ lexicographi ‖ **25** lemma ἀναξιμάνδρου add. P mrg | στομίου (supra ο ead. m. ω sprscr.) P, στωμίου F

Βήρωσος κατὰ τὴν πρὸς ἡμᾶς ἐπιστροφὴν τοῦ ἀπυρώτου μέρους.

Ἀλκμαίων, Ἡράκλειτος, Ἀντιφῶν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφὴν καὶ τὰς περικλίσεις.

Τῶν Πυθαγορείων τινὲς κατὰ τὴν Ἀριστοτέλειον ἱστορίαν καὶ την Φιλίππου τοῦ Ὀπουντίου ἀπόφασιν [560] *ἀντιφράξει τοτὲ μὲν τῆς γῆς, τοτὲ δὲ τῆς ἀντίχθονος. Τῶν δὲ νεωτέρων εἰσί τινες οἷς ἔδοξε κατ' ἐπινέμησιν φλογὸς κατὰ μικρὸν ἐξαπτομένης τεταγμένως, ἕως ⟨ἂν⟩ τὴν τελείαν πανσέληνον ἀποδῷ, καὶ πάλιν ἀναλόγως μειουμένης μέχρι τῆς συνόδου καθ' ἣν τελείως σβέννυται.*

Ξενοφάνης καὶ τὴν μηνιαίαν ἀπόκρυψιν κατὰ σβέσιν.

Θαλῆς, Ἀναξαγόρας, Πλάτων, οἱ Στωικοὶ τοῖς μαθηματικοῖς συμφώνως τὰς μὲν μηνιαίους ἀποκρύψεις συνοδεύουσαν αὐτὴν ἡλίῳ καὶ περιλαμπομένην ποιεῖσθαι, τὰς δ' ἐκλείψεις εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν, μεταξὺ [μὲν] ἀμφοτέρων τῶν ἀστέρων γενομένης, μᾶλλον δὲ τῆς σελήνης ἀντιφραττομένης.

Ἀναξαγόρας, ὥς φησι Θεόφραστος (phys. opin. fr. 19 p. 493 Diels.), *καὶ τῶν ὑποκάτω τῆς σελήνης ἔσθ' ὅτε σωμάτων ἐπιπροσθούντων.*

Χρύσιππος ἐκλείπειν τὴν σελήνην τῆς γῆς αὐτῇ ἐπιπροσθούσης καὶ εἰς σκιὰν αὐτῆς ἐμπίπτουσαν.

---

1 *βηρόσου* add. P mrg | *(β)ήροσος* F, *βήροσος* P ‖ **3** *ἀλκμαίωνος καὶ ἑτέρων* add. P mrg | *Ἀντίφαντος* FP: *Ἀντιφῶν* Heeren | *κατὰ* FP², *καὶ* P¹ ‖ **5** lemma *πυθαγορείων* add. P | *ἀριστοτέλειον* F, *ἀριστοτελικὴν* sed mrg ead. m. *ἀριστοτέλειον* P ‖ **6** *καὶ τοῦ* FP: *καὶ τὴν* Diels | *ποντίου* FP: corr. Heeren ‖ **8** *τῶν δὲ μεθ'* *ἑτέρων* FP: *τῶν δὲ νεωτέρων* Canter ‖ **9** *ἂν* add. Plut. II 29, om. FP ‖ **11** *τελείωσιν* FP: *τελείως* Heeren e Plut. l. s. ‖ **12** *ξενοφάνους* add. P mrg ‖ **12. 13** *κατάσβεσιν* FP: corr. Diels coll. supra p. 207, 18 ‖ **14** *θάλητος καὶ ἑτέρων* add. P mrg ‖ **15** *μηνιαίας* Gaisford ex Aug. ‖ **18** *μὲν* del. Diels ‖ **18. 19** *γινομένης* Plut. l. s. rectius ‖ **19** *μᾶλλον δὲ — ἀντιφραττομένης* antiquitus corrupta: cf. Diels prol. p. 53 sq.; fuit fere *ἥλιον δὲ τῆς σελήνης ἀντιφραττούσης* ‖ **20** *ἀναξαγ'* et **23** *χρυσίππου* add. P mrg ‖ **21** *τινῶν* Usener ‖ **23** *αὐτὴν* FP: corr. Heeren ‖ **24** *ἐμπιπτούσης* FP: corr. Bake ad Cleomed. p. 468 coll. Laert. VII 145

[562] 4 ΠΕΡΙ ΔΕ ΕΜΦΑΣΕΩΣ ΑΥΤΗΣ.

⟨Aetii (II 30, 1—8 p. 361, 2 Diels.).⟩

Τῶν Πυθαγορείων τινὲς μέν, ὧν ἐστι Φιλόλαος, τὸ γεωφανὲς αὐτῆς εἶναι διὰ τὸ περιοικεῖσθαι τὴν σελήνην, καθάπερ τὴν παρ' ἡμῖν γῆν, ζῴοις καὶ φυτοῖς μείζοσι καὶ καλλίοσιν. Εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐπ' αὐτῆς ζῷα τῇ δυνάμει, μηδὲν περιττωματικὸν ἀποκρίνοντα, καὶ τὴν ἡμέραν τοσαύτην τῷ μήκει.

Ἄλλοι δὲ τὴν ἐν τῇ σελήνῃ ἔμφασιν ἀνάκλασιν εἶναι τῆς πέραν τοῦ διακεκαυμένου κύκλου τῆς οἰκουμένης ὑφ' ἡμῶν θαλάττης.

[564] *Ἀναξαγόρας ἀνωμαλότητα συγκρίματος διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες, τὰ μὲν ἐχούσης ὑψηλά, τὰ δὲ ταπεινά, τὰ δὲ κοῖλα. Καὶ παραμεμῖχθαι τῷ πυροειδεῖ τὸ ζοφῶδες, ὧν τὸ πάθος ὑποφαίνει τὸ σκιερόν· ὅθεν ψευδοφανῆ λέγεσθαι τὸν ἀστέρα.*

Δημόκριτος ἀποσκίασμά τι τῶν ὑψηλῶν ἐν αὐτῇ μερῶν· ἄγκη γὰρ αὐτὴν ἔχειν καὶ νάπας.

Παρμενίδης διὰ τὸ παραμεμῖχθαι τῷ περὶ αὐτὴν πυρώδει τὸ ζοφῶδες, ὅθεν ψευδοφανῆ τὸν ἀστέρα καλεῖ.

Οἱ Στωικοὶ διὰ τὸ ἀερομιγὲς τῆς οὐσίας μὴ εἶναι αὐτῆς ἀκήρατον τὸ σύγκριμα.

Ἀριστοτέλης μὴ εἶναι αὐτῆς ἀκήρατον τὸ σύγκριμα διὰ τὰ πρόσγεια ἀερώματα τοῦ αἰθέρος, ὃν προσαγορεύει σῶμα πέμπτον.

Οἱ ἀπὸ τῶν μαθηματικῶν τὸ ἀνώμαλον συγκριτικὸν αἰτιῶνται. Καθάπερ οὖν τῶν προσαυγαζομένων

---

3 lemma *πυθαγορείων* add. P ‖ **4** *γαιοφανὲς* FP: corr. Meineke ‖ **8** *ἡμέραν* Plut. II 30, *ἡμετέραν* FP ‖ **12** lemma *ἀναξαγ'* add. P ‖ **13** *ψυχρομιγὲς*] cf. Hippol. adv. haer. I 8, 9 | *γαιῶδες* F | *ψηλὰ* P ‖ **14. 15** *πορειδεῖ* P ‖ **16** *ἀστέρα* Plut., *ἀέρα* FP ‖ **17** *δημοκρίτου* add. P mrg | *ἀποσκιάσματα* FP: *ἀποσκίασμά τι* Canter ‖ **18** *ἀνάγκη* FP: *ἄγκη* Canter ‖ **19** *τῷ* FP^2, *τῶν* P^1 ‖ **20** *ψευδοφαῆ* Meineke ‖ **21** *στωικῶν* add. P mrg ‖ **23** *ἀριστοτ'λ* add. P mrg ‖ **24** *ἀερώματα* FP: *ἀπερράματα* Meineke, *περιττώματα* Heeren, *σαρώματα* Doehner; sed cf. Diels p. 362 ‖ **26** *μαθηματικῶν* add. P mrg

ὑπὸ τοῦ ἡλίου νεφῶν τὰ μὲν ἀραιότερα μέρη λαμπρότερα φαίνεσθαι, τὰ δὲ πυκνότερα ἀμαυρότερα, οὕτως καὶ τῆς σελήνης ἐοικυίας μὲν νεφελοειδεῖ πιλήματι, προσαυγαζο- p. 61 C.
μένης δ' ὑπὸ τοῦ ἡλίου.

Ξενοφάνης τὸν μὲν ἥλιον χρήσιμον εἶναι πρὸς τὴν τοῦ κόσμου καὶ τὴν τῶν ἐν αὐτῷ ζῴων γένεσίν τε [566]
καὶ διοίκησιν, τὴν δὲ σελήνην παρέλκειν.

5 ΠΕΡΙ ΔΕ ΤΩΝ ΑΠΟΣΤΗΜΑΤΩΝ.

⟨Aetii (II 31, 1—5 p. 362, 20 Diels.).⟩

Ἐμπεδοκλῆς διπλάσιον ἀπέχειν τῆς σελήνης ἀπὸ ⟨τῆς⟩ γῆς ἥπερ ἀπὸ τοῦ ἡλίου.

Οἱ δὲ ἀπὸ τῶν μαθηματικῶν ὀκτωκαιδεκαπλάσιον.

Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν ἀπὸ τῆς γῆς σταδίων μυριάδας [μυριάδων] τετρακοσίας καὶ στάδια ὀκτάκις μύρια· τὴν δὲ σελήνην ἀπέχειν ἀπὸ τῆς γῆς μυριάδας ἑβδομήκοντα ὀκτὼ σταδίων.

Ἐμπεδοκλῆς τοῦ ὕψους τοῦ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, ἥτις ἐστὶν ἀφ' ἡμῶν ἀνάτασις, πλείονα εἶναι τὴν κατὰ τὸ πλάτος διάστασιν, κατὰ τοῦτο τοῦ οὐρανοῦ μᾶλλον ἀναπεπταμένου διὰ τὸ ᾠῷ παραπλησίως τὸν κόσμον κεῖσθαι.

Βόηθος δὲ πρὸς τὴν φαντασίαν δέχεται τὸ ἀναπεπταμένον, οὐ κατὰ τὴν ὑπόστασιν.

---

1 ante *ἀραιότερα* add. *γὰρ* P ‖ **2** *φαίνεσθαι* FP: *φαίνεται* Heeren ‖ **3** *νεφελοειδῆ* P, *νεφελοειδὴ* F ‖ **5** *ξενοφάν* add. P mrg ‖ **8** *δὲ τῶν* om. Gaisford | post *ἀποστημάτων* Heeren add. *αὐτῆς* ‖ **10. 11** haec gravius turbata: cf. Diels p. 63 ‖ **10** lemma *ἐμπεδοκλέους* add. P | *τὴν σελήνην* F man. γ ‖ **11** *τῆς* ante *γῆς* add. Meineke ‖ **13** lemma *ἐρατοσθένους* add. P ‖ **14** *μυριάδων* seclusit Diels; est varia scriptura verbi *μυριάδας* cf. *Stud.* p. 66 ‖ **17** lemma *περὶ ἡλίου καὶ σελήνης· ἐμπεδοκλέους* add. P; verba *περὶ ἡλίου καὶ σελήνης* huc procul dubio delapsa pertinent ad initium huius eclogae supra v. 10, ubi item Empedoclis mentio fit | *οἷον* FP¹, *εἰς* P² mrg: *εἰς τὸν* Diels ‖ **22** *βοηθὸς* FP | *τῆς* P¹

6 (2) ΣΗΜΕΙΑ ΣΕΛΗΝΗΣ.

Ἐκ τῶν Ἀράτου Φαινομένων (v. 778—817).

Σκέπτεο δὴ πρώτην κεράων ἑκάτερθε σελήνην·
ἄλλοτε γάρ τ᾽ ἄλλη μιν ἐπιγράφει ἕσπερος αἴγλη,
[568] ἄλλοτε δ᾽ ἀλλοῖαι μορφαὶ κερόωσι σελήνην
εὐθὺς ἀεξομένην, αἳ μὲν τρίτῃ, αἳ δὲ τετάρτῃ·
τάων καὶ περὶ μηνὸς ἐφεσταότος κε πύθοιο.
Λεπτὴ μὲν καθαρή τε περὶ τρίτον ἦμαρ ἐοῦσα
εὐδιός κ᾽ εἴη· λεπτὴ δὲ καὶ εὖ μάλ᾽ ἐρευθὴς
πνευματίη· παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις
τέτρατον ἐκ τριτάτοιο φόως ἀμενηνὸν ἔχουσα
ἢ νότῳ ἀμβλύνεται ἢ ὕδατος ἐγγὺς ἐόντος.
Εἰ δέ κ᾽ ἀπ᾽ ἀμφοτέρων κεράων τρίτον ἦμαρ ἄγουσα
μήτε τι νευστάζῃ μηθ᾽ ὑπτιόωσα φαείνῃ,
ἀλλ᾽ ὀρθὰς ἑκάτερθε περιγνάμπτουσα κεραίας,
ἐσπέριοί κ᾽ ἄνεμοι κείνην μετὰ νύκτα φέροιντο.
Εἰ δ᾽ αὕτως ὀρθὴ καὶ τέτρατον ἦμαρ ἀγινοῖ,
ἦτ᾽ ἂν χειμῶνος συναγειρομένοιο διδάσκοι.
εἰ δέ κέ οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύῃ,
δειδέχθαι βορέω, ὅτε δ᾽ ὑπτιάῃσι, νότοιο.
Αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος περὶ κύκλος ἑλίσσῃ
πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη·
μείζονι δ᾽ ἂν χειμῶνι πυρώτερα φοινίσσοιτο.

---

1 singularem titulum huius paragr. eis qui § 2—5 supra inscripti sunt similem cum FP posui; vulgo copulant cum proximo lemmate ‖ **2** Ἀράτων P ‖ **3** σκεπτέον P | δὲ Ar. | πρώτη FP, πρῶτον Ar.: πρώτην Vossius | ἑκάτερθεν FP ‖ **8** ἐοῦσα Ar., ἰοῦσα FP ‖ **9** εὖ Ar., οὐ FP Ar. *C* ‖ **11** τέταρτον P | μενηνὸν P^1 ‖ **12** ἢ νότῳ ἀμβλύνεται etiam Arati codd. omnes: ἠὲ νότῳ ἀμβλύνετ᾽ margo Oxon. ‖ **13** ἀπ᾽ etiam Ar. *CFHLM*, ἐπ᾽ Ar. cet. ‖ **14** μήτ᾽ ἐπινευστάζῃ Ar. Mosqu. | ὑπιόωσα P | φαείνοι FP Ar. ‖ **15** ὀρθαὶ Ar. | περιγνάμπτουσα Ar. *A*, περιγνάπτωσι FP Ar. *FHM*, περιγνάμπτωσι Ar. cet. | κεραῖαι FP Ar.: corr. Vossius ‖ **16** κ᾽ Ar., γ᾽ FP ‖ **17** ἀγινοῖ Ar. *K* corr., ἀγινεῖ FP Ar. ‖ **18** διδάσκει FP Ar. ‖ **19** κέ οἱ Ar., καὶ FP | ἐπινεύῃ Ar., ἐπινεύει FP ‖ **21** ἐπεὶ P | ὅλος Ar., ὅλον FP | περὶ κύκλος Ar., περικύκλος F, περικύκλον P | ἑλίσσῃ Ar., ἑλίσσει FP ‖ **23** αὖ P Ar. *FHLM*

Σκέπτεο δ' ἐς πληθύν τε καὶ ἀμφότερον διχόωσαν, [570]
ἠμὲν ἀεξομένην, ἠδ' ἐς κέρας αὖθις ἰοῦσαν·
καί οἱ ἐπὶ χροιῇ τεκμαίρεο μηνὸς ἑκάστου.
Πάντῃ μὲν καθαρῇ κε μάλ' εὔδια τεκμήραιο·
πάντα δ' ἐρευθομένῃ δοκέειν ἀνέμοιο κέλευθον,
ἄλλοθι δ' ἄλλο μελαινομένῃ δοκέειν ὑετοῖο.
Σήματα δ' οὐ μάλα πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται·
ἀλλ' ὅσα μὲν τριτάτῃ τε τεταρταίῃ τε πέλονται
μέσφα διχαζομένης, διχάδος γε μὲν ἄχρις ἐπ' αὐτὴν
σημαίνει διχόμηνον, ἀτὰρ πάλιν ἐκ διχομήνου
ἐς διχάδα φθιμένην· δέχεται μὲν αὐτίκα τετρὰς
μηνὸς ἀποιχομένου, ἡ δὲ τριτάτη ἀπιόντος.
Εἰ δέ κέ μιν περὶ πᾶσαν ἁλωαὶ κυκλώσωνται [572]
ἢ τρεῖς ἠὲ δύω περικείμεναι ἠὲ μί' οἴῃ,
τῇ μὲν ἴῃ ἀνέμοιο γαληναίης τε δοκεύειν,
ῥηγνυμένῃ ἀνέμοιο, μαραινομένῃ δὲ γαλήνης· p. 62 C.
ταὶ δύο δ' ἂν χειμῶνι περιτροχάοιντο σελήνην·
μείζονα δ' ἂν χειμῶνα φέροι τριέλικτος ἁλωή,
καὶ μᾶλλον μελανεῦσα, καὶ εἰ ῥηγνύατο μᾶλλον.

CAPVT XXVII (XXVIII Heeren.).

ΠΕΡΙ ΓΑΛΑΚΤΟΣ.

1 ⟨Aetii (III 1, 1—6 p. 364, 12 Diels.)⟩

Κύκλος ἐστὶ νεφελοειδής, ἐν μὲν τῷ ἀέρι διὰ παντὸς φαινόμενος, διὰ δὲ τὴν λευκόχροιαν ὀνομαζόμενος γαλαξίας. [574]

---

2 *ἠμὲν* Ar., *ἦμεν* FP ‖ **3** *χροιὴν* Ar. ‖ **4** *μὲν* FP, *γὰρ* Ar. | *κε* Ar., *τε* FP ‖ **5** *πάντα* Ar. cet., *πάντῃ* FP Ar. *CL* | *ἀνέμοι* P | *κέλευθος* P, *κελεύθους* Ar. ‖ **6** *ὑετοῖο* om. P, in quo lac. ‖ **7** *οὐ μάλα* FP, *οὔτ' ἄρ* Ar. ‖ **9** *διχαζομένης* FP Ar. *A*, *διχαιομένης* Ar. cet. ‖ **10** *διχομήνου* Ar. praeter *AB* ‖ **11** *εἰς* P | an *ἔχεται μέν οἱ*? | *δέχεται* FP Ar. *ACGK*, *ἔχεται* Ar. cet. | *μὲν* FP, *δὲ μὲν* Ar. *G*, *δέ οἱ* Ar. cet.: *δέ μιν* Heeren ‖ **12** *ἡ δὲ* FP Ar. *DHM*, *ἠδὲ* Ar. *BEFGLN*, *τῇ δὲ* Ar. cet. (recte opinor) | *ἀπιόντοι* P: *ἐπιόντος* Vossius (recte) ‖ **13** *καί* F | *κυκλώσονται* Ar. praeter *A* ‖ **14** *δύω* Ar., *δύο* FP ‖ **18** *ἁλωὴ* FP ‖ **19** *μελανεῦσε* P ‖ **21** iteratur titulus in indice flor. Laur. *Γ* 8 | *γαλαξίου* Meineke

2 *Τῶν Πυθαγορείων οἱ μὲν ἔφασαν ἀστέρος εἶναι διάκαυσιν, ἐκπεσόντος μὲν ἀπὸ τῆς ἰδίας ἕδρας, δι' οὗ δὲ περιέδραμε χωρίου κυκλοτερῶς αὐτὸ περιφλέξαντος ἐπὶ τοῦ κατὰ Φαέθοντα ἐμπρησμοῦ· οἱ δὲ τὸν ἡλιακὸν ταύτῃ φασὶ κατ' ἀρχὰς γεγονέναι δρόμον. Τινὲς δὲ κατοπτρικὴν εἶναι φαντασίαν τοῦ ἡλίου τὰς αὐγὰς πρὸς τὸν οὐρανὸν ἀνακλῶντος, ὅπερ καὶ ἐπὶ τῆς ἴριδος ἐπὶ τῶν νεφῶν συμβαίνει.*

3 *Μητρόδωρος διὰ τὴν πάροδον τοῦ ἡλίου, τοῦτον γὰρ εἶναι τὸν ἡλιακὸν κύκλον.*

4 *Παρμενίδης τὸ τοῦ πυκνοῦ καὶ τὸ τοῦ ἀραιοῦ μῖγμα γαλακτοειδὲς ἀποτελέσαι χρῶμα.*

[576] 5 *Ἀναξαγόρας τὴν σκιὰν τῆς γῆς κατὰ τόδε τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ, ὅταν ὑπὸ τὴν γῆν ὁ ἥλιος γενόμενος μὴ πάντα περιφωτίζῃ.*

6 *⟨Δημόκριτος⟩ πολλῶν καὶ μικρῶν καὶ συνεχῶν ἀστέρων συμφωτιζομένων ἀλλήλοις διὰ τὴν πύκνωσιν συναυγασμόν.*

7 ⟨Aetii (III 1, 7 p. 365, 21 Diels.) et Arii Didymi epit.⟩ *Ἀριστοτέλης ἀναθυμιάσεως ξηρᾶς ἔξαψιν πολλῆς τε καὶ συνεχοῦς. — Τὸν γὰρ κύκλον ἐν ᾧ δοκεῖ θεωρεῖσθαι μέγιστον ὄντα, πλήρη τῶν μεγίστων ὑπάρχειν καὶ λαμπροτάτων ἄστρων καὶ ἔτι τῶν σποράδων καλουμένων, ὥστε διὰ ταῦτα συνεχῶς πλείστην περὶ τοῦτον ἀθροίζεσθαι τὸν τόπον τὴν ἀπὸ τῆς γῆς ἀναθυμίασιν καὶ ποιεῖν τὴν τοῦ γάλακτος φαντασίαν.*

---

1 lemma *πυθαγορείων* add. P | *τῶν πυθαγορείων οἱ μὲν* F, *οἱ μὲν πυθαγόρειοι* P ‖ **3** *χωρίον* P | *κυκλοτερῶς — ἐμπρησμοῦ* (4) om. P ‖ **4** *φαέθοντα* Plut. III 1, *φαέθοντος* F ‖ **5** *φησὶ* P ‖ **7** *τῆς* F, *τῆς γῆς* (ead. m. del.) P | *καὶ ἐπὶ τῶν* Plut. l. s. ‖ **9** lemma *μητροδώρου* add. P ‖ **13** lemma *ἀναξαγόρ* add. P mrg ‖ **14** *περὶ τὴν γῆν* FP: corr. Heeren ex Arist. meteor. I 8 ‖ **16** *Δημόκριτος* om. FP, add. Canter ex Plut. l. s. ‖ **20** lemma *ἀριστοτέλ'* add. P mrg | *ξηρᾶς* P, *μικρᾶς* F ‖ **21—26** Didymea esse docuit Diels p. 365 n. ‖ **24** *τούτων* P

8 ⟨Aetii (III 1, 8 p. 366, 1 Diels.).⟩

Ποσειδώνιος πυρὸς σύστασιν, ἄστρου μὲν μανωτέραν, αὐγῆς δὲ πυκνοτέραν.

CAPVT XXVIII (XXIX Heeren.).

ΠΕΡΙ ΚΟΜΗΤΩΝ ΚΑΙ ΔΙΑΙΤΤΟΝΤΩΝ ΚΑΙ ΤΩΝ ΤΟΙΟΥΤΩΝ.

1a ⟨Aetii (III 2, 1—11 p. 366, 6 Diels.).⟩

Τῶν Πυθαγορείων τινὲς μὲν ἀστέρα φασὶν εἶναι τὸν κομήτην τῶν οὐκ αἰεὶ μὲν φαινομένων, διὰ δέ τινος διωρισμένου χρόνου περιοδικῶς ἀνατελλόντων· ἄλλοι δὲ [578] *ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον παραπλησίαν ταῖς κατοπτρικαῖς ἐμφάσεσιν.*

Ἀναξαγόρας καὶ Δημόκριτος σύνοδον ἀστέρων δυοῖν ἢ καὶ πλειόνων κατὰ συναυγασμόν.

Ἀριστοτέλης τῆς ξηρᾶς ἐκ γῆς ἀναθυμιάσεως διάπυρον σύστασιν.

** * κομήτας δὲ ὅταν ἐπὶ πλέον ἐξαφθῇ καὶ πρὸς πλείονα διαμένῃ χρόνον, τοῦ μὲν ἀστέρος φαινομένου κάτωθεν, τῆς δὲ κόμης ἄνωθεν ἐπιλαμπούσης· πωγωνίας δὲ ὅταν ἔμπαλιν ὁ μὲν ἀστὴρ ἄνωθεν θεωρῆται, ἡ δὲ κόμη κάτωθεν, παρεχομένη τῷ σχήματι πώγωνος ἔμφασιν.*

Στράτων ἄστρου φῶς περιληφθὲν νέφει πυκνῷ, καθάπερ ἐπὶ τῶν λαμπτήρων γίνεται. p. 63 C.

Ἡρακλείδης ὁ Ποντικὸς νέφος μετάρσιον ὑπὸ μετάρσιου φωτὸς καταυγαζόμενον. Ὁμοίως δ' αἰτιολογεῖ [580]

---

2 lemma *ποσειδωνίου* add. P | *πυρὸς* Plut. III 1, *πρὸς* FP | *μὲν ἄστρου* F ‖ **5. 6** titulus iteratur in ind. flor. Laur. *K* 15 ‖ **5** *διαττόντων* P ‖ **8** lemma *πυθαγορείων* add. P ‖ **10—12** haec ad Hippocratem spectant cf. Ar. meteor. I 6 p. 342b 36 ‖ **11** *ἡμέρας* F | *πρὸς* cod. Aug., Plut. III 2 *C*, Galen., Ar. l. s., *εἰς* FP, Plut. *AB* ‖ **13** lemma *ἀναξαγόρου καὶ δημοκρίτου* add. P ‖ **15** lemma *ἀριστοτέλ* add. P mrg ‖ **17** lacunam signavi; nam quae secuntur usque ad v. 21 falso Aristoteli continuant, cum cuius meteor. I 7 p. 344a 22 sq. pugnant; ad Posidonium potius rettulerim, quem sequitur Plin. n. h. II 24, 89 (schol. Arat. p. 151, 25 B., Lyd. de mens. IV 73); ceterum haec Ario tribuenda esse suspicatur Dilesius | *κομήτας μὲν* Canter | *ἐξαυθῇ* P ‖ **21** *κάτωθεν* F, *κάτω* P ‖ **22** lemma *στράτωνος* add. P ‖ **24** lemma *ἡρακλείδ* add. P mrg

πωγωνίαν, δοκίδας, κίονα καὶ τὰ τούτοις συγγενῆ, καθάπερ ἀμέλει πάντες οἱ Περιπατητικοὶ παρὰ τοὺς τοῦ νέφους ταῦτα γίνεσθαι σχηματισμούς.

Ἐπιγένης πνεύματος ἀναφορὰν γεωμιγοῦς πεπυρωμένου.

Βόηθος ἀέρος ἀνημμένου φαντασίαν.

Διογένης ἀστέρας εἶναι τοὺς κομήτας.

Ἀναξαγόρας τοὺς καλουμένους διάττοντας ἀπὸ τοῦ αἰθέρος σπινθήρων δίκην καταφέρεσθαι, διὸ καὶ παραυτίκα σβέννυσθαι.

Μητρόδωρος τὴν εἰς τὰ νέφη τοῦ ἡλίου βίαιον ἔμπτωσιν πολλάκις σπινθηρίζειν.

Ξενοφάνης πάντα τὰ τοιαῦτα νεφῶν πεπυρωμένων
[582] συστήματα ἢ κινήματα.

1[b] Χαλδαίους μὲν δὴ λόγος περὶ κομητῶν ὧδε γιγνώσκειν, ὅτι εἰσί τινες καὶ ἄλλοι ἔξω τῶν φαινομένων πλανητῶν ἀστέρες, οἳ τέως μὲν ἀφανεῖς εἰσιν, ὅτι ἐπὶ πολὺ ἄνω που ἀφ' ἡμῶν φέρονται, ἤδη δὲ καὶ ταπεινωθέντες ὤφθησαν οὕτως ὡς ξένοι ἐνεχθέντες εἰς τὰ ὅλα· καὶ τούτους κομήτας καλεῖν φίλον τοῖς οὐ γιγνώσκουσιν, ὅτι καὶ αὐτοὶ ἐκ τῶν πολλῶν ἀστέρων εἰσίν. ἀφανίζεσθαι δὲ δοκοῦσιν, ἐπειδὰν ἀνενεχθῶσιν εἰς τὴν σφῶν χώραν, δύντες εἰς τὸ βάθος τοῦ αἰθέρος, ὥσπερ εἰς τὸν τοῦ πελάγους βυθὸν οἱ ἰχθῦς. Οἳ δὲ ὑπ' ἀνέμων ἢ θυέλλης ἀναφέρεσθαί τινα γεώδη ἐς τὸν ἄνω ἀέρα ἐδόξασαν καὶ ταῦτα

---

1 *πωγωνίαν ἅλω δοκίδα* Plut. III 2 ‖ **4** lemma *ἐπιγένους* add. P mrg | *ἀναφορᾷ* FP: corr. Diels ex Plut. coll. infra p. 248, 5 | *γαιομιγοῦς* FP: corr. Meineke ex Plut. ‖ **7** *Διογένης – κομήτας* om. P ‖ **8** lemma *ἀναξαγόρου* add. P ‖ **9** *σπινθῆρος* F ‖ **11** *μητροδώρου* add. P mrg | *τὴν* om. P ‖ **12** *σπινθηρίζειν* Plut., *σφιντήρησιν* FP: *σφινθηρίζειν* Meineke ‖ **13** lemma *ξενοφάνους* add. P ‖ **14** *ἢ πιλήματα* Zeller ‖ **15** sqq. ecl. 1[b] Arriano qui ecl. 2 laudatur tribuit Meineke; Posidonium potius sapiunt, de cuius auctoritate egit Diels p. 230 sq. ‖ **15** lemma *χαλδαίων* add. P ‖ **17** *ὅτι* FP: *ὅτε* Heeren ‖ **19** *οὕτως ξενενεγκόντες* F, *οὕτως ξυνενεγκῶντες* P: *οὕτως ὡς ξένοι ἐνεχθέντες* (vel *που ὡσεὶ ξένοι ἐν.*) Meineke, *οὕτως πως ξένοι ἐν.* Heeren ‖ **21** *πωλῶν* P | *ἀφανίζεσθαι* P[2], *ἀφανίζουσι* FP[1] ‖ **22** *ἀνεχθῶσιν* P ‖ **23** *ὥσπερ ἐς* FP ‖ **24** *οἱ ἰχθῦς* P[2], *οἷα ἰχθῦς* FP[1] | *ἐπ'* P ‖ **25** ante *τινα* add. *ἔς* FP: del. Heeren | *γεώδη* (supra *ε* m. 1 sprscr. *αι*) P, *γαιώδη* F | *καὶ ταῦτα*] *κἀνταῦθα* Meineke

ἐκπυρωθέντα καὶ εἰς τὴν δίνην ἐμπεσόντα τοῦ αἰθέρος ξυμπερινοστεῖν τῷ παντὶ ἐπὶ χρόνον, ἔπειτα ἀπαναλωθέντα πρὸς τοῦ πυρὸς ἀφανῆ καθίστασθαι, καὶ τοὺς κομήτας δὴ καλουμένους ἀστέρας ταῦτα εἶναι.

Δημοκρίτου δὲ ὁ λόγος λεγόμενός ἐστιν, ὡς κατ' ἀντίλαμψιν τῶν πλανωμένων ἀστέρων πρὸς ἀλλήλους τε καὶ τοὺς ἀπλανεῖς οἱ κομῆται ξυνίστασθαι δοκοῦσι, καθάπερ πλειόνων κατόπτρων ἀντιλαμπόντων σφίσιν ἤδη τινὰ [584] *ὤφθη ἀστεροειδῆ φαντάσματα.*

2 *Ἀρριανοῦ.*

Ἀρριανός φησιν· „Ὅσα δὲ μένει ἐπὶ χρόνον τὰ μέν πως ξυμπεριφερόμενα τῷ οὐρανῷ, τὰ δὲ ἤδη τινὰ κατ' ἰδίαν πλάνην πλανώμενα, οὗτοί εἰσιν οἱ κομῆται ἀστέρες καὶ λαμπάδες καὶ πωγωνίαι καὶ πίθοι καὶ δοκίδες, καθ' ὁμοιότητα ἑκάστῃ ἰδέᾳ τῆς ἐπωνυμίας λαχόντα“.

* * *„Τεκμήριον δὲ ὅτι μὴ παραυτίκα διαφθείρεται, ὡς εἴ γε ἐν τῷ ἀέρι ξυνίσταντο, ταχεῖα ἂν ἐγίγνετο αὐτοῖς ἐν τῷ ψυχρῷ ἡ σβέσις. Ὅτι δὲ πρόσκαιρά ἐστιν, ἡ φθορὰ αὐτῶν ἐδήλωσε, καὶ ὅτι πρὸς ἄρκτοις μᾶλλόν τι ἢ ἄλλῃ χώρᾳ ξυνίσταται τοῦ οὐρανοῦ καὶ τοῦτο ἐπ' αὐτὸν φέρει, ἔνθα παχύς τε ὁ ἀὴρ [καὶ] μᾶλλον καὶ ξύστασις οὐ ῥᾳδία, φορηθῆναι πρὸς τὴν οὐ. Φέρονταί τε ἀτάκτως οἱ πολλοὶ τῶν κομητῶν, ἐπινεμόμενοι, ἐμοὶ δοκεῖν, τὴν ἄνω* [586]

---

1 *δίκην* (*κ* corr. in *ν*) P ‖ **4** *δὲ* FP: *δὴ* Meineke ‖ **5** lemma *δημοκρίτου* add. P | *(δ)ημοκρίτου* F, *δημόκριτ* P ‖ **10** lemma *ἀριανοῦ* P mrg habet, om. F; complures h. fr. locos tractavit Meineke philol. XIV p. 39 ‖ **11. 12** *μὲν ὡς* FP: *μέν πως* Meineke l. s. ‖ **12** *συμπεριφέρεσθαι* FP: *ξυμπεριφερόμενα* scripsi | *δή τινα* Usener ‖ **13** post *πλανώμενα* desiderat Meineke verbum quale est *κινεῖσθαι* ‖ **15** *ἑκάστῃ ἰδέα* FP: *ἑκάστῃ ἰδέᾳ* Canter, *ἕκαστα τῆς ἰδέας* Meineke coll. p. 230, 21 et 231, 4, *ἕκαστα τῇ ἰδέᾳ* Gaisford | *τῆς ἐπωνυμίας* del. Meineke | *λέγοντα* FP: *λαχόντα* Canter, *λεγόμενα* Gaisford et Meineke cum Vatic.; ceterum cf. p. 237, 6 ‖ **16** lacunam signavi ‖ **18** *πρόσκαιρά* FP, *πρόσκαιρός* P corr. et edit. | *ἐστιν ἡ φθ. αὐτῶν, ἐδήλωσεν* edit. | *φορὰ* Canter int. lat. ‖ **19. 20** *ἡ ἄλλη χώρα* F ‖ **20** *συνίσταται* FP ‖ **20. 21** *τοῦτο ἐπ' αὐτὸν φέρει* FP: *τούτῳ ἔτι αὐτῶν μέρει* Canter; similiter Posidonius schol. Arat. p. 152, 1 B., sed non expedio ‖ **21** *καὶ μᾶλλον καὶ* F, *μᾶλλον καὶ καὶ* P: correxi, *μᾶλλον καὶ ἡ* Heeren | *σύστασις* FP ‖ **22** post *ῥᾳδία* interpunxi | *τὴν οὐ φέρονται* FP: *γῆν· φέρονται* Heeren; an *γῆν εἴωθε. φέρονται*?

ἀναφερομένην τροφὴν καὶ ταύτῃ ἐφομαρτοῦντες. Ἡ δὲ ἀρχὴ αὐτῶν ἀστεροειδής ἐστι, καθότι ἐς σφαῖραν ξυνάγεσθαι πέφυκε πᾶν, ὅσον πυροειδές· ἡ δὲ κόμη αὐγοειδής, τῶν μὲν ὥσπερ ἄφετος ἀνειμένη, τῶν δὲ ἐπ᾽ εὐθὺ ἰοῦσα καὶ ἐς τὸ ἄνω μᾶλλόν τι ἀπὸ τοῦ ἀστέρος τεινομένη. Οἱ δὲ πίθοι ὀλιγάκις πεφήνασι, καθότι πλείονος δέονται ξυναγωγῆς πυρός. Ἤδη δὲ καὶ τῶν ἀπλανῶν ἔστιν οἳ ξὺν κόμῃ ἐφάνησαν, ἐπειδὰν περὶ αὐτοὺς ⟨ἡ τοῦ⟩ ἀέρος ἀναφορὰ πυκνωθεῖσα ξυναφὲς ἐργάσηται τῆς κόμης τὸ εἴδωλον, καθάπερ καὶ ἄλως ξυναφεῖς αὐτοῖς τοῖς ἄστροις φαίνονται. Ἤδη δὲ καὶ πλησίον ἡλίου ξυστάντες κομῆται οἳ μὲν ἔφθησαν ἀφανισθῆναι πρὶν τὴν γένεσιν αὐτῶν κατα-
p. 64 C. *στῆναι ἐμφανῆ· οἳ δὲ ἐκλείποντος ἡλίου ἐξεφάνησαν, οἳ δὲ καὶ ἐπικαταδύνοντες τῷ ἡλίῳ, πρόσθεν, οἷα δὴ εἰκός,*
[588] *ὑπὸ τῶν αὐγῶν καταλαμπόμενοι, τῷ μὴ ἐμφανεῖς καθίστασθαι. Ὥστε ἐκεῖνος ἂν κρατοίη ὁ λόγος ⟨ὁ⟩ ἀποφαίνων ἀέρος πιλήματα, ἀποθλιβόμενα καὶ ἐμπίπτοντα ἐς τὰ κατωτέρω καὶ τῷ ἀέρι ξυναφῆ τοῦ αἰθέρος, ἐξαφθέντα, ἔστ᾽ ἂν ὑπάρχῃ περὶ αὐτοὺς ἡ τροφή, ξυμμένειν τε καὶ ξυμπερινοστεῖν τῷ αἰθέρι“.*

Καὶ ταῦτα, ὅπως ἂν τύχῃ, ἀπὸ τῆς ἰδέας ἐπικλήζεσθαι ἕκαστον, κομήτας μέν, ἀφ᾽ ὧν ὥσπερ κόμη ἐς τὰ κύκλῳ ἀπολάμπει αὐγὴ πυρός· πωγωνίας δὲ ἀφ᾽ ὅτων ἐς πώ-

---

1 *ἐφομαρτοῦντες* P², *ἐφαμαρτοῦντες* FP¹ | *ἀρχὴ* FP: *μορφὴ* Wyttenbach; sed cf. Ar. meteor. I 7 p. 344ª 17 ‖ **2** *εἰς φέρον* FP: *εἰς σφαῖραν* Canter. int. lat. (*ἐς* Meineke) ‖ **3** *ὅσο* P ‖ **4** *ἀνειμένου* P | *ἀπευθὺς οὖσα* FP: *ἐπ᾽ εὐθὺ ἰοῦσα* Meineke recte cf. infra p. 236, 12. 17 ‖ **5** *τὸ ἀνώμαλόν τι* FP: *τὸ ἄνω μᾶλλόν τι* Canter | *ἀέρος* FP: *ἀστέρος* Meineke phil. ‖ **7** an *εἰσὶν*? ‖ **8** ante *περὶ* add. *ἡ* Meineke | *ἡ τοῦ* add. Usener ‖ **10** *ἄλλως* FP: *ἅλως* Canter ‖ **11** *ξυνστάντες* FP ‖ **13** *ἐμφανῆς* P¹ ‖ **14** *ἐπικαταδύναντες* P ‖ **15** *αὐτῶν καταλιμπανόμενοι* FP: *αὐγῶν καταλαμπόμενοι* Canter mrg | *τῷ μὴ ἐ. κ.* glossema iudicat Usener, nisi *τὸ μὴ* sit corrigendum ‖ **16** *ἀποφαίνειν* FP: ⟨*ὁ*⟩ *ἀποφαίνων* Usener ‖ **17** *ἐκπίπτοντα* Usener | *εἰς* FP ‖ **18** *ξυναφῆ, τοῦ αἰθέρος ἐξ.* edit. ‖ **19** *ὑπάρχοι* FP: corr. Meineke ‖ **21** *ἐπικλήζεσθαι* FP: corr. Meineke ‖ **22** *κόμης* FP: corr. Heeren | *εἰς* FP ‖ **23** *αὐτῆς ἢ πυρός* FP: *αὐγὴ πυρός* Iacobs ep. crit. p. 234 (*αὐγὴ ἢ πυρός* Heeren); *αὔγησις πυρὸς* Meineke | *ἀφότω* F, *ἀφότ᾽* P: *ἀφ᾽ ὅτων* Meineke | *εἰς* FP

γωνος σχῆμα ἀπήρτηται αὐγὴ ἐς τὸ ἐπιθάτερα· πίθους δὲ ὅσα μεγάλα, κυκλοτερῆ καί τι καὶ βάθους ἔν σφισιν ἐξέφηνε· δοκοὺς δὲ αὖ καὶ λαμπάδας καθ' ὁμοιότητα τοῦ εἴδους ⟨ἐφ' ὅ⟩τῳ ἐπιφημίζονται.

„Φαίνεται δὲ τούτων ἕκαστον καὶ ἑσπέριον καὶ ἑῷον, τὰ δὲ καὶ ἀμφιφανῆ φαίνεται. Ἀμφιφανῆ δὲ κλήζουσιν, ὅσα περὶ πρῶτα τῆς νυκτὸς φανέντα πρὸς δύσει, ἔπειτα ἐν τῇ αὐτῇ νυκτί, πρὶν ἡμέραν ἐπιλαβεῖν, ἔφθη ἀνασχόντα".

CAPVT XXIX (XXX Heeren.) [590]

ΠΕΡΙ ΒΡΟΝΤΩΝ ΑΣΤΡΑΠΩΝ ΚΕΡΑΥΝΩΝ ΠΡΗΣΤΗΡΩΝ ΤΥΦΩΝΩΝ.

1 ⟨Aetii (III 3, 1—11. 13. 14. 15. 12 p. 367, 22 Diels.).⟩

Ἀναξίμανδρος ἐκ τοῦ πνεύματος ταῦτ' εἶπε συμβαίνειν· ὅταν γὰρ περιληφθὲν νέφει παχεῖ βιασάμενον ἐκπέσῃ τῇ λεπτομερείᾳ καὶ κουφότητι, τόθ' ἡ μὲν ῥῆξις τὸν ψόφον, ἡ δὲ διαστολὴ παρὰ τὴν μελανείαν τοῦ νέφους τὸν διαυγασμὸν ἀποτελεῖ.

Ἀναξιμένης ταὐτὰ τούτῳ παρατιθεὶς τὸ ἐπὶ τῆς θαλάσσης, ἥτις σχιζομένη ταῖς κώπαις παραστίλβει.

Μητρόδωρος, ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσῃ πνεῦμα, τῇ μὲν συνθραύσει τὸν κτύπον ἀποτελεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει, τῇ δ' ὀξύτητι τῆς φορᾶς, προσλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερ- [592]

---

1 αὐτῆς FP: αὐγὴ Heeren ‖ 2 num μεγάλα ⟨καὶ⟩ κυκλοτερῆ? | τοι P | βάθου FP: βάθους cod. Aug. ‖ 3 ante ἐξέφηνε add. Meineke ἔχοντα ‖ 4 lac. 5 litt. τῳ F, τῷ P: ⟨ἐφ' ὅ⟩τῳ Usener, ⟨ὅ⟩τῳ Heeren | ἐπιφημίζεται FP: ἐπιφημίζονται Meineke (vel ἕκαστον ἐπιφημίζεται) ‖ 10. 11 titulus iteratur in ind. flor. Laur. *B* 16 ‖ 10 ante ἀστραπῶν add. καὶ P ‖ 11 ante τυφώνων add. καὶ cum Cantero vulg. ‖ 13 ἀναξιμάνδρου add. P mrg | ταῦτ' εἶπε FP: ταυτὶ πάντα Diels e Plut. plac. III 3 dubitanter ‖ 13. 14 συμβαίνειν Plut., συμβαίνει FP ‖ 15 λεπτομερίᾳ P | τότ' FP ‖ 16 μελανίαν P ‖ 18 lemma ἀναξιμένους add. P mrg | ταῦτα τοῦτο FP: corr. Heeren | προστιθεὶς FP: corr. Usener coll. p. 232, 9 ‖ 22 σεισμῷ FP: σχισμῷ Heeren ex Plut.

μότητα, κεραυνοβολεῖ· τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιίστησιν.

Ἀναξαγόρας, ὅταν ⟨τὸ⟩ θερμὸν εἰς τὸ ψυχρὸν ἐμπέσῃ, (τοῦτο δ' ἐστὶν αἰθέριον μέρος εἰς ἀερώδες,) τῷ μὲν ψόφῳ βροντὴν ἀποτελεῖ, τῷ δὲ παρὰ τὴν μελανείαν τοῦ νέφους χρώματι τὴν ἀστραπήν· τῷ δὲ πλήθει καὶ μεγέθει τοῦ φωτὸς τὸν κεραυνόν· τῷ δὲ πολυσωματωτέρῳ πυρὶ τὸν τυφῶνα· τῷ δὲ νεφελομιγεῖ τὸν πρηστῆρα.

Ἀρχέλαος ταὐτὸ λέγει παρατιθεὶς τὸ τῶν διαπύρων λίθων καθιεμένων εἰς ψυχρὸν ὕδωρ πάθος.

Ξενοφάνης ἀστραπὰς γίνεσθαι λαμπρυνομένων τῶν νεφῶν κατὰ τὴν κίνησιν.

Ἐμπεδοκλῆς ἔμπτωσιν φωτὸς εἰς νέφος ἐξειργοντος τὸν ἀνθεστῶτα ἀέρα, οὗ τὴν μὲν σβέσιν καὶ τὴν θραῦσιν κτύπον ἀπεργάζεσθαι, τὴν δὲ λάμψιν ἀστραπήν· κεραυνὸν δὲ τὸν τῆς ἀστραπῆς τόνον.

[594] Διογένης ἔμπτωσιν πυρὸς εἰς νέφος ὑγρόν, βροντὴν μὲν τῇ σβέσει ποιοῦν, τῇ δὲ λαμπηδόνι τὴν ἀστραπήν. συναιτιᾶται δὲ καὶ τὸ πνεῦμα.

Ἡράκλειτος βροντὴν μὲν κατὰ συστροφὰς ἀνέμων καὶ νεφῶν καὶ ἐμπτώσεις πνευμάτων εἰς τὰ νέφη, ἀστραπὰς δὲ κατὰ τὰς τῶν ἀναθυμιωμένων ἐξάψεις, πρηστῆρας δὲ κατὰ νεφῶν ἐμπρήσεις καὶ σβέσεις.

Λεύκιππος πυρὸς ἐναποληφθέντος νέφεσι παχυτάτοις ἔκπτωσιν ἰσχυρὰν βροντὴν ἀποτελεῖν ἀποφαίνεται.

Δημόκριτος βροντὴν μὲν ἐκ συγκρίματος ἀνωμάλου, τὸ περιειληφὸς αὐτὸ νέφος πρὸς τὴν κάτω φορὰν ἐκβιαζομένου· ἀστραπὴν δὲ σύγκρουσιν νεφῶν, ὑφ' ἧς τὰ

---

2 περίστησιν P ‖ **3** lemma ἀναξαγόρου add. P | τὸ ante θερμὸν ex Plut. add. Meineke ‖ **5** ἀποτελεῖν Usener ‖ **7. 8** πολυσωμάτῳ F ‖ **9** ἀρχελάου add. P mrg | τοῦτο FP: ταὐτὸ Meineke (ταὐτὸ τούτῳ Heeren) ‖ **11** ξενοφάνους et **13** ἐμπεδοκλέους add. P mrg ‖ **17** διογένους add. P mrg | ἐμπύρωσιν FP: ἔμπτωσιν Canter ‖ **20** ἡρακλείτου add. P mrg ‖ **22** θυμιωμένων FP: ἀναθυμιωμένων Schuster acta soc. Ritschel. II p. 125 n. 1 ‖ **24** λευκίππου add. P mrg | ἐναπολειφθέντος FP: corr. Canter ‖ **26** δημοκρίτ add. P ‖ **28** σύγκρασιν FP: σύγκρουσιν Diels coll. Laert. X 101, σύγκρισιν Schneider Saxo ad Epic. p. 117

γεννητικὰ τοῦ πυρὸς διὰ τῶν πολυκένων ἀραιωμάτων ταῖς παρατρίψεσιν εἰς τὸ αὐτὸ συναλιζόμενα διηθεῖται· κεραυ- p. 65 C.
νὸν δὲ ὅταν ἐκ καθαρωτέρων καὶ λεπτοτέρων, ὁμαλωτέρων τε καὶ πυκναρμόνων, καθάπερ αὐτὸς γράφει, γεννητικῶν τοῦ πυρὸς ἡ φορὰ βιάσηται· πρηστῆρα δ', ὅταν πολυκενώτερα συγκρίματα πυρὸς ἐν πολυκένοις κατασχεθέντα χώραις καὶ περιοχαῖς ὑμένων ἰδίων σωματοποιούμενα τῷ πολυμιγεῖ τὴν ἐπὶ τὸ βάρος ὁρμὴν λάβῃ.

Χρύσιππος ἀστραπὴν ἔξαψιν νεφῶν ἐκτριβομένων [596]
ἢ ῥηγνυμένων ὑπὸ πνεύματος, βροντὴν δ' εἶναι τὸν τούτων ψόφον· ἅμα δὲ γίνεσθαι ἐν τῷ ἀέρι βροντήν τε καὶ ἀστραπήν, πρότερον δὲ τῆς ἀστραπῆς ἀντιλαμβάνεσθαι ἡμᾶς διὰ τὸ τῆς ἀκοῆς ὀξυτέραν εἶναι τὴν ὅρασιν· ὅταν δ' ἡ τοῦ πνεύματος φορὰ σφοδροτέρα γένηται καὶ πυρώδης, κεραυνὸν ἀποτελεῖσθαι, ὅταν δὲ ἄθρουν ἐκπέσῃ τὸ πνεῦμα καὶ ἧττον πεπυρωμένον, πρηστῆρα γίγνεσθαι, ὅταν δ' ἔτι ἧττον ἢ πεπυρωμένον τὸ πνεῦμα, τυφῶνα.

Ἀριστοτέλης ἐξ ἀναθυμιάσεως καὶ τὰ τοιαῦτα γίνεσθαι τῆς ξηρᾶς. Ὅταν οὖν ἐντύχῃ μὲν τῇ ὑγρᾷ, παραβιάζηται δὲ τὴν ἔξοδον, τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει τὸν ψόφον, τῇ δ' ἐξάψει τῆς ξηρότητος τὴν ἀστραπὴν [598]
παρίστησι.

Στράτων θερμοῦ ψυχρῷ παρείξαντος, ὅταν ἐκβιασθὲν τύχῃ, τὰ τοιαῦτα γίνεσθαι, βροντὴν μὲν ἀπορρήξει, φάει δ' ἀστραπήν, τάχει δὲ κεραυνόν, πρηστῆρας δὲ καὶ τυφῶνας τῷ πλεονασμῷ τῷ τῆς ὕλης, ἣν ἑκάτερος αὐτῶν ἐφέλκεται, θερμοτέραν μὲν ὁ πρηστήρ, παχυτέραν δὲ ὁ τυφών.

---

2 παρατρέψεσιν P | συναυλιζόμενα FP: corr. Meineke ‖ **3** λεπτοπόρων Usener ‖ **5** βιώσηται FP: corr. Gaisford (βιάζηται Diels) ‖ **8** βάρος FP recte ('quo pondus vergit'): βάθος Diels | ῥοπὴν Usener ‖ **9** lemma χρυσίππου add. P ‖ **9. 10** haec est Zenonis definitio cf. Laert. VII 153 ‖ **12** ταῖς ἀστραπαῖς P ‖ **17** δέ τι FP: δ' ἔτι Ideler ad Arist. meteor. III 1, 9, vol. II p. 259 | ἧττον πνεῦμα καὶ ἧττον πεπυρωμένον τυφῶνα P | ἢ F: ἤ Ideler ‖ **18** ἀριστοτλ add. P mrg ‖ **19** οὖν ἐντύχῃ F, τύχῃ P ‖ **19. 20** παραβιβάζηται FP: corr. Heeren ex Plut. ‖ **21** τῇ δ' ἐμφάσει FP: corr. Heeren ex Plut. ‖ **23** στράτωνος add. P mrg ‖ **24** φαύσει Usener ‖ **27** παχυτέραν Vat. (?) et Plut., ταχυτέραν FP | ὁ ante τυφὼν om. F

Οἱ Στωικοὶ βροντὴν μὲν προσκρουσμὸν νεφῶν, ἀστραπὴν δὲ ἔξαψιν ἐκ παρατρίψεως, κεραυνὸν δὲ σφοδροτέραν ἔκλαμψιν, πρηστῆρα δὲ νωθεστέραν.

⟨Arii Didymi epit. (fr. phys. 12 p. 452 Diels.)⟩

Ἀριστοτέλους. Ἀριστοτέλης τυφῶνας μέν, ὅταν ἐκνεφίας δινούμενος καταφέρηται. Τὸ γὰρ πνεῦμα κωλυόμενον μὲν εἰς ὀρθὸν ἰέναι παρ' ἀντίπνοιαν ἢ ψῦχος ἢ πάχος ἤ τινα ἄλλην αἰτίαν, ἐλαυνόμενον δ' ὑπὸ τοῦ κατόπιν ἐπεισιόντος, ἀναστρέφειν εἰλούμενον ἐν τῷ νέφει κύκλῳ καὶ συγκατάγειν ἐπὶ γῆν ἑαυτῷ τὸ νέφος· εἶθ' ὅτῳ ἂν ἐντύχῃ φερόμενον, σφοδρῶς ἀναρπάζειν καὶ πάλιν
[630] *ἀπορρίπτειν, τοῦτο γὰρ εἶναι τὸ πάθος οἷον ἐκνεφίαν ἄπεπτον. Πρηστῆρας δ', ὅταν βιαίως κατιὸν ἐκπυρωθῇ τὸ πνεῦμα κατὰ τὴν φοράν, συνεμπίπρασθαι γὰρ τὸν ἀέρα ⟨τῇ⟩ πυρώσει χρωματιζόμενον, διὸ καὶ νυκτὸς ἐκλάμπειν· ἀναρπάζειν δὲ καὶ περιτρέπειν ὁμοίως καὶ τούτους, ὥσπερ πυρώδεις ὄντας τυφῶνας. Κεραυνὸν δ', ὅταν πολὺ καὶ λεπτὸν περιληφθὲν ἐν τοῖς νέφεσι πνεῦμα πυρωθὲν ἐκθλιφθῇ καὶ μετ' ἰσχυρᾶς ἐπὶ γῆν κατασκήψῃ φορᾶς, ἐὰν μὲν ᾖ πάνυ λεπτὸν καὶ διὰ τοῦτ' οὐκ ἐπικαῖον, ἀργῆτα λέγεσθαι κατὰ τοὺς ποιητάς· ἐὰν δ' ἧττον, ἐπικαῖον, ψολόεντα. Τὸν μὲν γὰρ διὰ τὴν λεπτότητα καὶ πρὶν ἐκπυρῶσαι φερόμενον οἴχεσθαι διὰ τάχους, ὡς μηδ' ἐπιμελᾶναί τι τῶν ὑποκειμένων· τὸν δὲ οἷον καὶ βραδύτερον, ἐπιχρῶσαι μὲν ὥσπερ ἀπ' αἰθάλου, παρενεχθῆναι δὲ μηδὲν*

---

1 *στωικῶν* add. P mrg ‖ **3** *πρηστῆρας* P | *νωχελεστέραν* Plut. ‖ **5** *ἀριστοτέλους* mrg et *ἀριστοτέλης* in textu P, *ἀριστοτέλης* F | *τυφῶνα* Heeren | *μὲν* F, *δ'* P ‖ **6** *ἐκνεφείας* FP | *κάτω φέρηται* Heeren ex Arist. meteor. III 1 p. 370^{b} 33 ‖ **9** *ἐπισείοντος* P | *ἀναστρέφει* FP: corr. Diels ‖ **10** *συνκατάγει* FP: corr. Diels ‖ **12** *ἐκνεφίαν* F, *ἐκνεφείας* P ‖ **14** *γὰρ* om. P ‖ **15** *τῇ* add. Usener coll. Ar. l. s. p. 371^{a} 17 ‖ **16** *τε καὶ* FP: *δὲ καὶ* Diels ‖ **18** *περιλειφθὲν* P ‖ **18. 19** *ἐκληφθῇ* F, *ἐκλειφθῇ* P: *ἐκθλιφθῇ* Heeren coll. Ar. l. s. p. 371^{a} 18 (ubi *ἐκθλιβῇ*) ‖ **20** *διὰ τούτου καὶ* F, *διὰ τούτου* P: *διὰ τοῦτ' οὐκ* cum Heereno Diels coll. Ar. l. s. ‖ **22** *τὸ* FP: *τὸν* Usener ‖ **24** *δέ οἱ κατὰ βαρύτερον* FP: *δὲ οἷον καὶ βραδύτερον* Heeren coll. Ar. p. 371^{a} 23 ‖ **25** *ὥστ'* FP: *ὥσπερ* Diels | *ἀπ'* FP: *ἐπ'* Canter

ἀφανίσαντα. Διὸ καὶ τὰ μὲν ἀντιτυπήσαντα φλέγεσθαι, [602]
τὰ δ' εἰς τὰς ἑαυτῶν ἀραιότητας ὑποδεξάμενα μηδὲν πάσχειν. Ἤδη γοῦν ἀσπίδος πληγείσης τακῆναι μὲν τὸ χάλκωμα, τὸ δὲ ξύλον μηδὲν παθεῖν, φθάσαντος τοῦ πνεύματος διὰ τὴν τῆς ὕλης μανότητα πρὸ τῆς καύσεως διεκδραμεῖν· καὶ δι' ἱματίων ὁμοίως διελθὸν οὐ κατέκαυσεν, ἀλλ' οἷον τρῦχος ἐποίησε. Περὶ μὲν οὖν τούτων διετάττετο οὕτως.

2 Ἀρριανοῦ.

Ὅσοι δὲ ξηροὶ ἀτμοί, ῥυέντες μὲν εὐθὺς ἀνέμους εἰργάσαντο, ἐν νέφει δὲ ἀποληφθέντες, ἔπειτα ῥηγνύντες βίᾳ τὸ νέφος βροντάς τε καὶ ἀστραπὰς ἐξέφηναν· ἐκ- p. 66 C.
πίπτοντες δ' ἐπὶ μέγα, διάπυροι μὲν κεραυνοί· ἀθρόοι δὲ καὶ ἡμίπυροι πρηστῆρες· ὅσοι δὲ ἔρημοι πυρὸς τυφῶνες· οἱ δὲ ἔτι ἀνειμένοι ἐκνεφίαι· κατασκήψαντες δὲ ἐς γῆν ξύμπαντα ταῦτα σκηπτοὶ κλήζονται. Οὐ δι' ἴσου δὲ αἱ κοιλότητες τῶν νεφῶν καὶ ⟨αἱ⟩ ῥήξεις αἱ ἐπ' αὐταῖς βροντὰς ἔχουσιν.

Ἀστραπὴ δὲ ὑπὸ τῇ ῥήξει ἐκτρίβεται καὶ ἐξάπτει [604]
τὸ πνεῦμα, ὡς ἐκλάμψαι ἐπὶ μέγα. Καὶ γίγνεται μὲν ἀστραπὴ μετὰ βροντήν, ὀξυτέρα δὲ τοσόνδε, ὅσον ὄψις ἀκοῆς ὀξύτερον· καθότι ἀκοὴ μὲν πελαζούσης τῆς φωνῆς αἰσθάνεται, ὄψις δὲ ἐπὶ τὸ ὁρώμενον αὐτὸ ἐκπέμπεται.

Κεραυνὸς δὲ ὅτι πνεῦμά ἐστιν, ἀπὸ τῶνδε τεκμηριῶσαι παρέχει· ῥήγνυσί τε ἔστιν ἃ τῶν ἐντυχόντων,

---

2 τὰς δ' FP: corr. Canter ‖ **4. 5** τοῦ πνεύματος om. P ‖ **7** τίχος P ‖ **9** complures h. fr. locos accuratius tractavit Meineke philol. XIV p. 35—37 ‖ **10** ὅσοι P in corr., αοι F (om. litt. init. pro rubr.) ‖ **11** ἐν δὲ νέφει Heeren | ἀπολειφθέντες FP: corr. Meineke cum Cantero int. lat. ‖ **12. 13** ἐμπίπτοντες FP: corr. Heeren ‖ **14** ἡμίπυρροι F ‖ **15** ἔτι ἀνειμένοι corruptum; fort. ἔτι ἀνειλούμενοι coll. p. 238, 11. 15 ‖ **15. 16** an κατασκήψαντα? ‖ **16** εἰς FP | σκηπτὸν FP: corr. Canter | κλήζονται FP: corr. Meineke | οὐδὲ FP: οὐ δι' Usener, οὐδὲν Meineke ‖ **17** ἴσου F, ἴσον P | αἱ (ante ῥήξεις) add. Usener | αἱ (ante ἐπ') FP: καὶ αἱ Heeren tamquam ex Vat., καὶ Canter ‖ **18** βρονταὶ Heeren ‖ **19** τῇ om. P | ῥίξει F ‖ **22** ὀξυτέρα Heeren | καὶ ὅτι FP: καθότι Meineke ‖ **23** post ἐκπέμπεται clausula in FP ‖ **24** καθότι FP: ὅτι Usener ‖ **25** ἔστινα FP: ἔστιν ἃ Meineke

καὶ * * περιδινηθῆναι οἷά τε καὶ διικνεῖται, ⟨δι'⟩ ὧν οὐκ ἄν τι ἄλλο, ὅ τι μὴ πνεῦμα, διέλθοι. Ὡς δὲ ἔμπυρον πνεῦμά ἐστι, δηλοῖ μὲν τοῦτό γε καὶ ἡ ὄψις ὅτῳ ἐγγὺς κατέσκηψε, πῦρ γὰρ φαίνεται. Ἤδη δὲ καὶ ἀφ' ὧν ἐργάζεται ἐδήλωσε· περιφλέγει γὰρ ἔστιν ἃ τῶν πελασάντων, τὰ δὲ καὶ ἐξάπτει πάντῃ καὶ ἀπολείπεται ἀπ' αὐτοῦ ἴχνη, οἷα δὴ ἐπὶ πυρὶ ἐκκαύσαντι ἐσβεσμένῳ.

Ἐκνεφίας δὲ ἄνεμος, ἐπὰν δινούμενος ἐκπέσῃ, νέφους ῥαγέντος, τυφὼν κλῄζεται. Γίγνεται δὲ ἡ δίνη ὧδε· ἐπειδὰν κώλυμα ἐν τῷ νέφει ἐγχριμφθῇ τὸ μὴ οὐκ ἐπ' εὐθὺ ἐκπεσεῖν τὴν πνοήν, ἀναστρέφεταί τε καὶ ἀνειλεῖται
[606] ἐς αὑτήν. Εἴργεται δὲ ὑπὸ πάχους νεφέλης ἐπ' εὐθὺ ἐκπεσεῖν ἢ κρύους ἀποστρέψαντος ἢ ἀντιπεσούσης ἄλλης πνοῆς. Οὕτω τοι καὶ πρὸς ἄλλοτε ἀλλοῖαι θύελλαι ἀναστρέφονταί τε καὶ ἀνειλούμεναι αὖθις ἄνω ἀναφέρονται, ἐπειδὰν δὴ ἐγχρίμψας τόπος τις γῆς ἀνακόψῃ τῆς πνοῆς τὴν ἐπ' εὐθὺ ὁρμήν. Καὶ δῖναι ἐν τοῖς ποταμοῖς ὕδατος ταὐτὸ τοῦτό εἰσι· φερόμενον γὰρ εὐθείᾳ τὸ ὕδωρ οὔποτ' ἂν δινηθείη· ἀντιπεσόντος δὲ ἄλλοτε ἄλλου πρὸς τὴν φορὰν ἀναστρέφει ἡ ῥοή, ἀναστραφεῖσα δὲ ἐς κύκλον ἐπικάμπτει ὑπὸ τῇ ῥύμῃ, ὅτι μὴ οἷά τε ἐπ' εὐθὺ ἐς τὸ ἔμπαλιν ἐκφέρεσθαι. Οἱ δὲ τυφῶνες καὶ τῆς

---

1 lacunam signavit Usener, qua haustum fuerit *περιδινεῖ τὰ* | *οἷά τε* FP: *ποιεῖ* Meineke | *διοικνεῖται* FP: corr. Meineke | *ὅθεν* FP: *δι' ὧν* Usener; num *ὅπῃ*? ‖ **4. 5** *ἐδήλωσε. περιφλέγει* FP: *ἐδήλωσεν. ἐπιφλέγει* Meineke ‖ **5** *ἔστινα* FP: *ἔστιν ἃ* Meineke ‖ **7** *ὑπὸ* Usener | *ἐσβεσμένον* FP: corr. cod. Aug. ‖ **10** *κάλυμα* F, *κάλυμμα* P: *κώλυμα* Meineke philol. XIV p. 36, *κοίλωμα* Heeren | *ἐγχριφθῇ* FP: corr. Meineke, *ἐκτριφθῇ* Heeren | *τῷ μὴ* FP: corr. cod. Aug. ‖ **12** *αὐτὴν* FP: corr. Heeren | *δὲ* om. P ‖ **14** *οὕτω τη* P | *πρὸς* FP: *προφανῶς* Usener | *ἄλλοι αἱ* F, *ἄλλη αἱ* P: *ἀλλοῖαι* Usener, *ἄλλου αἱ* Meineke ‖ **16** *ἐπειδὰν δὲ* FP: *ἐπειδὰν δὴ* scripsi, *ἐπειδάν γε* Heeren | *ἐγρίψας* FP: corr. Meineke (*ἐκρίψας* Heeren) | *τόπος τῆς* FP: *τόπος τις* Heeren; *ὁ τόνος τῆς* Meineke philol. XIV p. 37 ‖ **17** ⟨*αἱ*⟩ *δῖναι* Heeren | ⟨*τοῦ*⟩ *ἐν* Meineke ‖ **18** *ὕδατος* del. Heeren | *ταὐτὸ εἰσι* FP: *ποιοῦσι* Meineke ‖ **19** *δινηθείη* F ‖ **20** *ἀναστρέφεται* Meineke ‖ **21** *ἐπὶ τῇ ῥύμῃ* FP: corr. Usener coll. p. 237, 11; 238, 8; *ἐπὶ τὴν ῥύμην* Meineke ‖ **22** *ἔκπαλιν* FP: corr. cod. Vat. Aug.

νεφέλης τὸ πολὺ ἐς τὸ κάτω σὺν ἕλικι ἐπάγουσιν ἅμα σφίσι· καὶ προσπεσόντες τῇ γῇ ἀναρπάζουσιν ὅτῳ ἂν ἐντύχωσιν, ἀντικοπτομένης τῆς ῥύμης, ὡς ξὺν τῇ αὐτῇ ἕλικι ἀναστρέφεσθαι· ὥστε καὶ ναῦς ἤδη ἅμα τῷ φόρτῳ ἐμπεσόντες ἐξῆραν ἐπὶ μέγα ἔξω τῆς θαλάσσης.

Κεραυνῶν δὲ πολλαὶ ἰδέαι τε καὶ ὀνόματά εἰσιν. Οἱ μὲν αὐτῶν ψολόεντες, οἱ δὲ ἀργῆτες κληΐζονται, σκηπτοί τε ὅσοι κατασκήπτουσι, καὶ αἰγίδες ὅσοι ἐν συστροφῇ ἀέρος καταφέρονται, ἕλικες δὲ ὅσοι ἐς ἑλικοειδῆ γραμμὴν διάττουσι. Καὶ δὴ ὅσοι μὲν μὴ πάντῃ ὀξέως ἐκπεσόντες ὕλῃ ἐνέτυχον καυσίμῳ, ἔκαυσάν τε αὐτὴν ὑπὸ τῇ διατριβῇ καὶ αὐτοὶ κατεσβέσθησαν τῷ ἔργῳ· ὅσοι δὲ ξὺν πολλῷ τῷ τάχει κατέσκηψαν, οὗτοι πρὶν ἐκκαῦσαι διῆξαν ὥστε ἡμίπυρα ἔστιν ἃ ὑπολελεῖφθαι ἀπ' αὐτῶν· οἱ δὲ καὶ αἰθαλώσαντες μόνον διῆλθον. Οἱ δὲ ἔτι καὶ τῶνδε ὀξύτεροι οὐδὲ ἓν ἐξεργάσασθαι ἔφθασαν, ἀλλὰ ἀραιᾷ μὲν ὕλῃ εἰ καὶ πάνυ καυσίμῳ ἐντυχόντες διεχώρησαν μόνον· ἀντιτύπῳ δὲ εἰ πελάσειαν ἐνσχεθέντες κατειργάσαντό τε αὐτὴν καὶ διέφθειραν· ὥστε κυτίδος μὲν ξύλου μαλθακοῦ ἁψάμενοι διῆξαν, ἀπαθῆ ἀπολιπόντες· τὸ δὲ χρυσίον ἔτηξαν τὸ ἐνόν, ὅτι ἐσχέθησαν ἐν τῷ χρυσίῳ. Καὶ χιτῶνα ἤδη οὐκ ἔκαυσαν, ἀλλὰ ἐτρύχωσαν μόνον· καὶ διὰ μὲν κεράμου διῆλθον, τὸ δὲ ἐνὸν ἐν αὐτῷ διεφόρησαν. Τούτων ξυμπάντων οἱ μὲν λαμπροὶ ἀργῆτες· ὅσοι δὲ καταιθαλώσαντες τὰ πελάσαντά σφισιν ἐπαύσαντο, οὗτοι δὴ [608] p. 67 C.

---

1 ἀπάγουσιν Meineke ‖ **2** ἀναρπάζουσιν – ἐντύχωσιν (3) post ἀναστρέφεσθαι (4) transposuit Heeren ‖ **5** ἐκπεσόντες FP: corr. Heeren ‖ **7** post μὲν add. γὰρ Meineke ‖ **9** πυρὸς FP: ἀέρος Meineke; num πυρ[ώδους ἀέρ]ος coll. Laert. VII 154? ‖ **10** μὲν καὶ FP: μὲν μὴ scripsi ‖ **12** καὶ αὐτοὶ FP: κἂν αὐτῷ Meineke, καὶ αὐτῷ Heeren | κατεσχέθησαν FP: κατεσβέσθησαν scripsi ‖ **14** ὑπειλῆφθαι FP corr., ὑπολῆφθαι P: ὑπολελεῖφθαι Meineke | ἀπ' αὐτῶν om. P ‖ **15** ἔτι om. P | τῶνδε F, τῶν P ‖ **16** ἐξειργάσασθαι F | ἔφθησαν F | ἀραιὰ P ‖ **17** καυσίμων FP: corr. Canter | διεχώρισαν P ‖ **18** πελάσειεν FP: corr. Meineke | ἐνεχθέντες FP: corr. Meineke ‖ **24** ὅσοι τε FP: ὅσοι δὲ Heeren ‖ **25** δὲ FP: δὴ scripsi

ψολόεντες ἐπὶ τῷ ἔργῳ ἐκλήθησαν. Καὶ οἱ μὲν εὐθείᾳ κατασκήψαντες εἰς τὸ ἔμπαλιν τῇ αὐτῇ εὐθείᾳ ἀνῆξαν· οἱ δὲ ἐκ πλαγίου ἐμπεσόντες πρὸς ἴσην γωνίαν ἄνω ἀναφέρονται· καὶ οἱ μὲν ἁπλοῖ, οἱ δὲ διπλοῖ κατέσκηψαν.
[610] *πλεῖστοι δὲ ἧρος καὶ μετοπώρου καὶ ἅμα βιαιότεροι περί τε πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν, ὅτι ἐν κινήσει καὶ παθήμασι πολυειδέσιν ὁ ἀὴρ τῇδε τῇ ὥρᾳ ἐστίν, οἷα δὴ οὔτε ὑπὸ κρύει πεπηγὼς οὔτε ὑπὸ τῷ θερινῷ ἡλίῳ ἐκκεκαθαρμένος. Τοιγάρτοι καὶ ἐν χώραις ὅσαι νιφετώδεις καὶ ψυχραὶ καὶ ὅσαι αὖ κεκαυμέναι ὑπὸ ἡλίῳ ⟨εἰ⟩ κατασκήπτουσιν, οἱ κατασκήψαντες ἐν θαύμασιν ἀναφέρονται, καθάπερ ἐν Κελτοῖς καὶ παρ' Αἰγυπτίοις.*

3 *Μίλωνος Φυσικῶν.*

Ἀστραπαί εἰσι διτταί, ἡ μὲν ἡμερινή, ἡ δὲ νυκτερινή. Γίγνεται δὲ ἡ μὲν ἡμερινὴ ὑπὸ τοῦ ἡλίου, ὅταν ῥαγῇ τὸ ὕδωρ ὑποφαινομένου αὐτοῦ· λαμπρὰ δὲ οὐ φαίνεται, ὥσπερ ἡ νυκτερινή, ὅτι ἐν φάει γίγνεται· ἡ δὲ νυκτερινὴ ὑπὸ τῶν ἄστρων γίγνεται, ὅταν ῥαγῇ τὸ ὕδωρ ὑποφαινομένων αὐτῶν· λαμπρὰ δὲ φαίνεται, ὅτι ἐν ζόφῳ γίγνεται.

[612] ## CAPVT XXX (XXXI Heeren.).

ΠΕΡΙ ΙΡΙΔΟΣ ΠΕΡΙ ΑΛΩ ΚΑΙ ΠΑΡΗΛΙΟΥ ΚΑΙ ΡΑΒΔΩΝ.

1 ⟨Aetii (III 5, 1—10 p. 371, 28 Diels.).⟩

Τῶν μεταρσίων παθῶν τὰ μὲν καθ' ὑπόστασιν γίνε-

---

1 *εὐθεῖαι* F ‖ **3** *ἶσον* FP: *ἴσην* Meineke ‖ **4** post *κατέσκηψαν* lacunam signavit Meineke ita supplendam: *κατασκήπτουσι δὲ πολλοὶ μὲν θέρους καὶ χειμῶνος* ‖ **8. 9** *ἐκκεθαρμένος* F ‖ **9** *ὅσαι* FP², *οὖσαι* P¹ ‖ **10** *ὅσαι ἂν* FP: *ὅσαι αὖ* Meineke | *ἡλίου* FP: corr. Meineke philol. XIV p. 38 | *εἰ* add. Usener, *οὐ* Heeren ‖ **11** ante *ἐν* add. *δὲ* Heeren | *θαύματι* FP: corr. Meineke ‖ **13** *μίλωνος* P et pinacographus ap. Photium p. 114ᵇ 10, *ἴλωνος* F (litt. init. pro rubr. rel.): *Φίλωνος* Gaisford cum Vatic. Aug. ‖ **15** an *ἐπὸ τῷ ἡλίῳ*? ‖ **16** *ὡς φαίνεται* FP: *οὐ φαίνεται* Heeren ‖ **18** an *ὑπὸ τοῖς ἄστροις*? ‖ **18. 19** *ὑπερφαινομένων* FP: *ὑποφαινομένων* scripsi coll. supra v. 16 (nisi praestat ibi quoque *ὑπερφαινομένων* mutare) ‖ **21** iteratur titulus in ind. flor. Laur. litt. *I* n. 7 ‖ **23.** p. **239**, **1** *οἷον γίνεται* FP: *γίνεται οἷον* Heeren ex Plut. III 5

ται, οἷον ὄμβρος, χάλαζα, τὰ δὲ κατ' ἔμφασιν, ἰδίαν οὐκ ἔχοντα ὑπόστασιν· αὐτίκα γοῦν πλεόντων ἡμῶν ἡ ἤπειρος κινεῖσθαι δοκεῖ. Ἔστιν οὖν κατ' ἔμφασιν ἡ ἶρις.

Πλάτων φησὶ (Theaetet. p. 155 D) *Θαύμαντος αὐτὴν γεναλογῆσαι τοὺς ἀνθρώπους διὰ τὸ θαυμάσαι ταύτην. Ὅμηρος* (*P* 547)·

Ἠύτε πορφυρέην νεφέλην ἀνητοῖσι τανύσσει.
Καὶ ἐμυθεύσαντό τινες αὐτὴν ταύρου κεφαλὴν ἔχουσαν ἀναρροφεῖν τοὺς ποταμούς.

Πῶς οὖν γίγνεται; Ὁρῶμεν δὴ κατὰ γραμμάς, ἢ κατ' [614]
εὐθείας ἢ κατὰ καμπύλας ἢ κατὰ ἀνακλωμένας, γραμμὰς δὴ λόγῳ θεωρητὰς καὶ ἀσωμάτους.

Κατὰ μὲν οὖν εὐθείας ὁρῶμεν τὰ ἐν ἀέρι καὶ τὰ διὰ τῶν λίθων τῶν διαυγῶν καὶ κεράτων, λεπτομερῆ γὰρ ταῦτα πάντα. ⟨Κατὰ⟩ καμπύλας δὲ γραμμὰς καθ' ὕδατος βλέπομεν· κάμπτεται γὰρ ἡ ὄψις βίᾳ διὰ τὴν πυκνοτέραν τοῦ ὕδατος ὕλην· διὸ καὶ τὴν κώπην ἐν τῇ θαλάσσῃ μακρόθεν καμπτομένην βλέπομεν. Τρίτος τρόπος τοῦ βλέπειν τὰ ἀνακλώμενα, ὡς τὰ κατοπτρικά. Ἔστιν οὖν τὸ τῆς ἴριδος πάθος τοιοῦτον. δεῖ γὰρ ἐπινοῆσαι τὴν ὑγρὰν ἀναθυμίασιν εἰς νέφος μεταβάλλουσαν, εἶτα ἐκ τούτου κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας νοτιζούσας. Ὅταν οὖν ὁ ἥλιος γένηται ἐν δυσμαῖς, ἀνάγκη πᾶσα ἶριν ἀντικρυς ἡλίου φαίνεσθαι· τότε γὰρ ἡ ὄψις προσπεσοῦσα ταῖς ῥανίσιν ἀνακλᾶται, ὥστε γίγνεσθαι τὴν ἶριν.

Εἰσὶ δὲ αἱ ῥανίδες οὐ σχήματος μορφαί, ἀλλὰ χρώματος.
Καὶ ἔχει τὸ μὲν πρῶτον φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργὲς καὶ πορφυροῦν, τὸ δὲ τρίτον κυανοῦν καὶ πράσινον. [616]

---

2 ἄπειρος P ‖ **4** *πλάτωνος* add. P mrg | *θαύμαντος* P² Plut. *C*, *θαυμαστῶς* FP¹ ‖ **5** *διὰ τὸ θαυμάσαι* P² Plut., *διαθαυμάσαι* FP¹ ‖ **7** *ἠύτε* Hom. Plut., *ἤντε* FP | *νεφέλην* FP, *ἶριν* Hom. Plut. | *θνητῆσι* F | *τανύσει* FP ‖ **10** *ὁρῶμεν* FP ‖ **12** *δὲ* FP: *δὴ* scripsi | *λέγω* FP: *λόγῳ* Diels e Plut. l. s. ‖ **13** num *τὰ* ante *διὰ* delendum? ‖ **15** *κατὰ* addidi | post *ὕδατος* add. *γινομένας* Plut. ‖ **16** *ἡ* om. P ‖ **19** an *κατ' ἀνακλωμένας*? ‖ **23** ante *ἐν* add. *δ'* P¹, del. P² | *εἰς δυσμὰς* Plut. | *πᾶσα* Plut, *πᾶσαν* FP ‖ **26** *οὐ χρώματος μορφαὶ ἀλλὰ σχήματος* FP: corr. Heeren e Plut. ‖ **27** *τὸ* ante *μὲν* om. P

Μήποτε τὸ φοινίκινον, ὅτι ἡ λαμπρότης τοῦ ἡλίου προσπεσοῦσα καὶ ἡ λαμπηδὼν ἀκραιφνὴς ἀνακλωμένη ἐρυθρὸν ποιεῖ καὶ φοινίκειον χρῶμα· τὸ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκκαιόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας, ἀλουργές ⟨ἄνεσις γὰρ τοῦ ἐρυθροῦ τοῦτο· ἔτι δὲ πάλιν ἐπιθολούμενον⟩ τὸ δροσίζον εἰς πράσινον μεταβάλλει. Ἔστι δὲ τοῦτο δοκιμάσαι δι' ἔργων· εἰ γάρ τις ἀντικρὺ στὰς τοῦ ἡλίου λάβῃ ὕδωρ καὶ πυτίσῃ, αἱ δὲ ῥανίδες ἀνάκλασιν πρὸς τὸν ἥλιον λάβωσιν, εὑρήσει γινομένην ἶριν. Καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν.

2 ⟨Arii Didymi (epit. fr. phys. 14 p. 454 Diels.).⟩

Ἀριστοτέλους. Ἄλω δὲ καὶ ἴριδας καὶ παρήλιον καὶ ῥάβδους καὶ τἆλλα τὰ κατὰ τὰς ἐμφάσεις
[618] *ὑπὸ μὲν τῆς αὐτῆς αἰτίας γίνεσθαι· πάντα γὰρ εἶναι ταῦτα τῆς ὄψεως ἀνάκλασιν, διαφέρειν δὲ τοῖς τρόποις καὶ ἀφ' ὧν καὶ ὡς ἔχειν συμβαίνει τὴν ἀνάκλασιν.*

Ἄλω μὲν οὖν καὶ περὶ ἥλιον φαίνεσθαι καὶ περὶ σελήνην καὶ καθόλου περὶ τὰ λαμπρὰ τῶν ἄστρων καὶ οὐθὲν ἧττον ἡμέρας ἢ νυκτὸς καὶ περὶ μεσημβρίαν ἢ δείλην· ἔωθεν δ' ἐλαττονάκις καὶ περὶ δύσιν. Συμβαίνειν δ', ὅταν διὰ

---

1 *μήποτε τὸ φοινίκινον* FP: *μήποτ' οὖν τὸ μὲν φοινίκεον* (*φοινικοῦν* Meineke) Heeren ex Plut. vulg. ‖ **2** *ἀκραιφανὴς* FP ‖ **3** *φοινίκειον* FP: *φοινικοῖν* Meineke | ante *δεύτερον* add. *δὲ* Heeren ‖ **5** *ἄνεσις — ἐπιθολούμενον* (6) om. FP: add. Heeren ex Plut. ‖ **6** *τὸ διορίζον* FP Plut.: *τὸ δροσίζον* Diels e Galen. hist. phil. 78 ‖ **7** *διορίσαι* FP: *δοκιμάσαι* Diels e Plut. | *δι᾽ ἔργων* FP: *δι' ἔργων* Heeren e Plut. ‖ **8** *λάβει* P | *πυτίσοι* F, *πυτίσει* P, *πιτύσει* Plut.: *πυτίσῃ* Diels, *πτύσῃ* Heeren ‖ **9. 10** *εὑρήσει γινομένην* Plut., *εὕρῃ εἰσγινομένην* FP: *εὑρήσει ἐγγινομένην* Diels cum Galen. ‖ **10** ante *ἶριν* add. *τὴν* Heeren ‖ **13** *ἀριστοτέλους* FP mrg habent | *.λω* F², *·νω* F¹, *ἄνω* P: *ἅλω* Canter ‖ **14** *ῥάβδας* P¹, *ῥάβδον* P² ‖ **16** *τόποις* FP: *τρόποις* Heeren ex Arist. meteor. III 2 p. 372ª 19 ‖ **17** *ἔχει συμβαίνειν* FP: corr. Usener, *ἔοικε συμβαίνειν* Diels ‖ **18** *περὶ ἥλιον* Arist. p. 371ᵇ 23, *παρήλιον* FP ‖ **20** *ἢ νυκτὸς* cod. Vatic., Arist. p. 371ᵇ 25, *καὶ νυκτὸς* FP | ante *δείλην* add. *δύσιν* FP, om. Ar. p. 371ᵇ 25 ‖ **21** *ἐλαττονάκις* Arist. p. 371ᵇ 25. 26, *ἔλαττον πολλάκις* FP | *συμβαίνει* F, *συμβαίη* P: corr. Diels

τοῦ πέριξ ἀέρος ἀχλυώδους ὄντος ἐπιλάμπηται τὸ φῶς αὐτῶν, ὥσθ' ὅλον ὁρᾶσθαι τὸν κύκλον· περιφανῆ γὰρ εἶναι καὶ σφαιρικὴν κατὰ τὴν ἔμφασιν τὴν ἅλω. Ταύτης δὲ τὴν μὲν ἐπιμένουσαν ὑετὸν σημαίνειν, τὴν δὲ διασπασθεῖσαν πνεῦμα, τὴν δὲ μαραινομένην εὐδίαν.

Ἶριν δὲ περὶ μόνον ἥλιον καὶ σελήνην συνίστασθαι, γίνεσθαι δὲ καὶ νύκτωρ, ὀλιγάκις δὲ καὶ πάνυ διὰ πολλοῦ. Κύκλον δὲ μηδέποτε φαίνεσθαι τῆς ἴριδος μηδὲ μεῖζον ἡμικυκλίου τμῆμα. Ποικίλην δ' ἔχειν τὴν ἔμφασιν διὰ τὸ κατὰ τὴν τῆς ὄψεως ἀνάκλασιν φοινικοῦν καὶ πράσινον καὶ ἁλουργὸν προσπίπτειν ἀπ' αὐτῆς χρῶμα. Φοινικοῦν μέν, ὅτι τὸ λαμπρὸν ἐν μέλανι καὶ διὰ μέλανος ὁρώμενον [62 D] τοιαύτην ἀποτελεῖ χρόαν. τοῖς γοῦν θεωμένοις τὸν ἥλιον δι' ὁμίχλης ἢ διὰ καπνοῦ δοκεῖν ἐρυθρὸν εἶναι· ἢ τὴν ἀπὸ τῶν χλωρῶν ξύλων φλόγα πεφοινιγμένην διὰ τὸ πολὺν αὐτῇ καταμεμῖχθαι καπνόν. κατὰ τοῦτο δὴ καὶ τὴν ἐξωτάτω καὶ μείζονα περιφέρειαν τῆς ἴριδος ἐμφαίνειν τὸ φοινικοῦν· διὰ γὰρ μέλανος τοῦ νέφους ἀνακλωμένην τὴν ὄψιν πρὸς λαμπρότατον ὄντα τὸν ἥλιον ἀντιλαμβάνεσθαι τοιοῦδε χρώματος. Τὴν δὲ δευτέραν καὶ τρίτην περιφέρειαν διὰ τὴν τῆς ὄψεως ἀσθένειαν τό τε πράσινον καὶ τὸ ἁλουργὲς ἐμφαίνειν. Τὸ δ' ὅλον εἶναι τὴν p. 68 C. ἶριν ἔμφασιν ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει κοίλῳ καὶ δεδροσισμένῳ κατὰ κύκλου περιφέρειαν ὁρωμένην. Γίνεσθαι δ' ἔστιν ὅτε διπλῆν, ὡς τὴν ἑτέραν ἀμαυροτέραν φαίνεσθαι καὶ διὰ παντὸς ἐξ ἐναντίας ἱσταμένην τῇ προτέρᾳ καὶ τῇ θέσει τῶν χρωμάτων ἀντεστραμμένην.

Παρηλίους δὲ καὶ ῥάβδους γίνεσθαι μὲν ἀπὸ τῆς αὐτῆς αἰτίας, οὐδὲ μὴν ὁμοίως ἐχόντος τοῦ νέφους.

---

1 *ἐπιλάμπεται* P¹ ‖ **10** *ἀνάκλησιν* P¹ ‖ **11** *ἁλουργὲς* P² ‖ **12** *μέλανος* Arist. p. 374ª 3, *μέλαν* FP ‖ **13** *τοῖς γοῦν θεωμένοις* P², *τούτους γοῦν θεωμένους* FP¹ ‖ **14** *ἢ τὴν* FP: *καὶ τὴν* Diels, *ἢ καὶ τὴν* Canter ‖ **15. 16** *πολὺν* FP, *παχὺν* Aug. Vat. ‖ **17** *ἐμφαίνει* FP: corr. Heeren ‖ **19** *ὄντα* P, *εἶναι* F ‖ **22** *εἶναι τὴν* om. F ‖ **26** *ἱσταμένην* P², *ἱστάμενον* FP¹ ‖ **27** *ἀντεστραμμένην* P², *ἀντεστραμμένον* FP¹ ‖ **29** *οὔτε* FP: *οὐδὲ* Meineke, *οὔτι* Usener

Ὅταν γὰρ ἀχλυῶδες ᾖ καὶ ὁμαλές, πρὸς δὲ τούτοις ὑδατῶδες καὶ πυκνόν, ὡς ἀπὸ χαλκοῦ κατόπτρου λείου κλωμένην πρὸς τὸν ἥλιον τὴν ὄψιν λευκοῦ ποιεῖν φαντασίαν. παραπλήσιον γὰρ ἡλίῳ κατά τε τὴν χρόαν καὶ τὸ σχῆμα
[622] φαίνεσθαι τὸν παρήλιον. τὴν μὲν γὰρ ὁμαλότητα τοῦ νέφους αἰτίαν εἶναι τοῦ χρώματος, τὴν δ' ἀνάκλασιν τῆς ὄψεως τῆς τοῦ ἡλίου, διὰ τῆς ἀχλυώδους ἐμφάσεως προσπίπτουσαν ἀθρόως πρὸς πεπυκνωμένον, ὥσπερ ἔνοπτρον, οὐδέπω μὲν ὂν ὕδωρ, ἐγγὺς δ' ὑπάρχον τῆς πρὸς ὕδωρ μεταβολῆς. διὸ καὶ σημεῖον ὕδατος εἶναι τὸν παρήλιον· καὶ μᾶλλόν γε τὸν νότιον τοῦ βορείου παρὰ τὸ μᾶλλον μεταβάλλειν εἰς ὕδωρ τὸν νότιον ἀέρα τοῦ πρὸς ἄρκτον. Γίνεσθαί τε περί τε [τὰς] ἀνατολὰς τοῦ ἡλίου καὶ περὶ δύσεις, οὐκ ἄνωθεν, ἀλλ' ἐκ τῶν πλαγίων, καθάπερ καὶ τὰς ῥάβδους. Εἶναι δὲ δὴ τὰς καλουμένας ῥάβδους ἰριοειδεῖς εὐθείας ἐμφάσεις περὶ τὸν ἀέρα συνισταμένας δι' ἀνωμαλίαν τῶν ἐνοπτριζόντων νεφῶν.

CAPVT XXXI (XXXII Heeren.).

[cod. Laur. p. 90 a]

ΠΕΡῚ ΝΕΦΩ̂Ν ΟΜΊΧΛΗΣ ΥΕΤΩ̂Ν ΔΡΌΣΟΥ ΧΙΌΝΟΣ ΠΆΧΝΗΣ ΧΑΛΆΖΗΣ.

⟨Aetii (III 4, 1—5 p. 370, 26 Diels.)⟩

1 Ἀναξιμένης νέφη μὲν γίνεσθαι παχυνθέντος ἐπὶ πλεῖον τοῦ ἀέρος, μᾶλλον δὲ ἐπισυναχθέντος ἐκθλίβεσθαι τοὺς ὄμβρους· χιόνα δέ, ἐπειδὰν τὸ καταφερόμενον ὕδωρ

---

2 ὑπὸ Heeren | κατόπτρου FP², κατόπτου P¹: del. Diels coll. Arist. p. 377 b 21; immo Aristotelis paraphrasten tenemus quem multa produnt ‖ **2. 3** κλωμένου FP: κλωμένην Diels coll. Arist. l. s. ‖ **7** τῆς τοῦ ἡλίου – ἐμφάσεως om. P | paululum distat Arist. p. 377 b 20 sq. ‖ **11** τὸ νότιον P ‖ **12** νότιον P², νότον FP¹ ‖ **12. 13** γίγνεσθαι δὲ Heeren ‖ **13** περί τε τὰς F, περὶ τὰς P: περί τε Usener, περὶ Meineke ‖ **15** δὲ FP: δὴ Usener, del. Canter ‖ **18** hoc caput iteratur in flor. Laur. litt. N c. 6, quod superest f. 90 (= p. 151, 8—155, 23 Mein.) ‖ **19. 20** tit. om. FP | χιόνος πάχνης Phot. p. 112 a 18, χιόνος (om. πάχνης) L ‖ **22** ecl. 1—8 (in L servatae) desunt in FP ‖ **24** χιόνα et p. 243, 1 χάλαζαν sedem mutarunt (cf. Theophr. ap. Hippol.

παγῇ· χάλαζαν δ' ὅταν συμπεριληφθῇ τι τῷ ὑγρῷ πνευματικόν.

2 Ἀναξαγόρας νέφη μὲν καὶ χιόνα παραπλησίως, χάλαζαν δ' ὅταν ἀπὸ τῶν παγέντων νεφῶν προωσθῇ τινα πρὸς τὴν γῆν, ἃ δὴ ταῖς καταφοραῖς ἀποψυχρούμενα στρογγυλοῦται. [cod. Laur. p. 90b]

3 Μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς ὑπὸ τοῦ ἀέρος συνίστασθαι τὰ νέφη.

4 Ξενοφάνης ἀπὸ τῆς τοῦ ἡλίου θερμότητος ὡς ἀρκτικῆς αἰτίας τἀν τοῖς μεταρσίοις συμβαίνειν· ἀνελκομένου γὰρ ἐκ τῆς θαλάττης τοῦ ὑγροῦ τὸ γλυκὺ διὰ τὴν λεπτομέρειαν διακρινόμενον νέφη τε συνιστάνειν ὁμιχλούμενον καὶ καταστάζειν ὄμβρους ὑπὸ πιλήσεως καὶ διατμίζειν τὰ πνεύματα. γράφει γὰρ διαρρήδην (fr. 11 Karst.)· „πηγὴ δ' ἐστὶ θάλασσ' ὕδατος".

5 Ἐπίκουρος ἀπὸ τῶν ἀτόμων· στρογγυλαίνεσθαι ⟨δὲ⟩ τὴν χάλαζαν ⟨καὶ⟩ τὸν ὑετὸν ἀπὸ τῆς μακρᾶς καταφορᾶς ὑποπεπλασμένον. [Ἐμπεδοκλῆς ἔμπτωσιν φωτὸς εἰς νέφος.]

* * καὶ πνεῦμα μὲν ἀποτελεῖν παρῶσαν τὰ νέφη, ὄμβρους δὲ διαχέαν, χάλαζαν δὲ πιλῆσαν, χιόνα δὲ συμπεριλαβόμενόν τι τοῦ ἀερώδους.

6 ⟨Arii Didymi epit. (fr. phys. 11 p. 451 Diels.).⟩

⟨Ἀριστοτέλους.⟩ Ἐκ δὲ τῆς ὑγρᾶς καὶ ἀτμώδους

I 7, 7 et infra ecl. 5); sed falso transposita legit iam Ps. Plutarchus III 4; culpam ipsi Aetio tribuit Diels p. 370 (quod minus placet)

5 ἥδη FP: ἃ δὴ Usener ‖ **6** στρογγυλοῦσθαι Diels | post στρογγυλοῦται add. Meineke δὲ ἀπὸ τῆς μακρᾶς καταφορᾶς ‖ **7** ἐπὶ (ante τοῦ) L: ὑπὸ Diels ‖ **9** πὸ L (litt. init. pro rubr. om., rec. m. nigr. add. ὑ): ἀπὸ Diels ‖ **10** κἂν L: τἀν Karsten ‖ **12** τὸ συνιστάνειν L: τε συνιστάνειν Karsten ‖ **12. 13** ὁμειλούμενον (vel πιλούμενον) Meineke ‖ **15** θάλασσα L ‖ **16** ante Ἐπίκουρος add. L ἐπικούρου | ἀτόμων L: ἀτμῶν Meineke e Plut. III 4 (sed ἀτόμων Galen.) ‖ **17** δὲ addidi | χάλαζαν Plut. l. s., θάλασσαν L | καὶ add. Plut. ‖ **18** ὑποπεπλασμένον L et Plut. (quod defendit Diels p. 54) | Ἐμπεδοκλῆς – νέφος (19) del. Diels ut male ex c. 29 supra p. 232, 13 iteratum ‖ **19** ante καὶ πνεῦμα intercidisse Ἀριστοτέλης τὸ ξηρὸν καὶ καπνῶδές φησι coni. Karsten; Diels (non recte) putabat haec Epicuro continuari posse ‖ **20** χιόνας L: correxi ‖ **22** haec in L cum antecedentibus copulata ‖ **23** Ἀριστοτέλους add. Diels; cf. Arist. meteor. I 9 sq.

⟨ἀναθυμιάσεως⟩ ὑετούς τε καὶ δρόσους καὶ πάχνας, ὁμίχλας τε καὶ νέφη καὶ χιόνας καὶ χαλάζας. ὑετοὺς μὲν γίνεσθαι τῆς ἀναδιδομένης ἀπὸ τῆς γῆς ἀτμίδος ⟨ἐν⟩ τοῖς ἄνω τόποις συνισταμένης κατὰ πύκνωσιν καὶ τρεπομένης εἰς ὕδωρ, εἶτα φερομένης ἀθρόως ἐπὶ γῆν διὰ τὴν ἀπόλειψιν τοῦ ἀναγαγόντος αὐτὴν θερμοῦ· σκεδασθείσης δ' εἰς μικρὰ μόρια καλεῖσθαι ψεκάδας· πρὸ τοῦ δὲ μετεωρισθῆναι σφόδρα κατενεχθείσης διὰ τὴν τοῦ ἀναγαγόντος αὐτὴν πυρὸς ὀλιγότητα προσονομάζεσθαι δρόσον καὶ πάχνην· πάχνην μέν, ὅταν παγῇ πρὶν εἰς ὕδωρ συγκριθῆναι (γίνεσθαι δὲ χειμῶνος καὶ ἐν τόποις μᾶλλον χειμερινοῖς)· δρόσον δ', ὅταν τὸ συνιστάμενον ὑγρὸν νύκτωρ ψυχθὲν ἅμα τοῖς ὄρθροις ἐπὶ γῆν ἐπιφέρηται· διὸ καὶ πλείστην πίπτειν δρόσον καὶ πάχνην περὶ τὰ ἕλη καὶ τὰς λίμνας καὶ τοὺς ποταμοὺς καὶ μάλιστα περὶ τοὺς ἐναύλους καὶ κοίλους τῶν τόπων· ἀνάγεσθαί τε γὰρ πλεῖστον ὑγρὸν ἀπὸ τῶν τοιούτων χωρίων καὶ καταψύχεσθαι μᾶλλον.

Τὴν δ' ἀθρόαν ἀνάδοσιν λέγεσθαι τῆς ἀτμίδος ἐπὶ μικρὸν μὲν παχυνθεῖσαν ὁμίχλην, οἷον ἀραιὰν καὶ ἄγονον ὕδατος νεφέλην, ὡς ἂν προσυνισταμένην ταύτης καὶ προδιαλυομένην καὶ σημεῖον οὖσαν εὐδίας· τὴν δὲ μετεωρισθεῖσαν ἐπὶ πλεῖον καὶ συγκριθεῖσαν νεφέλην. πάντα δὲ περὶ γῆν ταῦτα γίνεσθαι διὰ τὸ μὴ πόρρω τὴν ἀτμίδα μετεωρίζεσθαι κατισχύειν. ἐν γοῦν τοῖς ὑψηλοτάτοις ὄρεσιν οὐδὲν γίνεσθαι τούτων. αἴτιον ⟨δ'⟩ ὅτι μάλιστα ἐκ τῶν κοίλων ἀνάγεται καὶ ἐφύδρων ἡ ἀτμὶς τόπων· ὥστε καθάπερ φορτίον πλεῖον φέρουσαν ἢ καθ' ἑαυτὴν τὴν ἀνάγουσαν θερμότητα μὴ δύνασθαι μετεωρίζειν ἐπὶ πολὺν

---

1 *ἀναθυμιάσεως* addidi ‖ **4** *ἐν* add. Diels Add. p. 854 ‖ **8** *σφόδρα* ad *μετεωρισθῆναι* referendum coll. Arist. p. 347ᵃ 28. 29 et 32. 33 ‖ **9** *πυρὸς αὐτὴν* L: *αὐτὴν πυρὸς* Meineke cf. Arist. p. 347ᵃ 14 ‖ **10** *πάχνη μὲν* L: corr. Meineke ‖ **16** *ἐνύλους* L: *ἐναύλους* Meineke ‖ **18** *καταψύγεσθαι* L ‖ **19** *ἔτι* L: *ἐπὶ* Meineke ‖ **26** *δ'* add. Meineke ‖ **29** *ἄγουσαν* L: *ἀνάγουσαν* Meineke cf. Arist. p. 347ᵃ 32 | *μετεωρίζειν* Arist. p. 347ᵃ 32, *μετεωρίζεσθαι* L

ἄγαν τό ἀλλ' ἐγγὺς οὖσαν ἔτι τῆς γῆς μεθιέναι πάλιν ἐπ'

οὗ περὶ τὰ νέφη τόπου τρία φοιτᾶν σώματα πρὸ ὕδωρ καὶ χιόνα καὶ χάλαζαν· ὧν δύο μὲν
5 ἀναλ χει πρὸς ἄλληλα παρὰ τὸ διὰ τὰς αὐτὰς αἰτίας γίνεσ οἷς κάτω, διαφέροντα τῷ μᾶλλον καὶ ἧττον καὶ πλήθει καὶ ὀλιγότητι. Χιόνα γὰρ καὶ πάχνην εἶναι ταὐτον, καὶ ὑετὸν καὶ δρόσον, ἀλλὰ τὸ μὲν πολύ, τὸ δ' ὀλίγον· τὸν μὲν γὰρ ὑετὸν ἐκ πολλῆς ἀτμίδος γίνεσθαι ψυχο-
10 μένης, τὴν δὲ δρόσον ἐξ ὀλίγης, ἐφήμερον γὰρ αὐτῆς [cod. Laur. p. 91 a]
ὑπάρχειν τὴν σύστασιν. ὁμοίως χιόνα καὶ πάχνην· χιόνα μὲν γὰρ εἶναι πῆξιν νέφους, ἀτμίδος δὲ τὴν πάχνην· διὸ ἢ χώρας ἢ ὥρας ψυχρᾶς σημεῖον γίνεσθαι τὴν χιόνα. Χάλαζαν δὲ κατὰ τοὐναντίον ἐν ταῖς εὐδιεινοτέραις συμ-
15 βαίνειν χώραις ἢ ὥραις, θέρους γοῦν μάλιστα καὶ μετοπώρου γίνεσθαι, χειμῶνος δ' ὀλιγάκις καὶ ὅταν ἧττον ἧ ψῦχος· εἶναι δὲ τὴν χάλαζαν τοῦ καταφερομένου πῆξιν ἐκ τῶν νεφῶν ὕδατος. Ἐκ δὲ τῆς ξηρᾶς καὶ καπνώδους πόρρω διατεινούσης καὶ μετεωριζομένης, ὡς καὶ διὰ τοῦτο
20 πολλάκις διὰ τῆς ἐπιφορᾶς τῶν οὐρανίων ἐμπίπρασθαι, τῶν πρότερον εἰρημένων ἕκαστον ἀποτελεῖσθαι.

7 ⟨Arii Didymi epit. (fr. phys. 35 p. 468 Diels.).⟩

Χρυσίππου. Χρύσιππος ἔφησε τὴν ὁμίχλην νέφος διακεχυμένον, ἢ ἀέρα πάχος ἔχοντα· δρόσον δὲ ἐξ ὁμίχλης
25 καταφερόμενον ὑγρόν· ὑετὸν δὲ φορὰν ὕδατος ἐκ νεφῶν· ὄμβρον δὲ λάβρου ὕδατος καὶ πολλοῦ ἐκ νεφῶν φοράν· χάλαζαν δὲ ὑετοῦ πεπηγότος διάθρυψιν· χιόνα δὲ νέφος πεπηγὸς ἢ νέφους πῆξιν· τὸ δ' ἐπὶ τῆς γῆς πεπηγὸς ὕδωρ κρύσταλλον· πάχνην δὲ δρόσον πεπηγυῖαν.

---

1 ἔτι L (recte): ἐπὶ Sarti ‖ **3** (ἐ)χ L (i. e. nova sententia significatur) ‖ **5** ἔχειν Meineke ‖ **6** ταῖς L: τοῖς Arist. p. 347 b 15 ‖ **9** τὸ (ante μὲν γὰρ) L: corr. Sarti ‖ **13** καὶ χώρας L: ἢ χώρας Diels coll. Arist. p. 347 b 24 ‖ **14** χαλάζας L: corr. Sarti ‖ **17** ἢ L: ἧ Sarti ‖ **18—21** hae ineptiae debentur Stobaeo excerpenti cf. Diels p. 452 n. ‖ **20** ἐμπιπρᾶσθαι L: corr. Diels, ἐμπίμπρασθαι Meineke ‖ **23** ὁρυσίππου et ὁρύσιππος L (ό rubr., m. rec. corr. in χ) ‖ **26** ἔμβρον (ἔ rubr.) L ‖ **27** (χ)ιόνα L ‖ **29** κρύσταλλ sprsc. ο L

8 *Ἀρριανοῦ.*

Ἀρριανός φησι τὴν ὁμίχλην, ⟨ὅτι⟩ ἢ μὲι ·φους ξυνίσταται πρὶν ἐξαναστῆναι, ἐπιπολὺ δὲ ἀπὸ ·χυ-θέντος καὶ σκεδασθέντος· γίγνεται δὲ ταῦτα, ·τή-σειεν αὐτῶν ὁ ἥλιος καὶ τὰ ἄλλα ἄστρα ὅσα ραν῀ καὶ αὐτὸς ὁ οὐρανός. Ἀπὸ δὲ νεφελῶν, ὅσαι μ ἄγαν πιληθεῖσαι ξυνέστησαν, ψεκάδες καταφέρονται ἐπὶ γῆν καὶ εἰς ταύτας διαλύονται ὁμίχλαι τε καὶ νεφελῶν ὅσαι μανώτεραι· ὅσαι δὲ ἐπὶ μέγα ξυστᾶσαι εἰς ὕδωρ μετέβαλον, ὑετοὺς ἐκ νεφῶν γεννῶσι. Καὶ ὁμίχλαι μὲν τὸ πολὺ τῇ γῇ ἐφιζάνουσιν, ἅτε δὴ κεχυμένης τε ἔτι καὶ ἀξυστάτου τῆς ἀτμίδος· αἱ νεφέλαι δὲ αἴρονται εἰς τὸ ἄνω, οὐ μὴν ὑπὲρ εἴκοσίν γε ἀπὸ γῆς σταδίους οὐδὲ αὗται ἀναφέρονται. Ὅτι καὶ τῶν ὀρῶν ὅσα ὑπὲρ εἴκοσί γε ἀπὸ γῆς σταδίους ἀνέχει ἐς εὐθὺ (ἔστι δὲ καὶ εὐαρίθμητα ταῦτα ἔν γε τοῖς καθ' ἡμᾶς τόποις) οὔτε ὑόμενα ὤφθη ποτὲ οὔτε καταπνεόμενα, οὐδὲ νεφέλη ὑπὲρ αὐτῶν ἢ καὶ ἐπ' αὐτοῖς ἱζάνουσα. ἀλλὰ τῆς Οἴτης γε ἐπὶ τῇ ἀκρωρείᾳ θύεσθαι ὅσα ἔτη λόγος καὶ Ἡρακλεῖ καὶ Φιλοκτήτῃ εἰς μνήμην τοῦ παλαιοῦ παθήματος καὶ τὴν τέφραν ἐπὶ τῇ πυρκαιᾷ ἐν χώρᾳ μένειν. εἶναι γὰρ τὸν ἄνω ὑπὲρ γῆς ἀέρα λεπτόν τε ἤδη καὶ καθαρὸν καὶ αὐγοειδῆ· καὶ ταῦτα διαφορεῖσθαι τοὺς ἀτμοὺς ὅσοι πορρωτέρω ὑπεραναφέρονται. Ὅση δὲ λεπτὴ ἀτμὶς μὴ ἐπὶ μέγα ἀρθεῖσα ἐσκεδάσθη, ἀλλὰ ψυχθεῖσα κατηνέχθη ἐπὶ γῆν, δρόσος γίγνεται· πρὸς ἡλίου δὲ ἐπικαυθεῖσα ἐρυθαίνεται ἢ μελαίνεται· καὶ τοῦτο μίλτον ⟨ἢ⟩ φοινιάδα μὲν τὸ ἐρυθρὸν αὐτοῦ,

---

1 ὁριανοῦ L (ὁ rubr.) ‖ **2** ὁρριανὸς L (ὁ rubr.) | ὅτι add. Usener ‖ **4** post σκεδασθέντος iterat γίγνεται Usener ‖ **7** πιληθεῖσαι L: πλησθεῖσαι Sarti, πληθεῖσαι Gaisford | συνέστησαν L ‖ **9** μενώτεραι L: corr. Sarti ‖ **9. 10** μετέβαλλον L: corr. Sarti ‖ **11** ἐφιζάνουσιν L: ἐπιζάνουσι Meineke (ἐπιζάνουσι Sarti) | διακεχυμένης Meineke ‖ **14** Ὅτι] manifesta hic et p. 247, 3. 5. 8 epitomatoris vestigia | ὁρῶν L | γε del. Meineke ‖ **16** ἔν τε L: ἔν γε Sarti ‖ **19** θ' ὕεσθαι L: corr. Sarti | ἔτι λόγος L: corr. Usener, ἔστι νόμος Meineke ‖ **22** ἤδη L sprscr. | καὶ διὰ ταῦτα Meineke (sed ταῦτα idem valet et poteris ταύτῃ) ‖ **23** ὅσω προτέρω L: corr. Meineke ‖ **27** τοῦτο μὴν sed μὴν ut videtur corr. in μειν L:

ἐρυσίβην δὲ ὅ τι περ καὶ μέλαν καλοῦσι· παγεῖσα δὲ καὶ πεπηγοῦσα ἐπὶ γῆν, πάχνη γίνεται. Καὶ ἔτι ὅ τι περ πάχνη πρὸς δρόσον, τοῦτο χιὼν πρὸς ὑετόν. Ὅτι καὶ τὸ νέφος [cod. Laur. p. 91 b] *ξυνελθὸν μὲν ἄνευ πήξεως εἰς ὑετὸν διακρίνεται, παγὲν δὲ εἰς νιφετὸν ξυνάγεται. Ὅτι πρὶν παντελῶς ἐς ὕδωρ ξυστῆναι τὴν νεφέλην φθάνει παγῆναι ἐς χιόνα, καὶ ἡ χρόα τῆς χιόνος τεκμηριῶσαι παρέχει, λευκή τε γὰρ καὶ αὐγοειδής ἐστιν· ὅτι πρὶν τραπῆναι ἐς ὕδωρ παγεῖσα θρύπτεται, οἷα δὴ οὐ σμικρὰν μοῖραν [οὐ] πνεύματος φωτοειδοῦς ὄντος ξυνεπιλαμβάνουσα· ἔνθεν τε ἀφρῷ ἐς τὰ μάλιστα τὴν χρόαν ἔοικεν, ὅτι καὶ ἐν ἀφρῷ πολύ τι ἔνι πνεύματος· δηλοῦσι δὲ πομφόλυγες αἱ ἐπὶ τῶν ἀφρῶν οἷα δὴ ἐπιζέουσαι.*

9 *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 59 D. E).

Τὸ πυρὶ μεμιγμένον ὕδωρ, ὅσον λεπτὸν ὑγρόν τε διὰ τὴν κίνησιν καὶ τὴν ὁδὸν ἣν κυλινδούμενον ἐπὶ γῆς ὑγρὸν λέγεται, μαλακόν τε αὐτῷ τὰς βάσεις ἧττον ἑδραίας οὔσας ἢ τὰς γῆς ὑπείκειν· τοῦτο ὅταν πυρὸς ἀποχωρισθὲν ἀέρος τε μονωθῇ, γέγονε μὲν ὁμαλώτερον, ξυνέωσται δὲ ὑπὸ τῶν ἐξιόντων εἰς αὐτό, παγέν τε οὕτως τὸ μὲν ὑπὲρ γῆς μάλιστα παθὸν τοιαῦτα χάλαζα, τὸ δ' ἐπὶ γῆς κρύσταλλος· τὸ δὲ ἧττον ἡμιπαγές τε ὂν ἔτι, τὸ μὲν ὑπὲρ γῆς αὖ χιών, τὸ δ' ἐπὶ γῆς ξυμπαγὲν ἐκ δρόσου γενόμενον πάχνη λέγεται.

τοῦτο μᾶλλον ⟨*ἤ*⟩ Usener coll. Eustath. in Il. p. 310, 33; *διὰ τοῦτο μὴν* Meineke | *φοινιάδα*] cf. Hesych. v. *φοινιάς* et Cram. An. Ox. II p. 25, 30

2 *καὶ ἔστιν* Meineke ‖ **5** *συνάγεται* L | *ὅτι* (ante *πρὶν*)] *ὅτι* corr. ut videt. in *ὅτι πρὶν* L ‖ **6** *παγὲν* L: corr. Usener ‖ **7** *τεκμηριῶσα* L: corr. Meineke coll. supra p. 235, 24. 25 ‖ **9** *οἷαν δὴ* L: corr. Meineke | *οὐ πνεύματα* L: *πνεύματος* Usener, *τοῦ πνεύματος* Meineke ‖ **10** *συνεπιλαμβάνεται* L | *ἔνθεν τε* L: *ἐνθένδε* Nauck; sed epitomator loquitur ‖ **12** *οἷα* L: corr. Sarti ‖ **14** hanc ecl. cum L etiam FP habent ‖ **15** *ὑγρόν τι* L ‖ **16** *κυλινδόμενον* Meineke ‖ **17** *αὖ τῷ* Plat. | *ἑδραίους* Plat. Par. *A* ‖ **18** *τῆς γῆς* Gaisford dormitanter | *τοῦτο δ'* Plat. praeter *A* ‖ **20** *αὐτὸ* Plat. | *οὕτω* P ‖ **21** *ταῦτα* Plat. ‖ **22** *ἔτι* om. P

[624] CAPVT XXXII (XXXIII Heeren.; XXXII, 1 Gaisford. Meinek.).

ΠΕΡΙ ΑΝΕΜΩΝ.

〈Aetii (III 7, 4 p. 375, 1 Diels.) et Didymi.〉

Ἀριστοτέλης τῆς ξηρᾶς ἀναθυμιάσεως τὴν πρώτην ἀναφοράν· γίνεσθαι δέ ποτε τῇ ξηρᾷ πρὸς τὴν ὑγρὰν μῖξιν. πνεῦμα μὲν ἐκ πολλῶν συνιουσῶν ἀναθυμιάσεων. — Τὸν γὰρ ἄνεμον μὲν εἶναι ξηρᾶς ἀναδόσεως πλῆθος κινούμενον περὶ γῆν· τοὺς δ' ἐκνεφίας ἀνέμους, ὅταν ἀθρόον καὶ πυκνὸν φερόμενον εἰς ἑαυτὸ τὸ πλέον ἀναλύσῃ τοῦ νέφους τῇ σφοδρότητι τῆς ῥύμης. τὸ γὰρ τάχος τῆς ἐκκρίσεως ποιεῖν τὴν τοῦ πνεύματος ἰσχύν.

CAPVT XXXIII (XXXIV. XXXV. XXXVI Heeren.).

ΠΕΡΙ ΓΗΣ ΕΙ ΜΙΑ ΚΑΙ ΠΕΠΕΡΑΣΜΕΝΗ ΚΑΙ ΠΟΙΟΥ ΜΕΓΕΘΟΥΣ ΚΑΙ ΠΕΡΙ ΘΕΣΕΩΣ ΑΥΤΗΣ.

deest.

CAPVT XXXIV (XXXVII Heeren.).

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΓΗΣ.

deest.

CAPVT XXXV (XXXVIII Heeren.).

ΠΟΤΕΡΑ ΜΕΝΕΙ Η ΓΗ Η ΚΙΝΕΙΤΑΙ.

deest.

---

3 Aetii et Didymi excerpta coaluisse vidit Diels p. 375 n. ‖ **4** *ἀριστοτ.* add. P mrg ‖ **7** *μὲν* om. P ‖ **8** *περὶ γῆν* F, *ἐπὶ γῆν* P cf. Arist. meteor. II 4 p. 361ᵃ 31 ‖ **10** *τῆς σφοδρότητος* P ‖ **13. 14** titulum om. FP; iteratur in ind. flor. Laur. litt. *Γ* n. 16 ‖ **17** titulum om. FP; iteratur in ind. flor. Laur. litt. *Γ* n. 17 ‖ **20** titulum om. FP; iteratur in ind. flor. Laur. litt. *Γ* n. 18, ubi praemittitur *περὶ τοῦ*

CAPVT XXXVI (XXXVIII et XXXIX Heeren.; XXXII 2 et XXXIII 1 Gaisford. Meinek.). [626]

ΠΕΡΙ ΣΕΙΣΜΩΝ ΓΗΣ.

1 ⟨Aetii (III 15, 10 p. 380, 1 Diels.).⟩

Πλάτων πάσης κινήσεως ἓξ εἶναι περιστάσεις, ἄνω καὶ κάτω, ἐπὶ δεξιὰ καὶ θάτερα, πρόσθεν καὶ ὄπισθεν. Κατ' οὐδεμίαν ⟨δὲ⟩ τούτων ἐνδέχεσθαι τὴν γῆν κινεῖσθαι, ἐν τῷ πανταχόθεν κατωτάτῳ κειμένην μένειν ἀκίνητον, ἅτε δὴ μηδὲν ἔχουσαν ἐξαίρετον ἐς τὸ ῥέψαι μᾶλλον· τόπους δὲ αὐτῆς κατὰ ἀραιότητα σαλεύεσθαι.

2 ⟨Arii Didymi epit. (fr. phys. 13 p. 453 Diels.).⟩

Ἀριστοτέλους. Ἀριστοτέλης φησὶ σεισμοὺς γίνεσθαι καὶ μυκήματα καὶ χάσματα τῆς ξηρᾶς ἀναθυμιάσεως εἰς τὰς ἀραιότητας κατὰ τῆς γῆς ῥυείσης καὶ κατὰ τὰς ἀθρόας ἐμπτώσεις τρόμους καὶ βρασμοὺς περὶ αὐτὴν ἀπεργαζομένης. Ὡς γὰρ ὁρμήσασαν ἔξω τὴν ἀναθυμίασιν ἄνεμον ποιεῖν σφοδρόν, οὕτως εἴσω καθειρχθεῖσαν τῇ ῥύμῃ τῆς φορᾶς διακραδαίνειν τοὺς τόπους, ἐν οἷς ἂν ἀπολῃφθῇ. Συνέχεσθαι ⟨δὲ⟩ τὴν δύναμιν ταύτην ἐν τῇ γῇ διά τε πύκνωσιν τῆς ἐπιφανείας καὶ διὰ κατάψυξιν καὶ διὰ ξηρασίαν. Ὅθεν καὶ νηνεμίας οὔσης ὡς ἐπὶ τὸ πολὺ [628] p. 69 C. *γίνεσθαι τοὺς σεισμοὺς τῆς τῶν ἀνέμων ὁρμῆς εἴσω τραπείσης· καὶ νυκτὸς μᾶλλον διὰ τὴν ψῦξιν καὶ περὶ τὸν ὄρθρον· τοὺς γὰρ ἀνέμους τότε τῆς πνοῆς ἄρχεσθαι καὶ*

---

3 tit. om. FP; iteratur in ind. flor. Laur. litt. Γ n. 19 ‖ **5** *πλάτωνος* add. P ‖ **6** *δεξιᾶ* P | *καὶ καθ' ἕτερα* FP: *καὶ θάτερα* Canter ‖ **7** *δὲ* add. Heeren e Plut. plac. III 15 | 'post *κινεῖσθαι* videtur antiquitus *ἀλλ'* scriptum fuisse' Diels ‖ **8** *κατωτάτην* Plut. *BC* (ex quo Diels effecit *κατωτάτῳ*), *ἰσοτάτῳ* FP | *μένειν μὲν* Plut.: *μένειν μὲν οὖν* Heeren ‖ **9** *εἰς* P ‖ **12** *ἀριστοτέλους* om. F ‖ **14** *καὶ τῆς γῆς* FP: *κατὰ τῆς γῆς* Meineke ‖ **15** *ἀθρόους* dormitanter Heeren ‖ **18. 19** *ἀπολειφθῇ* FP: corr. Meineke ‖ **19** *δὲ* add. Heeren ‖ **22** *τροπῆς* FP: *ὁρμῆς* Heeren coll. Arist. meteor. II 8 p. 366ª 7; *ῥοπῆς* Meineke ‖ **23** *περὶ* om. P

πρὸς τὴν γῆν ἀποστρέφειν ⟨τὸ⟩ κατὰ τὴν ἀναθυμίασιν ἀνιὸν πνεῦμα· καὶ τῆς ἡμέρας ἔστιν ὅτε περὶ μεσημβρίαν.
[630] τὸν γὰρ ἥλιον τῆς ἀναθυμιάσεως ἐπικρατοῦντα κατακλείειν αὐτὴν εἰς τὴν γῆν· καὶ ἔαρος καὶ μετοπώρου μᾶλλον (ἀνωμάλους γὰρ ταύτας εἶναι τὰς ὥρας· τὸ γὰρ θέρος καὶ τὸν χειμῶνα, τὸ μὲν διὰ τὸν πάγον, τὸ δὲ διὰ τὴν ἀλέαν ἀκίνητον ποιεῖν τὸν ἀέρα διὰ τὸ τὸ μὲν ἄγαν εἶναι ξηρόν, τὸν δὲ ἄγαν ψυχρόν)· καὶ ἐν τοῖς αὐχμοῖς, ὅτε μάλιστα πνευματώδης ὁ ἀήρ· τοῦτο γὰρ εἶναι τὸν αὐχμον, ξηρᾶς πλῆθος ἀναθυμιάσεως. Ἀπελαυνομένης οὖν τῆς ἀτμίδος εἰς τὴν γῆν καὶ καθειργνυμένης σφυγμὸν γίγνεσθαι περὶ αὐτὴν καὶ τρόμον, καὶ ἐν ταῖς ἐπομβρίαις ἐπιφραττομένης ὑπὸ τῶν ὑγρῶν καὶ τοῦ ψυχροῦ τῆς γῆς καὶ τῆς ἐντὸς ἀναθυμιάσεως αὐξομένης ὑπὸ τῶν ὑετῶν καὶ πυκνουμένης, ὥστε κατὰ τὴν πρόσπτωσιν ἰσχυρῶς κινεῖν καὶ σείειν, καὶ ἐν τοῖς ὑπάντρους καὶ σομφοὺς ἔχουσι τοὺς κάτω τόπους ἢ καὶ παρακειμένην ῥοώδη θάλατταν διὰ τὸ θύραθεν πλεῖον ὑποδέχεσθαι πνεῦμα καὶ διὰ τὸ τὴν θάλατταν προσπίπτουσαν ἀπωθεῖν εἰς τὴν γῆν τὸ πεφυκὸς ἀπ' αὐτῆς ἀποπνεῖν πνεῦμα καὶ σκεδάννυσθαι· περὶ γοῦν τὴν Πελοπόννησον καὶ τὴν Ἀχαιίαν καὶ τῆς Εὐβοίας τὰς κοιλάδας πολλοὺς καὶ μεγάλους γίνεσθαι σεισμούς. Ὡς γὰρ ὑφ' ἡμῶν πολλάκις τὸ διαπνεόμενον ἔξω πνεῦμα
[632] παλινδρομῆσαν εἴσω παλμὸν παρέχει καὶ σφυγμὸν ἐν τοῖς σώμασιν, οὕτω τὸ περιληφθὲν ἐν τῇ γῇ κατὰ τὴν κίνησιν κλονούμενον περὶ τοὺς πόρους καὶ διεγκοπτόμενον σπασμοὺς καὶ σεισμοὺς ἀποτελεῖν. Συμβαίνειν δὲ καὶ τὰ μυ-

---

1 τὸ add. Diels ‖ **4** ἀέρος P ‖ **5** τὸ γὰρ θέρος Arist. p. 366 b 4, τὸ μὲν θέρος FP: τὸ μὲν γὰρ θέρος Heeren ‖ **6** τὸν δὲ Heeren ‖ **7** τὸ τὸν FP: corr. Heeren ‖ **8** τὸ δὲ Arist. l. s. ‖ **9** τοῦτον P ‖ **10—23** 'mire haec disiecta sunt; sanus ordo restituetur si ante v. 23 posueris haec supra intercalata: ἀπελαυνομένης (10) – τρόμον (12) et ὥστε (15) – σείειν (16)' Usener rectissime ‖ **12** τρόμος P¹ ‖ **15** πρόπτωσιν FP: corr. Diels coll. Arist. p. 366 b 14 ‖ **16** σοφοὺς P¹ ‖ **18** τὸ ante τὴν om. P ‖ **21** ἀχαίαν FP ‖ **23** ἐφ' ἡμῶν Diels ‖ **25** περιληφθὲν P, περιλειφθὲν (sed ει ex η ead. m. corr.) F ‖ **26** σπόρους F | ἀνακοπτόμενον Usener ‖ **27** συμβαίνει FP: corr. Diels

κήματα ποτὲ μὲν μετὰ σεισμῶν, ποτὲ δὲ καὶ χωρίς, τοῦ πνεύματος ἠχοῦντος, ὥστ' ἐξακούεσθαι ψόφον τινὰ καὶ βόμβον ἐπιμήκιστον, ὁπότε διὰ τῶν σηράγγων διαυλοδρομεῖ παρατριβόμενον μηδ' ἐξιόν. Τά τε χάσματα μετὰ σεισμῶν. ἤδη γοῦν τινας σεισμοὺς μὴ πρότερον λῆξαι, πρὶν ἢ διαρραγῆναι τοὺς τόπους, ἐν οἷς ἐγένοντο, βιασαμένου τοῦ περιληφθέντος πνεύματος περὶ τὴν ἔξοδον ὥσπερ ἐκνεφίου τινὸς ἀνέμου, καθάπερ καὶ τὸν περὶ τὴν Ποντικὴν Ἡράκλειαν καὶ τὸν ἔτι πρότερον γενόμενον περὶ τὴν ἱερὰν καλουμένην Αἰόλου νῆσον· ἐν ταύταις γὰρ ὑπὸ σεισμῶν οἰδήματα τῆς γῆς γενέσθαι μεγάλα, καὶ ταῦτα διαρραγέντα πολὺν ἄνεμον ἐκπεφυσηκέναι καὶ φέψαλον, ὥστε κατατεφρῶσαι πλησίον οὖσαν τὴν τῶν Λιπαραίων πόλιν. Τὰς δὲ ποντίους λεγομένας νήσους ἧττον σείεσθαι τῶν προσγείων διὰ τὸ καταψύχεσθαι τῷ πλήθει τῆς θαλάττης τὴν ἀπὸ τῆς γῆς ἀναθυμίασιν. Τεκμήριον [634] δ' εἶναι τοῦ ῥεῖν ὑπὸ τὴν γῆν τὸ πνεῦμα, πρῶτον μὲν ἀπὸ τοῦ ἐν οἷς γίνεται προσημαίνειν ἠχοῦντος, εἶτα τὸ περὶ τὸν ἥλιον πάθος· ἀμαυρότερον γὰρ καὶ ἀχλυώδη φαίνεσθαι χωρὶς νέφους, ὑπονοστεῖν ἀρχομένου τοῦ πνεύματος εἰς τὴν γῆν τοῦ λεπτύνοντος τὸν ἀέρα καὶ διακρίνοντος. πρός τε τούτοις τὸ πρὸ τῶν ὀρθρίων σεισμῶν νηνεμίαν γίνεσθαι καὶ ψῦχος· τὴν μὲν γὰρ ξυμβαίνειν διὰ τὴν εἴσω τῶν ἀνέμων μετάρροιαν, τὸ δὲ διὰ τὴν τῆς θερμῆς ἀναθυμιάσεως ἀπουσίαν. Καὶ περὶ μὲν σεισμῶν καὶ τῶν ἄλλων τῶν περὶ τὴν γῆν παθημάτων ἐπὶ τοσοῦτον.

---

3 *σηράγγων* FP: *συρίγγων* Canter ‖ **4** *τὰ δὲ* FP: *τά τε* Usener | *μετὰ* om. P ‖ **6** *ἐγένετο* FP: corr. cod. Vat. Aug. ‖ **7** *περιληφθέντος* FP: *περιλειφθέντος* Canter ‖ **11** *γίνεσθαι* FP: corr. Diels ‖ **13. 14** *λιπάρων* FP: corr. Heeren ex Arist. p. 367ª 6 ‖ **14** *ποντίας* FP Arist. l. s.: corr. Heeren ‖ **15** *σείεσθαι* P, *γενέσθαι* F ‖ **17. 18** *μὲν τὸ τοὺς τόπους ἐν οἷς γίνεται προσημαίνειν ἠχοῦντας* vel *μὲν ἀπὸ τοῦ ἐν οἷς γίν.* ⟨*τόποις*⟩ *πρ. ἠχοῦντας* Usener ‖ **22** *αἰθρίων* FP: corr. Diels coll. Arist. p. 367ª 21 ‖ **24** *διὰ* om. P

CAPVT XXXVII (XL Heeren.).

ΠΕΡΙ ΘΑΛΑΤΤΗΣ ⟨ΠΩΣ ΣΥΝΕΣΤΗ ΚΑΙ ΠΩΣ ΕΣΤΙ ΠΙΚΡΑ⟩.

deest.

CAPVT XXXVIII (XLI Heeren.; XXXIII 2 Gaisford. Meinek.).

ΠΩΣ ΑΜΠΩΤΙΔΕΣ ΚΑΙ ΠΛΗΜΜΥΡΑΙ ΓΙΝΟΝΤΑΙ.

⟨Aetii (III 17, 1—9 p. 382, 3 Diels.).⟩

1 *Ἀριστοτέλης καὶ Ἡρακλείδης ὑπὸ τοῦ ἡλίου τὰ*
[636] *πλεῖστα τῶν πνευμάτων κινοῦντος καὶ περιφέροντος· ὑφ'*
p. 70 C. *ὧν ἐμβαλλόντων μὲν προωθουμένην ἀνοιδεῖν τὴν Ἀτλαντικὴν θάλασσαν καὶ κατασκευάζειν τὴν πλήμμυραν, καταλιγόντων δ' ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν.*

[cod. Laur. p. 182 a] 2 *⟨Εὐ⟩ήνιος [Μεσήνιος] ἡλίῳ καὐτὸς τὴν αἰτίαν ἀνατίθησι, καθ' οὓς μὲν ἂν τόπους γένηται τῆς γῆς πλημμύροντι τὰ πελάγη, ἐξ ὧν δ' ἂν τύχῃ παραποστὰς ὑποσυνέλκοντι. ταῦτα δὲ συμβαίνειν περὶ τὰς ἑῴας καὶ τὰς μεσημβρινὰς ἐκκλίσεις.*

3 *Πυθέας ὁ Μασσαλιώτης τῇ πληρώσει τῆς σελήνης καὶ τῇ μειώσει τὰς ἑκατέρου τούτων αἰτίας ἀνατίθησιν.*

---

2 titulum om. FP; iteratur in ind. flor. Laur. Θ 1 | *πῶς συνέστη – πικρά* om. Phot. p. 112b 22 ‖ **4** caput (plenius quam in FP) iteratum in flor. Laur. *A* 38 f. 182r (= p. 244, 5—245, 6 Mein.) ‖ **5** titulum om. FP et L; iteratur in ind. flor. Laur. *A* 38, ubi praemissum *περὶ τοῦ* | *ἄμπωτις* ind. et Phot. p. 112b 23: *ἀμπώτιδες* scripsi e Plut. plac. III 17 | *πλημμῦραι* ind. Phot. ‖ **7** *ἀριστοτέλους καὶ ἡρακλείδ* P mrg add. ‖ **8** *συμπεριφέροντος* Heeren ex Plut. ‖ **9** post *μὲν* add. FP *καὶ* ‖ **10** *θάλατταν* FP ‖ **13**—p. **253**, **3** ecl. 2. 3. 4 om. FP ‖ **13** *ήνιος* (init. spat. vac. 3 litt. pro rubr.) L: *Εὐήνιος* Elter de cod. Stob. Phot. p. 13 e pinacographo Photiano p. 114a 36 | *Μεσήνιος* delevi ut discrepantem scripturam nominis *ήνιος* (et articulus deest); *ὁ Μεσσήνιος* Meineke, cum nomen ipsum *Δικαίαρχος* esse crederet ‖ **14. 15** *πλημμυροῦντι* L: corr. Diels coll. Phil. d. mund. opif. 11 p. 8 et 38 p. 27 M., *πλημμυρεῖν ποιοῦντι* Meineke ‖ **15** *τύχης* L: corr. Sarti ‖ **16** *παρὰ* L: *περὶ* Meineke ‖ **18** *Καθέας* (*K* rubr.) *ὁ μασαλιήτης* L: corr. Gaisford e Plut. plac. III 17; cf. pinacograph. Phot. p. 114b 16

4 *Ποσειδώνιος ὑπὸ μὲν τῆς σελήνης κινεῖσθαι τοὺς ἀνέμους, ὑπὸ δὲ τούτων τὰ πελάγη, ἐν οἷς τὰ προειρημένα γίνεσθαι πάθη.*

5 *Πλάτων ἐπὶ τὴν αἰώραν φέρεται τῶν ὑδάτων. εἶναι γάρ τινα φυσικὴν αἰώραν διά τινος ἐγγείου τρήματος περιφέρουσαν τὴν παλίρροιαν, ὑφ' ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη.*

6 *Τίμαιος ὁ Ταυρομενίτης τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν Ἀτλαντικὴν διὰ τῆς Κελτικῆς ὀρεινῆς αἰτιᾶται προωθοῦντας μὲν ταῖς ἐφόδοις, ὑφέλκοντας δὲ ταῖς ἀναπαύλαις.*

7 *Κράτης ὁ γραμματικὸς τὸν ἀντισπασμὸν τῆς θαλάσσης αἰτιᾶται.*

8 *Ἀπολλόδωρος ὁ Κερκυραῖος τὰς ἐκ τοῦ ὠκεανοῦ παλιρροίας.*

9 *Σέλευκος ὁ μαθηματικὸς ἀντιγεγραφὼς Κράτητι, κινῶν καὐτὸς τὴν γῆν, ἀντικόπτειν αὐτῆς τῷ δίνῳ φησὶ τὴν περιστροφὴν τῆς σελήνης· τοῦ δὲ μεταξὺ ἀμφοτέρων τῶν σωμάτων ἀντιπερισπωμένου πνεύματος καὶ ἐμπίπτοντος εἰς τὸ Ἀτλαντικὸν πέλαγος κατὰ λόγον οὕτω συγκυμαίνεσθαι τὴν θάλασσαν.*

CAPVT XXXIX (XLII 1 Heeren., XXXIV 1 Gaisford. Meinek.).

ΠΕΡΙ ΥΔΑΤΩΝ.

⟨Arii Didymi epit. (fr. phys. fr. 14ª Add. p. 854 Diels.).⟩

Ἀριστοτέλους. Τὰς δὲ τῶν ὑδάτων δυνάμεις καὶ τοὺς χυλοὺς καὶ τὰς ἄλλας πάσας ποιότητας, ὡς εἰπεῖν συλλαβόντι, γίνεσθαι παρὰ τρεῖς αἰτίας. Ἡ γὰρ παρὰ [638]

---

4 *πλάτων* add. P mrg ‖ **5** *ἐγγίου τρήμματος* FP ‖ **8—21** ecl. 6. 7. 8. 9 om. FP ‖ **8. 9** *τοὺς* et *ποταμοὺς* Plut. III 17, *τὰς* et *ποταμὸς* L ‖ **12** (κ)*ράτης* L ‖ **17** *τῇ δίνῃ* Plut. l. s. ‖ **20** *οὕτω*] *αὐτῷ* Plut. ‖ **25** *ἀριστοτέλους* F mrg, P in textu habent ‖ **25. 26** *κατὰ τοὺς* FP: *καὶ τοὺς* cod. Aug.

τὴν τῆς γῆς διαφοράν· (ἐν οἵᾳ γὰρ ἂν ἕκαστον ᾖ καὶ δι' οἵας ἂν ῥέῃ, τοιοῦτον ἴσχειν τὸν χυλόν, οἷον ἁλυκὸν ἢ νιτρῶδες ἢ πικρὸν ἢ τῶν ἄλλων ὁποιονοῦν·) ἢ παρὰ τὴν τῆς καπνώδους καὶ πυρώδους ἀναθυμιάσεως μῖξιν· (ἀπολίθωσιν γὰρ καὶ πῆξιν ἁλῶν καὶ νίτρων, ἔτι τε βαρύτητας καὶ κουφότητας καὶ παχύτητας καὶ λεπτότητας καὶ τὰς ἄλλας δυνάμεις ἀπεργάζεσθαι τὴν τοῦ θερμοῦ καὶ καπνώδους μῖξιν·) ἢ παρὰ τὸν ἀέρα. θερμότητας δὲ καὶ ψυχρότητας καὶ παρὰ τὴν γῆν [μὲν] γίνεσθαι, δι' οἵας ἂν ῥέῃ καὶ ἐν οἵᾳ ⟨ἂν⟩ γίνηται. θερμὰ μὲν γὰρ τὴν κατακεκαυμένην καὶ τὴν ξηρὰν καὶ τὴν ἀσφαλτώδη ποιεῖν· ψυχρὰ δ', ὡς μὲν ἁπλῶς εἰπεῖν, ⟨εἶναι τὰ ἐν⟩ τοῖς ναματιαίοις, ὡς δὲ καθ' ἕκαστα, τὰ κατὰ βάθους [ὡς ἐπίπαν], ὥσπερ καὶ τὰ ἐν τοῖς μετάλλοις (πόρρω γὰρ τοῦ ἡλίου), πλὴν ἐὰν πυρώδης ὁ τόπος ᾖ· (δεῖ γὰρ ἀφεστάναι τῶν θερμῶν, τοῦ τ' ἐν τῷ ἀέρι καὶ τοῦ ἐν τῇ γῇ)· καὶ τὰ ἐν τοῖς ὑψηλοῖς διά τε τὰ πνεύ-
[640] *ματα καὶ μάλιστα διὰ τὴν τοῦ ἀέρος ψυχρότητα· καὶ ⟨τὰ⟩ ἐν τοῖς συσκίοις καὶ πνευματώδεσι (ψύχεται γὰρ ὑπ' ἀμφοτέρων, διὸ καὶ κοπέντων δένδρων ἔνια θερμὰ γίνεσθαι)· καὶ τὰ διαπνοὰς ἔχοντα φαραγγώδεις καὶ ὑπάντρους (τὸ γὰρ πνεῦμα διαυλωνίζον ταύτῃ ψύχει, καθάπερ ἐν τοῖς λάκκοις)· καὶ ⟨τὰ⟩ διὰ πάγους ῥέοντα καὶ ἐνίκμου (ψυχρὸν*

1.2 *δι' οὗ* FP¹, *δι' ὃν* P²: *δι' οἵας* Diels coll. v. 9, *δι' ἣν* Heeren ‖ **2** *ἴσχαν* P¹ ‖ **5. 6** *κρυφότητας* ead. m. corr. in *κουφότητας* F ‖ **6** *παχύτητας* P², *ταχύτητας* FP¹ ‖ **8** *θερμότητας γὰρ καὶ ψυχρότητας* parenthesin esse vult Diels, in qua audiendum *ἀπεργάζεσθαι τὸν ἀέρα*, nisi quid interciderit; *θερμότητας ⟨μὲν⟩ γὰρ καὶ ψυχρότητας ⟨καὶ παρὰ τοῦτον⟩ καὶ παρὰ τὴν γῆν γίνεσθαι* Heeren; *θερμότητας γὰρ καὶ ψυχρότητας ⟨καὶ οὗτος ποιεῖ.⟩ καὶ παρὰ τὴν γῆν μὲν* Meineke | *θερμότητας γὰρ* FP: *θερμότητας δὲ* scripsi ‖ **9** *μὲν* seclusi | *ἐν οἵας* P ‖ **10** *γίνεσθαι* FP: *ἂν γίνηται* Meineke, *γίνεται* Heeren | *τὴν* ante *ξηρὰν* (11) om. P ‖ **11** *σφαλτώδη* P ‖ **12** *εἶναι τὰ ἐν* addidi (*τὰ ἐν* add. Diels coll. v. 13) | *τοῖς ναματιαίοις* FP: *τοὺς ναματιαίους* Canter, *τοὺς ναματιαίους ⟨τόπους⟩* Meineke ‖ **13** *τε κατὰ* F, *κατὰ* P: *τὰ κατὰ* Diels | *ὡς ἐπίπαν* del. Usener ut glossema v. *ἁπλῶς* (11) ‖ **13. 14** *μετ' ἄλλοις* P ‖ **15** *δεῖ* FP: *δοκεῖ* Diels | *τοῦ τ'* FP: *τά τ'* Heeren ‖ **16** *τὰ ἐν τῇ γῇ* Canter ‖ **17** *τὰ* post *καὶ* add. Diels ‖ **22** an *πάγου*? | *ψυχρὸς* Heeren

γὰρ ὁ λίθος καὶ μᾶλλον ὁ τοιοῦτος). Εἰ δ' ὥσπερ γλυκὺ πᾶν ὕδωρ, οὕτω καὶ ψυχρόν (οἰκεῖα γὰρ ἄμφω τῆς φύσεως), ἡ θερμότης ὡς ἡ τῶν χυλῶν ποιότης γένοιτ' ἂν ἀφ' ἑτέρων. Συμβαίνει δ' οὖν καὶ ἐκ τοῦ λόγου τούτου μὴ εἶναι τοῦ ὕδατος καθ' ἑαυτὸ διαφοράν, ἀλλὰ ταῖς ἄλλων δυνάμεσι διαφέρειν, εἴπερ τὰ μὲν τὴν γῆν, τὰ δὲ τὸ πῦρ, τὰ δὲ τὸν ἀέρα ποιεῖν συμβέβηκεν.

CAPVT XL (XLII 2 Heeren., XXXIV 2 Gaisford. Meinek.).

ΠΕΡΙ ΤΟΥ ΠΑΝΤΟΣ.

Ἐκ τῆς Ἀριστοτέλους πρὸς Ἀλέξανδρον ἐπιστολῆς (de mundo c. 2—5).

〈c. 2〉 Κόσμος μὲν οὖν ἐστι σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων. Λέγεται δὲ καὶ ὁ κόσμος ἑτέρως, ἡ τῶν ὅλων τάξις τε καὶ διακόσμησις ὑπὸ θεοῦ τε καὶ διὰ θεῶν φυλαττομένη. Ταύτης δὲ τὸ μὲν μέσον [καὶ] ἀκίνητόν τε καὶ ἕδραῖον 〈ἡ〉 φερέσβιος εἴληχε γῆ, παντοδαπῶν ζῴων δεσπόζουσα καὶ μήτηρ· τὸ δὲ ὕπερθεν αὐτῆς πᾶν τε καὶ πάντῃ πεπερατωμένον· εἰς τὸ ἄνω τὸ τῶν θεῶν οἰκητήριον οὐρανὸς ὠνόμασται· πλήρης δ' ὢν σωμάτων θείων, ἃ δὴ καλεῖν ἄστρα εἰώθαμεν, κινούμενος κίνησιν ἀίδιον ἐν περιαγωγῇ [642]

---

1 ante ὁ τοιοῦτος add. ὅσῳ Diels | εἰδὼς (εἰδὺς F corr.) ἐπὲρ FP: εἰ δ' ὥσπερ Usener | ἡδὺς edit. cum Vat. Aug. | ὥσπερ iam Canter mrg, ὥσπερ οὖν Heeren ‖ 2 πᾶν FP: ποιῶν Diels ‖ 3 ante ἡ θερμότης add. Diels ἡ ψυχρότης καὶ | ὡς scripsi pro καὶ, nam ἡ τῶν χυλῶν ποιότης iam tractabatur supra p. 253, 25 sq.; poteris etiam 〈ὁμοίως〉 ἡ θερμ. καὶ ‖ 4 'ἑτέρων i. e. ψυχρῶν ἢ θερμῶν nisi fuit ἑτέρας' Diels; immo ἑτέρων idem est quod infra (6) ἄλλων ‖ 5 τὰς P ‖ 9 περὶ τοῦ παντός post ἐπιστολῆς (11) transponit P: vulgo capitis titulum ad lemmâ ecl. trahunt ‖ 14 καὶ ἑτέρως κόσμος Ar. ‖ 15 θεοῦ τε FP Ar. *Q*, θεῶν τε Ar. cet. | διὰ θεὸν Ar. *QR* ‖ 16 μέσον] κέντρον Appul. | καὶ post μέσον om. Ar.: delevi | post τε add. ὂν Ar. | ἡ addidi ex Ar. ‖ 17 δεσπόζουσα FP, ἑστία τε οὖσα Ar. ‖ 19 εἰς P Ar. *R*, ἐς F, ἧς Ar., *ultra* App.: ἐξῆς Usener | τὸ ἄνω τὸ τῶν FP, τὸ ἀνωτάτω Ar. ‖ 20 δεῖ F ‖ 21 ἐν περιαγωγῇ FP, Ar. *R* corr., μιᾷ περιαγωγῇ Ar. cet.: ὁμοίᾳ π. Usener

καὶ ἐν κύκλῳ συγχορεύει πᾶσι τούτοις ἀπαύστως δι' αἰῶνος. Τοῦ δὲ σύμπαντος οὐρανοῦ τε καὶ κόσμου σφαιροειδοῦς ὄντος καὶ κινουμένου, καθάπερ εἶπον, ἐνδελεχῶς, δύο ἐξ ἀνάγκης ἀκίνητά ἐστι σημεῖα καταντικρὺ ἀλλήλοις,
[644] καθάπερ τόρνῳ κυκλοφορουμένης σφαίρας, παραμένοντα
p. 71 C. καὶ συνέχοντα τὴν σφαῖραν, περὶ ἃ ὁ πᾶς ὄγκος κύκλῳ στρέφεται. Καλοῦνται δὲ οὗτοι πόλοι, δι' ὧν εἰ νοήσαιμεν ἐπεζευγμένην εὐθεῖαν, ἥντιν' ἄξονα καλοῦσι, διάμετρος ἔσται τοῦ κόσμου, μέσην μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους πέρατα. Τῶν δ' ἀκινήτων πόλων τούτων ὁ μὲν ἀεὶ φανερός ἐστιν, ὑπὲρ κορυφὴν ὢν κατὰ ⟨τὸ⟩ βόρειον κλῖμα, ἀρκτικὸς καλούμενος, ⟨ὁ δὲ ὑπὸ γῆν ἀεὶ κατακέκρυπται, κατὰ τὸ νότιον, ἀνταρκτικὸς καλούμενος.⟩ Οὐρανοῦ δὲ καὶ ἄστρων οὐσίαν μὲν αἰθέρα ⟨καλοῦμεν⟩, οὐχ, ὥς τινες, διὰ τὸ πυρώδη οὖσαν αἰθεσθαι, πλημμελοῦντες περὶ τὴν πλεῖστον πυρὸς ἀπηλλαγμένην δύναμιν, ἀλλὰ διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην, στοιχεῖον οὖσαν ἕτερον τῶν τεττάρων ἀκήρατόν τε καὶ θεῖον. Τῶν γε μὴν ἐμπεριεχομένων ἄστρων τὰ μὲν ἁπλανῶς τῷ σύμπαντι οὐρανῷ συμπεριφέρεται τὰς αὐτὰς ἕδρας ἔχοντα·
[646] μέσος δὲ ὁ ζῳοφόρος καλούμενος κύκλος ἐγκάρσιος ὢν διὰ τῶν τροπικῶν διέζωσται, κατὰ μέρη διῃρημένος εἰς δώδεκα ζῳδίων χώρας· τὰ δὲ πλανητὰ ὄντα οὔτε τοῖς προτέροις ὁμοταχῶς κινεῖσθαι πέφυκεν οὔτε [ἐν] ἀλλήλοις, ἀλλ' ἐν ἑτέροις καὶ ἑτέροις κύκλοις, ὥστε τὸν μὲν προσγει-

---

1 ἐν om. Ar. | συναχορεύει Ar. *O*, συναναχορεύει Ar. cet. ‖ **4** δύο ἀκίνητα ἐξ ἀνάγκης Ar. | ἀλλήλων Ar. ‖ **5** καθάπερ τῆς ἐν τόρνῳ Ar. | κυκλοφορουμένης σφαίρας Ar., κυκλοτερουμένη σφαίρα F, κυκλοφορουμένη σφαίρα P | παραμένοντα FP, στερεὰ μένοντα Ar. ‖ **6** πᾶς κόσμος κινεῖται· ὁ μὲν οὖν κόσμος ἐν κύκλῳ περιστρέφεται Ar. ‖ **7. 8** εἰ νοήσαιμεν Ar., εἰ νοήσομεν F, ἐννοήσομεν P ‖ **8** ἥν τινες PP Ar.: corr. Usener ‖ **9** ἔσται Ar., ἔστι FP ‖ **11** ἐστι καὶ F | τὸ addidi ex Ar. ‖ **12** ὁ δὲ ὑπὸ – καλούμενος (13) add. Heeren ex Ar. ‖ **14** καλοῦμεν add. Heeren ex Ar. ‖ **16** πλείστου Heeren ‖ **19** ἁπλανῆ Ar. ‖ **20** συμπεριστρέφεται Ar. | τὰς αὐτὰς Ar., τοσαύτας FP | ἕδρας post ἔχοντα transp. Ar. | ἔχοντα Ar., ἐχόντων PP ‖ **21** ὧν μέσος ὁ Ar. | ὢν om. Ar. ‖ **22** μέρος Ar. | διῃρημένον P^2 ‖ **24** ὁμοιοταχῶς Ar. | ἐν om. Ar.: delevi ‖ **25** ante τὸν add. Ar. αὐτῶν

ότερον εἶναι, τὸν δὲ ἀνώτερον. Τὸ μὲν οὖν τῶν ἀπλανῶν πλῆθος ἀνεξερεύνητόν ἐστιν ἀνθρώποις, καίπερ ἐπὶ μιᾶς κινουμένων ἐπιφανείας τῆς τοῦ παντὸς οὐρανοῦ· τὸ δὲ τῶν πλανητῶν εἰς ἑπτὰ μέρη κεφαλαιούμενον ἐν τοσούτοις ἐστὶ κύκλοις ἐφεξῆς κειμένοις, ὥστ' ἀεὶ τὸν ἀνώτερον μείζω τοῦ ὑποκάτω εἶναι, τοὺς δὲ ἑπτὰ ἀλλήλοις περιέχεσθαι· πάντας γε μὴν ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας περιειλῆφθαι. συνεχῆ δὲ ἀεὶ τὴν θέσιν ταύτην εἶναι μέχρις οὗ [648] αἰθὴρ ὁρίζεται, τὰ θεῖα ἐμπεριέχων σώματα καὶ τὴν τῆς κινήσεως τάξιν. Μετὰ δὲ τὴν αἰθέριον καὶ θείαν φύσιν, ἥντινα τεταγμένην ἀποφαίνομεν, ἔτι δὲ ἄτρεπτον καὶ ἀναλλοίωτον καὶ ἀπαθῆ, συνεχής ἐστιν ἡ δι' ὅλων παθητή τε καὶ τρεπτή, καὶ τὸ σύμπαν εἰπεῖν, φθαρτή τε καὶ ἐπίκηρος. Ταύτης δὲ αὐτῆς πρώτη ἐστὶν ἡ λεπτομερὴς καὶ φλογώδης οὐσία, ὑπὸ τῆς αἰθερίου πυρουμένη διὰ τὸ μέγεθος αὐτῆς καὶ τὴν ὀξύτητα τῆς κινήσεως· ἐν δὲ τῇ πυρώδει καὶ τῇ ἀτάκτῳ λεγομένῃ τὰ σέλα διάττει καὶ φλόγες ἀκοντίζονται καὶ δοκίδες τε καὶ βόθυνοι καὶ κομῆται λεγόμενοι στηρίζονταί τε καὶ σβέννυνται πολλάκις. Ἑξῆς δὲ ταύτης ὁ ἀὴρ ὑποκέχυται, ζοφερὸς ὢν καὶ παγετώδης τὴν φύσιν, ὑπὸ ⟨δ'⟩ ἐκείνης λαμπόμενος ἅμα καὶ καιόμενος λαμπρότερός τε γίνεται καὶ ἀλεεινός. Ἐν δὲ τούτῳ τῆς παθητῆς ὄντι καὶ αὐτῷ δυνάμεως ⟨καὶ⟩ παντοδαπῶς [650] ἀλλοιουμένῳ νέφη συνίστανται καὶ ὄμβροι καταράττουσι

---

1 τῶν μὲν F ‖ **2** πλῆθος P^2 mrg Ar., πάθος FP^1 | ἐστιν ἀνεξερεύνητον Ar. *PQ*, ἐστιν ἀνεξεύρετον Ar. cet. ‖ **3** τοῦ σύμπαντος Ar. ‖ **5** ἀνωτέρω Ar. praeter *P* ‖ **6** τούς τε Ar. | ἐν ἀλλήλοις Ar. ‖ **8** συνεχῆ – σώματα (9)] multo fusius haec Ar. tractat | συνεχῆ om. P | ταύτην τὴν θέσιν Ar. *O* ‖ **11** μεταγμένην P^1 ‖ **11.12** ἀναλλοίωτον FP, ἀνετεροίωτον Ar. ‖ **12** ἡ F Ar., ἠ P ‖ **13.14** ἐπίκουρος P^1 ‖ **14** post πρώτη add. μὲν Ar. ‖ **15** post αἰθερίου add. φύσεως Ar. praeter *OR* ‖ **16** μέγεθος] ἐγγύθεν Usener ‖ **17** πυρώδει Ar., πυρώσει FP | καὶ αὐτῇ ἀτάκτως ἀλλοιουμένῃ Usener | καὶ ἀτάκτῳ Ar.: an καὶ δὴ ἀτάκτῳ? cf. v. 11 | τά τε σέλα Ar. ‖ **18** δοκίδες τε Ar., δοκίδες δὲ FP ‖ **19** τε om. Ar. ‖ **20** ζοφώδης Ar. ‖ **21** ὑπὸ δὲ ἐκείνης Ar. *Q*, ὑπὸ ἐκείνης FP, ὑπὸ δὲ κινήσεως Ar. cet. ‖ **21.22** διακαιόμενος Ar. ‖ **22** λαμπρὸς F | τε om. P Ar. *O* ‖ **23** καὶ ante παντοδαπῶς om. FP: add. Heeren (tacite) ex Ar. ‖ **24** ἀλλοιωμένῳ P | νέφη P^2 Ar. *O*, νέφει FP^1, νέφη τε Ar. | καταράσσουσι Ar. *PQR*, καταρράσσουσι Ar. *O*

p. 72 C. *χιόνες τε καὶ πάχναι καὶ χάλαζαι πνοιαί τε ἀνέμων καὶ τυφώνων, ἔτι δὲ καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ πτώσεις κεραυνῶν μυρίων τε γνόφων συμπλεγάδες.*

⟨c. 3⟩ Ἐξῆς δὲ τῆς ἀερίου φύσεως γῆ τε καὶ θάλασσα ἐρήρεισται, φυτοῖς τε βρύουσα καὶ ζῴοις, πηγαῖς τε καὶ ποταμοῖς τοῖς μὲν ἀνὰ γῆν ἑλιττομένοις, τοῖς δὲ ἀνερευγομένοις εἰς θάλατταν. Πεποίκιλται δὲ χλόαις μυρίαις, ὄρεσί τε ὑψηλοῖς, βαθυξύλοις τε δρυμοῖς καὶ πόλεσιν, ἃς τὸ σοφὸν ζῷον ἄνθρωπος ἱδρύσατο, νήσοις τε ἐναλίοις. Τὴν μὲν οὖν οἰκουμένην ὁ πολὺς λόγος εἴς τε νήσους καὶ ἠπείρους διεῖλεν, ἀγνοῶν ὅτι καὶ ἡ σύμπασα μία νῆσός ἐστιν, ὑπὸ τῆς Ἀτλαντικῆς καλουμένης θαλάσσης περιρρεομένη· πολλὰς δὲ καὶ ἄλλας ⟨εἰκὸς⟩ τῇδε ἀντιπόρθμους ἀπῳκίσθαι, τὰς μὲν μείζους αὐτῆς, τὰς δὲ ἐλάττους, ἡμῖν δὲ πάσας πλὴν τῆσδε ἀοράτους. Ὅπερ γὰρ αἱ παρ' ἡμῖν νῆσοι πρὸς ταῦτα τὰ πελάγη πεπόνθασι,
[652] *τοῦτο ἥδε ἡ οἰκουμένη πολλαί τε ἕτεραι πρὸς σύμπασαν τὴν θάλατταν. Καὶ αὗται μὲν μεγάλαι τινές εἰσι νῆσοι μεγάλοις περικλυζόμεναι πελάγεσιν. Ἡ δὲ σύμπασα τοῦ ὑγροῦ φύσις ἐπιπολάζουσα κατὰ τὰς τοῦ ὑγροῦ ποιότητας καὶ τὰ κοιλώματα, τὰς καλουμένας ἀναπεφυκυῖα οἰκουμένας, ἑξῆς ἂν εἴη τῆς ἀερίου μάλιστα φύσεως. Μετὰ δὲ ταῦτα ἐν τοῖς βυθοῖς κατὰ τὸ μεσαίτατον τοῦ κόσμου ἐρηρεισμένη ⟨γῆ πᾶσα καὶ πεπιεσμένη⟩ συνέστηκεν ἀκί-*

---

2 ἔτι δὲ βρονταὶ Ar. *O*, ἔτι τε βρονταὶ Ar. cet. ‖ **4** θάλαττα P ‖ **5** φυτοῖς βρύουσα Ar. ‖ **6** τοῖς μὲν et τοῖς δὲ] *nunc* et *modo* App. (τῇ μὲν et τῇ δὲ?) | ἑλιττομένοις Ar., ἀνελιττομένοις P², ἀνελιττόμενος FP¹ ‖ **7** δὲ καὶ Ar. | χρόαις FP: χλόαις scripsi ex Ar. ‖ **8** καὶ βαθυξύλοις Ar. ‖ **9** ζῷον ὁ ἄνθρωπος ἱδρύσατο Ar. *Q*, ζῷον ἱδρύσατο ἄνθρωπος Ar. cet. | ἄνθρωπος FP: corr. Usener ‖ **10** ἐναλίοις FP Ar. *OP*, ἐναλίαις Ar. *QR* | post ἐναλίαις add. Ar. *PQ* καὶ ἠπείροις ‖ **13** εἰκὸς addidi ex Ar. | τῇσδε Ar. ‖ **13. 14** ἀντιπορθμοῦσα (ἀντιπόρθμους P²) ἀπωκίσθαι FP, ἀντιπόρθμους ἄποθεν (ἔπωθεν *R*) κεῖσθαι Ar. ‖ **14** αὐτῆς P² Ar., αὐτοὺς FP¹ ‖ **16** τὰ om. P¹ ‖ **17** post οἰκουμένη add. Ar. πρὸς τὴν Ἀτλαντικὴν θάλασσαν ‖ **18** καὶ γὰρ αὗται μεγ. Ar. ‖ **20. 21** ἐπιπολάζουσα κατά τινας τῆς γῆς σπίλους τὰς καλουμένας ἀναπεφυκυῖα Ar. ‖ **21** ἀναπεφαγκυῖα Usener ‖ **22** ἑξῆς P corr. Ar., ἕξις FP ‖ **23** ταύτην Ar. ‖ **24** συνερηρεισμένη Ar. | γῆ πᾶσα καὶ πεπιεσμένη in FP omissa addidi ex Ar., γῆ solum Heeren add.

νητος καὶ ἀσάλευτος· καὶ τοῦτ' ἔστι τοῦ κόσμου τὸ πᾶν ὃ καλοῦμεν κάτω. Πέντε δὲ στοιχεῖα ταῦτα, ἐν πέντε χώραις σφαιρικῶς ⟨ἐγκείμενα, περιεχομένης ἀεὶ τῆς ἐλάττονος τῇ μείζονι⟩ (λέγω δὲ γῆς μὲν ἐν ὕδατι, ὕδατος δὲ ἐν ἀέρι, ἀέρος δὲ ἐν πυρί, πυρὸς δὲ ἐν αἰθέρι) τὸν ὅλον κόσμον συνεστήσατο· καὶ τὸ μὲν ἄνω πᾶν θεῶν ἀπέδειξεν οἰκητήριον, τὸ κάτω δὲ ἐφημέρων ζῴων. Αὐτοῦ γε μὴν [654]
τούτου τὸ μὲν ὑγρόν ἐστιν, ὃ καλεῖν ποταμοὺς καὶ νάματα καὶ θαλάσσας εἰθίσμεθα, τὸ δὲ ξηρόν, ὃ γῆν τε καὶ ἠπείρους καὶ νήσους ὀνομάζομεν.

Τῶν δὲ νήσων αἳ μέν εἰσι μεγάλαι, καθάπερ σύμπασα ἡ οἰκουμένη λέλεκται πολλαί τε ἕτεραι μεγάλοις περιρρεόμεναι πελάγεσιν, αἳ δὲ ἐλάττους, φανεραὶ δὲ ἡμῖν καὶ ἐντὸς οὖσαι. Καὶ τούτων αἳ μὲν ἀξιόλογοι, Σικελία τε καὶ Εὔβοια καὶ Κύπρος, Σαρδὼ ⟨καὶ⟩ Κύρνος, Κρήτη τε [καὶ Πελοπόννησος] καὶ Λέσβος· αἳ δὲ ὑποδεέστεραι, ὧν αἳ μὲν Σποράδες ⟨καὶ⟩ Κυκλάδες, αἳ δὲ ἄλλως ὀνομάζονται.

Πέλαγος δὲ τὸ μὲν ἔξω τῆς οἰκουμένης Ἀτλαντικόν τε καὶ Ὠκεανὸς καλεῖται, περιρρέων ἡμᾶς· ἐντὸς δὲ πρὸς δύσεις στενοπόρῳ διανεφῳγὼς στόματι, ταῖς Ἡρακλείοις λεγομέναις στήλαις, τὸν εἰσρέουν εἰς τὴν ἔσω θάλασσαν ὡς ἂν εἰς λιμένα ποιεῖται· κατὰ μικρὸν δὲ ἐπιπλατυνόμενος ἀναχεῖται, μεγάλους περιλαμβάνων κόλπους ἀλλήλοις συναφεῖς. Πρῶτον μὲν οὖν λέγεται ἐγκεκολπῶσθαι

---

2 an ⟨*τὰ*⟩ *πέντε*? | *πέντε δὴ* Ar. ‖ **3** *ἐγκείμενα – μείζονι* (4) addidi ex Ar. ‖ **5** post *αἰθέρι* add. FP *ἀέρος δὲ*, quod om. Ar. ‖ **5. 6** *τὸν κόσμον ὅλον* F Ar. *OP* ‖ **8** *τὸ* (ante *μὲν*) om. P ‖ **11. 12** *καθάπερ οὖν πᾶσα* FP, *καθάπερ ἡ σύμπασα* Ar.: *καθάπερ σύμπασα* scripsi ‖ **12** *ἥδε οἰκουμένη* Ar. | *πολλαί τε ἕτεραι* Ar., *πολλοῖς τε ἑτέροις* P, *πολλοῖς ἑτέροις* F | *μεγάλοις* om. Heeren ‖ **13** *περιρρεόμεναι* Ar., *περιρρεομένη* FP | *αἳ δ' εἰσὶν ἐλάττους* Ar. ‖ **14. 15** *Σικελία καὶ Σαρδὼ καὶ Κύρνος Κρήτη τε καὶ Εὔβοια καὶ Κύπρος καὶ Λέσβος* Ar. ‖ **15** *καὶ* ante *Κύρνος* addidi (*τε* Gaisford) | *κύρος* P¹ ‖ **16** *καὶ* (*καὶ* om. F) *Πελοπόννησος* FP, om. Ar.: seclusit Heeren ‖ **17** *κυκλάδες* FP, *αἳ δὲ κυκλάδες* Ar.: *καὶ κυκλάδες* scripsi ‖ **19** *ὠκεανὸν* P¹ | *ἐντὸς δὲ*] *ἐν δὲ τῷ* Ar. ‖ **20** *δύσιν* Ar. *OP* | *διανεφῳγὸς* Ar. ‖ **20. 21** *κατὰ τὰς Ἡρακλείους λεγομένας στήλας* Ar. ‖ **20** *ἡρακλείοις* FP: *ἡρακλείαις* Heeren ‖ **24** post *συναφεῖς* add. nonnulla Ar.

[656] ἐν δεξιᾷ εἰσπλέοντι τὰς Ἡρακλείους στήλας διχῶς εἰς τὰς
p. 73 C. καλουμένας Σύρτεις, ὧν τὴν μὲν μεγάλην, τὴν δὲ μικρὰν καλοῦσιν· ἐπὶ θάτερα δὲ οὐκέθ' ὁμοίως ἀποκολπούμενος τρία ποιεῖ πελάγη, τό τε Σαρδονικὸν καὶ τὸ Γαλατικὸν λεγόμενον καὶ Ἀδρίαν, ἐξῆς δὲ τούτων ἐγκάρσιον τὸ Σικελικόν, μετὰ δὲ τοῦτο τὸ Κρητικόν, συνεχὲς ⟨δ'⟩ αὐτοῦ τῇ μὲν τὸ Αἰγύπτιον καὶ Παμφύλιον καὶ Σύριον, τῇ δὲ τὸ Αἰγαῖόν τε καὶ Μυρτῷον. Ἀντιπαρήκει δὲ τοῖς εἰρημένοις πολυμερέστατος [δὲ] ὢν Πόντος, οὗ τὸ μὲν μυχαίτατον Μαιῶτις καλεῖται, τὸ δὲ ἔξω πρὸς τὸν Ἑλλήσποντον συνεστόμωται τῇ καλουμένῃ Προποντίδι. Πρός γε μὴν ταῖς ἀνασχέσεσι τοῦ ἡλίου πάλιν εἰσρέων ὁ Ὠκεανός, τὸν Ἰνδικόν τε καὶ Περσικὸν διανοίξας κόλπον, ἀναφαίνει τὴν Ἐρυθρὰν θάλασσαν διειληφώς. Ἐπὶ θάτερον δὲ κέρας καταστενοῦται καὶ ἐπιμήκη διιὼν εἰς αὐχένα πάλιν ἀνευρύνεται, τὴν Ὑρκανίαν τε καὶ Κασπίαν ὁρίζων· τὸ δὲ ὑπὲρ
[658] ταύτην βαθὺν ἔχει τὸν ὑπὲρ τὴν Μαιῶτιν λίμνην τόπον. Εἶτα κατ' ὀλίγον τι ὑπὲρ τοὺς Σκύθας τε καὶ Κελτικὴν σφίγγει τὴν οἰκουμένην, πρός τε τὸν Γαλατικὸν καλούμενον κόλπον καὶ τὰς προειρημένας στήλας Ἡρακλείους, ὧν ἔξω περιρρεῖ τὴν γῆν ὁ Ὠκεανός. Ἐν τούτῳ γε μὴν νῆσοι μεγάλαι τυγχάνουσιν, αἵ [τε] δύο Βρετανικαὶ λεγόμεναι [καὶ] Ἄλβιον καὶ Ἰέρνη, τῶν προϊστορημένων μεί-

---

3 οὐκέτι Ar., οὐκ ἔσθ' FP ‖ **4** ποιεῖ Ar., πόσα FP | σαρδανικὸν F, σαρδικὸν P, σαρδόνιον Ar. ‖ **4. 5** λεγόμενον] καλούμενον Ar. praeter *R* ‖ **5** ἀδρίαν Ar., ἀδρίας P corr., ἀδριὸν F, ἀδρίον P: τὸ Ἄδριον Heeren ‖ **5. 6** τὸ μὲν Σικελικὸν Heeren ‖ **6** δ' post συνεχὲς add. Heeren ex Ar. ‖ **7** Αἰγύπτιόν τε καὶ Ar. ‖ **8** καὶ τὸ μυρτῷον Heeren | ἀντιπαρήκει Ar., ἀντιπαρῆκε FP ‖ **9** δὲ om. Ar.: del. Heeren | ὁ πόντος Ar. | μυχαίτατον Ar., πυμαίτατον FP ‖ **10. 11** συνανεστόμωται Ar. ‖ **12** ἀνασχέσεσι Ar., ὑποσχέσεσι FP, ὑποκλίσεσι F^2 ‖ **13** post ἀναφαίνει add. συνεχῆ Ar. ‖ **15** κατὰ στενόν τε καὶ ἐπιμήκη διήκων αὐχένα Ar. ‖ **18** ὀλίγον τε FP, ὀλίγον Ar.: ὀλίγον τι Canter ‖ **19** σφίγγει P^2 Ar., σφίγγα FP^1 ‖ **19. 20** καλούμενον om. Ar. ‖ **20** ἡρακλείους στήλας Ar., στήλας ἡρακλείας FP ‖ **22** μέγισταί τε τυγχάνουσιν οὖσαι δύο Ar. | τε om. (Ar.) App.: delevi ‖ **23** καὶ ante Ἄλβιον om. Ar. App.: del. Heeren | Ἄλβιον Ar. Reg. 1038 mrg, ἀλβίων P^2 mrg, λαβεῖον FP^1, λάβιον Ar. *Q* al., λαβίων Ar. *OR* | Ἰέρνη Ar., ἱέρνη P^2 mrg Ar. *R*, ἱερμὴ FP

ζους, ὑπὲρ Κελτοὺς κείμεναι· τούτων δὲ ἐλάττους ἥ τε Ταπροβάνη πέραν Ἰνδῶν, λοξὴ πρὸς τὴν οἰκουμένην, καὶ ἡ Φοβέα [Εὔβοια] καλουμένη, κατὰ τὸν Ἀράβιον κειμένη κόλπον. Οὐκ ὀλίγαι τε ἄλλαι μικραὶ περὶ τὰς Βρετανικὰς καὶ τὴν Ἰβηρίαν κύκλῳ περιεστεφάνωνται τὴν οἰκουμένην ταύτην, ἣν δὴ νῆσον εἰρήκαμεν. ἧς πλάτος μὲν κατὰ τὸ [660] βαθύτατον τῆς ἠπείρου βραχὺ ἀποδέον τετρακισμυρίων σταδίων φασὶν οἱ εὖ γεωγραφήσαντες, μῆκος δὲ περὶ ἑπτακισμυρίους μάλιστα. διαιρεῖται δὲ εἴς τε Εὐρώπην καὶ Ἀσίαν καὶ Λιβύην.

Εὐρώπη μὲν οὖν ἐστιν ἧς ὅρος κύκλῳ στῆλαί τε Ἡρακλέους καὶ μυχοὶ Πόντου, θάλαττά τε [καὶ] Ὑρκανία, καθ' ἣν στενώτατος ἰσθμὸς εἰς τὸν πόντον διήκει· τινὲς δὲ ἀντὶ τοῦ ἰσθμοῦ Τάναιν ποταμὸν εἰρήκασιν. Ἀσία δ' ἐστὶ τὸ ἀπὸ τοῦ εἰρημένου ἰσθμοῦ τοῦ τε Πόντου καὶ τῆς Ὑρκανίας θαλάττης μέχρι θατέρου ἰσθμοῦ, ὃς μεταξὺ κεῖται τοῦ τε Ἀραβικοῦ κόλπου καὶ τῆς ἔσω θαλάττης, περιεσχημένος ὑπό τε ταύτης καὶ τοῦ πέριξ ὠκεανοῦ· τινὲς δὲ ἀπὸ Τανάιδος μέχρι Νείλου τίθενται ὅρον. Λιβύη δὲ τὸ ἀπὸ τοῦ Ἀραβικοῦ ἰσθμοῦ ἕως Ἡρακλείων στηλῶν· οἱ δὲ ἀπὸ τοῦ Νείλου φασὶν ἕως ἐκείνων. Τὴν δὲ Αἴγυπτον ὑπὸ τῶν τοῦ Νείλου στομάτων περιχεομένην οἱ μὲν τῇ Ἀσίᾳ, οἱ δὲ τῇ Λιβύῃ προσάπτουσι· καὶ τὰς

---

1 ὑπὲρ τοὺς κελτοὺς Ar. | ante ἐλάττους add. οὐκ Ar. vulg., sed cum *OPQR* om. App. ‖ **2** ταπροβάνη P² Ar., προβάνη FP¹ ‖ **2. 3** καὶ ἡ φεβὸλ καλουμένη Ar., ἡ φοβέα καὶ εὔβοια καλουμένη FP: καὶ ἡ Φοβέα καλουμένη scripsi secluso εὔβοια, quae discrepans est scriptura verbi φοβέα cf. *Stud.* p. 66; nam incertum num ipse Stobaeus φεβόλ legerit | ἀραβικὸν Ar. ‖ **4** οὐκ ὀλίγαι δὲ Ar. | ἄλλαι om. Ar. | post ἄλλαι add. τε P ‖ **6** post μὲν add. ἐστι Ar., ante φασὶν (8) idem ὡς ‖ **7** βραχὺ P² Ar., βραχὺν FP¹ | ἀποδέον P² Ar., ἀποδέοντα FP¹ ‖ **11** ὅροι Ar. ‖ **11. 12** Ἡρακλέους Ar., ἡρακλέος FP ‖ **12** καὶ ante Ὑρκανία del. P² et om. Ar. ‖ **14** ἀπὸ τοῦ Ar. ‖ **15** τοῦ τε πόντου F Ar., καὶ τοῦ πόντου P ‖ **18** περιεσχημένος FP, περιεχόμενος Ar. ‖ **19** ante ἀπὸ add. τὸ Ar. *Q* | Νείλου στομάτων τίθενται τὸν τῆς Ἀσίας ὅρον Ar. ‖ **20** ἀραβικοῦ Ar., ἀραβίου καὶ FP | ἡρακλέους Ar. ‖ **22** περιρρεομένην Ar.

νήσους οἳ μὲν ἐξαιρέτους ποιοῦσιν, οἳ δὲ [*ἀεὶ*] *προσνέμουσιν ἀεὶ ταῖς γείτοσι μοίραις. Γῆς μὲν δὴ καὶ θαλάττης*
[662] *φύσιν καὶ θέσιν, ἣν καλεῖν εἰώθαμεν οἰκουμένην, τοιάνδε πῃ ἱστορήκαμεν.*

[c. 4] *Περὶ δὲ τῶν ἀξιολογωτάτων ἐν αὐτῇ καὶ ὑπὲρ αὐτῆς παθῶν νῦν λέγωμεν, αὐτὰ τὰ ἀναγκαῖα ἀνακεφαλαιούμενοι. Δύο γὰρ δή τινες ἀναθυμιάσεις ἀπ' αὐτῆς ἀναφέρονται συνεχῶς εἰς τὸν ὑπὲρ ἡμᾶς ἀέρα λεπτομερεῖς καὶ ἀόρατοι παντάπασιν, ἔκ τε τῶν κατὰ τὰς ἠόνας τόπων ἔκ τε ποταμῶν τε καὶ ναμάτων ἀναφερόμεναι θεω-*
p. 74 C. *ροῦνται. Τούτων δ' ἡ μέν ἐστι ξηρὰ καὶ καπνώδης, ἀπὸ τῆς γῆς ἀπορρέουσα· ἡ δὲ νοτερὰ καὶ ἀτμώδης,* [*καὶ*] *ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιωμένη φύσεως. Γίγνονται δὲ ἀπὸ μὲν ταύτης ὁμίχλαι καὶ δρόσοι καὶ πάγων ἰδέαι, νέφη τε καὶ ὄμ-*
[664] *βροι καὶ χιόνες καὶ χάλαζαι· ἀπὸ δὲ τῆς ξηρᾶς ἄνεμοί τε καὶ πνεύματα διάφορα, βρονταί τε καὶ ἀστραπαὶ καὶ πρηστῆρες καὶ κεραυνοὶ καὶ τὰ ἄλλα, ἃ δὴ τούτοις ἐστὶ σύμφυλα.*

Ἔστι δὲ ὁμίχλη μὲν ἀτμώδης ἀναθυμίασις ἄγονος ὕδατος, ἀέρος μὲν παχυτέρα, νέφους δὲ ἀραιοτέρα· γίνεται δὲ ἤτοι ἐξ ἀρχῆς νέφους ἢ ἐξ ὑπολείμματος. Ἀντίπαλος δὲ αὐτῇ λέγεταί τε καὶ ἔστιν αἰθρία, οὐδὲν ἄλλο οὖσα πλὴν ἀὴρ ἀνέφελός τε καὶ ἀνόμιχλος. Δρόσος δ' ἐστὶν ὑγρὸν ἐξ αἰθρίας κατὰ σύστασιν λεπτὴν φερόμενον, κρύσταλλος δὲ ἀθρόον ὕδωρ ἐξ αἰθρίας πεπηγός, πάχνη δ'

---

1. 2 *ἀεὶ* ante et post *προσνέμουσιν* om. Ar. (*προσνέμουσιν ἀεὶ* solus *P*), sed post *γείτοσιν* add. ‖ **3** *ἣν – οἰκουμένην* del. Heeren | *ἥντινα* Ar. ‖ **3. 4** *τε οἵαν πῃ* FP, *τοιάνδε τινὰ* Ar.: *τοίαν πῃ* Heeren ‖ **5. 6** *ὑπὲρ ταύτης* FP, *περὶ αὐτὴν* Ar. *OQ*, *περὶ τῶν αὐτῆς* Ar. *PR*: *ὑπὲρ αὐτῆς* Heeren ‖ **6** *λέγωμεν* Ar., *λέγομεν* F, *λόγομεν* P ‖ **6. 7** *ἀνακεφαλαιούμενοι* P² Ar. *P*, *ἀνακεφαλαιούμενον* FP¹, *κεφαλαιούμενοι* Ar. cet. ‖ **7** *τινες ἀπ' αὐτῆς ἀναθυμιάσεις* Ar. ‖ **9** *παντάπασιν εἴ τι μὴ κατὰ τὰς ἑῴας* (scil. *ἀναθυμιάσεις*) *ἐστίν, αἵ τε διὰ ποταμῶν* (*ἐστι* ⟨*παχύτερον*⟩, *αἵ γε ἀπὸ ποτ.* Usener coll. App.) Ar. ‖ **12** *καὶ* ante *ἀπὸ* om. Ar.: del. Heeren; num *ἡ*? ‖ **13** *δὴ* Ar. ‖ **16** *πνευμάτων διαφοραί* Ar. ‖ **18** *ἄγονος* Ar., *ἀγόνου* FP ‖ **21** *αὐτῇ* Ar., *αὕτη* FP | *τε* om. Ar. | *αἰθρία* Ar., *αἴθριος* FP ‖ **22** *τε* om. F Ar. ‖ **23** *λεπτὸν* Ar. *Q* ‖ **24.** p. **263, 1** *πάχνη δὲ δρόσος πεπηγυῖα, δροσοπάχνη δὲ ἡμιπαγὴς δρόσος* Ar.

ἐστὶν * * ἡμιπαγὴς δρόσος· νέφος δ' ἐστὶν ⟨πάχος⟩ ἀτμῶδες συνεστραμμένον γόνιμον ὕδατος· ὄμβρος δὲ γίνεται μὲν κατ' ἐκπιασμὸν νέφους εὖ μάλα πεπαχυμμένου· διαφορὰς δὲ ἴσχει ὅσας καὶ ἡ τοῦ νέφους ἀπόθλιψις· ἠπία μὲν γὰρ οὖσα μαλακὰς ψεκάδας διασπείρει, σφοδρὰ δὲ ἀδρο- [666]
τέρας· καὶ τοῦτο καλοῦμεν ὄμβρον ὑετοῦ μείζονα καὶ συνεχῆ συστρέμματα ἐπὶ γῆς φερόμενα. Χιὼν δὲ γίνεται κατὰ νεφῶν πεπυκνωμένων ἀπόθραυσιν πρὸ τῆς εἰς ὕδωρ μεταβολῆς ἀνακοπέντων· ἐργάζεται δὲ ἡ μὲν κοπὴ τὸ ἀφρῶδές τε καὶ ἔκλευκον, ἡ δὲ σύμπηξις τοῦ ἐνόντος ὑγροῦ τὴν ψυχρότητα οὔπω χυθέντος οὐδὲ ἠραιωμένου. Σφοδρὰ δ' αὖτη καὶ ἀθρόα καταφερομένη νιφετὸς ὠνόμασται. Χάλαζα δὲ γίνεται νιφετοῦ συστραφέντος καὶ βρῖθος ἐκ πιλήματος εἰς καταφορὰν ταχυτέραν λαβόντος· παρὰ δὲ τὰ μεγέθη τῶν ἀπορρηγνυμένων θραυσμάτων οἵ τε ὄγκοι μείζους αἵ τε φοραὶ γίνονται βιαιότεραι. Ταῦτα μὲν οὖν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως πέφυκε συμπίπτειν.

Ἐκ δὲ τῆς ξηρᾶς ὑπὸ ψύχους μὲν ὠσθείσης ὥστε ῥεῖν ἄνεμος ἐγένετο· οὐδὲν γάρ ἐστιν οὗτος πλὴν ἀὴρ ῥέων πολὺς καὶ ἀθρόος, ὅστις ἅμα καὶ πνεῦμα λέγεται. Καλεῖται δὲ πνεῦμα καὶ ἑτέρως ἥ τε ἐν φυτοῖς καὶ ζῴοις [668]
καὶ διὰ πάντων διήκουσα ἔμψυχός τε καὶ γόνιμος οὐσία, περὶ ἧς νῦν λέγειν οὐκ ἀναγκαῖον. Τὰ δὲ ἐν ἀέρι πνέοντα πνεύματα καλοῦμεν ἀνέμους, αὔρας δὲ τὰς ἐξ ὑγροῦ φερομένας ἐκπνοάς. Τῶν δὲ ἀνέμων οἱ μὲν ἐκ νενοτισμένης γῆς ῥέοντες ἀπόγειοι λέγονται, οἱ δὲ ἐκ κόλπων διεξάττοντες ἐγκολπίαι· τούτοις δὲ ἀνάλογόν τι ἔχουσιν οἱ

---

1 *πάχος* om. FP: add. Heeren ex Ar. ‖ **2** *ὄμβρου* F ‖ **3** *ἐκπιεσμὸν* Ar. praeter *Q* | *πεπαχυμένου* FP Ar. *Q*, *πεπαχυσμένου* Ar. cet.: *πεπιασμένου* Heeren ‖ **4** ante *ὅσας* add. *τοσάσδε* Ar. | *θλίψις* Ar. | *ἠπία* FP ‖ **5** *ψακάδας* Ar.*R* | *διαπείρει* P | *σφοδρὰ* Ar., *σφόδρα* FP ‖ **6** *ὄμβρον· ὑετὸν* FP, *ὑετὸν ὄμβρου* (*ὄμβρον O*) Ar.: cf. Chrysipp. supra p. 245, 25. 26 | *μείζω* Ar. ‖ **9** *ἀνακοπὴ* Usener ‖ **10** *τε* om. Ar. ‖ **11** *σφόδρα* Ar. ‖ **17** *συνεμπίπτειν* Ar. *OR*, *συνεκπίπτειν* Ar. *PQ* ‖ **19. 20** *πολὺς ῥέων* P Ar. ‖ **20. 21** *λέγεται δὲ καὶ ἑτέρως πνεῦμα* Ar. ‖ **22** *ἡκουσα* P | *μόνιμος* F ‖ **23** *ἀέρι* P² Ar., *θέρει* FP¹ ‖ **24** *πνεύματα* om. P ‖ **26** *πνέοντες* Ar. | *κόλπων* Ar., *πολλῶν* FP ‖ **27** *ἐξάττοντες* Mein. | *ἀνάλογον* P² Ar., *ἕνα λόγον* FP¹ | *τι ἔχουσιν* Ar., *ἐπέχουσιν* FP

ἐκ ποταμῶν τε καὶ λιμνῶν. Οἱ δὲ κατὰ ῥῆξιν γιγνόμενοι καὶ ἀνάλυσιν τοῦ πάχους εἰς ἑαυτοὺς ποιούμενοι ἐκνεφίαι· μεθ' ὕδατος δὲ ἀθρόου ῥαγέντος ἐξυδρίαι λέγονται. Καὶ οἱ μὲν ἀπὸ ἀνατολῆς συνεχεῖς εὖροι κέκληνται, βορέαι δὲ οἱ ἀπὸ ἄρκτου· ζέφυροι δὲ οἱ ἀπὸ δυσμῶν· νότοι δὲ ⟨οἱ⟩ ἀπὸ μεσημβρίας. Τῶν γε μὴν εὔρων Ἀπαρκτίας μὲν λέγεται
[670] ⟨ὁ⟩ ἀπὸ τοῦ περὶ τὰς θερινὰς ἀνατολὰς τόπου ῥέων ἄνεμος, Ἀπηλιώτης δὲ ⟨ὁ ἀπὸ τοῦ περὶ τὰς ἰσημερινάς, Εὖρος δὲ ὁ⟩ ἀπὸ τοῦ περὶ τὰς χειμερινάς. Καὶ τῶν ἐναντίων ζεφύρων Ἀργέστης μὲν ὁ ἀπὸ τῆς θερινῆς δύσεως, ὄντινα καλοῦσιν οἱ μὲν Ὀλυμπίαν, οἱ δὲ Ἰάπυγα, Ζέφυρος δὲ ⟨ὁ⟩ ἀπὸ τῆς ἰσημερινῆς, ⟨Λίψ δὲ ὁ ἀπὸ τῆς χειμερινῆς⟩. Καὶ τῶν βορείων ἰδίως ὁ μὲν [τῶν] ἐξῆς τῷ Καικίᾳ καλεῖται Βορέας,
p. 75 C. [δὲ καὶ] Ἀπαρκτίας δὲ ὁ ἐφεξῆς [αὐτῶν καθεξῆς] ἀπὸ τοῦ πόλου κατὰ τὸ μεσημβρινόν, Θρασκίας δὲ ὁ ἐξῆς τῷ Ἀργέστῃ, ὃν ἔνιοι Καικίαν καλοῦσι. Καὶ τῶν [μὲν] νότων ὁ
[672] μὲν ἀπὸ τοῦ ἀφανοῦς πόλου φερόμενος, ἀντίπαλος τῷ Ἀπαρκτίᾳ, καλεῖται Νότος· Εὐρόνοτος δὲ ὁ μεταξὺ τούτου καὶ Εὔρου. Τὸν δὲ ἐπὶ θάτερα μεταξὺ Λιβός τε καὶ Νότου οἱ μὲν Λιβόνοτον, οἱ δὲ Λιβοφοίνικα καλοῦσι. Τῶν δὲ ἀνέμων οἱ μέν εἰσιν εὐθύπνοοι, ὁπόσοι διεκθέ-

---

1 τε om. Ar. | post ῥῆξιν add. νέφους Ar. ‖ **2** προς ἑαυτοὺς Ar. | post ἐκνεφίαι add. καλοῦνται Ar. ‖ **3** ἄρθρου FP¹, ἄδρου P², ἀθρόως Ar.: ἀθρόου Heeren, ἄθρου Meineke ‖ **4** συνεχεῖς om. Heeren ‖ **5** δύσεως Ar. | νότοι Ar., νότιοι FP | οἱ ante ἀπὸ μεσημβρίας (6) add. Ar., om. FP ‖ **6** ἀπαρκτίας FP App., sed καικίας Ar. recte ‖ **7** ὁ om. FP¹, add. P² Ar. | θερινὰς F² Ar., ἑσπερινὰς F¹P | πνέων Ar. | ἀνέμους P¹ ‖ **8. 9** ὁ ἀπὸ τοῦ περὶ τὰς ἰσημερινάς, εὖρος δὲ ὁ om. FP: add. Heeren ex Ar. ‖ **10** ἀργέτης FP | ὃν τινες καλοῦσιν ὀλυμπίαν Ar. ‖ **11** ἴπυγα FP | ὁ ante ἀπὸ addidi ex Ar. | τῆς ante ἰσημερινῆς (12) om. P ‖ **12** λίψ δὲ ὁ ἀπὸ τῆς χειμερίνης addidi ex Ar. ‖ **12. 13** βορεῶν Ar. ‖ **13** ὁ μὲν ἐξῆς Ar., οἱ μὲν τῶν ἐξῆς FP ‖ **13. 14** καλεῖται βορέας, ἀπαρκτίας δὲ ὁ ἐφεξῆς Ar., καλεῖται· βορέας δὲ καὶ ἀπαρκτίας διὸ ἐφεξῆς αὐτῶν καθεξῆς FP ‖ **15** post μεσημβρινὸν et ὁ ἐξῆς add. πνέων Ar. | θρακίας P Ar. *R* ‖ **16** μὲν post τῶν om. Ar.: seclusi | νότων F² Ar., ὄντων F¹P: fort. νοτίων ut βορείων (12. 13) ‖ **18. 19** μεταξὺ εὔρου καὶ νότου Ar. *OQR*, μεταξὺ νότου καὶ εὔρου Ar. *P* ‖ **19** τὸν Ar., τὸ FP | λιβὸς δὲ FP, λιβὸς Ar.· λιβός τε Canter ‖ **21** ὃν F ‖ **21.** p. **265**, **1** διεκπνέουσι Ar.

*ουσι πρόσω κατ᾽ εὐθεῖαν· οἳ δέ εἰσιν ἀνακαμψίπνοοι, καθάπερ ὁ Καικίας λεγόμενος. Καὶ οἳ μὲν χειμῶνος, καθάπερ οἱ νότοι, δυναστεύοντες, οἳ δὲ θέρους, ὡς οἱ ἐτησίαι λεγόμενοι, μῖξιν ἔχοντες τῶν τε ἀπὸ τῆς ἄρκτου φερομένων καὶ ζεφύρων. οἱ δὲ Ὀρνιθίαι καλούμενοι, ἐαρινοὶ πνέοντες ἄνεμοι, βόρειοί εἰσι τῷ γένει. Τῶν γε μὴν βιαίων πνευμάτων καταιγὶς μέν ἐστι πνεῦμα * * βίᾳ καὶ ἄφνω προσαλλόμενον· λαῖλαψ δὲ καὶ στρόβιλος πνεῦμα εἱλούμενον ἄνω καὶ κάτω· ἀναφύσημα δὲ πνεῦμα γῆς ἄνω φερόμενον κατὰ τὴν ἐκ βυθοῦ τινος ἢ ῥήγματος ἀνάδοσιν· ὅταν δὲ πολὺ φέρηται εἱλούμενον, πρηστὴρ χθόνιός ἐστιν. Εἰληθὲν δὲ πνεῦμα ἐν νέφει παχεῖ τε ⟨καὶ⟩ νοτίῳ καὶ ἐξωσθὲν δι᾽ αὐτοῦ βιαίως ⟨ῥηγνύον⟩ τὸ πίλημα τοῦ νέφους βρόμον καὶ πάταγον μέγαν ἀπειργάσατο, βροντὴν λεγόμενον, ὥσπερ ἐν ὕδατι πνεῦμα σφοδρῶς ἐλαυνόμενον. Κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν πυρωθὲν τὸ πνεῦμα καὶ λάμψαν ἀστραπὴ λέγεται· ὃ δὴ πρότερον τῆς βροντῆς προσέπεσεν ὕστερον γενόμενον, ἐπεὶ τὸ ἀκουστὸν ὑπὸ τοῦ ὁρατοῦ πέφυκε φθάνεσθαι· τοῦ μὲν καὶ πόρρωθεν δηλουμένου, τοῦ δὲ ἐπειδὰν ἐμπελάσῃ τῇ ἀκοῇ· καὶ ὅταν τὸ μὲν τάχιστον ᾖ τῶν ὄντων, λέγω δὲ τὸ πυρῶδες, τὸ δὲ ἧττον ταχύ, τὸ ἀερῶδες, ἐν τῇ πλήξει πρὸς ἀκοὴν ἀφικνούμενον. Τὸ δὲ ἀστράψαν, ἀναπυρωθὲν βιαίως καὶ ἄχρι τῆς γῆς διεκθέον, κεραυνὸς καλεῖται· ἐὰν δὲ ἡμίπυρον ᾖ, σφοδρὸν ἄλλως καὶ ἀθρόον, πρηστήρ· ἐὰν δὲ ἄπυρον παντελῶς, τυφών.* [674]

---

1 *εἰσιν* om. Ar. *Q* | *ἀνακαμψίπνοοι* Ar., *ἀνακαμψίπνοι* FP ‖ **3** *καθάπερ*] *ὥσπερ* Ar. ‖ **4** *ἐτησίαι* Ar., *ἐτήσιοι* FP ‖ **5. 6** *ἐαρινοί τινες ὄντες* Ar., *εἰσίν, οἱ πνέοντες* FP ‖ **6** *βορέαι* Ar. ‖ **7** *καταιγὶς* Ar., *κατὰ γῆς* FP | post *πνεῦμα* add. *ἄνωθεν τύπτον ἐξαίφνης, θύελλα δὲ πνεῦμα* Ar. | *βίᾳ* FP, *βίαιον* Ar. ‖ 8 *ἄφνω* Ar., *ἄνω* FP ‖ **9** *εἱλούμενον κάτωθεν ἄνω* Ar. | *γῆς πνεῦμα* Ar. ‖ **11** *εἱλ. πολὺ φέρηται* Ar. | *πολὺς* FP | *εἱλούμενος* P ‖ **12** *εἰληθὲν* Ar., *εἰληφὲν* FP | *καὶ* om. FP: add. Heeren ex Ar. | *νοτερῷ* Ar. ‖ **12. 13** *ἔξωθεν* Ar. ‖ **13** *ῥηγνύον* addidi ex Ar. | *τὰ συνεχῆ πιλήματα* Ar. ‖ **14** *ἀπειργάσατο μέγαν* P Ar. *P* ‖ **17** *προσὲν* P ‖ **19** *ὁρωμένου* Ar. ‖ **20** *καὶ μάλιστα ὅταν* Ar. | *ὅταν – ᾖ* corruptum; fort. fuit *διότι – ἐστι* ‖ **21** *λέγω δὴ* P ‖ **21. 22** *τὸ δὲ – ἀερῶδες* om. P | *ταχὺ ἀερῶδες ὂν* Ar. ‖ **23** *καὶ* om. Ar. ‖ **24** *σφοδρὸν δὲ ἄλλως* Ar. ‖ **25** post *ἄπυρον* add. *ᾖ* Ar.

[676] Ἕκαστον δὲ τούτων κάτω σκῆψαν εἰς γῆν σκηπτὸς ὀνομάζεται. Τῶν δὲ κεραυνῶν οἱ μὲν αἰθαλώδεις ψολόεντες λέγονται· οἱ δὲ ταχέως διάττοντες ἀργῆτες· ἑλικίαι δὲ οἱ γραμμοειδῶς φερόμενοι· σκηπτοὶ δὲ ὅσοι κατασκήπτουσιν εἴς τι. Συλλήβδην δὲ τῶν ἐν ἀέρι φαντασμάτων τὰ μέν ἐστι κατ' ἔμφασιν, ⟨τὰ δὲ καθ' ὑπόστασιν. Κατ' ἔμφασιν μὲν⟩ ἴριδες καὶ ῥάβδοι καὶ ἁπλῶς τὰ τοιαῦτα, καθ' ὑπόστασιν δὲ σέλα τε διάττοντα καὶ κομῆται καὶ τὰ τούτοις παραπλήσια. Ἶρις μὲν οὖν ἐστιν ἔμφασις ἡλίου τμήματος ἢ σελήνης, ἐν νέφει νοτερῷ καὶ κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν ὡς ἐν κατόπτρῳ θεωρουμένη κατὰ κύκλου περιφάνειαν. Ῥάβδος δὲ ἴριδος ἔμφασις εὐθεῖα· ἄλως δ' ἐστὶν ἔμφασις λαμπρότητος ἄστρου περίαυγος, διαφέρουσα τῇ ἰδιότητι, ⟨ὅτι⟩ ἡ μὲν ἶρις ἐξ ἐναν-
[678] τίας φαίνεται ἡλίου τε καὶ σελήνης, ἡ δ' ἄλως κύκλῳ παντὸς ἄστρου. Σέλας δ' ἐστὶ πυρὸς ἀθρόου ἔξαψις ἐν ἀέρι. Τῶν δὲ σελῶν τὰ μὲν ἀκοντίζεται, τὰ δὲ στηρίζεται. Ὁ μὲν οὖν ἐξακοντισμός ἐστι πυρὸς γένεσις ἐκ παρατρίψεως ἐν ἀέρι φερομένου ταχέως καὶ φαντασίαν μήκους
p. 76 C. ἐμφαίνοντος διὰ τὸ τάχος· ὁ δὲ στηριγμὸς χωρὶς φορᾶς προμήκης ἔκτασις καὶ οἱονεὶ ἄστρου ῥύσις· πλατυνομένη δὲ κατὰ θάτερον κομήτης καλεῖται. Πολλάκις δὲ τῶν σελῶν τὰ μὲν ἐπιμένει πλείονα χρόνον, τὰ δὲ παραχρῆμα

---

1 *κάτω σκῆψαν* FP, *κατασκῆψαν* Ar. | *εἰς τὴν γῆν* Ar. ‖ **4** *γραμμοειδῶς* P² Ar., *γραμματοειδῶς* FP¹ ‖ **6. 7** *τὰ δὲ καθ' ὑπόστασιν. κατ' ἔμφασιν μὲν* om. FP: add. Heeren ex Ar. ‖ **7** *ἶρις δὲ* FP: *ἴριδες* scripsi ex Ar., *ἶρις τε* Heeren | *ἁπλῶς* om. Ar. ‖ **8** *σέλα τε* F Ar., *σέλατι* P¹, *σέλατα* P² | *διάττοντα* FP, *καὶ διάττοντα* Ar. *Q*, *καὶ διάττοντες* Ar. *OR*, *διάττοντες* Ar. *P* ‖ **10** *τμήματος ἢ σελήνης ἐν νέφει νοτερῷ* Ar., *τμήματι γῆς μόνης ἐν στενοτέρῳ* (*στενότι* P) FP ‖ **11** *κατόπτῳ* P ‖ **12** *περιφέρειαν* Ar. | ante *ἴριδος* add. *ἐστιν* Ar. ‖ **13** *ἄλως* P² Ar., *ἄλλως* FP¹ ‖ **13. 14** *περίαυγος* Ar., *περὶ κύτος* FP ‖ **14** *διαφέρει δὲ ἴριδος* (om. *τῇ ἰδιότητι*) Ar. | *ὅτι* om. FP: add. Heeren ex Ar. ‖ **15** *τε* om. Ar. praeter *Q* | *ἄλλως* F | *κύκλῳ* Ar., *κύκλου* FP ‖ **16** *ἄστρου* P² Ar., *ἀστείου* FP¹ ‖ **17** *σελάων* Ar. | *ἃ μὲν* et *ἃ δὲ* Ar. ‖ **19. 20** *μὴ καταφαίνοντος* FP: *μήκους ἐμφαίνοντος* scripsi ex Ar., *μήκους καταφαίνοντος* Heeren ‖ **20** ante *χωρὶς* add. *ἐστι* Ar. | *φορὰς* P ‖ **21** *ἔντασις* F | *οἷον* Ar. ‖ **23** *σελάων* Ar.

σβέννυται. Πολλαὶ δὲ καὶ ἄλλαι φασμάτων ἰδέαι θεωροῦνται, λαμπάδες τε καλούμεναι καὶ δοκίδες καὶ πωγωνίαι καὶ βόθυνοι, κατὰ τὴν πρὸς ταῦτα ὁμοιότητα ὧδε προσαγορευθεῖσαι. Καὶ τὰ μὲν τούτων ἑσπέρια, τὰ δὲ ἑῷα, τὰ δὲ ἀμφιφανῆ θεωρεῖται· σπανίως δὲ καὶ βόρεια καὶ νότια. Πάντα δὲ ἀβέβαια· οὐδὲ γάρ ποτέ τι τούτων ἀεὶ φανερὸν ἱστόρηται κατεστηριγμένον.

Τὰ μὲν τοίνυν ἀέρια τοιαῦτα. Ἐμπεριέχει δὲ καὶ ἡ [680] γῆ πολλὰς ἐν ἑαυτῇ καθάπερ ὕδατος, οὕτως δὲ καὶ πνεύματος καὶ πυρὸς πηγάς· τούτων δὲ αἳ μὲν ὑπὸ γῆν εἰσιν ἀόρατοι, πολλαὶ δὲ ἀναπνοὰς ἔχουσι καὶ ἀναφυσήσεις, ὥσπερ Λίπαρά τε καὶ Αἴτνη καὶ Αἰόλου νῆσος· αἳ δ' ἐκρέουσι πολλάκις ποταμοῦ δίκην καὶ μύδρους ἀναρριπτοῦσι διαπύρους. Ἔνιαι δὲ ὑπὸ γῆν οὖσαι πλησίον πηγαίων ὑδάτων θερμαίνουσι ταῦτα· καὶ τὰ μὲν χλιαρὰ τῶν ναμάτων ἀνιᾶσι, τὰ δὲ ὑπέρζεστα, τὰ δὲ εὖ ἔχοντα κράσεως. Ὁμοίως δὲ καὶ τῶν πνευμάτων πολλὰ πολλαχοῦ γῆς στόμια ἀνέῳκται. Καὶ τὰ μὲν ἐνθουσιᾶν ποιεῖ τοὺς ἐμπελάζοντας, * * τὰ δὲ χρησμῳδεῖν, ὥσπερ τὰ ἐν Δελφοῖς καὶ τὰ ἐν Λεβαδείᾳ, τὰ δὲ καὶ παντάπασιν ἀναιρεῖ, καθάπερ τὰ ἐν Φρυγίᾳ. Πολλάκις δὲ καὶ συγγενές τι πνεῦμα εὔκρατον ἐν γῇ, παρεξωσθὲν εἰς μυχίους σήραγγας [682] αὐτῆς, ἕξεδρον γενόμενον ἐκ τῶν οἰκείων τόπων, πολλὰ

---

1 *φαντασμάτων* Ar. praeter *R* ‖ **2. 3** *καὶ πωγωνίαι* FP, *καὶ πίθοι* Ar.: *καὶ πωγωνίαι καὶ πίθοι* Meineke ‖ **3** *κατὰ* Ar., *καὶ* FP | *ὁμοιότητα* P^2 Ar., *ὡμοίτητα* P^1, *σιμοίτητα* F ‖ **4** *προσαγορευθεῖσαν* P ‖ **5** *ἀμφιφανῆ* Ar. *PR*, *ἀμφιφαῆ* Ar. *OQ*, *ἀμφιοφανῆ* P, *ἀμφιοθανεῖ* F | *καὶ* ante *βόρεια* om. Ar. ‖ **6** *πάντα δὲ* Ar., *πάντα γὰρ* FP | *οὔτε γάρ ποτέ* FP, *οὐδέποτε γάρ* Ar.: *οὐδὲ γάρ ποτέ* Meineke | *τούτοις* P ‖ **7** *ἱστορεῖται* P ‖ **9** *δὲ* om. Ar. ‖ **12** *καὶ τὰ ἐν Αἰόλου νήσοις* Ar. | *νῆσος* FP: *νῆσοι* Heeren quod superfluum cf. Ptolem. III 4, 17 ‖ **12. 13** *δὲ καὶ ῥέουσι* Ar. ‖ **13** *μύδρας* P^1 ‖ **14. 15** *πηγαίων* Ar., *πηγαὶ* FP ‖ **18** *στόμια* etiam FP | *καὶ τὰ μὲν* P^2, *καὶ ταῦτα μὲν* F, *καὶ μὲν* P^1, *ὧν τὰ μὲν* Ar. ‖ **19** ante *τὰ δὲ* add. Ar. *τὰ δὲ ἀτροφεῖν* ‖ **20** *τὰ ἐν* (ante *Λεβαδείᾳ*) om. Ar. praeter *Q* ‖ **20. 21** *καθάπερ τὸ* Ar. praeter *P*: *ὥσπερ τὰ* Heeren dormitanter ‖ **21** *τι* om. Ar. ‖ **21. 22** *πνεῦμα* iterat F ‖ **22** *παρωσθὲν* P | *σύραγγας* F, *σύριγγας* Ar. *Q*

μέρη συνεκράδανε· πολλάκις δὲ πολὺ γενόμενον ἐξωσθὲν ἐν τοῖς ταύτης κοιλώμασι καὶ ἀποκλεισθὲν ἐξόδου μετὰ βίας αὐτὴν συνετίναξε, ζητοῦν ἔξοδον αὐτῷ καὶ ἀπειργάσατο τὸ πάθος τοῦτο, ὃ καλεῖν σεισμοὺς εἰώθαμεν. Τῶν δὲ σεισμῶν οἱ μὲν εἰς τὰ πλάγια σείοντες κατ' ὀξείας γωνίας ἐπικλίνται καλοῦνται· οἱ δὲ ἄνω ῥιπτοῦντες καὶ κάτω κατ' ὀρθὰς γωνίας βράσται· οἱ δὲ συνιζήσεις ποιοῦντες καὶ τὰ κοῖλα χασματίαι· οἱ δὲ χάσματα ποιοῦντες καὶ γῆν ἀναρρηγνύντες ῥῆκται. Τούτων δὲ οἱ μὲν καὶ πνεῦμα προσαναβάλλουσιν, οἱ δὲ πέτρας, οἱ δὲ πηλόν, οἱ δὲ πηγὰς φαίνουσι τὰς πρότερον οὐκ οὔσας. Τινὲς
[684] δὲ ἀποτρέπονται κατὰ μίαν πρόωσιν, οὓς καλοῦσιν ⟨ὥστας· οἱ δὲ ἀναπάλλοντες καὶ ταῖς εἰς ἑκάτερον ἐγκλίσεσι⟩ καὶ ἀποπάλσεσι διορθοῦντες ἀεὶ τὸ σειόμενον παλματίαι λέγονται, τρόμῳ πάθος ὅμοιον ἀπεργαζόμενοι. Γίγνονται δὲ καὶ μυκητίαι σεισμοί, σείοντες τὴν γῆν μετὰ βρόμου. Πολλάκις δὲ καὶ χωρὶς σεισμοῦ γίνεται μύκημα γῆς, ὅταν τὸ πνεῦμα σείειν μὲν μὴ αὐτάρκες ᾖ, εἱλούμενον δὲ ἐν αὐτῇ κόπτηται μετὰ ῥοθίου βίας. Συσσωματοποιεῖται δὲ τὰ σείοντα πνεύματα καὶ ὑπὸ τῶν ἐν τῇ γῇ ὑγρῶν κεκραμένων.

Τὰ δὲ ἀνάλογον συμπίπτει τούτοις καὶ ἐν θαλάττῃ.

---

1. 2 *ἔξωθεν ἐγκατειλήθη τοῖς ταύτης* Ar. ‖ **3** *ἑαυτῷ* Ar., *αὐτῷ* FP ‖ **4** *τὸ* om. Ar. praeter *P* | *εἰώθαμεν σεισμόν* Ar. ‖ **5** *εἰς τὰς πλαγίας* (*πλαγείας* P) *ὄντες* FP: corr. Heeren ex Ar., in quo *εἰς πλάγια σείοντες* ‖ **6** *ἐπικλίνται* Ar., *ἐπικλῖται* FP ‖ **8** *καὶ τὰ κοῖλα* F, *καὶ κοῖλα* P, *εἰς τὰ κοῖλα* Ar. | *χασματίαι* Ar., *χωματίαι* FP | *χάσματα ἀνοίγοντες* Ar. ‖ **9** post *ῥῆκται* add. Ar. *καλοῦνται* ‖ **11** *πρότερον* P^2 Ar., *προτέρας* FP^1 ‖ **11. 12** *τινὲς δὲ* Ar., *οἵ τινες* FP ‖ **12** *ἀποτρέπονται* FP, *ἀνατρέποντες* Ar. | *κατὰ* F Ar., *καὶ τὰ* P | *πρόωσιν* Ar., *πρόεισιν* FP ‖ **13** *ὥστας — ἐγκλίσεσι* (14) om. FP: add. ex Ar. Heeren ‖ **14** *ἀποπάλσεσι* FP, *ἀναπάλσεσι* Ar. ‖ **16** *μυκητίαι* Ar., *μυκῆται* FP ‖ **17** *βρόμου* Ar., *τρόμου* FP | *καὶ* om. Ar. ‖ **18** *σείειν* Ar., *σεῖον* FP | *ᾖ αὐτάρκες* Ar. ‖ **19** *ἐνειλούμενον* Ar. | *ἐν αὐτῇ* Ar., *ἐπ' αὐτῇ* FP | *κόπτηται* Ar., *κόπτεται* FP ‖ **19. 20** *συνσωματοποιεῖται* FP ‖ **20** *τὰ εἰσιόντα πνεύματα* Ar. | *καὶ* transposuit Heeren ante *τὰ σείοντα* ‖ **21** *κεκρυμμένων* Ar.

Χάσματα ⟨*γὰρ*⟩ *γίγνονται θαλάττης καὶ ἀναχωρήματα πολλάκις καὶ κυμάτων ἐπιδρομαί, ποτὲ μὲν ἀντανακοπὴν ἔχουσαι, ποτὲ δὲ πρόωσιν μόνον· ὥσπερ ἱστορεῖται περὶ Ἑλίκην τε καὶ Βοῦραν. Πολλάκις δὲ καὶ ἀναφυσήματα γίγνεται πυρὸς ἐν τῇ θαλάττῃ καὶ πηγῶν ἀναβλύσεις* [686] *καὶ ποταμῶν ἐκβολαὶ καὶ δένδρων ἐκφύσεις, ῥοαί τε καὶ δῖναι* ⟨*ταῖς*⟩ *τῶν πνευμάτων ἀνάλογον, αἳ μὲν ἐν μέσοις πελάγεσιν, αἳ δὲ κατὰ τοὺς εὐρίπους τε καὶ πορθμούς. Πολλαί τε ἀμπώτεις λέγονται καὶ κυμάτων ἄρσεις συμ-* p. 77 C. *περιοδεύειν ἀεὶ τῇ σελήνῃ κατά τινας ὡρισμένους καιρούς. Ὡς δὲ τὸ πᾶν εἰπεῖν, τῶν στοιχείων κεκραμένων ἀλλήλοις ἐν ἀέρι τε καὶ γῇ καὶ θαλάττῃ κατὰ τὸ εἰκὸς αἱ τῶν παθῶν ὁμοιότητες συνίστανται, τοῖς μὲν ἐπὶ μέρους φθορὰς καὶ γενέσεις φέρουσαι, τὸ δὲ σύμπαν ἀγένητόν τε καὶ ἀνώλεθρον φυλάττουσαι.*

⟨c. 5⟩ *Καίτοι γέ τις ἐθαύμαζε, πῶς ποτε ἐκ τῶν ἐναντίων ἀρχῶν συνεστηκὼς ὁ κόσμος, λέγω δὲ ξηρῶν τε καὶ ὑγρῶν, ψυχρῶν τε καὶ θερμῶν, οὐ πάλαι διέφθαρται καὶ ἀπόλωλεν· ὡς κἂν εἰ πόλιν τινὲς θαυμάζοιεν, ὅπως διαμένει συνεστηκυῖα ἐκ τῶν ἐναντιωτάτων ἐθνῶν, πενήτων λέγω καὶ πλουσίων, νέων γερόντων, ἀσθενῶν ἰσχυρῶν,* [688] *πονηρῶν χρηστῶν. Ἀγνοοῦσι δὲ ὅτι τοῦτ᾽ ἔστι πολιτικῆς ὁμονοίας τὸ θαυμασιώτατον, λέγω δὲ τὸ μίαν ἐκ πολλῶν καὶ ὁμοίαν ἐξ ἀνομοίων ἀποτελεῖν διάθεσιν, ὑποδεχομένην πᾶσαν καὶ φύσιν καὶ τύχην. Ἴσως δὲ τῶν*

---

1 *γίγνονται χάσματα* P | *γὰρ* addidi ex Ar. ubi *χάσματά τε γὰρ* | *γίνεται* Ar. ‖ **2** *περιδρομαί* P ‖ **3** *πρόωσιν* F Ar., *πρόωδοι* P | *μόνον* etiam FP: *μόνην* Heeren ex Ar. *Q* ‖ **4** *βοῦραν* P² Ar., *βορρὰν* FP¹ ‖ **5** *γίνονται* F ‖ **7** *ταῖς* add. Heeren ex Ar. | *αἱ μὲν* et *αἱ δὲ* (8) Ar., *ἃ μὲν* et *ἃ δὲ* FP ‖ **9** *ἀμπώτις* F ‖ **11** *κεκραμένων* FP, *ἐγκεκραμένων* Ar.: *συγκεκραμένων* Heeren ex cod. Aug. ‖ **14. 15** *ἀνώλεθρόν τε καὶ ἀγένητον* Ar. ‖ **16** *ἐθαύμασε* Ar. | post *ποτε* add. Ar. *P εἰ* ‖ **17** *συνεστηκὼς* FP² Ar. *OQR*, *συνεκὼς* P¹, *συνέστηκεν* Ar. *P* | *λέγω δὴ* Ar. ‖ **20** *διαμένει* P Ar., *διαμένοι* F | *ἐναντίων* Ar. praeter *Q* ‖ **22** *τοῦτ᾽ ἦν* Ar. ‖ **23. 24** *λέγω δὲ ὅτι ἐκ πολλῶν μίαν* Ar. ‖ **24** *ἀποτελεῖ* Ar. praeter *Q* ‖ **25** *ὑποδεχομένη* Ar. | ante *τῶν* add. *καὶ* Ar. *Q*

ἐναντίων ἡ φύσις γλίχεται καὶ ἐκ τούτων ἀποτελεῖ τὸ σύμφωνον, οὐκ ἐκ τῶν ὁμοίων· ὥσπερ ἀμέλει τὸ ἄρρεν συνήγαγε πρὸς τὸ θῆλυ καὶ οὐχ ἑκάτερον πρὸς τὸ ὁμόφυλον, καὶ τὴν πρώτην ὁμόνοιαν διὰ τῶν ἐναντίων συνῆψεν, οὐ διὰ τῶν ὁμοίων. Ἔοικε δὲ καὶ ἡ τέχνη τὴν φύσιν μιμουμένη τὸ αὐτὸ ποιεῖν· ζωγραφία μὲν γὰρ λευκῶν τε καὶ μελανῶν, ὠχρῶν τε καὶ ἐρυθρῶν χρωμάτων ἐγκερασαμένη φύσεις τὰς εἰκόνας τοῖς προηγουμένοις ἀπετέλεσε συμφώνως· μουσικὴ δὲ ὀξεῖς ἅμα δὲ καὶ βαρεῖς, μακρούς τε καὶ βραχεῖς φθόγγους μίξασα ἐν διαφόροις φωναῖς μίαν ἀπετέλεσεν ἁρμονίαν· γραμματικὴ δὲ φωνηέντων τε καὶ ἀφώνων γραμμάτων κρᾶσιν ποιησαμένη τὴν ὅλην τέχνην ἀπ᾽ αὐτῶν συνεστήσατο. Αὐτὸ
[690] δὲ τοῦτ᾽ ἦν παρὰ τῷ σκοτεινῷ Ἡρακλείτῳ (fr. 59 Byw., 37 Schlei.) λεγόμενον· „Συνάψειας οὖλα καὶ οὐχὶ οὖλα, συμφερόμενον καὶ διαφερόμενον, συνᾷδον ⟨καὶ⟩ διᾷδον, ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.“

Οὕτως οὖν καὶ τὴν τῶν ὅλων σύστασιν, οὐρανοῦ λέγω καὶ γῆς τοῦ τε σύμπαντος κόσμου, διὰ τῆς τῶν ἐναντιωτάτων κράσεως ἀρχῶν μία διεκόσμησεν ἁρμονία· ξηρὸν γὰρ ὑγρῷ ψυχρόν τε θερμῷ μιγέν, βαρεῖ τε κοῦφον καὶ ὀρθὸν περιφερεῖ, γῆν τε πᾶσαν * * καὶ αἰθέρα καὶ ἥλιον καὶ σελήνην καὶ τὸν ὅλον οὐρανὸν ἐκόσμησε μία δὴ διὰ πάντων διήκουσα δύναμις, ἐκ τῶν ἀμίκτων καὶ

---

1 ἀποτελεῖν Ar. ‖ **6** τὸ αὐτὸ FP, τοῦτο Ar. ‖ **8** ἐγκερασαμένη Ar., ἐκκερασαμένη FP ‖ **9** συμφώνους Ar. *Q* | δὲ post ἅμα om. Ar. ‖ **10** μίξασα – ἁρμονίαν (11) om. P ‖ **12** ante φωνηέντων add. ἐκ Ar. | τε om. Ar. | γράμμα P ‖ **13. 14** ταὐτὸ δὲ τοῦτο ἦν καὶ τὸ παρὰ Ar. ‖ **14. 15** λεγόμενον Ἡρακλείτῳ Ar. ‖ **15** συνάψιες οὖλα Ar. *OR*, συλλήψιες ὅλα Ar. *P*, συλλάψει ἐς ὅλα FP: corr. Ar. vulg. | καὶ del. Zeller: certe vel ter debuit poni vel ter omitti | οὐχὶ οὖλα Ar. *Q*, οὐχ οὖλα Ar. *R*, οὐχ ὅλα FP App. et Ar. *P* ‖ **16** καὶ ante διαφερόμενον om. F App. | καὶ post συνᾷδον addidi ex Ar. | διάδων P ‖ **17** ante ἐκ add. Ar. App. καὶ ‖ **20** ἀρχῶν κράσεως Ar. *PQ* ‖ **21** θερμὸν δὲ ψυχρῷ Ar. | μιγὲν post κοῦφον transp. Ar. ‖ **22** πᾶσαν καὶ θάλασσαν αἰθέρα τε Ar., (*et mare et caelum* App.) ‖ **23** διεκόσμησε Ar. ‖ **23. 24** μία δὲ FP, μία ἡ Ar.: corr. Usener ‖ **24** διοικοῦσα P

ἑτεροίων, ἀέρος τε καὶ γῆς καὶ πυρὸς καὶ ὕδατος, τὸν σύμπαντα κόσμον δημιουργήσασα καὶ μιᾷ περιλαβοῦσα σφαίρας ἐπιφανείᾳ, τάς τε ἐναντιωτάτας ἐν αὐτῷ φύσεις ἀλλήλαις ἀναγκάσασα ὁμολογῆσαι καὶ ἐκ τούτων μηχα- [692]
νησαμένη τῷ παντὶ σωτηρίαν. Αἰτία δὲ ταύτης ⟨μὲν⟩ ἡ ⟨τῶν στοιχείων ὁμολογία⟩, τῆς ⟨δὲ⟩ ὁμολογίας ἰσομοιρία καὶ τὸ μηδὲν αὐτῶν πλέον ⟨ἕτερον⟩ ἑτέρου δύνασθαι· τὴν γὰρ ἴσην ἀντίτασιν ἔχει τά τε βαρέα πρὸς τὰ κοῦφα καὶ τὰ θερμὰ πρὸς τὰ ψάτερα, τῆς φύσεως ἐπὶ τῶν μειζό-
νων διδασκούσης, ὅτι τὸ ἴσον σωστικόν πώς ἐστιν ὁμονοίας, ἡ δὲ ὁμόνοια τοῦ πάντων γεννήτορός τε καὶ περικαλλεστάτου κόσμου. Τίς γὰρ ἂν εἴη φύσις τοῦδε κρείττων; Ἦν γὰρ ἂν εἴπῃ τις μέρος ἐστὶν αὐτοῦ, τό τε καλὸν πᾶν ἐπώνυμόν ἐστι τούτου καὶ τὸ τεταγμένον, ἀπὸ
τοῦ κόσμου λεγόμενον κεκοσμῆσθαι. Τί δὲ τῶν ἐπὶ μέρους δύναιτο ἂν ἐξισωθῆναι τῇ κατ᾽ οὐρανὸν τάξει p. 78 C.
καὶ φορᾷ τῶν ἄστρων ἡλίου τε καὶ σελήνης κινουμένων ⟨ἐν⟩ ἀκριβεστάτοις μέτροις ἐξ αἰῶνος εἰς ἕτερον αἰῶνα; Τίς δὲ γένοιτ᾽ ἂν ἀψεύδεια τοιάδε, ἥν⟨τινα⟩ φυλάττου-
σιν αἱ καλαὶ καὶ γόνιμοι τῶν ὅλων ὧραι, θέρη τε καὶ χειμῶνας ἐπάγουσαι τεταγμένως, ἡμέρας ⟨τε⟩ καὶ νύκτας εἰς μηνὸς ἀποτέλεσμα καὶ ἐνιαυτοῦ; Καὶ μὴν μεγέθει μὲν οὗτος ἀνυπέρθετος, κινήσει δ᾽ ὀξύτατος, λαμπρότητι [694]
δὲ τηλαυγέστατος, δυνάμει δὲ ἀγήρως καὶ ἄφθαρτος.
Οὗτος ἐναλίων ζῴων καὶ πεζῶν καὶ ἀερίων φύσεις ἐχώρισε καὶ βίους ἐμέτρησε ταῖς αὐτοῦ κινήσεσιν. Ἐκ τού-

---

1 καὶ ante γῆς om. F ‖ **2. 3** μιᾷ et ἐπιφανείᾳ Ar., μία et ἐπιφάνεια FP ‖ **2** διαλαβοῦσα Ar. ‖ **4** ἀλλήλας P ‖ **5. 6** μὲν et τῶν στοιχείων ὁμολογία add. Heeren ex Ar., item δὲ (6) ‖ **6** ante ἰσομοιρία add. ἡ Ar. ‖ **7** πλεῖον FP | ἕτερον add. Ar. *Q* | ἑτέρου om. P ‖ **8** ἀντίστασιν Ar. | τε om. Ar. ‖ **11** γενετῆρος Ar. | τε om. Ar. ‖ **13** εἴποι (m. 1 οι corr. in η) P, εἴποι Ar. *OR* ‖ **15** τοῦ κεκοσμῆσθαι κόσμου λεγομένου Usener | τίς Ar. (sc. φύσις) ‖ **16** ἐξιλωθῆναι P¹ ‖ **16. 17** τάξει τε καὶ Ar. praeter *O* ‖ **18** ἐν add. Heeren ex Ar. ‖ **19** αὐευδεία P | τινα add. Heeren ex Ar. ‖ **21** τε post ἡμέρας add. Heeren ex Ar. ‖ **23** ὁ αὐτὸς Ar. praeter *Q* | ἀνυπέρθετος FP, πανυπέρτατος Ar. ‖ **24** εὐαυγέστατος Ar. *PR*, διαυγέστατος Ar. *O* | ἀγήρως τε καὶ Ar. ‖ **25** ἐναελίων P ‖ **26** ἐμέτρισε P

του πάντα ἐμπνεῖται καὶ ψυχὴν ἴσχει τὰ ζῷα. Ἐκ τούτου καὶ αἱ παράδοξοι νεοχμώσεις τεταγμένως ἀποτελοῦνται, συναραττόντων μὲν ἀνέμων παντοίων, πιπτόντων δὲ ἐξ οὐρανοῦ κεραυνῶν, ῥηγνυμένων τε χειμώνων ἐξαισίων. Διά τε τούτων τὸ νοτερὸν ἐκπιεζόμενον τό τε πυρῶδες διαπνεόμενον εἰς ὁμόνοιαν ἄγει τὸ πᾶν καὶ καθίστησιν. Ἥ τε γῆ φυτοῖς κομῶσα [κοσμηθεῖσα] παντοδαποῖς, νάμασί τε περιβρύουσα καὶ περιοχουμένη ζῴοις, κατὰ καιρὸν ἐκφύουσά τε πάντα καὶ τρέφουσα καὶ δεχομένη, μυρίας φέρουσα ἰδέας καὶ πόας, τὴν ἀγήρω φύσιν ὁμοίως τηρεῖ, καίτοι [γῆ] καὶ σεισμοῖς τινασσομένη καὶ πλημμύραις ἐπικλυζομένη πυρκαιαῖς τε κατὰ μέρος φλογιζομένη. Πάντα δὲ ἔοικεν αὐτῇ πρὸς ἀγαθοῦ γινόμενα τὴν
[696] δι' αἰῶνος σωτηρίαν παρέχειν. Σειομένης τε γὰρ διεξάττουσιν αἱ τῶν πνευμάτων παρεμπτώσεις κατὰ ⟨τὰ⟩ ῥήγματα τὰς ἀναπνοὰς ἴσχουσαι, καθὼς ἄνω λέλεκται, καθαιρομένη τε ὄμβροις ἀποκλύζεται πάντα τὰ νοσώδη, περιπνεομένη δὲ αὔραις τά τε ὑπ' αὐτὴν καὶ τὰ ὑπὲρ αὐτὴν εἰλικρινεῖται. Καὶ μὴν αἱ φλόγες μὲν τὸ παγετῶδες ἰαίνουσιν, οἱ πάγοι δὲ τὰς φλόγας ἀνιῶσι. Καὶ τῶν ἐπὶ μέρους τὰ μὲν γίγνεται, τὰ δὲ ἀκμάζει, τὰ δὲ φθείρεται· καὶ αἱ μὲν γενέσεις ἀνασηκοῦσι τὰς φθοράς, αἱ φθοραὶ δὲ κουφίζουσι τὰς γενέσεις. Μία δὲ ἐκ πάντων περαινομένη σωτηρία [δὲ] διὰ τέλους ἀντιπαριστα-μένων ἀλλήλοις καὶ τὸ μὲν περικρατούντων τὸ δὲ περικρατουμένων φυλάττει τὸ σύμπαν ἄφθαρτον δι' αἰῶνος.

---

1 ἐμπνεῖ τε καὶ Ar. *PQ* | ἔκ om. Ar. ‖ **3** συναραττόντων Ar., συνταραττόντων FP ‖ **4** δὲ Ar. | ἐξαισίων P^1 ‖ **5** διά τε FP, διὰ δὲ Ar. | τὸ νοτερὸν Ar., τονώτερον F, νώτερον P ‖ **7** κοσμηθεῖσα om. Ar.: del. Heeren ‖ **8** περικλύζουσα Ar. *O*, περιβλύζουσα Ar. cet. | περιοχουμένη] fuitne olim περιοικουμένη? cf. supra p. 222, 4 ‖ **10** μυρίας τε Ar. | πόας FP, πάφη Ar.: num τροπάς? ‖ **11** γῆ om. Ar.: del. Gaisford ‖ **11. 12** πλημμυρίσιν Ar. ‖ **12** κατὰ μέρος Ar., καθ' ἡμέραν FP ‖ **13** ταῦτα δὲ πάντα ἔοικεν Ar. ‖ **14. 15** ἐξάττουσιν P ‖ **15** τὰ add. Heeren ex Ar. ‖ **18** αὐτὴν Ar., αὐτῆς FP ‖ **20** παίνουσιν FP Ar. (ἠπαίνουσιν Ar. *Q*), *mitificant* App. p. 123, 27: corr. Usener ‖ **22** ἐπαναστέλλουσι Ar. ‖ **23** αἱ δὲ φθοραὶ Ar. ‖ **24** δὲ om. Ar.: del. Heeren ‖ **24. 25** ἀντιπεριισταμένων Ar. *QR* ‖ **25** τὸ μὲν περικρατοῦν τὸ δὲ περικρατούμενον FP, τοτὲ μὲν κρατούντων τοτὲ δὲ κρατουμένων Ar.

CAPVT XLI (XLIII Heeren., XXXV Gaisford. Meinek.). [698]

ΠΕΡΙ ΦΥΣΕΩΣ ΚΑΙ ΤΩΝ ΣΥΜΒΑΙΝΟΝΤΩΝ ΕΞ ΑΥΤΗΣ ΑΙΤΙΩΝ.

1 *Ἑρμοῦ ἐκ τοῦ πρὸς Τάτ* (p. 4 Patrit.).

⟨ΕΡΜ.⟩ Ἐγώ, ὦ τέκνον, καὶ τῆς φιλανθρωπίας ἕνεκα καὶ τῆς πρὸς τὸν θεὸν εὐσεβείας πρῶτον τόδε συγγράφω. Οὐδεμία γὰρ ἂν λέγοιτο δικαιότερον εὐσέβεια [ἢ] τοῦ νοῆσαι τὰ ὄντα καὶ χάριν τῷ ποιήσαντι ὑπὲρ τούτων ὁμολογῆσαι, ὅπερ διατελῶν οὐ παύσομαι.

⟨ΤΑΤ⟩ Τί οὖν ἄν τις πράττων, ὦ πάτερ, εἰ μηδέν ἐστιν ἀληθὲς ἐνθάδε, καλῶς διαγάγοι τὸν βίον;

⟨ΕΡΜ.⟩ Εὐσέβει, ὦ τέκνον. Ὁ δὲ εὐσεβῶν ἄκρως φιλοσοφήσει· χωρὶς γὰρ φιλοσοφίας ἄκρως εὐσεβῆσαι ἀδύνατον· ὁ δὲ μαθὼν οἷα ἔστι καὶ πῶς διατέτακται καὶ ὑπὸ τίνος καὶ ἕνεκεν τίνος, χάριν εἴσεται ὑπὲρ πάντων τῷ δημιουργῷ ὡς πατρὶ ἀγαθῷ καὶ τροφεῖ χρηστῷ καὶ ἐπιτρόπῳ πιστῷ· ὁ δὲ χάριν ὁμολογῶν εὐσεβήσει· ὁ δὲ εὐσεβῶν εἴσεται καὶ ποῦ ἐστιν ἡ ἀλήθεια καὶ τίς ἐστιν ἐκείνη, καὶ μαθὼν ἔτι μᾶλλον εὐσεβέστερος ἔσται. Οὐδέποτε γάρ, ὦ τέκνον, ψυχὴ ἐν σώματι οὖσα καὶ κουφίσασα [700] *ἑαυτὴν ἐπὶ τὴν κατάληψιν τοῦ ὄντως ἀγαθοῦ καὶ ἀληθοῦς ὁλισθῆσαι δύναται ἐπὶ τὸ ἐναντίον· δεινὸν γὰρ ἔρωτα ἴσχει καὶ λήθην πάντων τῶν κακῶν ψυχὴ μαθοῦσα ἑαυτῆς τὸν προπάτορα, καὶ οὐκέτι ἀποστῆναι δύναται τοῦ ἀγαθοῦ.* p. 79 C. *Τοῦτ᾽, ὦ τέκνον, τοῦτο εὐσεβείας ἔστω τέλος, ἐφ᾽ ὃ ἀφικνούμενος καὶ καλῶς βιώσῃ καὶ εὐδαιμόνως τεθνήξῃ τῆς*

---

2. 3 capitis titulum om. FP ‖ **2** *ἐξ αὐτῆς συμβαινόντων* Heeren ‖ **4** lemma F mrg, P in textu habent ‖ **5** personarum vices hic et infra ubique om. FP; significavi verbis *ἙΡΜ.* et *ΤΑΤ*; Patrit. olim *Α.* et *Τ.* praepositis ‖ **6** *τάδε* Heeren ‖ **7** *γένοιτο* FP: corr. Usener | *δικαιοτάτη* FP: corr. Usener, *δικαιοτέρα* Canter int. lat. | *ἢ τοῦ* FP: *τοῦ* Meineke, *ἢ τὸ* Patrit. ‖ **10** *μὴ δὲ* P ‖ **11** *διαγάγοι* FP ‖ **12** *εὐσέβει*] *εὐσεβῶν* Usener ‖ **13** *φιλοσοφεῖ* P ‖ **14** *οἷά* FP: *οἵα* Heeren ‖ **15** *εἴσεται — πάντων* om. P | *ἕπεται* F: *εἴσεται* Gaisford, *ἕξει* Heeren ‖ **17** *εὐσεβήσεις* P ‖ **21** *ὄντος* FP: corr. Usener ‖ **23** *ἴσχη* P ‖ **24** *τοῦ ἀγαθοῦ δύναται* P ‖ **25** *τότε τέκνον* FP: *τοῦτ᾽ ὦ τέκνον* Meineke ‖ **25. 26** *ἀφικόμενος* Meineke

ψυχῆς σου μὴ ἀγνοούσης ποῦ αὐτὴν δεῖ ἀναπτῆναι. Αὕτη γὰρ μόνη ἐστίν, ὦ τέκνον, ἡ πρὸς ἀλήθειαν ὁδός, ἣν καὶ οἱ ἡμέτεροι πρόγονοι ὥδευσαν καὶ ὁδεύσαντες ἔτυχον τοῦ ἀγαθοῦ. Σεμνὴ αὕτη ὁδὸς καὶ λεία, χαλεπὴ δὲ ψυχῇ ὁδεῦσαι ἐν σώματι οὔσῃ. Πρῶτον μὲν γὰρ αὐτὴν ἑαυτῇ πολεμῆσαι δεῖ καὶ διάστασιν μεγάλην ποιῆσαι καὶ ὑπὸ τοῦ ἑνὸς μέρους πλεονεκτηθῆναι. Ἑνὸς γὰρ γίγνεται πρὸς δύο ἡ σύστασις, τοῦ μὲν φεύγοντος, τῶν δὲ καθελκόντων κάτω, καὶ ἔρις καὶ μάχη πολλὴ πρὸς ἄλληλα τούτων γίγνεται τοῦ μὲν φυγεῖν βουλομένου, τῶν δὲ κατασχεῖν σπευδόν-
[702] των. Ἡ δὲ νίκη ἀμφοτέρων οὐχ ὁμοία· τὸ μὲν γὰρ πρὸς τὸ ἀγαθὸν σπεύδει, τὰ δὲ πρὸς τὰ κακὰ κατοικεῖ· καὶ τὸ μὲν ἐλευθερωθῆναι ποθεῖ, τὰ δὲ τὴν δουλείαν ἀγαπᾷ. Κἂν μὲν νικηθῇ τὰ δύο μέρη, μεμένηκεν ἑαυτῶν ἔρημα καὶ τοῦ ἄρχοντος· ἐὰν δὲ τὸ ἓν ἡττηθῇ, ὑπὸ τῶν δύο ἄγεται καὶ φέρεται τιμωρούμενον τῇ ἐνθάδε διαίτῃ. Οὗτός ἐστιν, ὦ τέκνον, ὁ τῆς ἐκεῖσε ὁδοῦ ἀγών· δεῖ γάρ σε, ὦ τέκνον, πρῶτον τὸ σῶμα πρὸ τοῦ τέλους ἐγκαταλεῖψαι καὶ νικῆσαι τὸν ἐναγώνιον βίον καὶ νικήσαντα οὕτως ἀνελθεῖν.

Νῦν δέ, ὦ τέκνον, ⟨ἐν⟩ κεφαλαίοις τὰ ὄντα διεξελεύσομαι· νοήσεις γὰρ τὰ λεγόμενα μεμνημένος ων ἤκουσας.

Πάντα τὰ ὄντα κινεῖται· μόνον τὸ μὴ ὂν ἀκίνητον.

Πᾶν σῶμα μεταβλητόν, οὐ πᾶν σῶμα διαλυτόν· [ἔνια τῶν σωμάτων διαλυτά].

Οὐ πᾶν ζῷον θνητόν, οὐ πᾶν ζῷον ἀθάνατον.

Τὸ διαλυτὸν φθαρτόν, τὸ μένον ἀμετάβλητον, ⟨τὸ ἀμετάβλητον⟩ ἀίδιον.

---

1 *ποῖ* Meineke (quod in hoc scr. non opus) ‖ **2** *πρὸς τὴν ἀλήθειαν* P | *καὶ* om. F ‖ **4** *χαλεπὸν* P² ‖ **5** *ἑαυτῆς* P¹ ‖ **8** *σύστασις* FP: *στάσις* Heeren ex Vat. | *φυγόντος* FP: correxi | *τῶν δὲ καθελκόντων – βουλομένου* (10) om. P ‖ **13** *τὸ δὲ* P ‖ **14** *ἐν ταὐτῷ ἤρεμα* Usener | *ἑαυτῶν* P², *ἑαυτῷ* FP¹ | *ἔρημα*] fort. *ἐν εἰρήνῃ* ‖ **16** *τιμωρούμενον* P², *τιμωρουμένη* FP¹ ‖ **17** *ἀγωγός* FP: *ἀγών* Usener ‖ **18** *τὸ* lac. 2 litt. *μα* P¹ ‖ **21** *ἐν* add. Usener ‖ **24** *ἔνια – διαλυτά* (25) seclusi ‖ **27. 28** *τὸ ἀμετάβλητον* om. FP¹, add. P² ‖ **28** post *ἀίδιον* add. *δὲ* P¹, del. P²

Τὸ ἀεὶ γινόμενον ἀεὶ καὶ φθείρεται, τὸ δὲ ἅπαξ γινόμενον οὐδέποτε φθείρεται οὐδὲ ἄλλο τι γίνεται.

Πρῶτον ὁ θεός, δεύτερον ὁ κόσμος, τρίτον ὁ ἄνθρωπος. [704]

Ὁ κόσμος διὰ τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος διὰ τὸν θεόν.

Ψυχῆς τὸ μὲν αἰσθητικὸν θνητόν, τὸ δὲ λογικὸν ἀθάνατον.

Πᾶσα οὐσία ἀθάνατος, πᾶσα οὐσία μεταβλητή.

Πᾶν τὸ ὂν διττόν, οὐδὲν τῶν ὄντων ἕστηκεν.

Οὐ πάντα ψυχῇ κινεῖται, πᾶν δὲ ὂν ψυχὴ κινεῖ.

Πᾶν τὸ πάσχον αἴσθεται, ⟨οὐ⟩ πᾶν τὸ αἰσθόμενον πάσχει.

Πᾶν τὸ λυπούμενον καὶ ἥδεται [ζῷον θνητόν], οὐ πᾶν τὸ ἡδόμενον λυπεῖται [ζῷον ἀίδιον].

Οὐ πᾶν σῶμα νοσεῖ· πᾶν σῶμα νοσοῦν διαλυτόν.

Ὁ νοῦς ἐν τῷ θεῷ, ὁ λογισμὸς ἐν τῷ ἀνθρώπῳ.

Ὁ λόγος ἐν τῷ νοί, ὁ νοῦς ἀπαθής.

Οὐδὲν ἐν σώματι ἀληθές, ἐν ἀσωμάτῳ τὸ πᾶν ἀψευδές.

Πᾶν τὸ γενόμενον μεταβλητόν, οὐ πᾶν τὸ γενόμενον φθαρτόν.

Οὐδὲν ἀγαθὸν ἐπὶ τῆς γῆς, οὐδὲν κακὸν ἐν τῷ οὐρανῷ.

Ὁ θεὸς ἀγαθός, ὁ ἄνθρωπος κακός.

Τὸ ἀγαθὸν ἑκούσιον, τὸ κακὸν ἀκούσιον.

Οἱ θεοὶ τὰ ἀγαθὰ αἱροῦνται ὡς ἀγαθά * *.

Ἡ εὐνομία μετὰ θεοῦ ὁμόνοια· ἡ εὐνομία ὁ νόμος.

---

2 post *γίνεται* clausula in P ‖ **6** *αἰσθητὸν* FP: corr. Meineke ‖ **8** *πᾶσα οὐσία ἀμετάβλητος* Heeren, *πᾶσα οὐσία οὐ μεταβλητή* Patrit.; malim *⟨οὐ⟩ πᾶσα οὐσία ἀμετάβλητος* ‖ **9** *διττὸν* non intellego | *οὐδὲν* P^2, *οὐδὲ* FP^1 ‖ **10** *ψυχὴ κινεῖται* FP: *ψυχῇ κινεῖται* Canter | *ψυχὴ κινεῖ*] iterum *ψυχῇ κινεῖται* Canter ‖ **11** *οὐ* addidi ‖ **13** *ζῷον θνητὸν* et *ζῷον ἀίδιον* (14) seclusi ‖ **17** *ὁ λογισμὸς* FP: *ὁ λόγος* Patrit. ‖ **18** *οὐδὲν* P^2, *οὐδὲ* FP^1 ‖ **19** *μεταβλητὸν – γενόμενον* om. P ‖ **22** *ὁ δὲ θεὸς* F ‖ **23** *ἀκούσιον*] *ἑκούσιον* P^1 ‖ **24** post *ὡς ἀγαθὰ* Meinekio addendum videtur *οἱ ἄνθρωποι τὰ κακὰ αἱροῦνται ὡς ἀγαθά*, non male cf. Herm. p. 53, 6 Parth. ‖ **25** *μεγάλου* P, *μεγάλη* F: *μετὰ θεοῦ* Meineke, *μετὰ τοῦ θείου* Heeren | *ὁμόνοια* corr. Usener pro *εὐνομία* | *ἡ ἀνομία ἀνθρώπινος* Heeren; *ἡ ἀνομία ὁ νόμος* Usener

[706] *Θεῖος χρόνος, νόμος ἀνθρώπινος.*

Κακία κόσμου τροφή, χρόνος ἀνθρώπου φθορά.

Πᾶν ⟨τὸ⟩ ἐν οὐρανῷ ἀμετάθετον, πᾶν τὸ ἐπὶ γῆς μεταθετόν.

Οὐδὲν ἐν οὐρανῷ δοῦλον, οὐδὲν ἐπὶ γῆς ἐλεύθερον.

Οὐδὲν ἄγνωστον ἐν οὐρανῷ, οὐδὲν γνώριμον ἐπὶ τῆς γῆς.

Οὐ κοινωνεῖ ⟨τὰ ἐν οὐρανῷ τοῖς ἐπὶ γῆς, κοινωνεῖ⟩ τὰ ἐπὶ γῆς τοῖς ἐν οὐρανῷ.

Πάντα τὰ ἐν οὐρανῷ ἄμωμα, πάντα τὰ ἐπὶ γῆς ἐπίμωμα.

Τὸ ἀθάνατον οὐ θνητόν, τὸ θνητὸν οὐκ ἀθάνατον.

Τὸ σπαρὲν οὐ πάντως γενητόν, τὸ δὲ γενητὸν πάντως καὶ σπαρέν.

p. 80 C. *Διαλυτοῦ σώματος δύο χρόνοι· ὁ ἀπὸ τῆς σπορᾶς μέχρι τῆς γενέσεως καὶ ὁ ἀπὸ τῆς γενέσεως μέχρι τοῦ θανάτου· τοῦ ἀιδίου σώματος χρόνος ἐκ τῆς γενέσεως μόνος.*

Τὰ διαλυτὰ σώματα αὔξεται καὶ μειοῦται.

Ἡ διαλυτὴ ὕλη εἰς τὰ ἐναντία ἐναλλοιοῦται [φθορὰν καὶ γένεσιν]· ἡ δὲ ἀίδιος ἢ εἰς αὐτὴν ἢ εἰς τὰ ὅμοια.

Γένεσις ἀνθρώπου φθορᾶς, φθορὰ ἀνθρώπου γενέσεως ἀρχή.

Τὸ ἀπογιγνόμενον ⟨καὶ ἐπιγίγνεται, τὸ ἐπιγιγνόμενον⟩ καὶ ἀπογίγνεται.

Τῶν ὄντων τὰ μὲν ἐν σώμασίν εἰσι, τὰ δὲ ἐν ἰδέαις,

---

1 vix recte *χρόνος* et *νόμος* sibi opponuntur ‖ **2** *τροφὴ* FP: *τροφὴ* Canter ‖ **3** *τὸ* ante *ἐν οὐρανῷ* add. Meineke ‖ **8** *τὰ ἐν οὐρανῷ τοῖς ἐπὶ γῆς, κοινωνεῖ* addidi coll. p. 277, 3. 4 ‖ **9** post *τοῖς ἐν οὐρανῷ* add. Meineke *κοινωνεῖ* (vel *οὐ κοινωνεῖ*) *τοῖς ἐπὶ γῆς τὰ ἐν οὐρανῷ* ‖ **17** *ἀθανάτου* P^1 ‖ **20. 21** *φθορὰν καὶ γένεσιν* seclusi ‖ **21** *αὐτὴν* FP: correxi ‖ **22** *φθορᾶς*] sic ut vid. P corr., *φθορὰ* FP ‖ **24** *καὶ ἐπιγίγνεται, τὸ ἐπιγιγνόμενον* add. Heeren ‖ **26** *ἰδίαις* FP: *ἰδέαις* Canter

τὰ δὲ ⟨ἐν⟩ ἐνεργείαις· σῶμα δὲ ἐν ἰδέαις, ἰδέα δὲ καὶ ἐνέργεια ἐν σώματί ἐστι.

Τὸ ἀθάνατον οὐ μετέχει τοῦ θνητοῦ, τὸ δὲ θνητὸν τοῦ ἀθανάτου μετέχει. [708]

Τὸ μὲν θνητὸν εἰς ἀθάνατον σῶμα οὐκ ἔρχεται, τὸ δὲ ἀθάνατον εἰς θνητὸν παραγίνεται.

Αἱ ἐνέργειαι οὐκ εἰσὶν ἀνωφερεῖς, ἀλλὰ κατωφερεῖς.

Οὐδὲν ὠφελεῖ τὰ ἐπὶ γῆς τὰ ἐν οὐρανῷ, πάντα ὠφελεῖ τὰ ἐν οὐρανῷ τὰ ἐπὶ γῆς.

Ὁ οὐρανὸς σωμάτων ἀιδίων δεκτικός, ἡ γῆ σωμάτων φθαρτικῶν δεκτική.

Ἡ γῆ ἄλογος, ὁ οὐρανὸς λογικός.

Τὰ ἐν οὐρανῷ ὑπόκειται, τὰ ἐπὶ γῆς τῇ γῇ ἐπίκειται.

Ὁ οὐρανὸς πρῶτον στοιχεῖον, ἡ γῆ ὕστατον στοιχεῖον.

Πρόνοια θεία τάξις, ἀνάγκη προνοίᾳ ὑπηρέτις.

Τύχη φορὰ ἄτακτος, ἐνεργείας εἴδωλον, δόξα ψευδής.

Τί θεός; ἄτρεπτον ἀγαθόν· τί ἄνθρωπος; τρεπτὸν κακόν.

Τούτων τῶν κεφαλαίων μεμνημένος καὶ ὧν σοι διὰ πλειόνων λόγων διεξῆλθον εὐκόλως ἀναμνησθήσῃ· ταῦτα γὰρ ἐκείνων εἰσὶ περιοχαί. Τὰς μέντοι πρὸς τοὺς πολλοὺς ὁμιλίας παραιτοῦ· φθονεῖν μὲν γάρ σε οὐ βούλομαι, μᾶλλον δὲ ὅτι πολλοῖς δόξεις καταγέλαστος εἶναι. Τὸ γὰρ ὅμοιον πρὸς τὸ ὅμοιον παραλαμβάνεται, ἀνόμοιος δὲ ἀνομοίῳ οὐδέποτε φίλος. Οὗτοι δὲ οἱ λόγοι ὀλίγους παν- [710]

---

1 ἐν ante ἐνεργείαις add. Meineke tacite | σῶμα μὲν Usener | ἰδίαις, ἰδία FP: ἰδέαις, ἰδέα Heeren tacite ‖ **5** μὲν F, δὲ P ‖ **7** οὐ πᾶσαι et ἀλλὰ καὶ Usener, sed cf. p. 287, 24 ‖ **9** τὰ ἐν οὐρανῷ τὰ ἐπὶ γῆς scripsi pro τὰ ἐπὶ γῆς τὰ ἐν οὐρανῷ ‖ **10** in P nova sectio inchoatur ab (ὁ) οὐρανὸς ‖ **11** φθαρτῶν P ‖ **12** λογικός P², λοξός FP¹ ‖ **13** τὰ ἐν οὐρανῷ οὐχ ὑπόκειται τοῖς ἐπὶ γῆς, τοῖς ἐπὶ γῆς ἐπίκειται ὁ οὐρανός Meineke, τῷ οὐρανῷ ὑπόκειται τὰ ἐπὶ γῆς, τῇ γῇ ἐπίκειται ὁ οὐρανός Heeren, τὰ ἐν οὐρανῷ τῷ νῷ ὑπόκειται, τὰ ἐπὶ γῇ τῇ ἀνοίᾳ ὑπόκειται Iacobs ep. crit. p. 235; sufficiat post οὐρανῷ addidisse τῷ οὐρανῷ | ἐπίκειται] ὑπόκειται P¹ ‖ **15** προνοίᾳ] πρόνοια P ‖ **16** ἀτάκτου FP: corr. Canter int. cf. p. 92, 18 ‖ **17** τρεπτὸν corr. Usener pro ἄτρεπτον ‖ **20** εὐκόλως P, εὐθέως F ‖ **22** σοι Usener ‖ **22. 23** post μᾶλλον δὲ haud scio an haustum sit ἀπαγορεύω vel simile quid ‖ **23** ὅτι τοῖς πολλοῖς P ‖ **25** ὀλίγους P

τελῶς τοὺς ἀκροατὰς ἔχουσιν ἢ τάχα οὐδὲ τοὺς ὀλίγους ἕξουσιν. Ἔχουσι δέ τι καὶ ἴδιον ἐν ἑαυτοῖς· τοὺς κακοὺς μᾶλλον παροξύνουσι πρὸς τὴν κακίαν· διὸ χρὴ τοὺς πολλοὺς φυλάττεσθαι μὴ νοοῦντας τῶν λεγομένων τὴν ἀρετήν.

⟨ΤΑΤ⟩ Πῶς εἶπας, ὦ πάτερ;

⟨ΕΡΜ.⟩ Οὕτως, ὦ τέκνον. Παν τὸ ζῷον τὸ ἀνθρώπινον ἐπιρρεπέστερόν ἐστιν εἰς τὴν κακίαν καὶ ταύτῃ σύντροφον γίγνεται, διὸ καὶ ἥδεται αὐτῇ. Τοῦτο δὲ τὸ ζῷον ἐὰν μάθῃ ὅτι γενητὸς ὁ κόσμος καὶ πάντα κατὰ πρόνοιαν καὶ ἀνάγκην γίνεται, εἱμαρμένης πάντων ἀρχούσης, οὕτω πολλῷ ἑαυτοῦ χεῖρον ἔσται, καταφρονῆσαν μὲν τοῦ παντὸς ὡς γενητοῦ, τὰς δὲ αἰτίας τοῦ κακοῦ τῇ εἱμαρμένῃ ἀναφέρον, οὐδ' ἀφέξεταί ποτε παντὸς ἔργου κακοῦ. Διὸ φυλακτέον αὐτούς, ὅπως ἐν ἀγνοίᾳ ὄντες ἔλαττον ὦσι κακοὶ φόβῳ τοῦ ἀδήλου.

2 *Ἐκ τοῦ Ἀρχύτου Περὶ ἀρχῶν* (fr. 4 phil. Gr. I p. 567 Mullach.).

Ἀνάγκα [καὶ] δύο ἀρχὰς εἶμεν τῶν ὄντων, μίαν μὲν
[712] *τὰν συστοιχίαν ἔχοισαν τῶν τεταγμένων καὶ ὁριστῶν, ἑτέραν δὲ τὰν συστοιχίαν ἔχοισαν τῶν ἀτάκτων καὶ ἀορίστων. Καὶ τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν καὶ τὰ ἐόντα ὁμοίως συνέχεν καὶ τὰ μὴ ἐόντα ὁρίζεν καὶ συντάσσεν (πλατιάζοισαν γὰρ ἀεὶ τοῖς γινομένοις εὐλόγως καὶ εὐρύθμως ἀνάγεν ταῦτα καὶ τὸ καθόλω οὐσίας τε καὶ ἰδέας μεταδιδόμεν)· τὰν δ' ἄλογον καὶ ἄρρητον καὶ τὰ συντεταγμένα*

---

1 *οὐδὲ* om. P ‖ **2** *ἕξουσιν* etiam P | post *τοὺς* add. *γὰρ* Heeren ‖ **6. 7** *τῶν ἀνθρώπων* FP: corr. Usener ‖ **7** *ταύτην* P ‖ **10** *ἀνάγκην* FP: *ἀνάγκῃ* Gaisford ex Aug. ‖ **11** *οὐ πολλῷ* FP: corr. Usener | *καταφρονῆσαι* FP: corr. Heeren ‖ **13** *ἀναφέρων* FP: corr. Heeren | *οὐκ ἀφέξεται* FP: correxi ‖ **16** lemma F mrg, P in textu habent | *ἀρχῶν* P, *ἀργῶν* F ‖ **18** *καὶ* FP¹, *δὲ* P²: seclusi | *εἶμεν* F, *εἰμὲν* P ‖ **19** *συστοιχείαν* P | *ἔχουσαν* FP ‖ **20** *συστοιχείαν ἔχουσαν* P ‖ **21** *τὰ μὲν* P¹ | *ἔχουσαν* FP ‖ **22** *συνέχειν* FP | *τὰ μὴν ὄντα* P¹ | *ὁρίζειν* FP: *ὁρίσδεν* Meineke | *συντάσσειν* FP | **22. 23** *πλατιάζουσαν* FP ‖ **23** *εὐρίθμως* P², *ἀριθμῶς* FP¹: *εὐρύθμως* Canter ‖ **24** *ἀνάγειν* P, *ἀνάγη* F: *ἀνάγκη* Gaisford ex Aug. | *τὸ* FP¹, *τῶ* P²: *τῷ* Badham ad Plat. Phil. p. 102 | *ἡδέας* F, *ἡδέος* P¹, *εἴδεος* P²: *ἰδέας* corr. Vatic. ‖ **24. 25** *μεταδιδόμεν* P corr., *μεταδιδόωμεν* P, *μεταδιδῶμεν* F

λυμαίνεσθαι καὶ τὰ ἐς γένεσίν τε καὶ ὠσίαν παραγενόμενα διαλύειν (πλατιάζοισαν γὰρ ἀεὶ τοῖς πράγμασιν ἐξομοιοῦν αὑτᾷ ταῦτα).

Ἀλλ' ἐπείπερ ἀρχαὶ δύο κατὰ γένος ἀντιδιαιρεόμεναι τὰ πράγματα τυγχάνοντι τῷ τὰν μὲν εἶμεν ἀγαθοποιόν, τὰν δ' εἶμεν κακοποιόν, ἀνάγκα καὶ δύο λόγως εἶμεν, τὸν μὲν ἕνα τᾶς ἀγαθοποιῶ φύσιος, τὸν δ' ἕνα τᾶς κακοποιῶ. p. 81 C.
Διὰ τοῦτο καὶ τὰ τέχνᾳ καὶ τὰ φύσι γινόμενα δύο τούτων πράτων μετείληφε, τᾶς τε μορφῶς καὶ τᾶς ὠσίας. Καὶ ἃ μὲν μορφώ ἐντι ἃ αἰτία τῶ τόδε τι εἶμεν· ἃ δὲ ὠσία τὸ ὑποκείμενον, παραδεχόμενον τὰν μορφώ.

Οὔτε δὲ τᾷ ὠσίᾳ οἷόν τέ ἐντι μορφῶς μετεῖμεν αὐτᾷ [714]
ἐξ αὐτᾶς, οὔτε μὰν τὰν μορφὼ γενέσθαι περὶ τὰν ὠσίαν, ἀλλ' ἀνάγκα ἄτεραν τινὰ εἶμεν αἰτίαν, τὰν κινάσοισαν τὰν ἐστὼ τῶν πραγμάτων ἐπὶ τὰν μορφώ· ταύταν δὲ τὰν πράταν τᾷ δυνάμι καὶ καθυπερτάταν εἶμεν τᾶν ἀλλᾶν· ὀνομάζεσθαι δ' αὐτὰν ποθάκει Θεόν· ὥστε τρεῖς ἀρχὰς εἶμεν ἤδη, τόν τε Θεὸν καὶ τὰν ἐστὼ τῶν πραγμάτων καὶ τὰν μορφώ. Καὶ τὸν μὲν Θεὸν ⟨τὸν⟩ τεχνίταν καὶ τὸν κινέοντα,

---

1 *ἐν γένεσιν* P¹ | *γένεσιν δὲ* FP: *γένεσίν τε* Heeren | *παραγινόμενα* FP: corr. Usener ‖ **2** *διαλύειν* FP | *πλατιάζουσαν* FP ‖ **3** *αὐτᾷ ταῦτα* P², *αὖ ταῦτα* FP¹: *αὑτᾷ ταῦτα* Heeren, *αὐταυτᾷ* Meineke, *αὐταύτᾳ* Badham, *αὖταυτα* Gaisford ‖ **4** *ἀντιδιαιρούμεναι* FP ‖ **5** *τῶν πραγμάτων* Mullach | *εἶναι* FP: om. Badham ‖ **6** *ἀνάγκα δὲ δύο* P | *λόγους* F, *λόγ* (i. e. *λόγος*) P ‖ **7** *τὰς* P | *φύσεως* P | *κακοποιῶ* P², *κακοποιοῦν* FP¹ ‖ **8** *τῷ τέχνα* F | *φύσει* FP | *δύο* FP: *δεῖ* Badham ‖ **9** *πρᾶτον* F, *πρῶτον* P: corr. Usener | *μετείληφε* FP: *μετειληφέν* Badham | *μορφῶ* FP: corr. Badham | *τὰς* FP: corr. Canter | *οὐσίας* FP ‖ **10** *ἔστι δ'* *αἰτία* FP¹, *ἔστιν αἰτία* P²: *ἐντι ἃ αἰτία* Badham | *τοῦ τόδε* P², *τοῦτο δὲ* FP¹ ‖ **11** *ὑποκείμενον* P², *ποκείμενον* FP¹ ‖ **12** *τὰ ὠσία* F | *ἐστι* FP | *μορφᾶς* FP: corr. Badham | *αὐτὰ* FP: *αὐτᾷ* Heeren ‖ **13** *τὴν* P ‖ **14** *ἀναγκαιοτέραν* FP: *ἀνάγκα ἄτεραν* Badham, *ἀναγκαῖον ἑτέραν* Heeren | post *κινάσοισαν* clausula in P, dein (*τ*)*ὰν* ‖ **15** *ἑστώτων* FP: *ἐστὼ τῶν* Canter | *ταῦτα* FP: corr. Heeren ‖ **16** *δυνάμει* FP | *τὰν ἄλλαν* FP: corr. Heeren ‖ **17** *ὀνομαίνεσθαι* Canter | *αὐτὰ* FP: corr. Heeren | *ποθήκει* FP ‖ **18** *ἐστὼ τῶν* P², *ἑστώτων* FP¹ ‖ **19** *τὸν* ante *τεχνίταν* addidi

τὰν δ' ἐστὼ τὰν ὕλαν καὶ τὸ κινεόμενον, τὰν δὲ μορφὼ τὰν τέχναν καὶ ποθ' ἂν κινέεται ὑπὸ τῶ κινέοντος ἃ ἐστώ.

Ἀλλ' ἐπεὶ τὸ κινεόμενον ἐναντίας ἑαυτῷ δυνάμιας ἴσχει τὰς τῶν ἁπλόων σωμάτων, τὰ δ' ἐναντία συναρμογᾶς τινος δεῖται καὶ ἑνώσιος, ἀνάγκα ἀριθμῶν δυνάμιας καὶ ἀναλογίας καὶ τὰ ἐν ἀριθμοῖς καὶ γαμετρικοῖς δεικνύμενα παραλαμβάνειν, ἃ καὶ συναρμόξαι καὶ ἑνῶσαι τὰν ἐναντιότατα δυνασεῖται ἐν τᾷ ἐστοῖ τῶν πραγμάτων ποττὰν μορφώ. Καθ' αὑτὰν μὲν γὰρ ἔσσα ἃ ἐστὼ ἄμορφός
[716] ἐντι, κιναθεῖσα δὲ ποττὰν μορφὼ ἔμμορφος γίνεται καὶ λόγον ἔχοισα τὸν τᾶς συντάξιος. Ὁμοίως δὲ καὶ τὸ δι' ὃ κινέεται τὸ κινεόμενόν ἐντι τὸ πράτως κινέον· ὥστ' ἀνάγκα τρεῖς εἶμεν τὰς ἀρχάς, τάν τε ἐστὼ τῶν πραγμάτων καὶ τὰν μορφὼ καὶ τὸ ἐξ αὑτῶ κινατικὸν καὶ πρᾶτον τᾷ δυνάμι. Τὸ δὲ τοιοῦτον οὐ νόον μόνον εἶμεν δεῖ, ἀλλὰ καὶ νόω τι κρέσσον· νόω δὲ κρέσσον ἐντί, ὅπερ ὀνομάζομεν θεόν, φανερόν. —

Ὁ μὲν τῶ ἴσω λόγος περὶ τὰν ῥητὰν καὶ λόγον ἔχοι-

---

1 ἑστώταν FP: corr. Canter | τὸ P^2, τὸν FP^1 | κινούμενον FP | τὰν om. P^1, τὴν add. P^2 ‖ **2** ποθὲ FP: ποθ' ἂν Koen ad Gregor. Cor. p. 84 | δὲ ἔστω FP: ἃ ἐστώ Heeren ‖ **3** δυνάμεις FP ‖ **4** ἁπλῶν FP ‖ **4. 5** συναρμογὰς F ‖ **5** ἐνώδιος F | ἀνάγκη FP ‖ **6** ἀριθματικοῖς Meineke | γεωμέτροις FP: γεωμετρικοῖς Heeren ‖ **7** παραλαμβάνειν F, παραλαμβάνει P | συναρμόσαι FP: corr. Meineke | τὰ F, τᾶ P: corr. Badham ‖ **8** ἐναντιώτατα F, om. P: corr. Badham | post ἐναντιότατα add. F τῶ | δυνάσει τε FP: δυνασεῖται Koen ad Greg. Cor. p. 127, δυνάσηται Canter | ἐν τᾷ FP: τὰν Koen l. s. | ἑστώτων FP: ἐστοῖ τῶν Badham, ἐστὼ τῶν Koen ‖ **8. 9** ποτὰν FP ‖ **9** ἃ ἔστω FP ‖ **10** ἐστι FP | ποτὶ τὰν FP^2, ποτὶ τὰ P^1: corr. Badham | ἔνμορφος FP ‖ **11** ἔχουσα FP | τὰς P ‖ **11. 12** δισκινέεται F, δισκινέται P: δι' ὃ κινέεται Meineke, εἴ τι κινέεται Mullach (alia temptabat Iacobs ep.crit. p. 235) ‖ **12** κινοόμενον P | ἐστι FP | ante τὸ add. Mullach καὶ | πρᾶτος P | ὥτ' F ‖ **13** ἑστώτων FP: corr. Canter ‖ **14** αὐτῶν FP: αὑτῶ Heeren ‖ **14. 15** ἀόρατον FP: πρᾶτον Badham, ἀόριστον Iacobs l. s. ‖ **15** τᾷ om. P | δυνάμει FP | τοιοῦτο F | οὐ νόον F, ὀνόμον P ‖ **16** an νόω δὲ κρέσσον ⟨ὅτι⟩ ἐντὶ? | ἐστὶν FP ‖ **16. 17** ὀνμαίνομεν Meineke ‖ **17. 18** post θεὸν interpungit Badham et ⟨ὅθεν⟩ φανερὸν ⟨ὅτι⟩ ὁ μὲν κτλ. coni.; θεὸν φανερῶς. ὁ μὲν ⟨ὢν⟩ Heeren ‖ **18** τῷ ἴσῳ F | καὶ λόγον F

σαν φύσιν ἐντί· ὁ δὲ τῷ ἀνίσω περὶ τὰν ἄλογον καὶ ἄρρητον· αὗτα δ' ἐντὶ ἃ ἐστώ· καὶ διὰ τοῦτο γένεσις καὶ φθορὰ γίνεται περὶ ταύταν καὶ οὐκ ἄνευ ταύτας.

3 *Ἐκ τῶν Πορφυρίου πρὸς τὰ νοητὰ ἀφορμῶν* (opusc. Porph. p. 78 Holsten.).

Τὰ κατηγορούμενα τοῦ αἰσθητοῦ καὶ ἐνύλου ἀληθῶς ἐστὶ ταῦτα, τὸ πάντῃ εἶναι διαπεφορημένον, τὸ μεταβλητὸν εἶναι, τὸ ὑφεστάναι ἐν ἑτερότητι, τὸ σύνθετον εἶναι, τὸ ⟨μὴ⟩ καθ' ἑαυτὸ αὐτὸ ὑπάρχειν, τὸ ἐν τόπῳ, τὸ ἐν ὄγκῳ θεωρεῖσθαι καὶ ὅσα τούτοις παραπλήσια· τοῦ δὲ [718] *ὄντως ὄντος καὶ καθ' αὑτὸ ὑφεστηκότος αὐτοῦ τὸ εἶναι ἀεὶ ἐν ἑαυτῷ ἱδρυμένον, τὸ ὡσαύτως ⟨καὶ⟩ κατὰ ταὐτὰ ἔχειν, τὸ ἐν ταὐτότητι οὐσιῶσθαι, τὸ ἀμετάβλητον εἶναι κατ' οὐσίαν, τὸ ἀσύνθετον, τὸ μήτε λυτὸν μήτε ἐν τόπῳ εἶναι μήτε εἰς ὄγκον διαπεφορῆσθαι, τὸ μήτε γιγνόμενον μήτε ἀπολλύμενον εἶναι καὶ ὅσα τοιαῦτα, ὧν ἐχομένους δεῖ μηδὲν ἐπαλλάττοντας περὶ τῆς διαφόρου αὐτῶν φύσεως καὶ αὐτοὺς λέγειν καὶ ἄλλων λεγόντων ὑπακούειν.*

4 *Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα* (p. 40 Patrit.).

Ἡ ψυχὴ τοίνυν οὐσία ἐστὶν ἀσώματος, καὶ ἐν σώματι δὲ οὖσα οὐκ ἐκβαίνει τῆς ἰδίας οὐσιότητος. Τυγχάνει γὰρ οὖσα ἀεικίνητος κατ' οὐσίαν, κατὰ νόησιν αὐτοκίνητος, οὐκ ἔν τινι κινουμένη, οὐ πρός τι, οὐχ ἕνεκέν τινος· προτερεῖ γὰρ τῇ δυνάμει, τὸ δὲ πρότερον οὐ δεῖται τῶν ὑστέρων. Τὸ ἔν τινι τοίνυν ἐστὶν ὁ τόπος καὶ χρόνος [720]

---

1 *ἐστίν* FP | *τῷ ἀνίσῳ* F | *τὰς ἄλογον* F ‖ 2 *αὐτὰ* FP: corr. Usener | *ἔτι δ' ἔστω* F, *ἔστι δ' ἔστω* P: *ἐντὶ ἃ ἐστώ* Heeren ‖ 9 *μὴ* addidi | *ἑαυτὸ αὐτὸ* P, *αὐτὸ αὐτὸ* F | *αὐτὸ οὐχ ὑπάρχειν* Heeren ‖ 10 *θέα* FP: *ὅσα* Heeren cf. infra v. 16 ‖ 11 *αὐτὸ* F ‖ 12 *ὡσαύτως τὸ κατὰ* FP: *τὸ ὡσαύτως καὶ κατὰ* Meineke | *ταῦτα* FP: *ταὐτὰ* Holstenius ‖ 13 *ταυτότητι* F, *αὐτότητι* P ‖ 14 fort. *τὸ μὴ λυτόν, ⟨τὸ⟩ μήτε* ‖ 15 *διαπεφορεῖσθαι* FP: corr. Meineke ‖ 17 *μὴ δὲ ἐπάλλοντας* FP: *μηδὲν ἐπαλλάττοντας* Heeren ‖ 19 *ἄμωνα* P ‖ 20 *ἡ* om. pro rubr. FP ‖ 21 *οὐκ* del. tacite sed inepte Heeren ‖ 22 *ἀκίνητος* P | ante *κατὰ νόησιν* add. *καὶ* P ‖ 23 *οὗ ἕνεκεν* FP: *οὐχ ἕνεκεν* Meineke

καὶ φύσις, τὸ δὲ πρός τι ἐστὶν ἁρμονία καὶ εἶδος καὶ σχῆμα, τὸ δὲ οὗ ἕνεκα τὸ σῶμα· ἕνεκα γὰρ σώματος καὶ χρόνος καὶ τόπος καὶ φύσις. Ταῦτα δὲ κατὰ συγγενικὴν οἰκειότητα κοινωνεῖ ἀλλήλοις, ἐπεί τοι γε τὸ σῶμα ἐδεῖτο τόπου (ἀμήχανον γὰρ ἦν συστῆναι σῶμα ἄνευ τόπου) καὶ μεταβάλλεται φυσικῶς, ἀδύνατον δὲ μεταβολὴν εἶναι ἄνευ
p. 82 C. χρόνου καὶ τῆς κατὰ φύσιν κινήσεως, οὐδὲ σώματος οἷόν τε σύστασιν εἶναι ἄνευ ἁρμονίας. Ἕνεκα τοίνυν τοῦ σώματός ἐστιν ὁ τόπος· παραδεχόμενος γὰρ τὰς τοῦ σώματος μεταβολὰς οὐκ ἐᾷ ἀπόλλυσθαι τὸ μεταβαλλόμενον· μεταβαλλόμενον δὲ ἀφ' ἑτέρου εἰς ἕτερον μεταπίπτει καὶ τῆς μὲν ἕξεως στερίσκεται, τοῦ δὲ εἶναι σῶμα συστατὸν οὐχί· μεταβληθὲν δὲ εἰς ἕτερον τὴν τοῦ ἑτέρου ἕξιν ἔχει. Τὸ γὰρ σῶμα, ᾗ σῶμα, μένει σῶμα· ᾗ δὲ ποιὰ διάθεσις οὐ μένει· τὸ σῶμα τοίνυν κατὰ διάθεσιν μεταβάλλεται. Ἀσώματος τοίνυν ὁ τόπος καὶ ὁ χρόνος καὶ ἡ φυσικὴ κίνησις. Τυγχάνει δὲ ἕκαστον τούτων τῆς ἰδίας ἰδιότητος.
[722] Ἰδιότης δὲ τοῦ τόπου περιοχή, χρόνου δὲ διάστημα καὶ ἀριθμός, φύσεως δὲ κίνησις, ἁρμονίας δὲ φιλία, σώματος δὲ μεταβολή· ἰδιότης δὲ ψυχῆς ἡ κατ' οὐσίαν νόησις.

5 Ἀρχύτου ἐκ τοῦ Περὶ ἀρχῶν (fr. 5 phil. Gr. I p. 568 Mullach.).

Ἀρχὰ τᾶς τῶν ἐόντων γνώσιος τὰ αὐτόθεν φαινόμενα. Τῶν δ' αὐτόθεν φαινομένων τὰ μέν ἐντι νοατά, τὰ δ' αἰσθατά· νοατὰ μὲν τὰ ἀκίνητα, αἰσθατὰ δὲ τὰ κινεόμενα. Κριτήριον δὲ τῶν μὲν νοατῶν ὁ νόος, τῶν δ' αἰσθατῶν ἁ αἴσθασις. Τῶν δὲ μὴ αὐτόθεν φαινομένων τὰ μέν

---

4 ἀλλήλοις. ἐπεὶ τοίνυν τὸ FP: correxi praeeunte Usenero ‖ **5** τόπον P ‖ **6** φυσικῇ FP: φυσικῶς (vel φυσικῇ ⟨κινήσει⟩) Meineke, φύσει Patrit. ‖ **7** οὔτε FP: correxi ‖ **11** ἀπὸ ἑτέρου FP ‖ **12. 13** σῶμα οὐχὶ συστατὸν FP: σῶμα συστατὸν οὐχί scripsi, σῶμα οὐχί (om. συστατὸν) Patrit. ‖ **14** ᾗ σῶμα FP: ᾗ σῶμα corr. cod. Aug. ‖ **18** παραδοχὴ F, παρασχὴ P: περιοχὴ Canter mrg ‖ **21** ἀρχᾶς FP: correxi coll. p. 282, 21 ‖ **23** (ἀ)ρχύτας FP: ἀρχὰ τᾶς Canter mrg | τὰ αὐτόθεν P, τὰ αὐτὰ αὐτόθεν F: τὰ αὐταυτόθεν Gaisford ‖ **25** αἰσθητὰ (ante νοατὰ) P | αἰσθητὰ (ante δὲ) FP ‖ **26** ὁ κόσμος FP (F in ras.): ὁ νόος Iacobs ep. crit. p. 236 ‖ **27** ἁ αἴσθησις F, lac. 6 litt. et σις P

ἐντι ἐπιστατά, τὰ δὲ δοξαστά· ἐπιστατὰ μὲν τὰ ἀκίνητα, δοξαστὰ δὲ τὰ κινεόμενα. Δεῖ δὲ ταῦτα τρία νοᾶσαι, τό τε κρῖνον καὶ τὸ κρινόμενον καὶ ποϑ' ὅπερ κρίνεται. Καὶ τὸ μὲν κρῖνον εἶμεν τὸν νόον καὶ τὰν αἴσϑασιν, τὸ δὲ κρινόμενον τὸν λόγον· ποϑ' ὅπερ δὲ κρίνεται τὸ αὐτόϑεν φαινόμενον· τούτω δὲ τὸ μὲν νοατόν, τὸ δ' αἰσϑατόν. Ἐπικρίνει δὲ ὁ νόος τὸν λόγον, ὅκα μὲν ποτὶ τὸ νοατὸν ποτιβάλλων, ὅκα δὲ ποτὶ τὸ αἰσϑατόν. Ὅκκα μὲν γὰρ περὶ νοατῶν μαστεύηται ὁ λόγος, ποτὶ τὸ νοατὸν ποτιβάλλει, ὅκκα δὲ περὶ αἰσϑατῶν, ποτὶ τὸ αἰσϑατόν. Καὶ [724] δι' αὐτὸ ψευδογραφίαι ἐν γαμετρίᾳ κατὰ σχήματα καὶ ἀριϑμὼς ἐμφαίνονται, αἰτιολογίαι δὲ καὶ εἰκοτολογίαι ἐν φυσιολογίᾳ καὶ πολιτικᾷ κατὰ γένεσιν καὶ πράξιας. Τὸ μὲν γὰρ ὅτι ἐν διπλόῳ λόγῳ ἁρμονία τυγχάνει, ποτὶ τὸ νοατὸν [λόγον] ποτιβάλλων ὁ λόγος γινώσκει· τὸ δ' ὅτι συμφωνεῖ ὁ διπλόος λόγος, διὰ τᾶς αἰσϑάσιος ἐπιμαρτυρεῖται. Καὶ τῶν μαχανικῶν δὲ τοὶ λόγοι ποττὰ νοατὰ ποτιβάλλοντι σχήματα καὶ ἀριϑμὼς καὶ ἀναλογίας, τὰ δὲ ἀποτελέσματα ποτὶ τὰ αἰσϑητά· μεϑ' ὕλας γὰρ ταῦτα ϑεωρεῖται καὶ κινάσιος. Καϑόλω δὲ ἀμάχανον γνῶμεν τὸ διὰ τί ἐν ἑκάστῳ μὴ προειδότας τὸ τί ἐντι ἕκαστον. Κρίνεται δὲ τὸ μὲν τί ἐντι ἕκαστον ⟨τῶν⟩ ἐόντων τῷ νόῳ· τὸ δ' ὅτι ἐντί ἢ ὅτι οὕτως ἔχει, λόγῳ καὶ αἰσϑάσι· λόγῳ μέν, ὅκκα δεῖξίν τινος σαμάνωμεν διὰ συλλογισμῶ, ὑπάρ-

---

2 *νοῆσαι* P ‖ **2. 3** *τό τε* F, *τό το* P ‖ **3** *τὸ* (ante *κρινόμενον*) om. F ‖ **4** *εἰμὲν* FP | post *εἶμεν* intercidisse *φαμὶ* putat Meineke | *αἴσθησιν* FP ‖ **5** *δὲ* (post *ὅπερ*) F, *καὶ* P ‖ **6** *τούτου* FP ‖ **7** et **8** (pri. l.) *ὅκα* F: *ὁκὰ* Meineke ‖ **8** (post. l.) et **10** *ὅκα* F, *ὅκα* P: corr. Meineke ‖ **8** *ἐπιβάλλον* FP: *ποτιβάλλων* Meineke ‖ **10** *περὶ τὸ* FP: *ποτὶ τὸ* Heeren ‖ **11** an *δι' αὐτὸν*? ‖ **12** *ἀριθμοὺς* FP ‖ **13** *πολιτικὰ* FP: corr. Canter ‖ **14** *ὅτι* F, *ἐστι* P | *διπλῶ* P ‖ **15** *τὸν νοατὸν λόγον* FP: corr. Usener | *ποτὶ βάλον* FP: corr. Canter ‖ **16** *αἰσθάσιας* P ‖ **17** *δέ τοι* FP: corr. Meineke ‖ **18** *νοητὰ* FP | *ποτιβάλλονται* FP: corr. Meineke | *ἀριθμοὺς* FP ‖ **20** *καθόλου* FP ‖ **21** *διά τι* vulg. cum Heereno | *τὸ* (ante *τί*), sed corr. ex *ποῦ* F; *ποῦ* P | *ἐστιν* FP ‖ **22** *τῶν* add. Heeren ‖ **23** *δ' ὅτι* FP: *δὲ διὰ τί* Mullach | *ἐστὶν* FP | *αἰσθάσει* FP ‖ **24** hic et p. **284**, **1** *ὅκα* P, *ὅκα* F: corr. Meineke | *ἃ* FP: *διὰ* Heeren | *συλλογισμῷ* F | *ὑπάρχει* Usener

χοντος ἐξ ἀνάγκας· αἰσθάσει δ', ὅκκα ἐπιμαρτυρώμεθα τὸν λόγον διὰ τᾶς αἰσθάσιος.

[726] 6 Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ. (p. 44 Patrit.).

⟨ΤΑΤ⟩ Ὀρθῶς ταῦτα ἀπέδειξας, ὦ πάτερ· ἐκεῖνα δὲ ἔτι με δίδαξον. Ἔφης γάρ που τὴν ἐπιστήμην καὶ τὴν τέχνην ἐνέργειαν εἶναι τοῦ λογικοῦ· νῦν δὲ φῂς τὰ ἄλογα ζῷα στερήσει τοῦ λογικοῦ ἄλογα εἶναι καὶ κεκλῆσθαι· δῆλον ⟨δ'⟩ ὅτι ἀνάγκη κατὰ τοῦτον τὸν λόγον τὰ ἄλογα ζῷα μὴ μετέχειν ἐπιστήμης μηδὲ τέχνης διὰ τὸ ἐστερῆσθαι τοῦ λογικοῦ.

⟨ΕΡΜ.⟩ Ἀνάγκη γάρ, ὦ τέκνον.

⟨ΤΑΤ⟩ Πῶς οὖν ὁρῶμεν, ὦ πάτερ, τινὰ τῶν ἀλόγων ἐπιστήμῃ καὶ τέχνῃ χρώμενα, οἷον τοὺς μύρμηκας τὰς τροφὰς ἀποθησαυριζομένους τοῦ χειμῶνος καὶ τὰ ἀέρια ζῷα ὁμοίως καλιὰς ἑαυτοῖς συντιθέντα, τὰ δὲ τετράποδα γνωρίζοντα τοὺς φωλεοὺς τοὺς ἰδίους;

⟨ΕΡΜ.⟩ Ταῦτα, ὦ τέκνον, οὐκ ἐπιστήμῃ οὐδὲ τέχνῃ ποιεῖ, ἀλλὰ φύσει. Ἡ γὰρ ἐπιστήμη καὶ ἡ τέχνη διδακτά εἰσι· τούτων δὲ τῶν ἀλόγων οὐδεὶς οὐδὲν διδάσκεται.

[728] p. 83 C. Τὰ δὲ φύσει γιγνόμενα ἐνεργείᾳ μὲν γίγνεται καθολικῇ· τὰ δὲ ἐπιστήμῃ καὶ τέχνῃ εἰδικῶς παραγίγνεται, οὐ πᾶσι· ⟨τὰ δὲ πᾶσι⟩ γιγνόμενα ὑπὸ φύσεως ἐνεργεῖται. Οἷον οἱ ἄνθρωποι ⟨πάντες⟩ ἄνω βλέπουσιν, οὐ πάντες δὲ ἄνθρωποι μουσικοὶ οὐδὲ πάντες τοξόται ἢ κυνηγοὶ οὐδὲ τὰ ἄλλα πάντα· ἀλλὰ τινὲς αὐτῶν τι ἔμαθον ἐπιστήμης καὶ τέχνης ἐνεργούσης. Τὸν αὐτὸν τρόπον εἰ μέν τινες τῶν

---

1 *αἰσθάσει* FP ‖ **3** lemma F mrg, P in textu habent ‖ **4** personarum notas hic et infra semper addidi ‖ **6** *νῦν δ' εἰ* (sive v. 8 *δῆλον ⟨οὖν⟩*) Meineke, *νῦν δ' ὃ* Usener ‖ **8** *δ'* addidi | *ἀνάγκῃ* F ‖ **13** *χρώμενος* P ‖ **14** *⟨πρὸ⟩ τοῦ χειμῶνος* Meineke: num *⟨τὰς⟩ τοῦ χειμῶνος*? ‖ **17** *ἐπιστήμη* F | *οὐ* FP: *οὐδὲ* Meineke | *τέχνη* F ‖ **18** *διδακτικὰ* FP: corr. Patritius ‖ **19** *οὐδεὶς* fort. secludendum ‖ **20** *ἐνέργεια* FP: corr. Canter | *καθολικὴ* F, *καθεκτικῇ* P ‖ **21** *τῇ δὲ* FP: *τὰ δὲ* Heeren | *εἰδόσι* FP: correxi coll. p. 287, 18 ‖ **22** *τὰ δὲ πᾶσι* add. Heeren, *τὰ δὲ φύσει* Patrit. ‖ **23** *πάντες* ante *ἄνω* addidi; ante *οἱ* add. Heeren, post *βλέπουσιν* Meineke ‖ **26** *εἰ* (corr. ex *οἳ*) F, *οἱ* P

μυρμήκων τοῦτο ἔπραττον, οἳ δ' οὔ, καλῶς ἂν ἔλεγες ἐπιστήμῃ αὐτὸ τοῦτο πράττειν καὶ τέχνῃ συνάγειν τὰς τροφάς· εἰ δὲ πάντες ὁμοίως ἄγονται ὑπὸ τῆς φύσεως ἐπὶ τοῦτο καὶ ἄκοντες, δῆλον ὅτι οὐκ ἐπιστήμῃ οὐδὲ τέχνῃ τοῦτο πράττουσιν.

Ἐνέργειαι γάρ, ὦ Τάτ, ἀσώματοι αὐταὶ οὖσαι, ἐν σώμασίν εἰσιν καὶ διὰ τῶν σωμάτων ἐνεργοῦσι. Διόπερ, ὦ Τάτ, καθότι ἀσώματοί εἰσι, καὶ ἀθανάτους αὐτάς φημι εἶναι· καθότι δὲ χωρὶς σωμάτων ἐνεργεῖν οὐ δύνανται, φημὶ αὐτὰς εἶναι ἀεὶ ἐν σώματι. Τὰ γὰρ πρός τι ἢ ἕνεκά τινος γενόμενα προνοίᾳ καὶ ἀνάγκῃ ὑποπεπτωκότα ἀδύνατον ἀργά ποτε μεῖναι τῆς ἰδίας ἐνεργείας. Τὸ γὰρ ὂν ἀεὶ ἔσται, ταὐτὸ γὰρ αὐτοῦ καὶ σῶμα καὶ ζωή ἐστι. Τούτῳ τῷ λόγῳ ἕπεται τὸ καὶ ἀεὶ τὰ σώματα εἶναι. Διὸ [730] καὶ αὐτὴν τὴν σωμάτωσίν φημι ἀιδίαν ἐνέργειαν εἶναι. Εἰ γὰρ σώματα ἐπίγεια διαλυτά, σώματα δὲ δεῖ εἶναι, τόπους καὶ ὄργανα τῶν ἐνεργειῶν ταῦτα, αἱ δὲ ἐνέργειαι ἀθάνατοι, τὸ δὲ ἀθάνατον ἀεὶ ἔστιν, ἐνέργεια καὶ ἡ σωματοποίησις, εἴγε ἀεὶ ἔστι.

Παρέπονται δὲ τῇ ψυχῇ οὐκ ἀθρόως παραγιγνόμεναι, ἀλλὰ τινὲς μὲν αὐτῶν ἅμα τῷ γίνεσθαι τὸν ἄνθρωπον ἐνεργοῦσιν, ὁμοῦ τῇ ψυχῇ περὶ τὸ ἄλογον οὖσαι, αἱ δὲ καθαρώτεραι ἐνέργειαι κατὰ μεταβολὴν τῆς ἡλικίας τῷ λογικῷ μέρει τῆς ψυχῆς συνεργοῦσαι. Αὗται δὲ αἱ ἐνέργειαι τῶν σωμάτων εἰσὶν ἠρτημέναι. Καὶ ἀπὸ μὲν τῶν θείων σωμάτων ἔρχονται εἰς τὰ θνητὰ αὗται [αἱ] σωματοποιοῦσαι, ἑκάστη δὲ αὐτῶν ἐνεργεῖ ἢ περὶ τὸ σῶμα

---

4 *τούτω* P ‖ **6** *ἐνέργεια* F | *ἀσώματον* F | *αὗται* F, *ταῦται* P: *αὐταὶ* Meineke ‖ **7** *ἐνεργοῦσι* F, *ἐνεργοῦσαι* P ‖ **8** et **10** *αὐτοὺς* F ‖ **8** *φὴς* FP: correxi ‖ **11** *γινόμενα* Usener | *καὶ*] *ἢ* Heeren ‖ **12** *ἐὸν* F ‖ **13** *τοῦτο* FP: *ταὐτὸ* scripsi | *ἐστι* post *ζωὴ* transp. vulg. cum Canter. ‖ **15** *ἀιδίαν ἐνέργειαν* F, *ἀειδιενέργειαν* P ‖ **16** *εἰς γὰρ* FP: corr. Canter | *ἐπίγεια* P^2, *ἐπίγερα* FP^1 ‖ **17** *ταῦτα* FP: *ὄντα* Heeren ‖ **21** *γενέσθαι* FP: *γίνεσθαι* Heeren ‖ **22** *τὰ ἄλογα* FP: corr. Usener ‖ **23** *ἡσυχίας* FP: *ἡλικίας* corr. cod. Vat. ‖ **24** *λοξῷ* P^1 | *συνεργοῦσαι* FP: *συνεργοῦσιν* Patrit. ‖ **25** ante *τῶν* add. *ἀπὸ* Meineke coll. p. 288, 19; sed cf. Herm. p. 77, 7 Parth. ‖ **26** *αἱ* del. Usener

ἢ τὴν ψυχήν. Καὶ αὐτῇ μέντοι τῇ ψυχῇ συγγίγνονται χωρὶς σώματος· ἀεὶ δὲ ἐνέργειαί εἰσιν, οὐκ ἀεὶ δὲ ἡ ψυχὴ
[732] ἐν σώματι θνητῷ ἐστι· δύναται γὰρ χωρὶς τοῦ σώματος εἶναι, αἱ δὲ ἐνέργειαι χωρὶς τῶν σωμάτων οὐ δύνανται εἶναι. Ἱερὸς λόγος ἐστίν, ὦ τέκνον, οὗτος. Συνεστάναι μὲν σῶμα χωρὶς ψυχῆς οὐ δύναται, τὸ δὲ εἶναι δύναται.

⟨ΤΑΤ⟩ Πῶς τοῦτο λέγεις, ὦ πάτερ;

⟨ΕΡΜ.⟩ Οὕτω νόησον, ὦ Τάτ· τῆς ψυχῆς χωρισθείσης τοῦ σώματος ἐπιμένει αὐτὸ τὸ σῶμα· τοῦτο δὲ τὸ σῶμα παρὰ τὸν τῆς ἐπιμονῆς χρόνον ἐνεργεῖται διαλυόμενον καὶ ἀειδὲς γιγνόμενον· ταῦτα δὲ οὐ δύναται πάσχειν τὸ σῶμα χωρὶς ἐνεργείας. Ἐπιμένει οὖν τῷ σώματι ἡ ἐνέργεια αὕτη ψυχῆς χωρισθείσης. Αὕτη οὖν ἡ διαφορὰ ἀθανάτου σώματος καὶ θνητοῦ, ὅτι τὸ μὲν ἀθάνατον ἐκ μιᾶς ὕλης συνέστηκε, τὸ δὲ οὔ· καὶ τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει (πᾶν γὰρ τὸ ἐνεργοῦν κρατεῖ, τὸ δὲ ἐνεργούμενον κρατεῖται) καὶ τὸ μὲν κρατοῦν ἐπιτακτικὸν καὶ ἐλεύθερον ⟨ὂν⟩ ἄγει, τὸ δὲ δοῦλον φέρεται.

Αἱ μὲν ⟨οὖν⟩ ἐνέργειαι οὐ μόνον τὰ ἔμψυχα ἐνεργοῦσι σώματα, ⟨ἀλλὰ⟩ καὶ τὰ ἄψυχα, ξύλα καὶ [τοὺς] λίθους καὶ τὰ ἄλλ' ὁμοίως, αὔξουσαί τε καὶ καρποφυοῦσαι καὶ πεπαίνουσαι καὶ φθείρουσαι καὶ τήκουσαι καὶ σήπουσαι καὶ θρύπτουσαι καὶ τὰ ὅμοια ἐνεργοῦσαι, ὅσα δύναται σώματα ἄψυχα πάσχειν. Ἐνέργεια γὰρ κέκληται, ὦ τέκνον,
[734] αὐτὸ τοῦτο, ὅ τί ποτέ ἐστι τὸ γιγνόμενον· ἀεὶ δὲ γίγνεσθαι δεῖ καὶ πολλά, μᾶλλον δὲ πάντα· οὐδέποτε γὰρ χηρεύει τῶν ὄντων τινὸς ὁ κόσμος, ἀεὶ δὲ φερόμενος ἐν ἑαυτῷ
p. 84 C. κυίσκει τὰ ὄντα, οὐδέποτε ἀπολειφθησόμενα αὐτὰ τῆς

---

6 τὸ δὲ εἶναι δύναται om. P ‖ **17** τὸ μὲν κρατούμενον F ‖ **18** ὂν add. Heeren | φέρεται FP: ἄγεται Meineke ‖ **19** οὖν add. Heeren ‖ **20** ἀλλὰ, quod om. FP, add. cod. Vatic. | τοὺς ante λίθους om. cod. Vat. ‖ **21** ὅμοια FP: corr. Usener | καρποφοροῦσαι FP: καρποφυοῦσαι scripsi, καρποφερεῖν ποιοῦσαι Meineke ‖ **22** παπταίνουσαι P¹ ‖ **24** ἄψυχα om. Heeren ‖ **25** γενόμενον F ‖ **26** δεῖ om. P | καὶ om. Heeren; post καὶ add. ἀπόλλυσθαι Meineke ‖ **28** κυήσει P¹ | αὐτοῦ FP: αὐτὰ scripsi, αὖθις Heeren

φθορᾶς. Πᾶσα οὖν ἐνέργεια νοείσθω, ὡς ἀεὶ ἀθάνατος οὖσα, ἥτις ἂν ᾖ ἐν οἱῳδήποτε σώματι.

Τῶν δὲ ἐνεργειῶν αἱ μέν εἰσι τῶν θείων σωμάτων, αἱ δὲ τῶν φθαρτῶν, καὶ αἱ μὲν καθολικαί, αἱ δὲ εἰδικαί, καὶ αἱ μὲν τῶν γενῶν, αἱ δὲ τῶν μερῶν ἑνὸς ἑκάστου. Θεῖαι μὲν οὖν εἰσιν αἱ εἰς τὰ ἀίδια σώματα ἐνεργοῦσαι· αὗται δὲ καὶ τέλειαι εἰσιν, ὡς εἰς τέλεια σώματα· μερικαὶ δὲ αἱ δι' ἑνὸς ἑκάστου γένους τῶν ζῴων· εἰδικαὶ δὲ αἱ εἰς ἕκαστον τῶν ὄντων τί.

Οὗτος οὖν ὁ λόγος, ὦ τέκνον, συνάγει πάντα μεστὰ εἶναι ἐνεργειῶν. Εἰ γὰρ ἀνάγκη τὰς ἐνεργείας ἐν σώμασιν εἶναι, πολλὰ δὲ σώματα ἐν κόσμῳ, πλείους φημὶ εἶναι τὰς ἐνεργείας τῶν σωμάτων. Ἓν ἑνὶ γὰρ πολλάκις σώματί ἐστι μία καὶ δευτέρα καὶ τρίτη χωρὶς τῶν παρεπομένων καθολικῶν· καθολικὰς γὰρ ἐνεργείας φημὶ τὰς ὄντως σωματικάς, διὰ δὲ τῶν αἰσθήσεων καὶ τῶν κινήσεων γινομένας· χωρὶς γὰρ τούτων τῶν ἐνεργειῶν τὸ σῶμα συστῆναι οὐ δυνατόν. Ἕτεραι δέ εἰσιν εἰδικαὶ ἐνέργειαι ταῖς ψυχαῖς τῶν ἀνθρώπων διὰ τεχνῶν καὶ ἐπιστημῶν καὶ ἐπιτηδευ- [736]
μάτων καὶ ἐνεργημάτων. Παρέπονται γὰρ ταῖς ἐνεργείαις αἱ αἰσθήσεις, μᾶλλον δὲ ἀποτελέσματα τῶν ἐνεργειῶν ⟨αἱ⟩ αἰσθήσεις εἰσί.

Νόησον οὖν, ὦ τέκνον, διαφορὰν ἐνεργείας ⟨καὶ αἰσθήσεως· ἡ μὲν ἐνέργεια⟩ ἄνωθεν πέμπεται· ἡ δὲ αἴσθησις ἐν τῷ σώματι οὖσα καὶ ἀπὸ τούτου τὴν οὐσίαν ἔχουσα, δεξαμένη τὴν ἐνέργειαν φανερὰν ποιεῖ, καθάπερ αὐτὴν σωματοποιήσασα. Διόπερ τὰς αἰσθήσεις καὶ σωματικὰς

---

1 *φορᾶς* Canter int. lat. ‖ **2** *ᾖ* om. P ‖ **4** *ἰδικαὶ* FP: corr. Meineke ‖ **4** post *καθολικαὶ* Usener addebat *αἱ δὲ μερικαὶ* et post *μερῶν* (5) item *ἑκάστου γένους, αἱ δέ τινος* coll. v. 8. 9; sed ne sic quidem haec concordant ‖ **6** *θεῖα* P^1 | *αἱ* FP^2, *καὶ* P^1 | *ἴδια* FP: corr. Canter mrg ‖ **8** *γένους* om. P | *ἰδικαὶ* FP: *εἰδικαὶ* Meineke; fort. *ἴδιαι* ‖ **11** *σώματι* P ‖ **15.16** *σωματωτικὰς* Usener ‖ **18** *οὐ δυνατὸν* F, *ἀδύνατον* P | *ἰδικαὶ* FP: corr. Meineke ‖ **21** *καὶ αἰσθήσεις* FP: *αἱ αἰσθήσεις* Heeren tamquam ex Vat. | *ἀποτελέσματα* F^2P^2, *ἀποτέλεσμα* F^1, *ἀποτέλειμα* P^1 ‖ **22** *αἱ* ante *αἰσθήσεις* add. F^2 ‖ **23** *οὖν* om. F | post *ἐνεργείας* ipse *καὶ αἰσθήσεως· ἡ μὲν ἐνέργεια* addidi, *καὶ αἰσθήσεως· ἡ μὲν* add. P^2 mrg, *καὶ αἰσθήσεως· ἐνέργεια* add. Heeren tamquam ex P

καὶ θνητάς φημι εἶναι, τοσοῦτον συνεστώσας, ὅσον καὶ τὸ σῶμα. Καὶ γὰρ συγγεννῶνται τῷ σώματι αἱ αἰσθήσεις καὶ συναποθνήσκουσι· τὰ δὲ ἀθάνατα σώματα αὐτὰ μὲν [ἀθάνατον] αἴσθησιν οὐκ ἔχει, ὡς ἐξ οὐσίας τοιαύτης συνεστῶτα· ἡ γὰρ αἴσθησις οὐδ' ὅλως ἄλλου ἐστὶ [σωματικὴ] ἢ τοῦ προσγενομένου τῷ σώματι κακοῦ ἢ τοῦ ἀγαθοῦ ἢ τοῦ πάλιν αὖ ἀπογενομένου. Τοῖς δὲ ἀιδίοις σώμασιν οὔτε προσγίνεταί ⟨τι⟩ οὔτε ἀπογίνεται· διὸ αἴσθησις ἐν ἐκείνοις οὐ γίνεται.

⟨ΤΑΤ⟩ Ἐν παντὶ οὖν σώματι αἴσθησις αἰσθάνεται;

⟨ΕΡΜ.⟩ Ἐν παντί, ὦ τέκνον, καὶ ἐνέργειαι ⟨ἐν⟩ πᾶσιν ἐνεργοῦσι. [738]

⟨ΤΑΤ⟩ Καὶ τοῖς ἀψύχοις, ὦ πάτερ;

⟨ΕΡΜ.⟩ Καὶ ⟨τοῖς⟩ ἀψύχοις, ὦ τέκνον. Διαφοραὶ δέ εἰσι τῶν αἰσθήσεων· αἱ μὲν τῶν λογικῶν μετὰ λόγου γίγνονται, αἱ δὲ τῶν ἀλόγων σωματικαί εἰσι μόνον, αἱ δὲ τῶν ἀψύχων αἰσθήσεις μέν εἰσι, παθητικαὶ δὲ κατὰ αὔξησιν μόνον καὶ κατὰ μείωσιν γιγνόμεναι. Τὸ δὲ πάθος καὶ ⟨ἡ⟩ αἴσθησις ἀπὸ μιᾶς κορυφῆς ἤρτηνται, εἰς δὲ τὸ αὐτὸ συνάγονται, ὑπὸ δὴ τῶν ἐνεργειῶν. Τῶν δὲ ἐμψύχων ζῴων εἰσὶ δύο ἄλλαι ἐνέργειαι, αἳ παρέπονται ταῖς αἰσθήσεσι καὶ τοῖς πάθεσι, λύπη καὶ χαρά· χωρὶς τούτων ζῷον ἔμψυχον καὶ μάλιστα λογικὸν αἰσθεσθαι ἀδύνατον· διὸ καὶ ἰδέας ταύτας εἶναί φημι [τῶν παθῶν ἰδέας] τῶν λογικῶν μᾶλλον ζῴων ἐπικράτουσας. [Αἱ μὲν ἐνέργειαι ἐνεργοῦσιν, αἱ δὲ αἰσθήσεις τὰς ἐνεργείας ἀναφαίνουσιν.] Αὗται δὲ οὖσαι σωματικαὶ ἀνακινοῦνται ὑπὸ τῶν τῆς ψυχῆς ἀλόγων μερῶν, διὸ καὶ ἀμφοτέρας φημὶ

---

1 τοσούτων P^1 | καὶ om. P ‖ **4** ἀθάνατον P, om. F ‖ **5** ἄλλον P^1, ἄλλο P^2 ‖ **5. 6** σωματικὴ seclusit Heeren ‖ **8** τι addidi ‖ **10** αἴσθησις F^2P^2, αἴσθησιν F^1P^1 ‖ **11** ἐνεργεία P | ἐν add. Heeren ‖ **13** et **14** κἀν Usener ‖ **13** ante τοῖς add. ἐν Heeren ‖ **14** τοῖς add. Meineke ‖ **18** καὶ (post μόνον) P^2, δὲ FP^1 ‖ **19** ἡ addidi ‖ **20** δὲ FP: δὴ scripsi, del. Patrit. ‖ **22** ante χωρὶς add. καὶ Heeren tamquam ex Canteriana, ubi λύπη καὶ χωρὶς (om. χαρά) ‖ **24** τῶν παθῶν ἰδέας seclusi (ἰδέας del. Patrit.) ‖ **25** λοξῶν F^1 | ἐπικρατούσας P^2, ἔτι κρατούσας FP^1 | αἱ μὲν usque ad ἀναφαίνουσιν (26. 27) delevi cf. p. 287, 26 | post μὲν add. οὖν Heeren

κακωτικὰς εἶναι. Τό τε γὰρ χαίρειν μεθ' ἡδονῆς τὴν αἴσθησιν παρέχον πολλῶν κακῶν εὐθέως αἴτιον συμβαίνει τῷ παθόντι, ἥ τε λύπη ἀλγηδόνας καὶ ὀδύνας ἰσχυροτέρας παρέχεται· διόπερ εἰκότως ἀμφότεραι κακω- [740]
τικαὶ ἂν εἴησαν.

⟨ΤΑΤ⟩ Ἡ αὐτὴ ⟨δ'⟩ ἂν εἴη αἴσθησις ψυχῆς καὶ σώματος, ὦ πάτερ;

⟨ΕΡΜ.⟩ Πῶς νοεῖς, ὦ παῖ, ψυχῆς αἴσθησιν;

⟨ΤΑΤ⟩ Οὐχ ἡ μὲν ψυχὴ ἀσώματος, ἡ δὲ αἴσθησις σῶμα ἂν εἴη, ὦ πάτερ, ⟨εἰ⟩ ἡ αἴσθησις [ἡ] ἐν σώματι οὖσα τυγχάνει;

⟨ΕΡΜ.⟩ Ἐὰν ἐν σώματι αὐτὴν θῶμεν, ὦ τέκνον, ὁμοίαν τῇ ψυχῇ αὐτὴν ἀποφανοῦμεν ἢ ταῖς ἐνεργείαις· p. 85 C.
ταῦτα γὰρ ἀσώματα ὄντα φαμὲν ἐν σώμασιν. Ἡ δὲ αἴσθησις οὔτε ἐνέργειά ἐστιν οὔτε ψυχὴ οὔτε ἀσώματόν τι ἄλλο παρὰ τὰ προειρημένα, οὐκ ἂν οὖν εἴη ἀσώματον· εἰ δ' οὐκ ἔστιν ἀσώματον, σῶμα ἂν εἴη· τῶν γὰρ ὄντων δεῖ τὰ μὲν σώματα εἶναι, τὰ δὲ ἀσώματα.

7 Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα (p. 40 Patrit.).

Κινεῖται δὲ τὸ κινούμενον κατ' ἐνέργειαν τῆς κινήσεως τῆς κινούσης τὸ πᾶν. Ἡ γὰρ φύσις τοῦ παντὸς τῷ παντὶ παρέχει κινήσεις, μίαν μὲν τὴν κατὰ δύναμιν αὐτῆς, ἑτέραν δὲ τὴν κατ' ἐνέργειαν· καὶ ἡ μὲν διήκει διὰ τοῦ σύμπαντος κόσμου καὶ ἐντὸς συνέχει· ἡ δὲ παρήκει καὶ ἐκτὸς περιέχει· καὶ διὰ πάντων πεφοιτήκασι κοινῇ. [742]
Καὶ ἡ φύσις πάντων, φύουσα τὰ γιγνόμενα, φυὴν παρέχει τοῖς φυομένοις, σπείρουσα μὲν τὰ ἑαυτῆς σπέρματα, γενέσεις ⟨δ'⟩ ἔχουσα δι' ὕλην κινητήν. Κινουμένη δὲ θερμαίνεται καὶ γίγνεται ⟨ἡ⟩ ὕλη πῦρ καὶ ὕδωρ, τὸ μὲν

---

2. 3 συμβαίνειν FP: corr. Heeren ‖ **3** τῷ παθόντι FP ‖ **6** δ' add. Heeren ‖ **10** εἰ add. Canter int. | ἡ post αἴσθησις del. P^2 ‖ **13** ἀποφαινοῦμεν F ‖ **15** οὐδὲ ἐνέργεια FP: correxi ‖ **15. 16** οὔτε σώματός τι Canter ‖ **18** ἀεὶ FP: δεῖ Canter mrg ‖ **19** ἄμμων P^1 ‖ **23** αὐτῆς non intellego ‖ **24** σέχει P ‖ **28** γένεσις. ἔχουσα FP: γενέσεις ἔχουσα Patrit. | δ' addidi | δὲ ὕλην FP: δι' ὕλην corr. cod. Vatic. et Patrit. ‖ **29** ἡ add. Patrit.

σθεναρὸν καὶ ἰσχυρόν, τὸ δὲ πάσχον. Τὸ δὲ πῦρ ἐναντιούμενον τῷ ὕδατι ἐξήρανε τοῦ ὕδατος, καὶ ἐγένετο ⟨ἡ γῆ⟩ ὀχουμένη ἐπὶ τοῦ ὕδατος. Περιξηραινομένου δὲ ἀτμὸς ἐγένετο ἐκ τῶν τριῶν, τοῦ τε ὕδατος ⟨καὶ⟩ τῆς γῆς καὶ τοῦ πυρός, καὶ ἐγένετο ἀήρ. Ταῦτα συνῆλθε κατὰ τὸν τῆς ἁρμονίας λόγον, θερμὸν ψυχρῷ, ξηρὸν ὑγρῷ, καὶ ἐκ τῆς συμπνοίας τούτων ἐγένετο πνεῦμα καὶ σπέρμα ἀνάλογον τῷ περιέχοντι πνεύματι. Τοῦτο δὲ ἐς τὴν μήτραν ἐμπεσὸν οὐκ ἠρεμεῖ ἐν τῷ σπέρματι, οὐκ ἠρεμοῦν δὲ μεταβάλλει τὸ σπέρμα, μεταβαλλόμενον δὲ αὔξην ἴσχει καὶ μέγεθος. Ἐπὶ τῷ μεγέθει δὲ εἴδωλον ἐπισπᾶται σχήματος καὶ σχηματίζεται· ὀχεῖται δὲ ἐπὶ τῷ σχήματι τὸ εἶδος, δι' οὗ καὶ εἰδωλοποιεῖται τὸ εἰδωλοποιούμενον. Ἐπεὶ τοίνυν τὸ πνεῦμα οὐκ εἶχεν ἐν τῇ νηδύι τὴν ζωτικὴν κίνησιν, τὴν δὲ βλαστικήν, καὶ ταύτην ἥρμοσεν ἁρμονία, ὑποδοχὴν οὖσαν τῆς διανοητικῆς ζωῆς. Ἔστι δὲ αὕτη
[744] ἀμερὴς καὶ ἀμετάβλητος, οὐδέποτε ἐξισταμένη τῆς ἀμεταβλησίας. Τὸ δ' ἐν τῇ νηδύι ἀριθμοῖς λοχεύει καὶ μαιοῦται καὶ εἰς τὸν ἔξω ἀέρα ἄγει· καὶ ἐγγυτάτω ψυχὴ οὖσα οἰκειοῦται, οὐ κατὰ τὴν συγγενικὴν ἰδιότητα ἀλλὰ τὴν καθειμαρμένην· οὐ γὰρ ἔρως ἐστὶν αὐτῇ μετὰ σώματος εἶναι. Διὰ τοῦτο καθ' εἱμαρμένην παρέχει τῷ γιγνομένῳ διανοητικὴν κίνησιν καὶ νοερὰν ζωῆς αὐτῆς οὐσίαν· παρεισέρπει γὰρ τῷ πνεύματι καὶ κινεῖ ζωτικῶς.

8 Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα πρὸς Τάτ (p. 45[b] Patrit.).

Καὶ ὁ μὲν κύριος καὶ πάντων δημιουργὸς τῶν ἀιδίων σωμάτων, ὦ Τάτ, ἅπαξ ποιήσας οὐκέτι ἐποίησεν οὐδὲ ποιεῖ. Ταῦτα γὰρ ἑαυτοῖς παραδοὺς καὶ ἑνώσας ἀλλήλοις ἀφῆκε φέρεσθαι, μηδὲν ἐνδέοντα, ὡς ἀίδια. Εἰ

---

2. 3 ἡ γῆ add. Patrit. ‖ **4** καὶ ante τῆς addidi | γῆς τε καὶ Patrit. ‖ **10** αὔξειν F ‖ **13** εἰδοποιεῖται τὸ εἰδοποιούμενον Usener ‖ **15** βραστικὴν FP: corr. Usener ‖ **19** ψυχῇ Heeren ‖ **20** ἰδιότητα P, οἰσιότητα F: οἰκειότητα Meineke e cod. Vatic. ‖ **21** ἐρώτων ἐστὶν αὕτη FP: corr. Patrit. ‖ **22** καθειμαρμένην FP: corr. Canter ‖ **24** συμπαρεισέρπει Meineke | γὰρ P, δὲ F ‖ **30** ὡς ἀίδια F, καὶ ἀίδια P

δὲ δέονται τινῶν, ἀλλήλων δεήσονται, οὐδεμιᾶς δὲ τῆς ἔξωθεν ἐπιφορᾶς, ὡς ἀθάνατα. Ἔδει γὰρ τὰ ὑπ' ἐκείνου σώματα γενόμενα τοιαύτην ἔχειν καὶ τὴν φύσιν. Ὁ δὲ ἡμέτερος δημιουργὸς ἐν σώματι ὧν ἐποίησεν ἡμᾶς καὶ ποιεῖ ἀεὶ καὶ ποιήσει σώματα διαλυτὰ καὶ θνητά. Οὐ γὰρ θέμις ἦν αὐτῷ μιμεῖσθαι τὸν ἑαυτοῦ δημιουργόν, ἄλλως τε καὶ ἀδύνατον ⟨ὄν⟩. Ὃ μὲν γὰρ ἐκ τῆς πρώτης [746] οὐσίας ἐποίησεν οὔσης ἀσωμάτου, ὃ δὲ ἐκ τῆς γεινομένης σωματώσεως ἐποίησεν ἡμᾶς. Εἰκότως οὖν κατὰ τὸν ὀρθὸν λόγον ἐκεῖνα μὲν τὰ σώματα, ὡς ἐξ ἀσωμάτου οὐσίας γεγεννημένα, ἀθάνατά ἐστι· τὰ δὲ ἡμέτερα διαλυτὰ καὶ θνητά, ὡς τῆς ὕλης ἡμῶν ἐκ σωμάτων συνεστώσης, διὰ τὸ ἀσθενῆ εἶναι καὶ πολλῆς ἐπικουρίας δεόμενα. Πῶς γὰρ ἂν καὶ τὸ τυχὸν ἀντέσχεν ὁ σύνδεσμος ἡμῶν τῶν σωμάτων, εἰ μή τινα εἶχεν ἐπεισερχομένην τροφὴν ἐκ τῶν ὁμοίων στοιχείων καὶ ὑπεσωμάτου ἡμᾶς καθ' p. 86 C. ἑκάστην τὴν ἡμέραν; Καὶ γὰρ γῆς τε καὶ ὕδατος καὶ πυρὸς καὶ ἀέρος ἐπιρροὴ ἡμῖν γίγνεται, ἥ τις τὰ σώματα ἡμῶν νεοποιοῦσα συνέχει τὸ σκῆνος· ὥστε καὶ πρὸς τὰς κινήσεις ἐσμὲν ἀσθενέστεροι, φέροντες κινήσεις μηδὲ ἡμέρας μιᾶς. Εὖ γὰρ ἴσθι, ὦ τέκνον, ὅτι εἰ μὴ ἐν ταῖς νυξὶν ἡμῶν ἀνεπαύετο τὰ σώματα, οὐκ ἂν πρὸς μίαν ἡμέραν ἀντέσχομεν. Ὅθεν ἀγαθὸς ὢν ὁ δημιουργὸς πάντα προεπιστάμενος, εἰς διαμονὴν τοῦ ζῴου ἐποίησε τὸν ὕπνον, [ὃν] μέγιστον τοῦ καμάτου τῆς κινήσεως, καὶ ἐπ' ἰσότητος ἔταξεν ἑκατέρῳ χρόνον, μᾶλλον δὲ τῇ ἀναπαύλῃ πλείονα. Μεγίστην δὲ νόει, τέκνον, τοῦ

---

1 τῆς om. Patrit. ‖ **3** γενόμενα FP: γιγνόμενα Canter ‖ **7** ante ἀδύνατον add. ὅτι Heeren | ὄν add. Meineke ‖ **9** κατὰ FP ‖ **11** γεγενημένα P ‖ **17** τὴν, quod FP¹ habent, del. P² ‖ **19** ὥστε] 'fortasse οἴγε, nisi aliquid excidit' Meineke ‖ **21** εὖ F, εἰ P ‖ **23** ἀντέσχωμεν FP: corr. Canter, ἀντίσχοιμεν Meineke ‖ **24** προεπιστάμενος FP: προυπιστάμενος Heeren e cod. Vatic. ‖ **25** ὃν del. Heeren | μέγιστον corruptum; ῥᾳστώνην Usener | post κινήσεως add. θελκτήριον Heeren, φάρμακον Meineke ‖ **26** ἐπισότητος FP: ἐπισότητα Patrit., ἔπισον Heeren | ἑκάστῳ FP: ἑκατέρῳ Meineke | χρόνῳ FP: corr. tacite Gaisford

[748] *ὕπνου τὴν ἐνέργειαν, ἐναντίαν τῇ τῆς ψυχῆς, οὐκ ἐλάττω ⟨δ'⟩ ἐκείνης. Καθάπερ γὰρ ἡ ψυχὴ κινήσεώς ἐστιν ἐνέργεια, τὸν αὐτὸν τρόπον καὶ τὰ σώματα ζῆν οὐ δύναται χωρὶς τοῦ ὕπνου. Ἄνεσις γὰρ καὶ ἄφεσίς ἐστι τῶν συνδέτων μελῶν καὶ ἔσωθεν ἐνεργεῖ σωματοποιῶν τὴν ἐπεισελθοῦσαν ὕλην, ἑκάστῳ τὸ οἰκεῖον διαστέλλων· τὸ μὲν ὕδωρ τῷ αἵματι, τὴν δὲ γῆν ⟨τοῖς⟩ ὀστέοις καὶ μυελοῖς, τὸν δὲ ἀέρα τοῖς νεύροις καὶ φλεψί, τὸ δὲ πῦρ τῇ ὁράσει. Διόπερ καὶ ἥδεται ἄκρως τὸ σῶμα τοῦ ὕπνου ταύτην ἐνεργοῦντος τὴν ἡδονήν.*

9 *Πλάτωνος ἐκ τοῦ Κρατύλου* (p. 400 B. C).

Τὸ σῶμα λέγεις; Πολλαχῇ μοι δοκεῖ τοῦτό γε· ἂν μὲν καὶ σμικρόν τις παρακλίνῃ, καὶ πάνυ· καὶ γὰρ σῆμά τινές φασιν αὐτὸ εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι· καὶ διότι αὖ τούτῳ σημαίνει ἃ ἂν σημαίνῃ ἡ ψυχή, καὶ ταύτῃ σῆμα ὀρθῶς καλεῖσθαι. Δοκοῦσι μέντοι μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα, ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσι· τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σῴζηται, δεσμωτηρίου εἰκόνα· εἶναι οὖν τῆς ψυχῆς τοῦτο αὐτό, ὥσπερ ὀνομάζεται, ἕως ἂν ἐκτίσῃ τὰ ὀφειλόμενα, ⟨τὸ⟩ σῶμα, καὶ οὐδὲν δεῖν παράγειν οὐδὲν γράμμα.

10 ⟨*Πλουτάρχου.*⟩

Ὡσαύτως δὲ καὶ Ὅμηρος ἐδήλωσε· τὸ μὲν γὰρ

---

1 *ἐναντία* P | *τῇ* om. P | *οὐκ* del. Patrit. | *ἔλαττον* FP: corr. Meineke (*ἐλάττονα* Heeren) ‖ **2** *δ'* add. Heeren ‖ **3** *δύναται* P, *δύνανται* F ‖ **4** *ἄφεσις* FP: *ὕφεσις* Meineke ‖ **4. 5** post *συνδέτων* iterat *τῶν* F ‖ **5. 6** *ἐπελθοῦσαν* P ‖ **7** *τοῖς* (ante *ὀστέοις*) add. Meineke ‖ **9** *τῷ ὕπνῳ* FP: correxi | *τοιαύτην* (vel *τοσαύτην*) Meineke ‖ **10** *ἐνεργοῦντι* Meineke ‖ **11** *κρατύλλου* FP ‖ **12** post *λέγεις* add. Plat. *ναί* responsum Hermogenis ‖ **14** *τεθαμμένης* Plat., *τεθαυμένης* FP ‖ **14. 15** *ἐν τῷ νῦν παρόντι· καὶ διότι* Plat., *ἐν τῷ παρόντι καὶ νῦν* FP ‖ **15** *τούτῳ* Plat., *τοῦτο* FP ‖ **16** *ὀρθῶς* iterat F ‖ **17** post *μέντοι* add. Plat. *μοι* ‖ **20** *αὐτὸ ὥσπερ* FP, *ὥσπερ αὐτὸ* Plat. ‖ **21** *ἐκτίσει* P | *ὀφειλόμενα, τὸ σῶμα* Plat., *ὀφειλόμενα* (*ὑφειλόμενα* P) *σώματα* FP ‖ **21. 22** *οὐδὲ δεῖν* Plat. cod. Gudianus 44 ‖ **22** *οὐδὲ* Plat. *T* ‖ **24** Plutarcho (personato) adscripsi cum Dilesio Doxogr. p. 96 coll. Plutarch. vit. Hom. c. 124

τῶν ζώντων ἀεὶ δέμας προσαγορεύει, ὡς ἐν τούτοις (*A* 115. 116)·

ἐπεὶ οὔ ἑθέν ἐστι χερείων [750]
οὐ δέμας οὐδὲ φυήν.

Τὸ δὲ ἀποβεβληκὸς τὴν ψυχὴν σῶμα καλεῖ (*H* 79. 80)·

Σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.

Τὸ γὰρ αὐτὸ τῆς ψυχῆς δεσμὸς μὲν ἦν καὶ δέμας κρατουμένης, σῶμα δὲ ἀπολείπεται, τουτέστι σῆμα καὶ ἴχνος, ἀπελθούσης.

11 Ἑρμοῦ (p. 51[b] Patrit.).

Ἔστι τοίνυν τὸ προὸν ἐπὶ πάντων τῶν ὄντων καὶ τῶν ὄντως ὄντων. Προὸν [ὂν] γάρ ἐστι, δι' οὗ ἡ οὐσιότης ἡ καθόλου λεγομένη κοινὴ νοεῖται τῶν ὄντως ὄντων καὶ τῶν ὄντων τῶν καθ' ἑαυτὰ νοουμένων. Τὰ δὲ ἐναντία τούτοις κατὰ τὸ ἕτερον πάλιν αὐτὰ καθ' ἑαυτά ἐστι φύσις, οὐσία αἰσθητή, ἔχουσα ἐν ἑαυτῇ αἰσθητὰ πάντα. Μεταξὺ δὲ τούτων νοηματικοὶ καὶ αἰσθητοὶ θεοί· * * * τὰ μὲν μετέχοντα τῶν νοητῶν, τὰ δὲ δοξαστά, τὰ κοι- [752]
νωνοῦντα τῶν νοηματικῶν θεῶν. Αὗται δὲ εἰκόνες εἰσὶ νοημάτων, οἷον ἥλιος εἰκών ἐστι τοῦ ἐπουρανίου δημιουργοῦ θεοῦ. Καθάπερ γὰρ ἐκεῖνος τὸ ὅλον ἐδημιούργησε, καὶ ὁ ἥλιος δημιουργεῖ τὰ ζῷα καὶ γεννᾷ ⟨τὰ⟩ φυτὰ καὶ τῶν πνευμάτων πρυτανεύει.

---

3 οὗ ἑθέν Hom., οὐ ἐθεν F, οὐ lac. 2 litt. θεν P ‖ **8** καὶ δέμας et **9** καὶ ἴχνος om. Plut. ‖ **11** lemma P in textu, F mrg habet ‖ **12** προὸν edit. ‖ **13** ὄντων προ ὄν· ὂν γάρ FP: corr. Heeren ‖ **14** νοητῶν FP: νοεῖται Usener, ⟨τῶν⟩ νοητῶν Patrit., ⟨καὶ τῶν⟩ νοητῶν Heeren ‖ **15** νουμένων P[1] ‖ **16. 17** ἐστι. Φύσις ⟨δὲ⟩ Heeren ‖ **18** αἰσθητικοὶ Patrit. ‖ **19** lacunam ante τὰ μὲν signavit Usener | post μὲν add. νοηματικὰ τὰ Heeren | τὸν P, om. F: τῶν Canter | post νοητῶν add. θεῶν Heeren ‖ **19. 20** κοινωνοῦντα τῶν αἰσθητῶν male Heeren ‖ **21. 22** θεοῦ δημιουργοῦ P ‖ **22** ἐκεῖνα P ‖ **23** τὰ post γεννᾷ add. Patrit. ‖ **24** καὶ τῶν πνευμάτων πρυτανεύει om. F | post πρυτανεύει add. FP sine titulo cap. 45 (i. e. p. 297, 15—298, 2) quod suo loco iterant (v. infra); dein sequitur c. 42

CAPVT XLII (XLV Heeren., XXXVI Gaisford. Mein.).

1 ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΖΩΙΩΝ ΓΕΝΕΣΕΩΣ.

Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 76[E]—77[C]).

p. 87 C. *Ἐπειδὴ δὲ πάντα ἦν τὰ τοῦ θνητοῦ ζῴου συμπεφυκότα μέρη καὶ μέλη, τὴν δὲ ζωὴν ἐν πυρὶ καὶ πνεύματι συνέβαινεν ἐξ ἀνάγκης ἔχειν αὐτῷ, καὶ διὰ ταῦτα ὑπὸ τούτων τηκόμενον, κενούμενον ἔφθινε, βοήθειαν αὐτῷ θεοὶ μηχανῶνται. τῆς γὰρ ἀνθρωπίνης ξυγγενῆ φύσεως φύσιν ἄλλαις ἰδέαις καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον ζῷον εἶναι, φυτεύουσιν· ἃ δὴ νῦν ἥμερα δένδρα καὶ φυτὰ καὶ σπέρματα παιδευθέντα ὑπὸ γεωργίας τιθασῶς πρὸς ἡμᾶς ἔσχε· πρὶν δ' ἦν μόνα τὰ τῶν ἀγρίων γένη, πρεσβύτερα τῶν ἡμέρων ὄντα. Πᾶν γὰρ οὖν ὅ τι περ ἂν μετάσχῃ τοῦ ζῆν, ζῷον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατον· μετέχει γε μὴν τοῦτο, ὃ νῦν λέγομεν, τοῦ τρίτου ψυχῆς εἴδους, ὃ μεταξὺ φρενῶν ὁμφαλοῦ τε ἱδρῦσθαι λόγος, ᾧ δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδέν, αἰσθήσεως δὲ ἡδείας καὶ ἀλγεινῆς μετὰ ἐπιθυμιῶν. πάσχον γὰρ διατελεῖ πάντα· στραφέντι δὲ αὐτῷ ἐν ἑαυτῷ περὶ ἑαυτό, τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δὲ οἰκείᾳ χρησαμένῳ, τῶν αὐτοῦ τι λογίσασθαι κατιδόντι φύσιν οὐ παρέδωκεν ἡ γένεσις· διὸ δὴ ζῇ μὲν*

---

2 titulum om. FP; iteratur in ind. flor. Laur. Γ 10 | *περὶ τῆς τῶν ζώων γενέσεως καὶ τὰ ἑξῆς* Photius p. 112[b] 25. 26; *περὶ τῆς γενέσεως τῶν ζώων, ἐν ᾧ καὶ ταῦτα· περὶ συλλήψεως κτλ.* (proferuntur peculiares partium tituli quos infra posui) Laur.; patet igitur maximam partem capitis nunc periisse, cuius argumentum plerumque ex Aetii libri quinti capitibus congruis petivit Stobaeus (cf. *Stud.* p. 76 sq.), sed non semper; aliquotiens enim de suo addidit ut Platonis et Hermetis locos qui etiam nunc supersunt ‖ **4** *ἐπεὶ* Plat. vulg. ‖ **7** *τηκόμενον, κενούμενον* etiam Plat. Par. *A, τηκόμενον κενούμενόν τ'* Plat. cet. ‖ **11. 12** *τιθασσῶς* FP **12** *ἔχε* P ‖ **13** *ἡμέρων* Plat., *ἡμετέρων* FP ‖ **14** *μετέχει* P ‖ **15** *ὀρθότατα* Plat. | *μετέχειν* F ‖ **18** *ἀλγεινῆς* Plat., *ἀλγεῖν* FP ‖ **20** *περὶ αὐτὸ* P | *ἀπωσαμένῃ* F ‖ **21** *αὐτοῦ* FP ‖ **22** *φύσιν* Plat., *φύσει* FP

ἔστι τε οὐχ ἕτερον ζῴου, μόνιμον δὲ καὶ κατερριζωμένον πέπηγε διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινήσεως ἑστερῆσθαι.

2 ⟨ΠΕΡΙ ΣΥΛΛΗΨΕΩΣ.⟩

deest.

3 ⟨ΕΝ ΠΟΣΩΙ ΧΡΟΝΩΙ ΔΙΑΡΘΡΟΥΤΑΙ ΤΟ ΕΜΒΡΥΟΝ.⟩

deest.

4 ⟨ΑΠΟ ΠΟΙΟΥ ΑΡΧΕΤΑΙ ΜΟΡΙΟΥ ΜΟΡΦΟΥΣΘΑΙ ΤΟ ΕΜΒΡΥΟΝ.⟩

deest.

5 ⟨ΠΩΣ ΑΡΡΕΝΑ ΓΕΝΝΑΤΑΙ ΚΑΙ ΘΗΛΕΑ.⟩

deest.

6 ⟨ΠΩΣ ΤΕΡΑΤΑ ΓΙΝΕΤΑΙ.⟩

deest.

7 ⟨ΠΟΘΕΝ ΓΙΝΟΝΤΑΙ ΤΩΝ ΓΟΝΕΩΝ ΑΙ ΟΜΟΙΩΣΕΙΣ Η ΤΩΝ ΠΡΟΓΟΝΩΝ.⟩

(2) *Ἑρμοῦ ἐκ τῆς Ἀφροδίτης* (p. 46 Patrit.). [754]

Παρὰ τί δὲ τὰ βρέφη ὅμοια τοῖς γονεῦσι γίνεται ἢ συγγενείαις ἀποδίδοται; Ἐκθήσω λόγον. Ὅταν νοστίμου αἵματος ἐξαφρουμένου ἡ γέννησις ἀποθησαυρίζῃ γόνον, συμβαίνει πως ἐκπνεῖν ἐκ τοῦ σώματος ὅλου μελῶν οὐσίαν τινὰ κατὰ θείαν ἐνέργειαν, ὡς τοῦ αὐτοῦ ἀνθρώπου γινομένου, τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς γυναικὸς εἰκὸς γίγνεσθαι. Ὅταν ⟨οὖν⟩ καθυπερτερήσῃ τὸ ῥυὲν ἀπὸ τοῦ ἀνδρὸς καὶ ἄθικτον γένηται, τῷ πατρὶ ὁμοιούμενον τὸ βρέφος ἀποδειχθήσεται, ὡς τὸ ἀνάπαλιν τὸν αὐτὸν τρόπον τῇ μητρί·

---

1 *ζῴου* Plat., *ζώου* corr. ex *ζῶον* F, *ζῶον* P ‖ **3. 5. 7. 8. 10. 12. 14. 15** titulos addidi ex flor. Laur. (vide supra adn. ad p. 294, 2) ‖ **17** *δὲ* om. F ‖ **19** *ἐξαφεδρουμένου* FP: corr. Usener coll. Clem. Al. paedag. I 6, 48 p. 46, 37 S., *ἐξαφιδρουμένου* Schneider Saxo | *γένεσις* FP: corr. Meineke | *ἀποθησαυρίζῃ* F (ultima *η* in ras.), *ἀποθησαυρίζει* P ‖ **20** *ἐκπνέειν* F, *εἰσπνέειν* P: corr. Meineke | *μελῶν* om. Heeren ‖ **21. 22** *ὡς τοῦ αὐτοῦ ἀνθρώπου γινομένου* ut glossema del. Meineke | *γειναμένου* Heeren ‖ **22** *εἰς τὸ* FP: *εἰκὸς* Canter mrg ‖ **23** *οὖν* add. Heeren | *καθυπερτερίσῃ* FP: corr. cod. Aug. ‖ **24** *ἄτηκτον* Patrit., *ἄστακτον* Usener ‖ **25** *τῷ αὐτῷ τρόπῳ* Heeren | *μητρί* FP

ἐὰν ⟨δέ⟩ τινος μέρους καθυπερτέρησις γένηται, πρὸς ἐκεῖνο τὸ μέρος ἀφομοιοῦται. Ἔσθ' ὅτε δὲ καὶ εἰς μακρὰς γενεὰς παραβάλλει τὸ βρέφος τῇ μορφῇ τοῦ γεννήσαντος, ἐκείνου δεκανοῦ λόγον ἔχοντος πρὸς τὴν ὥραν, ἐν ᾗ ἡ γυνὴ ἐπαιδοποίει.

8 ⟨ΠΩΣ ΑΛΛΟΙΣ ΟΜΟΙΟΙ ΓΙΝΟΝΤΑΙ ΟΙ ΓΕΝΝΩΜΕΝΟΙ ΚΑΙ ΟΥ ΤΟΙΣ ΓΟΝΕΥΣΙ.⟩

deest.

9 ⟨ΔΙΑΤΙ ΑΙ ΗΜΙΟΝΟΙ ΣΤΕΙΡΑΙ.⟩

deest.

10 ⟨ΠΩΣ ΔΙΔΥΜΑ ΓΙΝΕΤΑΙ ΚΑΙ ΤΡΙΔΥΜΑ.⟩

deest.

11 ⟨ΕΙ ΤΟ ΕΜΒΡΥΟΝ ΖΩΙΟΝ.⟩

deest.

12 ⟨ΠΩΣ ΤΡΕΦΕΤΑΙ ΤΑ ΕΜΒΡΥΑ.⟩

deest.

13 ⟨ΔΙΑΤΙ ΤΑ ΕΠΤΑΜΗΝΙΑΙΑ ΓΟΝΙΜΑ.⟩

(3) ⟨Aetii (V 18, 4 p. 428, 1 Diels.).⟩

[756] Οἱ δὲ περὶ τὸν Ἀριστοτέλην καὶ Ἱπποκράτην φασίν, ἐὰν μὲν ἐκπληρωθῇ ἡ μήτρα ἐν τοῖς ἑπτὰ μησί, τότε προκύπτειν καὶ γεννᾶσθαι γόνιμα· ἐὰν δὲ προκύψῃ μέν, μὴ τρέφηται δέ, ἀσθενήσαντος [δὲ] τοῦ ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτῷ γενέσθαι τὸ ἔμβρυον, ἄτροφον εἶναι. Ἐὰν δὲ μείνῃ τοὺς ἐννέα μῆνας ἐν τῇ μήτρᾳ, προκύψαν τότε ὁλόκληρόν ἐστι.

---

1 ante ἐὰν add. ἔτι δὲ Heeren | δέ addidi | καθυπέρθεσις FP: corr. Meineke ‖ **3** παραβάλλειν FP: corr. Heeren ‖ **6. 7. 9. 11. 13. 15. 17** titulos addidi ex flor. Laur. (vide supra adn. ad p. 294, 2) ‖ **19** ante οἱ δὲ add. ἀριστοτελικόν F, ἀριστοτελικοὶ P ‖ **20** ἡ ἡμέρα FP: ἡ μήτρα Canter ex Plut. plac. V 18 | ἐν τοῖς om. P ‖ **22** στρέφηται P | δὲ (post ἀσθενήσαντος) del. Heeren ‖ **23** αὐτὸ FP: corr. Heeren | γεγενῆσθαι τὸ κύημα, τότε ἔμβρυον ἄτροφον Plut.: γενέσθαι ⟨τὸ κύημα (κῦμα Meineke)⟩ τὸ (τότε τὸ Meineke) ἔμβρυον ἄτροφον Heeren et Meineke ‖ **24** μεῖναι P ‖ **25** huic capiti inserere voluit lemma Εὐρυφῶντος τοῦ ἰατροῦ Diels Doxogr. p. 429; sed vide Elter de Stob. cod. Phot. p. 65

CAPVT XLIII (XLVI Heeren., XXXVII Gaisford. Mein.).

ΠΌΣΑ ΓΈΝΗ ΖΏΙΩΝ ΚΑῚ Ε͂Ι ΠΆΝΤΑ ΛΟΓΙΚᾺ ΚΑῚ Α͂ΙΣΘΗΤΆ.

⟨Aetii (V 20, 1 p. 432, 1 Diels.).⟩

Πλάτων καὶ Ἀριστοτέλης τέτταρα γένη ζῴων· χερσαῖα, ἔννυδρα, πτηνά, οὐράνια. Καὶ γὰρ τὰ ἄστρα [758] *ζῷα λέγεσθαι, τὸν κόσμον † καὶ τὸν ἔνθεον ζῷον λογικὸν ἀθάνατον.*

CAPVT XLIV (XLVII Heeren.).

ΠΕΡῚ ὙΠΝΟΥ ΚΑῚ ΘΑΝΆΤΟΥ.

deest.

CAPVT XLV (XLVIII Heeren., XXXVIII Gaisford. Mein.).

ΠΩ̂Σ ἨΥΞΉΘΗ ΤᾺ ΦΥΤᾺ ΚΑῚ Ε͂Ι ΖΩ̂ΙΑ.

⟨Aetii (V 26, 1. 2 p. 438, 3 Diels.).⟩

1 *Πλάτων Θαλῆς καὶ τὰ φυτὰ ἔμψυχα ζῷα. Φανερὸν δὲ καὶ ἀπὸ τοῦ σαλεύεσθαι καὶ ἐντεταμένους ἔχειν τοὺς κλάδους καὶ ταῖς ἐπαγωγαῖς εἴκειν καὶ πάλιν σφο-* [760] *δρῶς ἀναχαλᾶσθαι, ὥστε καὶ συνανέλκειν βάρη.*

---

2. 3 titulus iteratur in ind. flor. Laur. litt. *Γ* n. 11, ubi additur *ἐν ᾧ καὶ ταῦτα· ἐν πόσῳ χρόνῳ κτλ.*, quode vide *Stud.* p. 77 et Lortzing *Philol. Rundschau* II p. 169 ‖ **2** *λοξὰ* F ‖ **5** *πλάτωνος καὶ ἀριστοτέλους* add. P mrg | *καὶ* om. F ‖ **7** *καὶ κόσμον καὶ τῶν γηίνων ζῷον* Plut. plac. V 20; Aetii antiquum mendum latet, quod Diels ita fere tollit: ⟨*καὶ*⟩ *τὸν κόσμον καὐτὸν ἔνθεον ζῷον* | *καὶ τὸ* P ‖ **10** titulum om. FP ‖ **13** *περὶ φυτῶν* F supra post cap. 41 (vide adn. ad p. 293, 21), *πλάτωνος καὶ θάλητος περὶ φυτῶν* P supra post cap. 41 (vide ibid.), *περὶ φυτῶν* Phot. p. 112^{b} 27 | *ηὐξήνθη* P hic ‖ **15** ante *θαλῆς* add. *καὶ* P supra | *Θαλῆς* om. P hic ‖ **16** *τοῦ* om. P supra | *ἐντεταγμένους* P^{1} supra: *ἐκτεταμένους* Beck, *ἀνατεταμένους* Karsten ‖ **18** *ὥστε* om. FP hic | *συνανέλκειν — εἶναι καὶ* (p. 298, 2) om. F hic, *συνανέλκειν — λογικά* (p. 298, 2) om. P hic | *συνέλκειν* Plut. plac. V 26

2 *Ἀριστοτέλης ἔμψυχα μέν, οὐ μὴν ζῷα. Τὰ γὰρ ζῷα ὁρμητικὰ εἶναι καὶ αἰσθητικά, ἔνια δὲ καὶ λογικά.*

CAPVT XLVI (XLIX Heeren.).

ΠΕΡῚ ΤΡΟΦΗ̂Σ ΚΑῚ ΟΡ̓ΕΞΕΩΣ ΤΩ̂Ν ΖΏΙΩΝ.

deest.

CAPVT XLVII (L Heeren., XXXIX Gaisford. Mein.).

ΠΕΡῚ ΦΎΣΕΩΣ ἈΝΘΡΏΠΩΝ.

Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 90^{E}—92^{C}).

p. 88 C. *Καὶ δὴ καὶ τὰ νῦν ἡμῖν ἐξ ἀρχῆς παραγγελθέντα διεξελθεῖν περὶ τοῦ παντὸς μέχρι γενέσεως ἀνθρωπίνης σχεδὸν ἔοικε τέλος ἔχειν. Τὰ γὰρ ἄλλα ζῷα ἢ γέγονεν αὖ διὰ βραχέων ἐπιμνηστέον, ὃ μή τις ἀνάγκη μηκύνειν· οὕτω γὰρ ἐμμετρότερός τις αὐτῷ ἂν δόξειε περὶ τοὺς τοιούτων λόγους εἶναι. Τῇδ᾽ οὖν τὸ τοιοῦτον ἔστω λεγόμενον. Τῶν γενομένων ἀνδρῶν ὅσοι δειλοὶ καὶ τὸν βίον ἀδίκως διῆλθον, κατὰ λόγον τὸν εἰκότα γυναῖκες μετεφύοντο ἐν τῇ δευτέρᾳ γενέσει. Καὶ κατ᾽ ἐκεῖνον δὴ τὸν χρόνον διὰ ταῦτα θεοὶ τὸν τῆς ξυνουσίας ἔρωτα ἐτεκτήναντο, ζῷον τὸ μὲν ἐν ἡμῖν, τὸ δ᾽ ἐν ταῖς γυναιξὶ συστήσαντες ἔμψυχον, τοιῷδε τρόπῳ ποιήσαντες ἑκάτερον. Τὴν τοῦ ποτοῦ διέξοδον, ᾗ διὰ τοῦ πνεύμονος τὸ πῶμα ὑπὸ τοὺς νεφροὺς εἰς τὴν κύστιν ἐλθὸν καὶ τῷ πνεύματι θλιφθὲν συνεκπέμπει δεχομένη συνέτρησαν εἰς*

---

1 hic lemma *ἀριστοτέλους* add. P supra ‖ 1. 2 *τὰ γὰρ ζῷα* om. F supra ‖ 2 *αἰσθητικὰ* Plut. l. s., *αἰσθητὰ* FP supra | *λοξὰ* F supra ‖ 4 tit. om. FP ‖ 7 tit. om. FP ‖ 8 lemma P in textu, F mrg habet ‖ 11 *τῆλος* P^{1} | *ᾗ γέγονεν* P^{1} ‖ 12 *ὅτι μή* Plat. cod. nonn. | *τις*] *τῇ* P ‖ 13 *ἐμμετρότερός* etiam FP | *αὐτῷ ἂν* FP, *ἂν αὐτῷ* Plat. Par. *A* al., *αὑτῷ* Plat. vulg. ‖ 13. 14 *τοὺς τῶν τοιούτων* P, *τοὺς τούτων* Plat. ‖ 15 *γεννωμένων* F ‖ 18 *ξυνουσίας* Plat., *ἐξουσίας* FP ‖ 19 *τὸ μὲν ὂν ἡμῖν* Plat. *A* ‖ 20 *ἔμψυχον* Plat., *ἄψυχον* FP | *ποιήσαντες* P^{2} Plat., *ποίη πάντες* FP^{1} ‖ 21 *πλεύμονος* Plat. *A* ‖ 22 *πῶμα* Plat., *σῶμα* FP ‖ 23 *ξυνέτρησαν* Plat., *συνετρίβησαν* FP

τὸν ἐκ τῆς κεφαλῆς κατὰ τὸν αὐχένα καὶ διὰ τῆς ῥάχεως μυελὸν ξυμπεπηγότα, ὃν δὴ σπέρμα ἐν τοῖς πρόσθεν λόγοις εἴπομεν. ὃ δέ, ἅτε ἔμψυχος ὢν καὶ λαβὼν ἀναπνοὴν τοῦθ' ἥπερ ἀνέπνευσε, τῆς ἐκροῆς ζωτικὴν ἐπιθυμίαν ἐμποιήσας αὐτῷ, τοῦ γεννᾶν ἔρωτα ἀπετέλεσε. Διὸ δὴ τῶν μὲν ἀνδρῶν τὸ περὶ τὴν τῶν αἰδοίων φύσιν ἀπειθές τε καὶ αὐτοκρατὲς γεγονός, οἷον ζῷον ἀνυπήκοον τοῦ λόγου, πάντων δι' ἐπιθυμίας οἰστρώδεις ἐπιχειρεῖ κρατεῖν· αἱ δ' ἐν ταῖς γυναιξὶ μῆτραί τε καὶ ὑστέραι λεγόμεναι διὰ τὰ αὐτὰ ταῦτα, ζῷον ἐπιθυμητικὸν ἐνὸν τῆς παιδοποιίας, ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίγνηται, χαλεπῶς ἀγανακτοῦν φέρει καὶ πλανώμενον πάντῃ κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν, εἰς ἀπορίας τὰς ἐσχάτας ἐμβάλλει καὶ νόσους παντοδαπὰς ἄλλας παρέχει, μέχρι περ ἂν ἑκατέρων ἡ ἐπιθυμία καὶ ὁ ἔρως ξυναγαγόντες, οἷον ἀπὸ δένδρων καρπὸν ἀποδρέψαντες, ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῷα κατασπείραντες καὶ πάλιν διακρίναντες, μεγάλα ἐντὸς ἐκθρέψωνται καὶ μετὰ τοῦτο εἰς φῶς ἀγαγόντες ζῴων ἀποτελέσωσι γένεσιν. Γυναῖκες μὲν οὖν καὶ τὸ θῆλυ πᾶν οὕτω γέγονε· τὸ δὲ τῶν ὀρνίθων φῦλον μετερρυθμίζετο, ἀντὶ τριχῶν πτερὰ φῦον, ἐκ τῶν ἀκάκων ἀνδρῶν, κούφων δέ, καὶ μετεωρολογικῶν μέν, ἡγουμένων δὲ διὰ ὄψεως τὰς περὶ τούτων ἀποδείξεις βεβαιοτάτας εἶναι δι' εὐήθειαν. Τὸ δ' αὖ πεζὸν καὶ θηριῶδες γέγονεν ἐκ τῶν μηδὲν προσχρωμένων φιλοσοφίᾳ μηδὲ ἀθρούντων τῆς περὶ τὸν οὐρανὸν φύσεως πέρι μηδέν, διὰ τὸ μηκέτι

---

1 κατὰ] καὶ P ‖ **2** δὴ om. P ‖ **6** τῷ μὲν P ‖ **9** γυναιξὶν αὖ Plat. ‖ **12** φέρει Plat., φέρειν FP ‖ **14** ἐὼν P ‖ **15** παρέχεται Plat. praeter Par. *A* ‖ **16** ξυνδιαγαγόντες Plat. Par. *A*, ἐξαγαγόντες Plat. cet. ‖ **17** ἀποδρέψαντες FP Plat. Par. *A* sprscr., κατὰ δρέψαντες Plat. Par. *A*, κἄτα δρέψαντες Plat. cet. ‖ **20** μετὰ ταῦτα Plat. vulg. ‖ **24** κούφων Plat., κοῦφον FP | μετεωρολογικὸν P | μὲν om. P | post δὲ add. καὶ P ‖ **26** γέγονεν etiam FP: γένος Gaisford, qui primus hunc Platonicum locum exscripsit (num ex Aug.?)

ταῖς ἐν τῇ κεφαλῇ χρῆσθαι περιόδοις, ἀλλὰ τοῖς περὶ τὰ στήθη τῆς ψυχῆς ἡγεμόσιν ἕπεσθαι μέρεσιν. Ἐκ τούτων οὖν τῶν ἐπιτηδευμάτων τά τ' ἔμπροσθεν κῶλα καὶ τὰς κεφαλὰς εἰς γῆν ἑλκόμενα ὑπὸ συγγενείας ἤρεισαν, προμήκεις τε καὶ παντοίας ἔσχον τὰς κορυφάς, ὅπῃ συνεθλίφθησαν ὑπὸ ἀργίας ἑκάστων αἱ περιφοραί. Τετράπουν τε τὸ γένος αὐτῶν ἐκ ταύτης ἐφύετο καὶ πολύπουν τῆς προφάσεως, θεοῦ βάσεις ὑποτιθέντος πλείους τοῖς μᾶλλον ἄφροσιν, ὡς μᾶλλον ἐπὶ γῆν ἕλκοιντο. Τοῖς δ' ἀφρονεστάτοις αὐτῶν τούτων καὶ παντάπασι πρὸς γῆν πᾶν τὸ σῶμα κατατεινομένοις, ὡς οὐδὲν ἔτι ποδῶν χρείας οὔσης, ἄποδα αὐτὰ καὶ ἰλυσπώμενα ἐπὶ γῆς ἐγέννησαν. Τὸ δὲ τέταρτον γένος ἔννυδρον γέγονεν ἐκ τῶν μάλιστα ἀνοητοτάτων καὶ ἀμαθεστάτων, οὓς οὐδὲ ἀναπνοῆς καθαρᾶς ἔτι ἠξίωσαν οἱ μεταπλάττοντες, ὡς τὴν ψυχὴν ὑπὸ πλημμελείας πάσης ἀκαθάρτως ἐχόντων, ἀλλ' ἀντὶ λεπτῆς καὶ καθαρᾶς ἀναπνοῆς ἀέρος εἰς ὕδατος θολερὰν καὶ βαθεῖαν ἔωσαν ἀνάπνευσιν· ὅθεν ἰχθύων γένος καὶ τὸ τῶν ὀστρέων ξυναπάντων τε ὅσα ἔννυδρα γέγονε, δίκην ἀμαθίας ἐσχάτης ἐσχάτας οἰκήσεις εἰληχότων. Καὶ κατὰ ταῦτα δὴ πάντα τότε καὶ νῦν διαμείβεται τὰ ζῷα εἰς ἄλληλα, νοῦ καὶ ἀνοίας ἀποβολῇ καὶ κτήσει μεταβαλλόμενα. Καὶ δὴ καὶ τέλος περὶ τοῦ παντὸς νῦν ἤδη τὸν λόγον φῶμεν ἔχειν· θνητὰ γὰρ καὶ ἀθάνατα ζῷα λαβὼν καὶ συμπληρωθεὶς ὅδε ὁ κόσμος, οὕτω ζῷον ὁρατὸν τὰ ὁρατὰ περιέχον, εἰκὼν τοῦ ποιητοῦ θεὸς αἰσθητός, μέγιστος καὶ ἄριστος κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε, μονογενὴς ὤν.

---

1 τοῖς] τῆς F ‖ **2** τῆς om. Plat. vulg. ‖ **3** ἐμπρόσθια vel πρόσθια Plat. ‖ **5** ἔχον P ‖ **6** συνελίφθησαν F: συνελήφθησαν Gaisford ex Aug. ‖ **7. 8** πολύπουν. Τῆς F ‖ **11** ἐπὶ ποδὼν P ‖ **18. 19** ἰχθύων ἔθνος Plat. Par. *A* al. ‖ **22** νοῦ δὲ καὶ P ‖ **23** κτίσει P ‖ **24** ante vel post φῶμεν add. ἡμῖν Plat. ‖ **26** περιέχων P ‖ **27** ποιητοῦ FP Plat. Par. *A* Vat., νοητοῦ Plat. cet. | θεὸς F Plat. Par. *A* al., θεοῦ P Plat. vulg.

2 *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 42[A]).

Πρῶτον μὲν οὖν αἴσθησιν ἀναγκαῖον εἴη πᾶσιν ἐκ βιαίων παθημάτων σύμφυτον γίγνεσθαι· δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα· πρὸς δὲ τούτοις φόβον τε καὶ θυμόν, ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεστηκότα.

3 *Πλάτωνος ἐκ τοῦ Κρατύλου* (p. 399[C]). [762]

Ὀρθῶς ὁ ἄνθρωπος ἄνθρωπος ὠνομάσθη, ἀναθρᾶν ἃ ὄπωπε.

4 *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 90[A]).

Τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλείστους.

5 *Πλάτωνος Νόμων ε* (p. 747[D.E]).

Καὶ γάρ, ὦ Μέγιλλέ τε καὶ Κλεινία, μηδὲ τοῦθ' ἡμᾶς λανθανέτω περὶ τόπων, ὡς οὐκ εἰσί τινες ἄλλοι διαφέροντες ἄλλων τόπων πρὸς τὸ γεννᾶν ἀνθρώπους ἀμείνους καὶ χείρους, οἷς οὐκ ἐναντία νομοθετητέον. Οἱ μέν γέ που διὰ πνεύματα παντοῖα καὶ δι' εἰλήσεις ἀλλόκοτοί τέ εἰσι καὶ ἐναίσιοι αὐτῶν, οἱ δὲ δι' ὕδατα, οἱ δὲ δι' αὐτὴν τὴν ἐκ τῆς γῆς τροφὴν ἀναδιδοῦσαν, οὐ μόνον τοῖς σώμασιν ἀμείνω καὶ χείρω, ταῖς ψυχαῖς δὲ οὐχ ἧττον δυναμένην πάντα τὰ τοιαῦτα ἐμποιεῖν.

6 *Ἐκ τῶν Ἀριστοτέλους Φυσιογνωμονικῶν* (p. 805[a] 1—18 Bekk.).

Ὅτι αἱ διάνοιαι ἕπονται τοῖς ἀνθρώποις καὶ οὐκ εἰσὶν

---

2 ἐρῶτον (ἐ vir. col. pict.) F | οὖν om. Plat. | ante πᾶσιν add. Plat. μίαν ‖ **4** ἡδονῇ καὶ λύπῃ Plat., ἡδονὴ καὶ λύπη FP ‖ **5** τε om. Plat. ‖ **6** διεστηκτά P ‖ **7** κρατύλλου FP ‖ **8** alterum ἄνθρωπος om. vulgo cum Cantero ‖ **12** δὲ om. P ‖ **14** Μέγιλλέ τε Plat., μέγιλλε γε P, μεγιλ· λέγε F | τοῦθ' Plat., τοῦτό θ' FP ‖ **15** οὐκ εἰσὶν ἄλλοι τινὲς Plat. | οὐκ del. Ficinus ‖ **16** ἀνθρώπους Plat., ἀνθρώπων FP ‖ **18** διειλήσεις F Plat., διαλήσεις P: corr. Ruhnken ‖ **19** ἐξαίσιοι Ast ‖ **20** δι' αὐτὴν τὴν FP, καὶ διὰ ταύτην τὴν Plat., καὶ διὰ τὴν Galen. ‖ **21** ταῖς δὲ ψυχαῖς Plat. ‖ **22** δυναμένη P ‖ **23** ἐκ τοῦ Ἀριστοτέλους φυσιογνώμονος FP: corr. Heeren tamquam ex Vatic. ‖ **25** τοῖς σώμασι Ar. recte

αὐταὶ καθ' αὑτάς, ἀπαθεῖς μένουσαι τῶν τοῦ σώματος κινήσεων, τοῦτο δῆλον γίνεται ἐν ταῖς μέθαις καὶ ἀρρωστίαις· πολὺ γὰρ ἐξαλλάττουσαι φαίνονται αἱ διάνοιαι ὑπὸ τῶν τοῦ σώματος παθημάτων. Καὶ τοὐναντίον δὴ τοῖς τῆς ψυχῆς παθήμασι τὸ σῶμα συμπάσχον φανερόν
[764] ἐστι περί τε τοὺς ἔρωτας καὶ τοὺς φόβους καὶ τὰς λύπας καὶ τὰς ἡδονάς. Ἔτι δὲ ἐν τοῖς φύσει γιγνομένοις μᾶλλον ἄν τις συνίδοι, ὅτι οὕτως ἔχει πρὸς ἄλληλα σῶμά τε καὶ ψυχὴ συμφυῆ, ὥστε τῶν πλείστων ἀλλήλοις αἴτια γίγνεσθαι παθημάτων. Οὐδὲν γάρ που ζῷον γεγένηται τοιοῦτον, ὃ τὸ μὲν εἶδος ἔσχηκέ τι ἑτέρου ζῴου, τὴν δὲ διάνοιαν ἄλλου, ἀλλ' ἀεὶ τοῦ αὐτοῦ τό τε σῶμα καὶ ἡ ψυχή, ὡς ἀναγκαῖον ἕπεσθαι τῷ τοιῷδε σώματι τοιάνδε διάνοιαν. Ἔτι δὲ καὶ τῶν ἄλλων ζῴων οἱ περὶ ἕκαστον ἐπιστήμονες ἐκ τῆς ἰδέας δύνανται θεωρεῖν ἱππικοί τε ἵππους καὶ κυνηγετικοὶ κύνας. Εἰ δὴ ταῦτά ἐστιν ἀληθῆ, ἀληθὴς ἂν εἴη ἡ φυσιογνωμονία.

7 *Πλάτωνος Νόμων ζ'* (p. 797[D]—798[B]).

Μεταβολὴν γὰρ δὴ πάντων πλὴν κακῶν πολὺ σφαλερώτατον εὑρήσομεν, ἐν ὥραις πάσαις, ἐν πνεύμασι καὶ διαίταις σωμάτων, ἐν τρόποις ψυχῶν, ἐν ὡς ἔπος εἰπεῖν οὐ τοῖς μὲν τοῖς δ' οὔ, πλὴν ὅπερ εἶπον νῦν δὴ κακοῖς· ὥστε εἴ τις ἀποβλέψειε πρὸς σώματα, ὡς πᾶσι μὲν σιτίοις πᾶσι δὲ ποτοῖς καὶ πόνοις ξυνήθη γιγνόμενα, καὶ τὸ πρῶτον ταραχθέντα ὑπ' αὐτῶν, ἔπειτα ἐξ αὐτῶν τούτων ὑπὸ χρόνου σάρκας φύσαντα οἰκείας τούτοις, φίλα

---

1 αὐταὶ P[2] Ar., αὐτὰ FP[1] | αὐτὰς FP, ἑαυτὰς Ar. | οὖσαι Ar. ‖ **2. 3** τοῦτο δὲ δῆλον πάνυ γίνεται ἔν τε ταῖς μέθαις καὶ ἐν ταῖς ἀρρωστίαις Ar. ‖ **5** συμπάσχον Ar., συμπάσχειν FP ‖ **5. 6** φανερὸν γίνεται Ar. ‖ **6** φόβους τε καὶ Ar. ‖ **9** συμφυῶς Ar. praeter *f*[a] *K*[a] ‖ **10** που] πώποτε Ar. ‖ **11** ἔσχεν ἑτέρου Ar. ‖ **12. 13** τὴν ψυχὴν Ar. ‖ **13** ὥστε Ar. ‖ **15** ἰδέας Ar., ἰδίας FP ‖ **16** κυνηγέται Ar. | κύνας] θήρας P ‖ **16. 17** εἰ δὲ ταῦτα ἀληθῆ εἴη (ἀεὶ δὲ ταῦτα ἀληθῆ ἐστίν), εἴη ἂν φυσιογνωμεῖν Ar. ‖ **16** ἀληθῆ om. P ‖ **17** εἴη ἂν P ‖ **20. 21** πνεύμασιν, ἐν διαίταις Plat. ‖ **22** ὅ τι περ Plat.: οἷς περ Bekker ‖ **23. 24** πᾶσι δὲ σιτίοις P ‖ **24** πᾶσι δ' αὖ ποτοῖς Plat. ‖ **26** σάρκας Plat., σάρκα FP ‖ **26** p. **303, 1** φίλα τε F Plat., φύλαττε P

τε καὶ ξυνήθη καὶ γνώριμα γενόμενα πάσῃ ταύτῃ τῇ διαίτῃ πρὸς ἡδονὴν καὶ ὑγείαν ἄριστα διάγει· καὶ ἐάν ποτ' ἄρα ἀναγκασθῇ μεταβάλλειν αὖθις ἡντινοῦν τῶν εὐδοκίμων διαιτῶν, τότε κατ' ἀρχὰς συνταραχθεὶς ὑπὸ νόσων μόγις ποτὲ κατέστη τὴν συνήθειαν τῇ τροφῇ πάλιν ἀπολαβών· ταὐτὸν δὴ δεῖ νομίζειν τοῦτο γίγνεσθαι καὶ περὶ τὰς τῶν ἀνθρώπων διανοίας τε ἅμα καὶ τὰς τῶν ψυχῶν φύσεις. Οἷς γὰρ ἂν ἐντραφῶσι νόμοις καὶ κατά τινα θείαν εὐτυχίαν ἀκίνητοι γένωνται μακρῶν καὶ πολλῶν χρόνων, ὡς μηδένα ἔχειν μνείαν μηδὲ ἀκοὴν τοῦ ποτὲ ἄλλως αὐτὰ σχεῖν ἢ καθάπερ νῦν ἔχει, σέβεται p. 89 C. *καὶ φοβεῖται πᾶσα ἡ ψυχὴ τό τι κινεῖν τῶν τότε καθεστώτων.*

8 *Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ* (p. 11[b] Patrit.; 82, 2 Parthey.).

〈*ΕΡΜ.*〉 *Κοινωνία δέ ἐστι ψυχῶν, καὶ κοινωνοῦσι μὲν αἱ τῶν θεῶν ταῖς τῶν ἀνθρώπων, αἱ δὲ τῶν ἀνθρώπων ταῖς τῶν ἀλόγων. Ἐπιμελοῦνται δὲ οἱ κρείττονες* [766] *τῶν ἐλαττόνων, θεοὶ μὲν ἀνθρώπων, ἄνθρωποι δὲ τῶν ἀλόγων [ζῴων], ὁ δὲ θεὸς πάντων. Ὁ μὲν οὖν κόσμος ὑπόκειται τῷ θεῷ, ὁ δὲ ἄνθρωπος τῷ κόσμῳ, τὰ δὲ ἄλογα τῷ ἀνθρώπῳ, ὁ δὲ θεὸς ὑπὲρ πάντα καὶ περὶ πάντα. Καὶ τοῦ μὲν θεοῦ καθάπερ [αἱ] ἀκτῖνες αἱ ἐνέργειαι· τοῦ δὲ κόσμου [αἱ ἀκτῖνες] αἱ φύσεις· τοῦ δὲ ἀνθρώπου αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι. Καὶ αἱ μὲν ἐνέργειαι διὰ τοῦ κόσμου ἐνεργοῦσι καὶ ἐπὶ τὸν ἄνθρωπον διὰ τῶν τοῦ κόσμου φυσικῶν αἰτίων, αἱ δὲ φύσεις διὰ τῶν στοιχείων, οἱ δὲ ἄνθρωποι διὰ τῶν τεχνῶν καὶ ἐπι-*

---

1 ἁπάσῃ Plat. ‖ **2** συνάγει P ‖ **4** τό γε Plat. Par. *A* ‖ **11** αὐτὰ Plat., αὐτὰς FP | καθά πως P ‖ **12** τό τι Plat., τῶν τι FP ‖ **15** personarum distinctiones, quas FP om., hic et infra ex Herm. addidi; vulgo *T.* et *A.* add. ‖ **16** αἱ δὲ τῶν – ἀλόγων ζῴων (19) om. Herm. ‖ **19** ζῴων del. Meineke | post πάντων add. Herm. πάντων γὰρ οὗτος κρείττων καὶ πάντα αὐτοῦ ἐλάττονα ‖ **21** ὑπὲρ πάντα Herm., ὑπεράπαντα F, ὑπὲρ ἅπαντα P ‖ **22** καθαπερεὶ ἀκτῖνες Meineke | αἱ ante ἀκτῖνες om. Herm. recte, cf. Herm. p. 27, 8 Parth. ‖ **23** αἱ ἀκτῖνες om. Herm. ‖ **24** post ἀνθρώπου add. ἀκτῖνες Herm. | αἱ ante ἐπιστῆμαι om. Herm. ‖ **26** ἀκτίνων FP: corr. Usener

στημῶν. Καὶ αὕτη ἡ τοῦ παντὸς διοίκησις ἠρτημένη ἐκ τῆς ⟨τοῦ⟩ ἑνὸς φύσεως καὶ διήκουσα δι' ἑνὸς τοῦ νοῦ, οὗ οὐδέν ἐστι θειότερον καὶ ἐνεργέστερον καὶ ἑνωτικώτερον ἀνθρώπων μὲν πρὸς θεούς, θεῶν δὲ πρὸς ἀνθρώπους. Οὗτός ἐστιν ὁ ἀγαθὸς δαίμων· ὅθεν μακαρία ψυχὴ ἡ τούτου πληρεστάτη, κακοδαίμων δὲ ψυχὴ ἡ τούτου κενωτάτη.

⟨*ΤΑΤ*⟩ *Πῶς τοῦτο πάλιν λέγεις, ὦ πάτερ;*

⟨*ΕΡΜ.*⟩ *Οἴει οὖν, ὦ τέκνον, ὅτι πᾶσα ψυχὴ νοῦν ἔχει τὸν ἀγαθόν; περὶ γὰρ τούτου ὁ νῦν λόγος, οὐ τοῦ ὑπηρετικοῦ, περὶ οὗ ἔμπροσθεν εἰρήκαμεν, τοῦ καταπεμπομένου ὑπὸ τῆς δίκης. Ψυχὴ γὰρ χωρὶς ⟨τοῦ⟩ νοῦ „οὔτε τι εἰπεῖν οὔτ' ἔρξαι δύναται“ (Theogn. 177. 178).* [768] *Πολλάκις γὰρ ἐξίσταται ὁ νοῦς τῆς ψυχῆς, καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ οὔτε βλέπει ἡ ψυχὴ οὔτε ἀκούει, ἀλλ' ἀλόγῳ ζῴῳ ἔοικε. Τηλικαύτη δύναμίς ἐστι τοῦ νοῦ, ἀλλ' οὐδὲ νωθρᾶς ψυχῆς ἀνέχεται, ἀλλὰ καταλείπει τὴν [ἐν] τῷ σώματι προσκειμένην καὶ ὑπ' αὐτοῦ ἀγχομένην κάτω· ἡ τοιαύτη δὲ ψυχή, ὦ τέκνον, νοῦν οὐκ ἔχει. Ὅθεν οὐδ' ἄνθρωπον ἡγεῖσθαι δεῖ τὸν τοιοῦτον· ὁ γὰρ ἄνθρωπος θεῖον ζῷόν ἐστι καὶ οὐδὲ τοῖς ἄλλοις ζῴοις συγκρινόμενον τῶν ἐπιγείων τισίν, ἀλλὰ τοῖς ἄνω ἐν οὐρανῷ λε-*

---

1 post *παντός* add. *ἐστι* Herm. ‖ **2** *τοῦ* om. FP, add. Herm. | *καὶ ἡ διοίκουσα* P | *δι' ἑνὸς* Herm., *τοῦ ἑνὸς* FP ‖ **3** *οὗ οὐδέν* Herm. Fluss. Patrit., *ἧς οὐδέν* Herm. cod. *B*, *οὐδὲν* Herm. cod. *A* Turn., *ὁ δὲ νοῦς* FP ‖ **4** *πρὸς τοὺς θεοὺς* et *πρὸς τοὺς ἀνθρώπους* Herm. ‖ **5** *οὗ ἂν* FP, om. Herm.: *ὅθεν* Usener ‖ **6** *ἡ* post *ψυχὴ* Herm., *ᾗ* FP: ‖ **7** *κενή* Herm. ‖ **8** *λέγεις πάλιν* Herm. *AB* ‖ **10** *τούτου ἐστὶν ἡμῖν ὁ λόγος* Herm. | *νῦν ὁ λόγος* Heeren ‖ **11** *περὶ* ante *οὗ* om. Herm. | *ἔμπροσθεν*] p. 81, 7 Parth. (cf. etiam 13, 12) ‖ **12** *τοῦ* ante *νοῦ* addidi ex Herm. ‖ **13** *οὔτε τι εἰρξαι* Herm. ‖ **14** *ἐξίπταται* FP, *ἐξέστη* Herm.: *ἐξίσταται* Meineke ‖ **15** *ἡ* om. Herm. ‖ **16** *ἀλλ' οὐδὲ – ἀνέχεται* (17) om. Herm. | *οὐδὲ* F, *οὐ* P ‖ **17** post *τὴν* add. Herm. *τοιαύτην ψυχὴν* | *ἐν* del. Heeren cum Herm. ‖ **18** *προσηρτημένην* Herm. | *καὶ ὑπ' αὐτοῦ* Herm., *κατὰ πάντα* FP | *ἀγχομένην κάτω*] cf. Herm. p. 55, 10 Parth. ‖ **19** an *δὴ*? ‖ **20** *δεῖ λέγεσθαι* Herm.: *δεῖ λέγειν* Patrit. ‖ **21** *ζῷόν ἐστι θεῖον* Herm. | *οὐδὲ* om. Herm. | *ἀλόγοις* Patrit. ‖ **21. 22** *οὐ συγκρίνεται* Herm. ‖ **22** *τισὶν* om. Herm.

γομένοις θεοῖς. Μᾶλλον δὲ εἰ χρὴ τολμήσαντας εἰπεῖν τὸ ἀληθές, ὑπὲρ ἐκείνους ἐστὶν ὁ ὄντως ἄνθρωπος, ἢ πάντως ἰσοδυναμοῦσιν ἀλλήλοις. Οὐδεὶς μὲν γὰρ τῶν οὐρανίων ⟨θεῶν⟩ ἐπὶ γῆς κατελεύσεται, οὐρανοῦ τὸν ὅρον καταλιπών· ὁ δὲ ἄνθρωπος καὶ εἰς τὸν οὐρανὸν ἀναβαίνει καὶ μετρεῖ αὐτὸν καὶ τὸ πάντων μεῖζον οὐδὲ τὴν γῆν καταλιπὼν ἄνω γίγνεται· τοσοῦτον τὸ μέγεθός ἐστιν αὐτοῦ τῆς ἐκτάσεως. Διὸ τολμητέον εἰπεῖν, τὸν μὲν ἄνθρωπον ⟨τὸν⟩ ἐπίγειον εἶναι θνητὸν θεόν, τὸν δὲ οὐράνιον θεὸν ἀθάνατον ἄνθρωπον. Διόπερ διὰ τούτων τὰ πάντα ⟨διοικεῖται⟩ τῶν δύο, κόσμου καὶ ἀνθρώπου, ὑπὸ δὲ τοῦ ἑνὸς πάντα.

9 Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ (p. 10[b] Patrit.; p. 75, 2 et 7 Parthey.). [770]

Ὁ μὲν ἄνθρωπος τὸ δεύτερον ζῷον μετὰ τὸν κόσμον, πρῶτον δὲ τῶν θνητῶν. — Ψυχὴ δὲ ἀνθρώπου ὀχεῖται τὸν τρόπον τοῦτον· ὁ νοῦς ἐν τῷ λόγῳ, ὁ λόγος ἐν τῇ ψυχῇ, ἡ [δὲ] ψυχὴ ἐν τῷ πνεύματι, τὸ πνεῦμα ⟨ἐν τῷ σώματι. Τὸ δὲ πνεῦμα⟩ διῆκον διὰ φλεβῶν καὶ ἀρτηριῶν καὶ αἵματος κινεῖ τὸ ζῷον καὶ ὥσπερ τρόπον τινὰ βαστάζει. Διὸ καί τινες τὴν ψυχὴν αἷμα νομίζουσιν εἶναι,

---

1 ἐχρῆν FP: εἰ χρὴ scripsi ex Herm. | τολμήσαντα Herm. ‖ **2** ante ὑπὲρ add. καὶ Herm. ‖ **3** post πάντως add. γε Herm. | οὐδεὶς FP, ὅστις Herm. ‖ **4** ἐπουρανίων Heeren | θεῶν addidi ex Herm. ‖ **5** καταλείπει vel κατέλιπεν Herm. vulg. | καὶ ante εἰς om. Herm. ‖ **6** post αὐτὸν add. Herm. καὶ οἶδε ποῖα μέν ἐστιν αὐτοῦ ὑψηλά, ποῖα δὲ ταπεινά, καὶ τὰ ἄλλα πάντα ἀκριβῶς μανθάνει ‖ **7** τὸ om. Herm. ‖ **8** αὐτῷ Herm. praeter cod. *A* | ἐκτάσεως Herm., ἐκστάσεως FP | διόπερ Heeren | ante εἰπεῖν add. ἐστὶν Herm. | μὲν om. P ‖ **9** τὸν ante ἐπίγειον add. Usener; sunt enim secundum Herm. p. 64 sqq. homines etiam ultra terram | θεὸν θνητὸν Herm.; cf. etiam Herm. p. 100, 7 Parth. | οὐράνιον Herm., οὐρανὸν FP: ἐνουράνιον Meineke | post οὐράνιον iterat Herm. εἶναι ‖ **11** διοικεῖται addidi ex Herm. ‖ **12** τὰ πάντα Herm. ‖ **13** lemma habet F mrg, P in textu ‖ **15** ὁ μὲν κόσμος πρῶτον, ὁ δὲ ἄνθρωπος δεύτερον Herm. ‖ **18** δὲ om. Herm.: seclusi | πνεύματι – ἐν τῷ om. Herm. *AB* ‖ **18. 19** ἐν τῷ σώματι. τὸ δὲ πνεῦμα om. FP, add. Herm. ‖ **19** διοίκον P: διήκει Herm. ‖ **20** 'aut ὥσπερ delendum aut τρόπον corruptum est' Meineke; φόρτον Usener coll. Herm. p. 72, 13. 14 Parth., ipse τρόπιν temptaveram ‖ **21** ἐνόμισαν Herm.

σφαλλόμενοι τὴν φύσιν, οὐκ εἰδότες, ὅτι πρῶτον δεῖ τοῦ πνεύματος ἀναχωρήσαντος εἰς τὴν ψυχὴν τὸ αἷμα παγῆναι
p. 90 C. *καὶ τὰς φλέβας καὶ τὰς ἀρτηρίας κενωθῆναι, ⟨καὶ τότε⟩ τὸ ζῷον ἐκλείπειν· καὶ τοῦτο ἔστιν ὁ θάνατος τοῦ σώματος.*

10 *Πλάτωνος Πολιτείας δ'* (p. 435[E]—436[A]).

Ἆρ' οὖν ἡμῖν, ἦν δ' ἐγώ, πολλὴ ἀνάγκη ὁμολογεῖν ὅτι γε τὰ αὐτὰ ἐν ἑκάστῳ ἔνεστιν ἡμῶν εἴδη τε καὶ ἤθη ἅπερ ἐν τῇ πόλει; οὐ γάρ που ἄλλοθεν ἐκεῖσε ἀφῖκται. Γελοῖον γὰρ ἂν εἴη, εἴ τις οἰηθείη τὸ θυμοειδὲς μὴ ἐκ τῶν ἰδιωτῶν ἐν ταῖς πόλεσιν ἐκγεγονέναι, οἳ δὴ καὶ ἔχουσι ταύτην τὴν αἰτίαν, οἷον οἱ κατὰ τὴν Θρᾴκην τε καὶ Σκυθικὴν καὶ σχεδόν τι κατὰ τὸν ἄνω τόπον· ἢ τὸ φιλομαθές, ὃ δὴ ⟨περὶ⟩ τὸν παρ' ἡμῖν μάλιστ' ἄν τις αἰτιάσαιτο τόπον· ἢ τὸ φιλοχρήματον, ὃ περὶ τούς τε Φοίνικας εἶναι καὶ τοὺς κατ' Αἴγυπτον φαίη τις ἂν οὐχ ἥκιστα.

[772] 11 *Πλάτωνος Πολιτείας δ'* (V p. 455[B. C]).

Ἴθι δή, φήσομεν πρὸς αὐτόν, ἀποκρίνου. Ἆρα οὕτως ἔλεγες, τὸν μὲν εὐφυῆ πρός τι εἶναι, τὸν δ' ἀφυῆ, ἐν ᾧ ὃ μὲν ῥᾳδίως τι μανθάνοι, ὃ δὲ χαλεπῶς; καὶ ὃ μὲν ἀπὸ βραχείας μαθήσεως ἐπὶ πολὺ εὑρετικὸς εἴη οὗ ἔμαθεν, ὃ δὲ πολλῆς μαθήσεως τυχὼν καὶ μελέτης μηδὲ ἃ ἔμαθε σώζοιτο; καὶ τῷ μὲν τὰ τοῦ σώματος ἱκανῶς ὑπηρετοίη τῇ διανοίᾳ, τῷ δ' ἐναντιοῖτο; Ἆρ' ἄλλ' ἄττα ἐστὶν ἢ ταῦτα, οἷς τὸν εὐφυῆ πρὸς ἕκαστα καὶ τὸν μὴ ὡρίζου;
— Οὐδείς, ἦ δ' ὅς, ἄλλα φήσει.

---

1 *πρότερον* Usener | *δεῖ* Herm., *δὴ* FP ‖ **1. 2** *τὸ πνεῦμα ἀναχωρῆσαι εἰς τ. ψ. καὶ τότε τὸ αἷμα* Herm.; de sententia cf. Herm. p. 77, 12 ‖ **3. 4** *κενωθείσας τὸ ζῷον καταλείπειν* FP, *κενωθῆναι, καὶ τότε τὸ ζῷον καθελεῖν* Herm.: corr. Heeren (*ἐκλιπεῖν* Meineke) ‖ **6** *ἡμῖν* om. vulg. cum Cant. ‖ **7** *ἐστὶν* P ‖ **9** *οἰήθη* P ‖ **10** *ἐγγεγονέναι* Plat. Par. *A* al., *γεγονέναι* Plat. cet. ‖ **13** *περὶ* om. FP, add. Plat. | *τῶν* P | *ἡμῖν* etiam FP: *ἡμῶν* vulg. cum Cant. ‖ **14** *ἢ* etiam FP: *καὶ* vulg. cum Cant. | *ὃ* (ante *περὶ*) Plat. Par. *A* al., *τὸ* FP Plat. cet. | *περί τε τοὺς* P ‖ **17** *ἴθι* P[2] Plat., *ἄθι* (*ἄ* eras.) F, *ἴσθη* P[1] ‖ **19** *μανθάνει* F Plat. cod. nonn. ‖ **22** *ὑπηρετείη* F, *ὑπηρετοῖ* Plat. ‖ **23** *ἆρ'* Plat., *ἄρ'* P, *ἄρα* F | *ἄλλ' ἄττα* Plat, *ἄλλάττα* FP ‖ **24** *τὸ εὐφυῆ* P | *ὡρίζου* Plat., *ὁρίζου* F, *ὁρίζουσιν* P

12 *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 64^{A-D}).

Μέγιστον δὲ καὶ λοιπὸν τῶν κοινῶν περὶ ὅλον τὸ σῶμα παθημάτων, τὸ τῶν ἡδέων καὶ τὸ τῶν ἀλγεινῶν αἴτιον, ἐν οἷς διεληλύθαμεν, καὶ ὅσα διὰ τῶν τοῦ σώματος μορίων αἰσθήσεις κεκτημένα καὶ λύπας ἐν αὐτοῖς ἡδονάς τε ἑπομένας ἔχει. Ὧδ' οὖν κατὰ παντὸς αἰσθητοῦ καὶ ἀναισθήτου παθήματος ⟨τὰς⟩ αἰτίας λαμβάνωμεν, ἀναμιμνησκόμενοι τὸ τῆς εὐκινήτου τε καὶ δυσκινήτου φύσεως ὅ τι διειλόμεθα ἐν τοῖς πρόσθεν· ταύτῃ γὰρ μεταδιωκτέον πάντα ὅσα ἐπινοοῦμεν ἑλεῖν. Τὸ μὲν γὰρ κατὰ φύσιν εὐκίνητον, ὅταν καὶ βραχὺ πάθος εἰς αὐτὸ ἐμπίπτῃ, διαδίδωσι κύκλῳ μόρια ἕτερα ἑτέροις, ταὐτὸν ἀπεργαζόμενα, μέχρι περ ἂν ἐπὶ τὸ φρόνιμον ἐλθόντα ἐξαγγείλῃ τοῦ ποιήσαντος τὴν δύναμιν. Τὸ δ' ἐναντίον, ἑδραῖον ⟨ὂν⟩, κατ' οὐδένα τε κύκλον ἰόν, πάσχει μόνον, ἄλλο δ' οὐ κινεῖ τῶν πλησίον· ὥστε οὐ διαδιδόντων μορίων μορίοις ἄλλων ἄλλοις τὸ πρῶτον πάθος ἐν αὐτοῖς ἀκίνητον εἰς τὸ πᾶν ζῷον γενόμενον ἀναίσθητον παρέσχε τὸ παθόν. Ταῦτα δὲ περί τε ὀστᾶ καὶ τρίχας ἐστὶ καὶ ὅσα ἄλλα γήινα τὸ πλεῖστον ἔχομεν ἐν ἡμῖν μόρια· τὰ δ' ἔμπροσθεν περὶ τὰ τῆς ὄψεως καὶ ἀκοῆς μάλιστα διὰ τὸ πυρὸς ἀέρος τε ἐν αὐτοῖς δύναμιν ἐνεῖναι μεγίστην. Τὸ δὲ τῆς ἡδονῆς καὶ λύπης ὧδε διανοεῖσθαι δεῖ. Τὸ μὲν παρὰ φύσιν καὶ βίαιον γιγνόμενον ἀθρόον παρ' ἡμῖν πάθος ἀλγεινόν· τὸ δ' εἰς φύσιν ἀπιὸν πάλιν ἀθρόον ἡδύ· τὸ δὲ ἠρέμα καὶ κατὰ σμικρὸν ἀναίσθητον· τὸ δ' ἐναντίον τούτοις ἐναντίως. Τὸ δὲ μετ' εὐπετείας γιγνόμενον ἅπαν αἰσθητὸν μὲν ὅτι μάλιστα, ἡδονῆς ⟨δὲ⟩ καὶ λύπης οὐ μετ-

---

1 lemma F mrg, P in textu habet | *τῶν* F ‖ **3** *καὶ τῶν* (om. *τὸ*) Plat. ‖ **6** *τε* FP, *θ'* *ἅμα* Plat. ‖ **7** *τὰς* om. FP, add. Plat. | *λαμβάνομεν* P Plat. Par. *A* ‖ **9** post *γὰρ* add. *δὴ* Plat. Par. *A* ‖ **10** *ἐπινοῦμεν* P^1 ‖ **11** *ἐμπίπτῃ εἰς αὐτὸ* Plat. praeter *A* ‖ **13** *ἐπὶ* iterat F ‖ **14** *ὂν* om. FP, add. Plat. ‖ **19** *τὰς τρίχας* Plat. Par. *A* ‖ **21** *τὰ* om. F ‖ **22** *αὐτῆς* F | *ἐνεῖναι* Plat. Par. *A* al., *εἶναι* P Plat. vulg., *ἐκεῖνα* F | *δὴ* Plat. ‖ **23** *δεῖ διανοεῖσθαι* Plat. | *δεῖν* FP: correxi e Plat. ‖ **24** et **25** *ἀθρόον* Plat. Par. *A* ‖ **28** *λύπης δὲ καὶ ἡδονῆς* Plat. | *δὲ* om. FP

ἔχον· οἷον τὰ περὶ τὴν ὄψιν αὐτὴν παθήματα, ᾗ δὴ σῶμα ἐν τοῖς ἔμπροσθεν ἐρρήθη καθ' ἡμέραν ξυμφυὲς ἡμῶν γίγνεσθαι.

13 *Πλάτωνος ἐκ τοῦ Φιλήβου* (p. 31[D]—32[C]).

Λέγω τοίνυν, τῆς ἁρμονίας μὲν λυομένης ἡμῖν ἐν τοῖς ζῴοις ἅμα λύσιν τῆς φύσεως καὶ γένεσιν ἀλγηδόνων ἐν τῷ τότε γίγνεσθαι χρόνῳ. — Πάνυ λέγεις εἰκός. — Πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὑτῆς φύσιν ἀπιούσης ἡδονὴν γίγνεσθαι λεκτέον, εἰ δεῖ δι' ὀλίγων ὅτι τάχιστα περὶ μεγίστων ῥηθῆναι. — Οἶμαι μέν σε ὀρθῶς λέγειν, ὦ Σώκρατες, ἐμφανέστερον δὲ ἔτι ⟨ταὐτὰ⟩ ταῦτα πειρώμεθα λέγειν. — Οὐκοῦν δημόσιά που καὶ περιφανῆ ᾧᾶστον συννοεῖν; — Ποῖα; — Πείνη μέν που ⟨λύπη⟩ καὶ λύσις. — Ναί. — Ἐδωδὴ δὲ πλήρωσις γιγνομένη πάλιν ἡδονή. — Ναί. — Λίψους δ' αὖ φθορὰ καὶ λύπη καὶ λύσις, ἡ δὲ τοῦ ὑγροῦ πάλιν τὸ ξηρανθὲν πληροῦσα δύναμις ἡδονή· διάκρισις δέ τ' αὖ καὶ διάλυσις παρὰ φύσιν, τοῦ πνίγους πάθη, λύπη· κατὰ φύσιν δὲ πάλιν ἀπόδοσίς τε καὶ ψύξις ἡδονή. — Πάνυ μὲν οὖν. — Καὶ ῥίγους ἡ μὲν παρὰ φύσιν τοῦ ζῴου τῆς ὑγρότητος πῆξις [καὶ] λύπη. πάλιν δ' εἰς ταὐτὸν ἀπιόντων καὶ διακρινομένων ἡ κατὰ φύσιν ὁδὸς ἡδονή. Καὶ ἑνὶ λόγῳ σκόπει εἴ σοι μέτριος ⟨ὁ⟩ λόγος, ὃς ἂν φῇ, τὸ ἐκ τῆς ἀπείρου καὶ πέρατος κατὰ φύσιν ἔμψυχον γεγονὸς εἶδος, ὅπερ ἐν τῷ πρόσθεν ἔλεγον,

---

1 ᾗ Plat. Par. *A*, ᾗ FP, ᾗ Plat. vulg. ‖ **2** *πρόσθεν* Plat. Par. *A* al. ‖ **3** *ἡμῖν* Plat. Flor. *x* ‖ **4** lemma habet F mrg, P in textu ‖ **5** post *λυομένης* iterat *μὲν* P ‖ **6** *ἐν* om. P ‖ **7** *τότε* Plat., *ποτὲ* FP ‖ **8** *αὑτῆς* Plat., *αὐτὴν* FP | *ἀπιούσης* Plat., *ἀπιάσης* F, *ἀπιά* lac. 3 litt. P ‖ **9. 10** *περὶ μεγίστων ὅτι τάχιστα* Plat. ‖ **10** *σε*] *τι* F ‖ **11** *ἔστι* P | *ταὐτὰ* om. FP, add. Plat. ‖ **12** ante *δημόσια* add. F *δὲ*, Plat. *τὰ* ‖ **13. 14** *λύσις καὶ λύπη. Ναί* Plat. ‖ **13** *λύπη* addidi ‖ **13. 14** *λύσις εἶναι* FP: *λύσις. Ναί* scripsi ‖ **15** *δ' ἂν* P | *καὶ λύσις* seclusit Stallbaum ‖ **16** *ξηραθὲν* Plat. ‖ **17** *δὲ γ'* Plat. | ante *παρὰ* add. *ἡ* Plat. ‖ **18** *δὲ* (post *φύσιν*) FP, Plat. Ven. *Σ* corr., *δὴ* Plat. cet.: *δ' ἡ* Heusde ‖ **20** *καὶ* (ante *λύπη*) om. Plat.: seclusi ‖ **23** *ὁ* om. FP, add. Plat. | *ἐκ τοῦ* vel (om. *τῆς*) *ἐξ* Stallbaum ‖ **24** *ἔλεγον ἐν τῷ πρόσθεν* Plat.

ὅταν μὲν τοῦτο φθείρηται, τὴν φθορὰν λύπην εἶναι, τὴν δ' εἰς τὴν αὐτῶν οὐσίαν ὁδόν, ταύτην δὲ αὖ πάλιν τὴν ἀναχώρησιν πάντων ἡδονήν. — Ἔστω· δοκεῖ γάρ μοι τύπον γέ τινα ἔχειν. — Τοῦτο μὲν τοίνυν ἓν εἶδος τιθώμεθα λύπης τε καὶ ἡδονῆς ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις; — Κείσθω. — Τίθει τοίνυν αὐτῆς τῆς ψυχῆς κατὰ τὸ τούτων τῶν παθημάτων προσδόκημα, τὸ μὲν πρὸ τῶν ἡδέων ἐλπιζόμενον ⟨ἡδὺ⟩ καὶ θαρραλέον, τὸ δὲ πρὸ τῶν λυπ⟨ηρ⟩ῶν φοβερὸν καὶ ἀλγεινόν. — Ἔστι γὰρ οὖν τοῦθ' ἡδονῆς καὶ λύπης ἕτερον εἶδος, τὸ χωρὶς τοῦ σώματος αὐτῆς τῆς ψυχῆς διὰ προσδοκίας γιγνόμενον.

14 ⟨*Ἐν ταὐτῷ* (p. 33^{C}—34^{A}).⟩

Καὶ μὴν τό γε ἕτερον εἶδος τῶν ἡδονῶν, ὃ τῆς ψυχῆς αὐτῆς εἶναι ἔφαμεν, διὰ μνήμης πᾶν ἐστι γεγονός. — Πῶς; — Μνήμην, ὡς ἔοικεν, ὅ τί ποτ' ἔστι, πρότερον ἀναληπτέον· καὶ κινδυνεύει πάλιν ἔτι πρότερον αἴσθησιν μνήμης, εἰ μέλλει ταῦθ' ἡμῖν κατὰ τρόπον φανερά πη γενήσεσθαι. — Πῶς φῄς; — Θὲς τῶν περὶ τὸ σῶμα ἡμῶν ἑκάστοτε παθημάτων τὰ μὲν ἐν τῷ σώματι κατασβεννύμενα πρὶν ἐπὶ τὴν ψυχὴν διεξελθεῖν, ἀπαθῆ ἐκείνην ἐάσαντα, τὰ δὲ δι' ἀμφοῖν ἰόντα καί τινα ὥσπερ σεισμὸν ἐντιθέντα ἴδιόν τε καὶ κοινὸν ἑκατέρῳ. — Κείσθω. — Τὰ μὲν μὴ δι' ἀμφοῖν ἰόντα ἐὰν τὴν ψυχὴν ἡμῶν ⟨φῶμεν⟩ λανθάνειν, τὰ δὲ δι' ἀμφοῖν μὴ λανθάνειν, ἆρ' ὀρθότατα ἐροῦμεν; — Πῶς γὰρ οὔ; — Τὸ τοίνυν λεληθέναι μηδαμῶς ὑπολάβῃς, ὡς λέγω λήθης ἐνταῦθά που γένεσιν. Ἔστι γὰρ λήθη μνήμης ἔξοδος, ἡ δ' ἐν τ

---

1 *φθείρεται* P | *τὴν μὲν φθορὰν* Plat. ‖ **2** *αὐτῶν* FP | *δὲ* iterat F ‖ **3** *τούτων* F ‖ **4. 5** *κιθέμεθα* F ‖ **8** *πρὸ τῶν* Plat., *πρῶτον* FP | *ἡδὺ* om. FP, add. Plat. ‖ **9** *πρὸ τῶν* Plat., *πρῶτον* P, *δεύτερον* F | *λυπηρῶν* Plat., *λυπῶν* FP ‖ **10** *τοῦθ'* F ‖ **12** *ἐν ταὐτῷ* add. Gaisford.; in FP nova ecloga significata tantum est ‖ **14** *ἔφαμεν εἶναι* Plat. ‖ **16** *πρότερον* Plat., *προτέραν* FP ‖ **17** ante *ταῦθ'* add. *τὰ περὶ* Plat. ‖ **22. 23** *ἑκατέρῳ. Κείσθω* Plat., *ἑκατέρῳ κεῖσθαι.* FP ‖ **23** post *μὲν* add. Plat. *δὲ* | *μὴ* Plat., *καὶ* P, om. F ‖ **24** *φῶμεν* om. FP, add. Plat.

λεγομένῳ νῦν οὔπω γέγονε· τοῦ δὲ μήτε ὄντος μήτε γεγονότος πω γίγνεσθαι φάναι τινὰ ἀποβολὴν ἄτοπον. Ἦ γάρ; — Τί μήν; — Τὰ τοίνυν ὀνόματα μετάβαλε μόνον. — Πῶς; — Ἀντὶ τοῦ λεληθέναι τὴν ψυχήν, ὅταν ἀπαθὴς αὕτη γίγνηται τῶν σεισμῶν τῶν τοῦ σώματος, ἣν νῦν λήθην καλεῖς, ἀναισθησίαν ἐπονόμασον. — Ἔμαθον. — Τὸ δ' ἐν ἑνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δὴ τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου φθέγγοι' ἄν. — Ἀληθέστατα λέγεις. — Οὐκοῦν ἤδη μανθάνομεν ὃ βουλόμεθα καλεῖν τὴν αἴσθησιν;

15 *Ἐν ταὐτῷ* (p. 50[D]).

Ὅτι καὶ σῶμα ἄνευ ψυχῆς καὶ ψυχὴ ἄνευ σώματος καὶ κοινῇ μετ' ἀλλήλων ἐν τοῖς παθήμασι μεστά ἐστι συγκεκραμένης ἡδονῆς λύπαις.

[774] CAPVT XLVIII (LI Heeren., XL Gaisford. Meinek.).

ΠΕΡΙ ΝΟΥ.

1 *Πλάτωνος ἐκ τοῦ Φιλήβου* (p. 58[A]).

Ἔγωγε ἡγεῖσθαι οἶμαι ξύμπαντας, ὅσοις νοῦ καὶ σμικρὸν προσήρτηται, μακρῷ ἀληθεστάτην εἶναι γνῶσιν.

2 *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 93[B]).

Φέρε δή, πρὸς Διός· λέγεται ψυχὴ ἣ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἣ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή; Καὶ ταῦτα ἀληθῶς λέγεται;

3 *Ἑρμοῦ* (p. 11 Patrit.; 78, 1 Parthey.).

⟨ΤΑΤ⟩ Πῶς τοῦτο λέγεις, ὦ πάτερ; ὁ νοῦς τῆς

---

1 τοῦ δὲ (vel δὴ) μήτε Plat., οὐδ' οὐ μήτε FP ‖ **2** πω FP, πως Plat. falso ‖ **4** ἀντὶ μὲν τοῦ Plat. ‖ **6** ἐπωνόμασον FP ‖ **7** τὸ δ' ἐν ἑνὶ Plat., τὸ δὲ δ' ἑνὶ FP ‖ **8** δὴ FP, δ' αὖ Plat. ‖ **9** φθέγγει F ‖ **12** lemma F mrg habet; ἐν αὐτῷ P adnectit ad τὴν αἴσθησιν (v. 11) ‖ **14** μεστά] μετά P ‖ **17** titulum om. FP ‖ **18** lemma F mrg, P in textu habet | φιλήφου P[1] ‖ **19** οἶμαι ἡγεῖσθαι Plat. ‖ **21** Πλάτωνος FP: τοῦ αὐτοῦ Gaisford ‖ **22** post δὴ add. ἔφη Plat. ‖ **23** ἀγαθὴ Plat., ἀγαθὴν FP ‖ **24** κακὴ Plat., κακὴν FP ‖ **25** lemma FP mrg habet ‖ **26** et p. **311, 4** personarum distinctiones addidi ex Herm.

ψυχῆς χωρίζεται καὶ ἡ ψυχὴ τοῦ πνεύματος, σοῦ εἰπόντος ἔνδυμα εἶναι τοῦ μὲν νοῦ τὴν ψυχὴν, τῆς δὲ ψυχῆς τὸ πνεῦμα;

⟨ΕΡΜ.⟩ Συννοεῖν δεῖ, ⟨ὦ⟩ τέκνον, τὸν ἀκούοντα τῷ λέγοντι καὶ συμπνεῖν καὶ ὀξυτέραν ἔχειν τὴν ἀκοὴν τῆς τοῦ λέγοντος φωνῆς. Ἡ σύνθεσις τῶν ἐνδυμάτων τούτων [776] ἐν σώματι γηίνῳ γίγνεται· ἀδύνατον γὰρ τὸν νοῦν ἐν γηίνῳ σώματι γυμνὸν αὐτὸν καθ' ἑαυτὸν ἑδράσαι. Οὔτε γὰρ τὸ γήινον σῶμα δυνατόν ἐστι τὴν τηλικαύτην ἀθανασίαν ἐνεγκεῖν οὔτε τὴν τοσαύτην ἀρετὴν ἀνασχέσθαι συγχρωτιζόμενον αὐτῇ παθητὸν σῶμα. Ἔλαβεν ⟨οὖν⟩ ὥσπερ περιβόλαιον τὴν ψυχήν· ἡ δὲ ψυχὴ καὶ αὐτή τις θεία οὖσα καθάπερ ὑπηρέτῃ τῷ πνεύματι χρῆται, τὸ δὲ πνεῦμα τὸ ζῷον διοικεῖ. Ὅταν ⟨οὖν⟩ ὁ νοῦς ἀπαλλαγῇ τοῦ γηίνου σώματος, τὸν ἴδιον εὐθὺς ἐνεδύσατο χιτῶνα τὸν πύρινον, ὃν οὐκ ἠδύνατο ἔχων εἰς τὸ γήινον σῶμα κατοικῆσαι. Γῇ γὰρ πῦρ οὐ βαστάζει· πᾶσα γὰρ γῆ φλέγεται καὶ ὑπὸ ὀλίγου σπινθῆρος. Διὰ τοῦτο καὶ τὸ ὕδωρ περικέχυται τῇ γῇ, ὥσπερ ἔρυμα καὶ τεῖχος ἀντέχον πρὸς τὴν τοῦ πυρὸς φλόγα· νοῦς δὲ ὀξύτατος ⟨ὢν⟩ πάντων τῶν θείων νοημάτων καὶ τὸ ὀξύτατον πάντων τῶν στοιχείων ἔχει τὸ πῦρ σῶμα. Δημιουργὸς γὰρ ὢν ὁ νοῦς p. 91 C. τῶν πάντων ὀργάνῳ τῷ πυρὶ πρὸς τὴν δημιουργίαν χρῆται. Καὶ ὁ μὲν τοῦ παντὸς τῶν πάντων, ὁ δὲ τοῦ ἀν-

---

2 ἔνδυμα Herm., δύναμιν FP ‖ 4 δεῖ etiam FP | ὦ̃ om. FP, add. Herm. ‖ 4. 5 τὸν λέγοντα (corr. in τῷ λέγοντι) P¹ ‖ 5 συμπνέειν Herm. | ἔχει (corr. in ἔχειν) P ‖ 6 διάθεσις Patrit. | post τούτων add. Herm. ὦ̃ τέκνον ‖ 9 τὴν ante τηλικαύτην om. Herm. ‖ 10 τοιαύτην Herm. *A* | ἀνέχεσθαι Herm. ‖ 11 συγχρωματιζόμενον Herm. | αὐτῇ FP, αὐτῷ Herm.: correxi | οὖν om. FP, add. Herm. ‖ 12 περιβολὴν Herm. | αὐτὴ θεία τις Herm. ‖ 13 ὑπηρέτη P², ὑπηρέτις F, ὑπηρέτου P¹, περιβολῇ Herm. *B*, πυρὶ Herm. cet. ‖ 14 διοικεῖ FP Herm.: διήκει soloece Heeren | οὖν om. FP, add. Herm. ‖ 15 ἐνδύεται Herm. Verg. ‖ 16 ἐδύνατο Herm. ‖ 17 γῇ (post γὰρ) om. Herm. ‖ 18 καὶ διὰ τοῦτο τὸ Herm. ‖ 20 ὢν om. FP, add. Herm. ‖ 21 τῶν ante θείων om. Herm. | καὶ ὀξύτερος πάντων Herm. ‖ 22 τὸ σῶμα πῦρ Herm. | ὢν om. Herm. praeter *B* ‖ 23 ὀργάνῳ FP, οὐρανῶν Herm.

θρώπου τῶν ἐπὶ γῆς μόνον. Γυμνὸς γὰρ ὢν τοῦ πυρὸς ὁ ἐν ἀνθρώπῳ νοῦς ἀδυνατεῖ τὰ θεῖα δημιουργεῖν, ἀνθρώπινος ὢν τῇ οἰκήσει.

[778] 4 *Πορφυρίου ἐκ τῶν Πρὸς τὰ νοητὰ ἀφορμῶν* (opusc. Porphyr. p. 62 Holsten.).

Πᾶν γενητὸν ἀπ᾽ ἄλλου τὴν αἰτίαν τῆς γενέσεως ἔχει, εἴ γε μηδὲν ἀναιτίως γίγνεται. Ἀλλὰ τῶν γε γενητῶν ὅσα μὲν διὰ συνθέσεως κέκτηται τὸ εἶναι, λυτὰ ἂν εἴη καὶ διὰ τοῦτο φθαρτά· ὅσα δὲ ἁπλᾶ καὶ ἀσύνθετα ὄντα ἐν τῷ ἁπλῷ τῆς ὑποστάσεως κέκτηται τὸ εἶναι, ἄλυτα ὄντα, ἔστι μὲν ἄφθαρτα, γενητὰ δὲ λέγεται, οὐ τῷ σύνθετα εἶναι, ἀλλὰ τῷ ἀπ᾽ αἰτίου τινὸς ἀνηρτῆσθαι. Τὰ μὲν οὖν σώματα διχῶς γενητὰ καὶ ὡς ἀπ᾽ αἰτίας ἠρτημένα τῆς παραγούσης καὶ ὡς σύνθετα· ψυχὴ δὲ καὶ νοῦς γενητά, ὡς ἀπ᾽ αἰτίας ἠρτημένα μόνον, οὐ μὴν καὶ ὡς σύνθετα. Τὰ μὲν ἄρα σώματα γενητὰ καὶ λυτὰ καὶ φθαρτά· τὰ δὲ ἀγένητα μὲν ὡς ἀσύνθετα καὶ ταύτῃ καὶ ἄλυτα καὶ ἄφθαρτα, γενητὰ δὲ ὡς ⟨ἀπ᾽⟩ αἰτίου ἠρτημένα.

5 *Τοῦ αὐτοῦ* (p. 63 Holsten.).

Ὁ νοῦς οὐκ ἔστιν ἀρχὴ πάντων· πολλὰ γάρ ἐστιν ὁ νοῦς, πρὸ δὲ τῶν πολλῶν ἀνάγκη εἶναι τὸ ἕν. Ὅτι δὲ πολλὰ ὁ νοῦς δῆλον· νοεῖ γὰρ ἀεὶ τὰ νοήματα, οὐχ ἓν ὄντα, ἀλλὰ πολλὰ καὶ οὐκ ἄλλα ὄντα παρ᾽ ἐκεῖνον. Εἰ
[780] *οὖν ὁ αὐτός ἐστιν αὐτοῖς, ἐκεῖνα δὲ πολλά, πολλὰ ἂν εἴη*

---

1 *ἐπιγείων* Herm. | *μόνον* FP, *πάντων* Herm. ‖ **2** *ὁ ἐν ἀνθρώπῳ* Herm., *ὁ ἐν ἀνθρώποις* FP: *ὁ ἐπὶ γῆς* Patrit. ‖ **2. 3** *ἀνθρώπινος* Herm., *ἀνθρώπου* FP: *ἐν τῇ ἀνθρώπου* Heeren ‖ **3** *διοικήσει* Herm. ‖ **6** *γεννητὸν* FP ‖ **7** *τῶν τε* FP: *τῶν γε* Gaisford ex cod. Aug. ‖ **7. 8** *γεννητῶν* P ‖ **8** *αὐτὰ* FP: *λυτὰ* Meineke ‖ **15** post *νοῦς* add. Meineke *ἁπλῶς* ‖ **17** post *τὰ δὲ* add. *νοητὰ* Meineke; sed *τὰ δὲ* ad *νοῦν* et *ψυχὴν* spectant v. 14 sq. memorata, contra *νοητὰ* Porphyrius non potuit *γενητὰ* dicere | *ἀγέννητα* P ‖ **18** *ἀπ᾽* add. Meineke ‖ **21** post *πολλὰ* add. *μὲν* Meineke ‖ **23** *τὰ νοητὰ* Meineke ‖ **24** *ἐκεῖνο* FP: correxi ‖ **25** *ὁ* ante *αὐτὸς* om. P

καὶ ὁ νοῦς. Ὅτι δὲ ὁ αὐτός ἐστι τοῖς νοητοῖς, οὕτως δείκνυται. Εἰ γάρ τι ἔστιν ὃ θεωρεῖ, ἤτοι ἐν ἑαυτῷ ἔχων τοῦτο θεωρήσει, ἢ ἐν ἄλλῳ κείμενον. Καὶ ὅτι μὲν θεωρεῖ δῆλον· σὺν γὰρ τῷ νοεῖν εἴη ἂν ὁ νοῦς, ἀφαιρεθεὶς δὲ τοῦ νοεῖν ἀφῄρηται τῆς οὐσίας. Δεῖ τοίνυν ἐπιστήσαντας τοῖς πάθεσιν ἃ συμβαίνει περὶ τὰς γνώσεις ἀνιχνεῦσαι τὴν ἐκείνου θεωρίαν. Γνωστικαὶ δὲ δυνάμεις ἐν ἡμῖν ἀθρόον αἴσθησις, φαντασία, νοῦς. Πάντῃ δὲ τὸ αἰσθήσει προσχρώμενον τοῖς ἔξω ἐπιβάλλον θεωρεῖ, οὐχ ἑνούμενον ἐκείνοις ἃ θεωρεῖ, ἀλλὰ μόνον τύπον αὐτῶν ἐκ τῆς πρὸς αὐτὰ προσβολῆς λαμβάνον. ὅταν οὖν ἴδῃ ὀφθαλμὸς τὸ ὁρώμενον, ἀμήχανον ἐν ταὐτότητι γενέσθαι τοῦ ὁρωμένου· οὐ γὰρ ἂν ἴδοι, εἰ μὴ ἐν διαστάσει γένοιτο. ὡσαύτως δὲ κἂν τὸ ἁπτόμενον, ἐν ταὐτότητι γενόμενον, φθαρείη. ἐξ ὧν δῆλον, ὅτι ἀεὶ ἥ τε αἴσθησις καὶ τὸ αἰσθήσει προσχρώμενον εἰς τὸ ἔξω φέρεται, εἰ μέλλει τὸ αἰσθητὸν καταλήψεσθαι. Ὡσαύτως δὲ καὶ ἡ φαντασία ἀεὶ ἐπὶ τὸ ἔξω φέρεται καὶ τῇ τάσει αὐτῆς τὸ εἰκόνισμα παρυφίσταται . . . . ., ἤτοι καὶ παρασκευάζον ἔξωθεν ἢ αὐτῇ τῇ πρὸς τὸ ἔξω τάσει τὴν ὡς ἔξω ὄντος εἰκονίσματος ἐνδεικνύμενον. Καὶ τούτων μὲν κατάληψις τοιαύτη, ὧν οὐδεμία εἰς ἑαυτὴν συννεύουσα καὶ συναγομένη ἐντύχοι ἂν ἢ τῷ αἰσθητῷ ἢ τῷ ἀναισθήτῳ εἴδει· ἐπὶ δὲ τοῦ νοῦ οὐ τοῦτον τὸν τρόπον ἡ κατάληψις, ἀλλὰ συννεύοντος [782]

---

2 ἢ τὸ FP: ἤτοι Meineke | αὐτῷ P ‖ **3** ἔχον FP: corr. Meineke ‖ **4** ὁ om. F ‖ **5** δὲ F, γὰρ P | ἀφήρειται P ‖ **8** πάντα FP: πάντῃ Holsten, πᾶν Meineke ‖ **9.10** οὐχ ἑνούμενον P^1 (a litt. χ novum v. incipiens) ‖ **14** καὶ FP: κἂν Meineke ‖ **15** δηλονότι FP ‖ **19** παρυφίσταται P^2, παραφίσταται FP^1 | lacunam post παρυφίσταται signavit Usener, qui fere δῆλον οὖν ὅτι καὶ τὸ φαντασίᾳ προσχρώμενον εἰς τὸ ἔξω φέρεται intercidisse putat | παρασκευάζει Canter ‖ **19. 20** ἡ αὐτὴ FP: ἢ αὐτῇ Heeren ‖ **21** ἐνδεικνύμενον FP: recte, si cogitando φαντασίαν suppleas; ἔνδειξιν vel ἐνδεικνυμένου ⟨αἴσθησιν⟩ Heeren | fort. ante κατάληψις addendum ἡ coll. v. 24 ‖ **22** οὐδεμία pro οὐδετέρα dicitur corrupto usu sermonis; nam ὧν ad τούτων referendum i. e. αἰσθήσεως καὶ φαντασίας | συννεύνουσα P ‖ **23** ἢ τῷ FP bis: corr. Usener, nisi praestat ἤτοι – ἢ [τῷ] scribere

εἰς ἑαυτὸν καὶ ἑαυτὸν θεωροῦντος. Παρεξελθὼν γὰρ τοῦ θεάσασθαι τὰς ἑαυτοῦ ἐνεργείας καὶ ὅμμα εἶναι τῶν αὐτοῦ ἐνεργειῶν ⟨ἐνεργ⟩ουσῶν τὸ ὅραμα, οὐδὲν ἂν νοήσειεν. Ὡς μὲν οὖν ἦν [ἡ] αἴσθησίς τε καὶ τὸ αἰσθητόν, οὕτως ἔστι νοῦς τε καὶ τὸ νοητόν. Θεωρεῖ δὲ ἡ μὲν ἐκτεινομένη εἰς τὸ ἔξω, εὑρίσκουσα τὸ αἰσθητὸν ⟨ἐν⟩ τῇ ὕλῃ κείμενον· ὁ δὲ νοῦς εἰς αὐτὸν συναγόμενος, οὐδαμῇ ἔξω ἐκτεινόμενος, ὅπερ καὶ ἐδόκει τισὶν ⟨οὐδ'⟩ ὀνόματος διαφορᾶς προστεθείσης τῇ τοῦ νοῦ ὑποστάσει καὶ ⟨τῇ⟩ τῆς φαντασίας. Ἡ γὰρ ἐν λογικῷ ζῴῳ φαντασία ἐδέδοκτο αὐτοῖς νό-
p. 92 C. ησις· ἀλλ' [εἰ] ἐκείνοις μὲν πάντα ἀπαρτήσασιν ἀπὸ τῆς ὕλης καὶ τῆς σωματικῆς φύσεως ἀκόλουθον ἦν καὶ τὸν νοῦν τούτων ἀπαρτᾶν· ὁ δ' ἡμέτερος ⟨νοῦς⟩ ἀσωμάτων καὶ
[784] ἑτέρων θεωρὸς οὐσιῶν ποῦ τοίνυν κειμένας καταλήψεται αὐτάς; ἔξω δὲ ὄντων ὕλης οὐδαμοῦ ἂν εἴη ταῦτα. Δῆλον ⟨οὖν⟩ ὡς νοερὰ καὶ νοήσει συναχθήσεται. [Καὶ] τοίνυν εἰ νοερὰ ⟨χωρεῖ⟩ εἰς τὸν νοῦν, [καὶ τὸ νοητὸν] καὶ ἑαυτὸν θεωρήσει νοῶν τὰ νοητά· καὶ χωρῶν εἰς ἑαυτόν, νοεῖ διὰ τὸ εἰς ἐκεῖνα χωρεῖν. Εἰ δὲ πολλὰ [καὶ] τὰ νοητά, (πολλὰ γὰρ ὁ νοῦς νοεῖ καὶ οὐχ ἕν), πολλὰ ἂν εἴη [καὶ] ἐξ ἀνάγκης καὶ αὐτός. Κεῖται δὲ πρὸ τῶν πολλῶν τὸ ἕν, ὥστε ἀνάγκη πρὸ τοῦ νοῦ εἶναι τὸ ἕν.

---

2 τὸν P¹ ‖ **3** αὐτοῦ FP: corr. cod. Aug. | οὐσῶν FP: ἐνεργουσῶν scripsi, οὐσιῶν Holsten int. | τὸ] τε Holsten ‖ **4** ἡ om. P recte ‖ **5** ἐστὶν ὁ νοῦς male Meineke | τὸ om. P ‖ **6** ἐν add. Heeren ‖ **7** αὐτὸν FP: corr. Heeren | εἰ δὲ μὴ FP: οὐδαμῇ Canter mrg, οὐδὲ μὴν Meineke ‖ **8** καὶ ante ἐδόκει om. P | τισὶν] vide infra p. 317, 18 | οὐδ' addidi ‖ **9** οὔπω τεθείσης Usener | τῇ ante τῆς add. idem ‖ **10** εἰ γὰρ F | δέδοκτο FP: corr. Meineke ‖ **11** εἰ ante ἐκείνοις del. Canter ‖ **13** ἀναρτᾶν FP: corr. Canter | νοῦς add. Heeren | σωμάτων FP: corr. Usener ‖ **14** ἑτέρων] θειοτέρων Usener | που τοίνυν (v. 15 interrogationis signo deleto) Heeren ‖ **15** δὲ ὄντων F, δεόντων P ‖ **16** οὖν add. Heeren | νοάσει FP: corr. cod. Aug. | καὶ (ante τοίνυν) del. Usener ‖ **17** post νοερὰ add. χωρεῖ (vel νοερὰ mutat in χωρεῖ) Meineke | καὶ τὸ νοητὸν seclusi ‖ **18** αὐτὸν P ‖ **18, 19** νοεῖ ⟨καὶ τὸ νοητὸν⟩ διὰ τὸ εἰς ⟨αὐτὸν⟩ ἐκεῖνα (id est νοερὰ) χωρεῖν Usener ‖ **19** καὶ ante τὰ νοητὰ om. F: seclusi ‖ **20** καὶ post εἴη del. Heeren cum Vat. (?) ‖ **21** πρὸ (ante τῶν) FP², πρὸς P¹ (eras.)

6 *Ἀρχύτου ἐκ τοῦ Περὶ νόω καὶ αἰσθάσιος* (fr. phil. Gr. I p. 565 Mullach.).

Αἴσθασις μὲν ἐν σώματι γίνεται, νόος δ' ἐν ψυχᾷ. Τὸ μὲν γὰρ ἀρχὰ τῶν αἰσθατῶν ὑπάρχει, τὸ δὲ τῶν νοατῶν. Πλάθεος μὲν γὰρ μέτρον ἀριθμός, μάκεος δὲ ποῦς, ῥοπᾶς δὲ καὶ σταθμῶ ζυγόν, ὀρθότατος δὲ καὶ εὐθύτατος κανὼν καὶ στάθμα ὀρθὰ γωνία· οὕτως δὲ καὶ τῶν μὲν αἰσθατῶν αἴσθασις [μέτρον], τῶν δὲ νοατῶν νόος ἀρχὰ καὶ μέτρον ἐντί. Καὶ ὁ μὲν νόος ἀρχὰ νοατῶν τε ⟨καὶ⟩ φύσι πράτων· ἃ δὲ αἴσθασις ⟨δευτέρων τε φύσι καὶ τῶν παρ'⟩ ἁμῖν· ὃ [786]
μὲν γάρ ἐντι ἀρχὰ τᾷ ψυχᾷ, ἃ δὲ τῷ σώματι. Καὶ ὁ μὲν νόος τῶν τιμιαιτάτων ἐντὶ κριτάς, ἃ δ' αἴσθασις τῶν χρησιμωτάτων. Ἃ μὲν γὰρ αἴσθασις τῶ σώματος ἕνεκε συνέστακε καὶ τᾶς εἰς τοῦτο λειτουργίας· ὁ δὲ νόος ⟨τᾶς ψυχᾶς ἕνεκε⟩ καὶ τᾶς εἰς ταύταν πολυφραδμοσύνας. Καὶ ὁ μὲν νόος ἐντὶ ἀρχὰ τᾶς ἐπιστάμας, ἃ δ' αἴσθασις τᾶς δόξας· ἃ μὲν γὰρ ἔχει τὰν ἐκ τῶν αἰσθατῶν ἐνέργειαν, ὃ δὲ τὰν ἐκ τῶν νοατῶν. Τυγχάνοντι δὲ τὰ μὲν αἰσθατὰ

---

1 *νοῦ* FP: corr. Meineke | *αἰσθάσιος* F, *αἰσθήσεως* P ‖ **3** *αἰσθησις* P | *γίγνεται* FP ‖ **4** *αἰσθήσεων* P | *τὸ δὲ* FP: *ἃ δὲ* Meineke pessime, nam *τὸ μὲν* ad *αἴσθησιν* et *τὸ δὲ* ad *νοῦν* spectat ‖ **6** *σταθμοῦ* P^2, *σταθμᾶς* FP^1 ‖ **7** *καὶ στάθμα* del. Meineke philol. XIV p. 41 | *σταθμὰ* F | *ὀρθαγωνία* P: *ὀρθὰ γωνία* del. Meineke adn. crit. | *δὴ* Usener ‖ **7. 8** *σωμάτων* FP: *αἰσθατῶν* Meineke phil. l. s. ‖ **8** *αἴσθησις* FP | *μέτρον* seclusi, ⟨*ἀρχὰ καὶ*⟩ *μέτρον* Meineke adn. cr. ‖ **9** *ἐστί* FP | *τε* F in ras. P^1, *τῇ* P^2 | *καὶ* add. Heeren | *φύσει* FP | *πρῶτον* FP: corr. Heeren ‖ **10** *αἴσθησις* P | *δευτέρων τε φύσι καὶ τῶν παρ'* add. Usener; *αἰσθατῶν τε καὶ φύσι δευτέρων* add. cum Heereno Meineke (rectius certe *δευτέρων τε φύσι καὶ αἰσθατῶν*); cf. p. 316, 9—11 ‖ **10. 11** *ἁμῖν· τὸ* (ὃ P^2) *μὲν γὰρ* FP: *ὁ μὲν γὰρ ἁμῖν* Heeren ‖ **11** *ἐστὶν* FP | *τᾶς ψυχᾶς* et *τοῦ σώματος* FP: corr. Usener ‖ **12** *τιμαιετάτων* F, *τιμαετάτων* P^1, *τιμαοτάτων* P^2: *τιμιαιτάτων* Meineke philol. XIV p. 41, *τιμιωτάτων* Canter, *τιμαεστάτων* Gaisford | *ἐστὶ* FP | *κριτᾶς* F | *αἴσθησις* FP ‖ **13** *αἴσθησις* P | *ἕνεκε* FP (quod consulto servavi): *ἕνεκεν* vulg. ‖ **14** *συνέστηκε* P | *εἰς* FP: *ἐς* vulg. ‖ **14. 15** *τᾶς ψυχᾶς ἕνεκε* addidi cum Meinekio phil. l. s. ‖ **15** *τᾶν ταύτας πολυφραδμοσυνᾶν* Meineke l. s. | *τὰν* FP: *τᾶς* Heeren | *ἐς* FP | *ταύτας* FP: *ταύταν* scripsi, *ταῦτα* Heeren | *πολυφραδμνας* P^1 ‖ **16** *ἔστιν* FP | *τὰς* P | *ἐπιστήμας* FP | *αἱ δ'* P ‖ **16. 17** *τὰς δόξας* FP: corr. Canter ‖ **18** *αἰσθητὰ* FP

τῶν πραγμάτων κινάσιος μεταβλάσιός τε κοινανέοντα, τὰ δὲ νοατὰ στάσιος καὶ αἰδιότατος. Παραπλασίως δὲ καὶ ἁ αἴσθασις καὶ ὁ νόος ἔχοντι· ἁ μὲν γὰρ αἴσθασις τῶ αἰσθατῶ, τὸ δ' αἰσθατὸν καὶ κινέεται καὶ μεταβάλλει καὶ οὐδέποκα ἐν ταὐτῷ ἀτρεμέει· διὸ καὶ μᾶλλον καὶ ἧττον καὶ βέλτιον καὶ χεῖρον γίνεται ὁρῆν ⟨τὸ αἰσθατόν⟩· ὁ δὲ νόος τῶ νοατῶ, τὸ δὲ νοατὸν ἀκίνατον ἐξ ὠσίας· [788] διὸ οὔτε μᾶλλον οὔτε ἧττον οὔτε βέλτιον οὔτε χεῖρον ἔντι νοὲν τὸ νοατόν. ⟨Καὶ⟩ καθάπερ ⟨ὁ⟩ νόος τὸ πρᾶτον βλέπει καὶ τὸ παράδειγμα, οὕτως ἁ αἴσθασις τὰν εἰκόνα καὶ τὸ δεύτερον· ὁ μὲν γὰρ νόος οὐρανὸν ἁπλῶς ⟨ἢ τέχναν⟩, ἁ δ' αἴσθασις ἁπλῶς τὰν τῶ ἁλίω σφαῖραν ἢ τὰς χειροτεχνατῶν. Ἔτι ⟨ὁ⟩ μὲν νόος ἀμερὴς καὶ ἀδιαίρετος, καθάπερ μονὰς καὶ στιγμά, παραπλασίως δὲ καὶ τὸ νοατόν (τὸ γὰρ εἶδος οὔτε πέρας σώματός ἐντι οὔτε ὅρος, ἀλλὰ μόνον τύπωσις τῶ ἐόντος, ᾧ ἐόν ἐντι), ἁ δ' αἴσθασις μεριστὰ καὶ διαιρετά. Τῶν γὰρ ἐόντων ἐντὶ τὰ μὲν αἰσθατά, τὰ δὲ δοξαστά, τὰ δ' ἐπιστατά, τὰ δὲ νοατά. Καὶ τὰ μὲν σώματα, ὧν ἔντι τις ἀντιτυπία, αἰσθατά·

---

1 μεταλαμβάνοντα FP: μεταβλάσιός τε Meineke adn. crit., μεταβολᾶς τε idem philol. XIV p. 42 | κοινὰ ἐόντα FP: κοινανέοντα Meineke praef. Stob. flor. IV p. XXXVII cum Iacobsio ep. p. 236 ‖ **1. 2** τὰ δὲ νοατὰ P², τὰ δ' ἔνθα τὰς (τᾶς F) FP¹ ‖ **2** στάσεως P | ἰδιότητος FP: corr. Meineke phil. l. s. | παραπλησίως FP ‖ **3** αἴσθασις (α corr. ex η) FP ‖ **3. 4** τῷ αἰσθατῷ FP: corr. Meineke ‖ **4** κινεῖται FP ‖ **5** οὐδέποτε FP | ἀτρεμεῖ FP ‖ **6** τὸ αἰσθατόν add. Meineke phil. coll. v. 8. 9 ‖ **7** τῷ νοατῷ FP: corr. Meineke | ἀκίνητον FP | οὐσίας FP | post ὠσίας deesse aliquid suspicatur Meineke l. s. ‖ **8. 9** ἔστι νοεῖν FP: corr. Meineke ‖ **9** καὶ add. Heeren | ὁ add. Meineke ‖ **10. 11** τὸ δεύτερον καὶ τὰν εἰκόνα Meineke ‖ **11** οὐκ ἀνῶν FP¹, οὐκ ἄνθρωπον P²: οὐρανὸν scripsi, οὐκ ἄλιον Meineke | ἢ τέχναν addidi ‖ **12** τῷ ἁλίῳ F, τῶ ἡλίω P ‖ **12. 13** τὰς χειροτεχνῶν ἐργασίας Heeren, τὰς χειροτεχνᾶν εἰκόνας Meineke, τὰς χειροτεχνικάς Usener; an τὰ χειροτεχνάματα? ‖ **13** post χειροτεχνατῶν add. βλέπει Mullach | ὁ ante μὲν om. FP¹, add. P² | αὐταίρετος P ‖ **14** στιγμὴ FP | παραπλησίως FP ‖ **15** ἐστιν FP ‖ **16** ὄντος FP | ἢ FP: ᾧ Heeren | ὃν ἐστιν FP | αἰσθησις FP ‖ **17** post διαιρετὰ add. καθάπερ δυὰς καὶ γραμμά. παραπλασίως δὲ καὶ τὸ αἰσθατόν Meineke phil. p. 43 | ὄντων FP | ἐστὶ P², ἐπὶ FP ‖ **18** αἰσθητὰ FP ‖ **19** ἔστι FP

δοξαστὰ δὲ τὰ μετέχοντα τῶν εἰδέων ὡς αἱ εἰκόνες, οἷον ὁ τὶς ἄνθρωπος τῷ ἀνθρώπῳ καὶ τὸ ⟨τὶ⟩ τρίγωνον τῷ τριγώνῳ· ἐπιστατὰ δὲ τὰ τοῖς εἴδεσι συμβεβακότα ἐξ ἀνάγκας, ὡς ἐν γαμετρίᾳ τὰ τοῖς σχήμασι· νοατὰ δὲ αὐτὰ τὰ εἴδεα καὶ αἱ ἀρχαὶ τῶν ἐπιστατῶν· οἷον αὐτὸ κύκλος καὶ τρίγωνον καὶ σφαῖρα. Τυγχάνοντι δὲ καὶ ἐν ἁμῖν αὐτοῖς κατὰ ψυχὰν γνώσιες τέτταρες· νόος, ἐπιστάμα, [790] p. 93 C.
δόξα, αἴσθασις· ὧν αἱ μὲν δύο τῷ λόγῳ ἀρχαί ἐντι, οἷον νόος καὶ αἴσθασις, τὰ δὲ δύο τέλεα, οἷον ἐπιστάμα καὶ δόξα. Τὸ δ' ὅμοιον ἀεὶ τῷ ὁμοίῳ γνωστικόν. Φανερὸν ⟨ὦν⟩ ὅτι ὁ μὲν νόος ἐν ἁμῖν τῶν νοατῶν γνωστικός, ἃ δὲ ἐπιστάμα τῶν ἐπιστατῶν, ⟨ἃ δὲ δόξα τῶν δοξαστῶν,⟩ ἃ δὲ αἴσθασις τῶν αἰσθατῶν.

7 ⟨Aetii (IV 5, 11. 12 p. 392, 1 Diels.).⟩

Πυθαγόρας, Ἀναξαγόρας, Πλάτων, Ξενοκράτης, Κλεάνθης θύραθεν εἰσκρίνεσθαι τὸν νοῦν.

Παρμενίδης καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος ταὐτὸν νοῦν καὶ ψυχήν, καθ' οὓς οὐδὲν ἂν εἴη ζῷον ἄλογον κυρίως.

8 Ἰαμβλίχου ἐκ τοῦ Περὶ ψυχῆς.

Πάλιν τοίνυν περὶ τοῦ νοῦ καὶ πασῶν τῶν κρειττόνων δυνάμεων τῆς ψυχῆς οἱ μὲν Στωικοὶ λέγουσι μὴ [792]
εὐθὺς ἐμφύεσθαι τὸν λόγον, ὕστερον δὲ συναθροίζεσθαι ἀπὸ τῶν αἰσθήσεων καὶ φαντασιῶν περὶ δεκατέσσαρα ἔτη.

---

1 *ἰδέων* P ‖ **2** *τῷ ἀνθρώπῳ* F | *τὶ* post *τὸ* add. Heeren ‖ **2. 3** *τῷ τριγόνῳ* F ‖ **3** *συμβεβηκότα* FP ‖ **4** *ἀνάγκης* P | *γεωμετρίᾳ* P^2 | *χάσμασι* P^1 | *νοητὰ* F ‖ **5** ante *αὐτὰ* add. P *καὶ* | ante *αὐτὸς* iterat *ὁ* P | *αὐτὸς ὁ* FP: *αὐτὸ* scripsi, nisi mavis *αὐτὸς* [*ὁ*] ‖ **7** *ψυχὴν* FP | *γνώμιες* FP: *γνώσιες* Dindorf thes. II p. 680 D, recte cf. supra p. 313, 5—8; *νώσιες* Meineke ‖ **8** *ἔντι* FP^1 ‖ **9** *τέλη* FP ‖ **10** *τῷ ὁμοίῳ* F ‖ **11** *ὧν* post *φανερὸν* (10) add. Meineke (ante *φανερὸν* (10) add. *ὅθεν* Heeren) | *νοητῶν* F ‖ **12** *ἐπιστήμα* F | *ἃ δὲ δόξα τῶν δοξαστῶν* om. FP: add. Canter int. lat. ‖ **15** hic lemma *πυθαγόρας καὶ ἄλλοι* F, *πυθαγόρου καὶ ἄλλων* P add. ‖ **17** hic lemma *Παρμενίδης* (*κ*)*αὶ ἕτεροι* F, *παρμενίδου καὶ ἑτέρων* P add. ‖ **18** *ταυτὸν* P, *αὐτὸν* F | *νοῦς καὶ ψυχὴ* FP: corr. Diels | *ζώων* P (acut. e circumfl. eras.) ‖ **22** *λέγουσιν* P

Οἱ δ' ἀπὸ Πλάτωνος καὶ Πυθαγόρου παρεῖναι μὲν καὶ ἐν τοῖς ἀρτιγενέσι τὸν λόγον φασίν, ἐπισκοτεῖσθαί γε μὴν [ἐν] τοῖς ἔξωθεν καὶ μὴ ἐνεργεῖν τὴν οἰκείαν ἐνέργειαν, ἀλλ' ἡσυχάζειν.

Ἤδη τοίνυν [περὶ τοῦ νοῦ] πολλοὶ μὲν Περιπατητικοὶ τὸν ἐκ σπέρματος καὶ [τὸν] ἀπὸ τῆς φύσεως ἄλλον νοῦν ὑποθέμενοι, ὡς αὐτίκα μάλα ἀποβλαστάνοντα ἀπὸ τῆς πρώτης γενέσεως, καὶ χωριστὸν καὶ θύραθεν ἐπικαλούμενον ἕτερον παραγίνεσθαι λέγουσιν ὀψιαίτατα, ἐπειδὰν τελειωθῇ μὲν ὁ κατὰ δύναμιν νοῦς, ἐπιτηδείως δὲ μετέχῃ τῆς κατ' ἐνέργειαν νοήσεως.

Πολλοὶ δὲ αὐτῶν τῶν Πλατωνικῶν καὶ τὸν νοῦν τῇ ψυχῇ ἅμα τῇ πρώτῃ εἰσόδῳ αὐτῆς εἰς τὸ σῶμα συνεισάγουσιν, οὐδὲ εἶναι ὅλως ἑτέραν μὲν αὐτήν, ἕτερον δὲ αὐτῆς τὸν νοῦν.

[794] CAPVT XLIX (LII Heeren.; XLI Gaisford. Meinek.).

ΠΕΡΙ ΨΥΧΗΣ.

1ª ⟨Aetii (IV 2, 1. 3. 4. 2. 7. 8. 6 p. 386, 2 Diels.).⟩

Θαλῆς ἀπεφήνατο πρῶτος τὴν ψυχὴν ἀεικίνητον ἢ αὐτοκίνητον.

Πυθαγόρας ἀριθμὸν αὐτὸν κινοῦντα, τὸν δὲ ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει.

Ὁμοίως δὲ καὶ Ξενοκράτης.

[796] *Ἀλκμαίων φύσιν αὐτοκίνητον κατὰ ἀίδιον κίνησιν*

---

3 *ἐν* FP: del. Usener ‖ **5** *περὶ τοῦ νοῦ* seclusi ‖ **6** *τὸν* (ante *ἐκ*) P², *τῶν* FP¹ | *σπέρματος* P², *σπερμάτων* FP¹ | *τὸν* ante *ἀπὸ τῆς* delevit Usener ‖ **7** ante *ὡς αὐτίκα* et ante *καὶ χωριστὸν* (8) Heeren perperam add. *τὸν μὲν* et *τὸν δὲ* ‖ **8. 9** *ἐπικαλούμενον* vix sanum: *ἐπεισαγόμενον* Usener ‖ **9** *ὕστερον* FP: *ἕτερον* idem ‖ **11** *δὲ* om. P | *μετέχειν* FP: corr. Usener ‖ **13** *τῆς ψυχῆς* FP: corr. idem ‖ **13. 14** *συνεισαγάγουσιν* P ‖ **17** titulum om. FP ‖ **19** lemma *θάλητος καὶ πυθαγόρα* add. P mrg | *ἀεικίνητον* etiam FP ‖ **21** *αὐτὴν* FP¹, *αὑτὴν* P²: corr. Heeren ex Plut. plac. IV 2 ‖ **23** *ξεναγόρας* P¹, *ἀναξαγόρας* P² mrg ‖ **24** lemma *ἀλκμαίωνος* add. P mrg | *κατὰ* P², *καὶ* FP¹

καὶ διὰ τοῦτο ἀθάνατον αὐτὴν καὶ προσεμφερῆ τοῖς θείοις ὑπολαμβάνει.

Δικαίαρχος ἁρμονίαν τῶν τεττάρων στοιχείων.

Ἀσκληπιάδης ὁ ἰατρὸς συγγυμνασίαν τῶν αἰσθήσεων.

Ἀριστοτέλης ἐνδελέχειαν πρώτην σώματος φυσικοῦ, ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος· τὴν δ' ἐντελέχειαν ἀκουστέον ἀντὶ τοῦ εἴδους καὶ τῆς ἐνεργείας.

1b ⟨Aetii (IV 3, 2—11 p. 387, 10 Diels.).⟩

Ἀναξιμένης, Ἀναξαγόρας, Ἀρχέλαος [Διογένης] ἀερώδη.

Οἱ Στωικοὶ πνεῦμα νοερόν, θερμόν.

Παρμενίδης δὲ καὶ Ἵππασος πυρώδη.

Δημόκριτος πυρῶδες σύγκριμα ἐκ τῶν λόγῳ θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν δύναμιν, ὅπερ σῶμα εἶναι.

---

1 προσεμφερεῖ F ‖ 2. 3 θείοις (quod in θεοῖς mutaverat) servandum esse Diels add. p. 853 intellexit ‖ 4 lemma Ἀσκληπιάδης ἰατρός F mrg, ἀσκληπιάδ P mrg add. ‖ 4. 5 post αἰσθήσεων add. FP πόσα καὶ τίνα περὶ ψυχῆς προβλήματα : περὶ οὐσίας : περὶ δυνάμεων : περὶ ἐνεργειῶν : περὶ ἔργων : περὶ μέτρου : περὶ καθόδου : περὶ διακληρώσεως : περὶ τοῦ ἐν τῷ σώματι βίου : περὶ κρίσεως (π. κρ. om. P) : περὶ ἀποκαταστάσεως : περὶ πολυμερείας : περὶ μετεμψυχώσεως. quae patet olim a lectore male sedulo margini appicta esse qui argumentum capitis longissimi descripsit ut potuit; partim enim titulos libri περὶ ψυχῆς quem Iamblichus scripsit ecl. 33 sq.; 36; 37; 38; 39 iteravit, insequentium eclogarum materiam proprio marte descripsit, denique unam quidem earum inscriptionum, quas singulis partibus Stob. praeposuit (ecl. 69), quamquam mancam repetiit, neglexit alteram illam conflatam ex Aetii libri IV c. 6 et 7 titulis (ecl. 7) ‖ 6 lemma ἀριστοτέλους add. P ‖ 10 lemma ἀναξαγόρου καὶ ἑτέρων add. P | ἀναξαγόρας ἀναξιμένης P ‖ 10. 11 Διογένης Dilesio recte abundare videtur; neque enim Theodoret. Gr. aff. cur. V 18 cum reliquis Diogenem commemorat et ipsius opinio infra p. 320, 3 affertur; seclusi igitur ‖ 11 ἀεροήδῃ (sic!) P ‖ 12 lemma στωικῶν add. P in textu et mrg ‖ 13 πήγασος FP: Ἵππασος Wyttenbach recte, cf. Theodor. Gr. aff. cur. V 18; id ipsum fuit in codice pinacographi Photiani cf. Elter, de Stob. cod. Phot. p. 9 ‖ 14 δημοκρίτ add. P mrg ‖ 14. 15 λόγων θεωρικῶν FP: λόγῳ θεωρητῶν Canter ex Plut. plac. IV 3 ‖ 16 ὅπερ etiam Plut.: διόπερ Usener

Ἡράκλειτος φωτοειδῆ τὴν ψυχὴν ὡρίσατο.

Λεύκιππος ἐκ πυρὸς εἶναι τὴν ψυχήν.

Διογένης ὁ Ἀπολλωνιάτης ἐξ ἀέρος τὴν ψυχήν.

[798] Ἵππων ἐξ ὕδατος τὴν ψυχήν.

Ξέναρχος ὁ Περιπατητικὸς καί τινες ἕτεροι τῆς αὐτῆς αἱρέσεως τὴν κατὰ τὸ εἶδος τελειότητα καὶ ἐντελέχειαν, καθ' ἑαυτὴν οὖσαν ἅμα καὶ μετὰ τοῦ σώματος συντεταγμένην.

Ἐπίκουρος κρᾶμα ἐκ τεττάρων, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ, ἐκ τετάρτου τινὸς ἀκατονομάστου, τοῦτο δ' ἦν αὐτῷ τὸ αἰσθητικόν· ὧν τὸ μὲν πνεῦμα κίνησιν, τὸν δὲ ἀέρα ἠρεμίαν, τὸ δὲ
p. 94 C. θερμὸν τὴν φαινομένην θερμότητα τοῦ σώματος, τὸ δ' ἀκατονόμαστον τὴν ἐν ἡμῖν ἐμποιεῖν αἴσθησιν, ἐν οὐδενὶ γὰρ τῶν ὀνομαζομένων στοιχείων εἶναι αἴσθησιν.

1ᶜ Ἑρμοῦ (p. 41ᵇ Patrit.).

Ψυχὴ τοίνυν ἐστὶν οὐσία ἀίδιος νοητική, νόημα ἔχουσα τὸν ἑαυτῆς λόγον.

2 Πλάτωνος ἐκ τοῦ Φαίδρου (p. 247ᶜ).

Ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως ⟨οὖσα⟩ ψυχῆς.

3 Ἑρμοῦ (p. 40ᵇ Patrit.).

Ἔστι τοίνυν ἡ ψυχὴ ἀσώματος οὐσία· εἰ γὰρ ἔχει
[800] σῶμα, οὐκέτι ἔσται ἑαυτῆς σωστική. Πᾶν γὰρ σῶμα δεῖται τοῦ εἶναι, δεῖται καὶ ζωῆς τῆς ἐν τάξει κειμένης. Παντὶ γὰρ τῷ γένεσιν ἔχοντι καὶ μεταβολὴν δεῖ ἐπακο-

---

1 ἡρακλείδ add. P mrg ‖ 2 lemma λευκίππου add. P | post ψυχὴν add. ἀπεφήνατο P ‖ 3 lemma διογένους add. P | post ἀέρος add. cod. Aug. εἶναι ‖ 4 lemma ἵπωνος add. P | (Ἵ)ππων F ‖ 5 lemma ξενάρχου τοῦ περιπατητικοῦ καὶ ἑτέρων add. P ‖ 9 ἐπικούρου add. P mrg | ἐπίκουρος om. P ‖ 10 ἐκ ποιοῦ ἀερώδους om. P, sed P² mrg add. ἀερώδους· θερμοῦ ‖ 11 αὐτὴ FP: αὐτῷ Heeren ‖ 14 ἐμποιεῖ FP: corr. Heeren e cod. Vat. ‖ 15 εἶναι om. P ‖ 16—18 totam ecl. omisit Heeren; et iteratur sane infra initio eclogae 6 ‖ 16 ἑρμοῦ habent FP mrg ‖ 19 post φαίδρου add. lemma v. 22 (ἑρμοῦ) FP ‖ 21 οὖσα om. FP, add. Plat. ‖ 23 ἡ om. F ‖ 24 ἑαυτῆς F, μετ' αὐτῆς P | σωματική P ‖ 25 δεῖται ante τοῦ εἶναι deleverim | εἶναι, δεῖται] εἶναι δῆτα Usener

λουθεῖν. Τὸ γὰρ γινόμενον γίνεται ἐν μεγέθει, γινόμενον ⟨γὰρ⟩ αὔξην ἔχει· παντὶ δὲ τῷ αὐξανομένῳ ἐπακολουθεῖ μείωσις, μειώσει φθορά. Μετειληφὸς δὲ εἴδους ζωῆς ζῇ καὶ κοινωνεῖ τοῦ εἶναι ⟨διὰ⟩ τὴν ψυχήν. Ἡ δὲ αἰτία ἑτέρῳ τοῦ εἶναι αὐτὴ προτοῦ ὅν ἐστι. Τὸ δὲ εἶναι νῦν λέγω τὸ ἐν λόγῳ γενέσθαι καὶ μετέχειν ζωῆς νοερᾶς· παρέχει δὲ ἡ ψυχὴ ζωὴν νοεράν. Καλεῖται δὲ ζῷον μὲν διὰ τὴν ζωήν, λογικὸν δὲ διὰ τὸ νοερόν, θνητὸν δὲ διὰ τὸ σῶμα. Ψυχὴ ἄρα ⟨οὐσία⟩ ἀσώματος, ἀμετάπτωτον ἔχουσα τὴν δύναμιν. Πῶς γὰρ οἷόν τέ ἐστι λέγειν ζῷον [νοερόν], μὴ οὔσης οὐσίας τῆς καὶ παρεχούσης ζωήν; ἀλλὰ οὐδὲ λογικὸν οἷόν τέ ἐστιν εἰπεῖν, μὴ οὔσης τῆς διανοητικῆς οὐσίας τῆς καὶ παρεχούσης νοερὰν ζωήν. Ἐν πᾶσι δὲ οὐκ ἀφικνεῖται τὸ νοερὸν διὰ τὴν τοῦ σώματος σύστασιν πρὸς τὴν ἁρμονίαν. Ἐὰν γὰρ ὑπερέχῃ ἐν τῇ συστάσει τὸ θερμόν, κοῦφος καὶ ἔνθερμος ⟨ἄνθρωπος⟩ γίνεται, ἐὰν δὲ τὸ ψυχρόν, βαρὺς καὶ νωχελὴς γίνεται· φύσις γὰρ ἁρμόζει τὴν τοῦ σώματος σύστασιν πρὸς τὴν ἁρμονίαν. Εἴδη δὲ τῆς [802] *ἁρμονίας τρία· τὸ κατὰ τὸ θερμὸν καὶ τὸ κατὰ ⟨τὸ⟩ ψυχρὸν καὶ τὸ κατὰ τὸ μέσον. Ἁρμόζει δὲ κατὰ τὸν ἐπικρατήσαντα ἀστέρα τῆς συγκράσεως τῶν ἀστέρων. Παραλαβοῦσα δὲ ψυχὴ ⟨σῶμα⟩ καθὼς εἵμαρται, τούτῳ παρέχει ζωὴν τῷ τῆς φύσεως ἔργῳ. Ἡ φύσις τοίνυν ὁμοιοῖ τὴν ἁρμονίαν τοῦ σώματος τῇ τῶν ἀστέρων συγκράσει καὶ ἑνοῖ τὰ πολυμιγῆ πρὸς τὴν τῶν ἀστέρων ἁρμονίαν, ὥστε ἔχειν πρὸς ἄλληλα συμπάθειαν. Τέλος γὰρ τῆς τῶν ἀστέρων ἁρμονίας τὸ γεννᾶν συμπάθειαν καθ' εἱμαρμένην αὐτῶν.*

4 *Τοῦ αὐτοῦ* (p. 41 Patrit.).

Ψυχὴ τοίνυν ἐστίν, ὦ Ἄμμων, οὐσία αὐτοτελής, ἐν

---

2 *γὰρ* ante *αὔξην* add. Heeren | *παντὶ γὰρ* FP: *παντὶ δὲ* Heeren ‖ **3** *μετειληφὼς* F ‖ **4** *διὰ* add. Patrit. int. (*per*, sed *κατὰ* male in textu) ‖ **5** *αὖτη* FP: *αὐτὴ* Patr. | *πρώτη* FP: *προτοῦ* scripsi ‖ **6** *γενέσθαι* FP: *γίνεσθαι* Patr. ‖ **9** *οὐσία* addidi ‖ **10** *νοερὸν* seclusi ‖ **12** *τῆς* deleverim ‖ **16** *ἄνθρωπος* addidi ‖ **19** *τὸ* ante *ψυχρὸν* om. FP: add. Patr. ‖ **21** *συγκρατήσεως* FP: *συγκράσεως* Patr. | num *ἀστέρα* delendum? ‖ **22** *σῶμα* add. Usener | *εἴργασται* FP: *εἵμαρται* Patr. ‖ **23** post *τῆς* add. *κατὰ* P ‖ **25** *ἄστρων* (ante *ἁρμονίαν*) FP: correxi ‖ **28** lemma FP mrg habent

ἀρχῇ ἑλομένη βίον τὸν καθ' εἱμαρμένην καὶ ἐπεσπάσατο ἑαυτῇ λόγον ὅμοιον τῇ ὕλῃ ἔχοντα θυμὸν καὶ ἐπιθυμίαν. Καὶ ὁ μὲν θυμὸς ὑπερέχει ὕλην· οὗτος, ἐὰν ἕξιν ποιήσῃ πρὸς τὸ τῆς ψυχῆς νόημα, γίνεται ἀνδρεία καὶ οὐ παράγεται ὑπὸ δειλίας. Ἡ δὲ ἐπιθυμία ὑπερέχεται· αὕτη
[804] ἐὰν ἕξιν ποιήσῃ πρὸς τὸν τῆς ψυχῆς λογισμόν, γίνεται σωφροσύνη καὶ οὐ κινεῖται ὑπὸ ἡδονῆς· ἀναπληροῖ γὰρ ὁ λογισμὸς τὸ ἐνδέον τῆς ἐπιθυμίας. Ὅταν δὲ ἀμφότερα ὁμονοήσῃ καὶ ἴσην ἕξιν ποιήσῃ καὶ ἔχηται ἀμφότερα τοῦ τῆς ψυχῆς λογισμοῦ, γίνεται δικαιοσύνη· ἡ γὰρ ἴση ἕξις αὐτῶν ἀφαιρεῖ μὲν τὴν ὑπερβολὴν τοῦ θυμοῦ, ἐπανισοῖ δὲ τὸ ἐνδέον τῆς ἐπιθυμίας. Ἀρχὴ δὲ τούτων ἡ διανοητικὴ οὐσία, καθ' αὑτὴν αὐτὴ οὖσα, ἐν τῷ αὐτῆς περινοητικῷ λόγῳ κράτος ἔχουσα [τὸν ἑαυτῆς λόγον]. Ἄρχει δὲ καὶ ἡγεμονεύει ἡ οὐσία ὥσπερ ἄρχων· ὁ δὲ λόγος αὐτῆς ὥσπερ σύμβουλος. Ὁ περινοητικὸς λόγος τοίνυν τῆς οὐσίας ἐστὶ γνῶσις τῶν λογισμῶν τῶν παρεχόντων εἰκασμὸν λογισμοῦ τῷ ἀλόγῳ, ἀμυδρὸν μὲν ὡς πρὸς λόγον, λογισμὸν δὲ ὡς πρὸς τὸ ἄλογον, καθάπερ ἠχὼ πρὸς φωνὴν καὶ τὸ τῆς σελήνης λαμπρὸν πρὸς ἥλιον. Ἥρμοσται δὲ θυμὸς καὶ ἐπιθυμία πρός τινα λογισμὸν καὶ ἀνθέλκει ἄλληλα καὶ ἐπισπᾶται ⟨τὴν⟩ ἐν ἑαυτοῖς ὑλικὴν διάνοιαν.

[806] 5 Τοῦ αὐτοῦ (p. 41 Patrit.).

Ψυχὴ πᾶσα ἀθάνατος καὶ ἀεικίνητος. Ἔφημεν γὰρ ἐν τοῖς γενικοῖς κινήσεις τὰς μὲν ὑπὸ τῶν ἐνεργειῶν, τὰς δὲ ὑπὸ τῶν σωμάτων. Φαμὲν δὲ τὴν ψυχὴν ἐξ οὐσίας

---

3 ὑπάρχει ὕλη FP: corr. Usener ‖ **4. 5** παράγεται FP², παραγίνεται P¹ ‖ **5** παρέχεται FP: corr. Usener, παράγεται Patr., ⟨ὕλη⟩ ὑπάρχει καὶ ⟨αὐτὴ⟩ Heeren ‖ **6** ποιήσηται FP: ποιήσῃ Heeren ‖ **9** ἔχηται FP², ἔχη τὰ P¹ ‖ **13** ἑαυτὴ F, ἑαυτῇ P: αὐτὴ scripsi, ἑαυτῆς Meineke ‖ **14** τὸν ἑαυτῆς λόγον seclusi | ἄγει Heeren ‖ **15** ἀρχῶν P¹ ‖ **16** αὐτῆς P, αὐτῶν F | σύμβουλος ὁ περινοητικός. λόγος FP: corr. Usener ‖ **17** λογισμῶν corruptum, fort. etiam plura ‖ **18. 19** λογισμὸν FP: λόγον scripsi ‖ **22** ἐπίσταται FP: ἐπισπᾶται ⟨τὴν⟩ scripsi coll. v. 1 et p. 324, 6; 290, 11 | κυκλικὴν FP: corr. Usener ‖ **24** lemma P in textu, F mrg habet ‖ **25** ἀθάνατος καὶ om. Patr. ‖ **27** post σωμάτων add. Patr. εἶναι

τινὸς οὐχ ὕλης γεγενῆσθαι, ἀσώματον οὖσαν καὶ αὐτῆς ἀσωμάτου οὔσης. Πᾶν γὰρ τὸ γενόμενον ἀνάγκη ἔκ τινος γεγενῆσθαι. Ὅσων μὲν οὖν τῇ γενέσει φθορὰ ἐπακολουθεῖ, τούτοις δύο κινήσεις παρακολουθεῖν ἀνάγκη, τήν τε ⟨τῆς⟩ ψυχῆς ὑφ' ἧς κινεῖται καὶ τὴν τοῦ σώματος ὑφ' ἧς αὔξεται καὶ φθίνει, ἔτι δὲ καὶ ἀναλυθέντος ἀναλύεται. Ταύτην ὁρίζομαι τὴν κίνησιν τῶν φθαρτῶν σωμάτων. Ἡ δὲ ψυχὴ ἀεικίνητος, ὅτι ἀεὶ ἐν αὐτῇ κινεῖται καὶ ἄλλοις κίνησιν ἐνεργεῖ. Κατὰ τοῦτον οὖν τὸν λόγον ἐστὶ ψυχὴ πᾶσα ἀθάνατος καὶ ἀεικίνητος, ἔχουσα κίνησιν τὴν αὐτῆς ἐνέργειαν. Ἰδέαι δὲ ψυχῶν· θεία, ἀνθρωπίνη, ἄλογος. Ἡ μὲν οὖν θεία τοῦ θείου σώματος ⟨δι'⟩ αὐτῆς ἐνέργεια. Ἐν μὲν γὰρ αὐτῇ κινεῖται καὶ αὐτὸ κινεῖ. Ἐπὰν γὰρ θνητῶν ζῴων ἀπαλλαγῇ, χωρισθεῖσα τῶν ἀλόγων ἑαυτῆς μερῶν, ἐξελθοῦσα εἰς τὸ θεῖον σῶμα ὡς ἀεικίνητος ἐν ἑαυτῇ κινεῖται, συμπεριφερομένη τῷ παντί. Ἡ δὲ ἀνθρωπίνη ἔχει μὲν καί τι τοῦ θείου, συνῆπται [808] δὲ αὐτῇ καὶ τὰ ἄλογα, ἥ τε ἐπιθυμία καὶ ὁ θυμός. Καὶ αὗται μὲν ἀθάνατοι, καθότι καὶ αὐταὶ ἐνέργειαι τυγχάνουσιν, [αἱ] ἐνέργειαι δὲ θνητῶν σωμάτων. Διο τοῦ μὲν θείου μέρους τῆς ψυχῆς, οὔσης ἐν τῷ θείῳ σώματι, πόρρω τυγχάνουσιν οὖσαι· ἐπειδὰν δὲ εἰσέλθῃ τοῦτο εἰς θνητὸν σῶμα, κἀκεῖνα ἐπιφοιτᾷ καὶ τῇ παρουσίᾳ αὐτῶν γίνεται ἀεὶ ψυχὴ ἀνθρωπίνη. Ἡ δὲ τῶν ἀλόγων συνέστηκεν ἐκ θυμοῦ τε καὶ ἐπιθυμίας. Διόπερ καὶ ἄλογα ἐκλήθη τὰ ζῷα ταῦτα, στερήσει τοῦ λόγου τῆς ψυχῆς. Τετάρτην δὲ

---

1 οὖσα P¹ ‖ **2** γενόμενον FP: γινόμενον Heeren ‖ **3** ὅσων P² (et Patr.), ὅσον FP¹ | μὲν οὖν F, μὲν σὺν P ‖ **4** παρακολουθεῖν FP: ἐπακολουθεῖν Heeren | τῆς ante ψυχῆς (5) add. P² mrg ‖ **5** ψυχῆς P², ψυχην FP¹ ‖ **6** ἀναλυθέντα FP (Patr.): corr. Heeren ‖ **8** ἑαυτὴ F (in ras.), P¹, καὶ αὐτὴ P²: ἐν αὐτῇ scripsi ‖ **10** αὐτῆς FP: corr. Heeren ‖ **12** δι' add. Usener, ἐν ᾧ ἡ Patr. | αὐτῆς FP ‖ **13** αὐτῷ FP: αὐτῇ scripsi | ἑαυτὸ FP¹, ἑαυτὸν P²: αὐτὸ Patr., ἑαυτὴν Heeren ‖ **16** ἑαυτῷ P, αὐτῷ F: ἑαυτῇ Patr. ‖ **17** καὶ τὸ τοῦ FP: καί τι τοῦ Heeren ‖ **19** καὶ αὐταὶ P² mrg, καὶ αυται (αὗτα P¹) αἱ FP¹ ‖ **20** αἱ om. P: delevi ‖ **22** τυγχάνουσιν οὖσαι F, τυγχάνουσαι P¹, τυγχάνουσιν P² ‖ **24** ante ψυχὴ add. P² ἡ ‖ **26** λόγου P² (Patr.), ἀλόγου FP¹: cf. Herm. supra p. 234, 7

νόει τὴν τῶν ἀψύχων, ἥτις ἔξωθεν οὖσα τῶν σωμάτων ἐνεργεῖ κινοῦσα. Αὕτη δ' ἂν εἴη ἐν τῷ θείῳ σώματι κινουμένη καὶ ὥσπερ κατὰ πάροδον ταῦτα κινοῦσα.

6 *Τοῦ αὐτοῦ* (p. 41[b] Patrit.).

Ψυχὴ τοίνυν ἐστὶν ἀίδιος νοητικὴ οὐσία, νόημα ἔχουσα τὸν ἑαυτῆς λόγον, συννοοῦσα δὲ διάνοιαν τῆς ἁρμονίας ἐπισπᾶται. Ἀπαλλαγεῖσα δὲ τοῦ φυσικοῦ σώματος, αὐτὴ καθ' αὑτὴν μένει, αὐτὴ ἑαυτῆς οὖσα ἐν τῷ νοητῷ κόσμῳ.
[810] *Ἄρχει δὲ τοῦ ἑαυτῆς λόγου, φέρουσα ὁμοίαν κίνησιν [ἐν] τῷ ἑαυτῆς νοήματι ὀνόματι ζωὴν τῷ εἰς ζωὴν ἐρχομένῳ. Τοῦτο γὰρ ἴδιον ψυχῆς, τὸ παρέχειν ἑτέροις ὅμοιον τῇ ἰδιότητι αὐτῆς. Δύο τοίνυν εἰσὶ ζωαὶ καὶ δύο κινήσεις. Μία μὲν ἡ κατ' οὐσίαν, ἑτέρα δὲ ἡ κατὰ φύσιν σώματος. Καὶ ἡ μὲν γενικωτέρα, ⟨ἡ δὲ μερικωτέρα⟩. Καὶ ἡ κατ' οὐσίαν ἐστὶν αὐτεξούσιος· ἡ δὲ ἀναγκαστική· πᾶν γὰρ τὸ κινούμενον τῇ τοῦ κινοῦντος ἀνάγκῃ ὑποτέτακται. Ἡ δὲ κινοῦσα κίνησις τῷ τῆς νοητικῆς οὐσίας ἔρωτι ᾠκείωται. Εἴη γὰρ ἂν ψυχὴ ἀσώματος ἀμέτοχος οὐσία τοῦ φυσικοῦ σώματος. Εἰ γὰρ ἔχει σῶμα, οὔτε λόγον ἔχει οὔτε νόησιν. Πᾶν γὰρ σῶμα ἀνόητον· μεταλαβὸν δὲ οὐσίας τὸ εἶναι ζῷον ἔμπνουν ἔσχε. Καὶ τὸ μὲν πνεῦμα τοῦ σώματος, ὁ δὲ λόγος τῆς οὐσίας τοῦ καλοῦ θεωρητικός ἐστι. Τὸ δὲ αἰσθητικὸν πνεῦμα τῶν φαινομένων κριτικόν ἐστι. Διήρηται δὲ εἰς τὰς ὀργανικὰς αἰσθήσεις καὶ ἔστι τι μέρος αὐτοῦ πνευματικὴ ὅρασις καὶ πνεῦμα ἀκουστικὸν καὶ ὀσφρητικὸν καὶ γευστικὸν καὶ ἁπτικόν. Τοῦτο τὸ πνεῦμα ἀνάλογον γενόμενον διανοίας κρίνει τὸ αἰσθητικόν, εἰ δὲ μή, φαντάζεται μόνον. Τοῦ γὰρ σώματός ἐστι καὶ δεκτικὸν πάντων. Ὁ δὲ λόγος τῆς οὐσίας ἐστὶ τὸ φρονοῦν.*

---

4 lemma in textu P, F mrg habet ‖ **5** *οὐσία* P[2], *οὖσα* FP[1] ‖ **6** *συνοῦσα* P ‖ **8** *αὐτῆ* (ante *ἑαυτῆς*) F ‖ **9** *ἐν* om. P: seclusi ‖ **10** *ὀνόματι ζωὴν* secluserim ‖ **14** *ἡ δὲ μερικωτέρα* om. FP: add. Patr. | ante *κατ'* add. Meineke *μὲν* ‖ **18** *ἀσώματος* deleverim | *οὖσα* Usener ‖ **20** *δὲ* om. P ‖ **22** *καθόλου* corr. in *καλοῦ* P ‖ **27** *ἀνάλογον γενόμενον* P, *ἀνάγον γενόμενον* F: *ἀναγόμενον ὑπὸ* Heeren

Συνυπάρχει δὲ τῷ λόγῳ ἡ τῶν τιμίων γνῶσις, τῷ δὲ πνεύματι ἡ δόξα. Τὸ μὲν γὰρ ἀπὸ τοῦ περιέχοντος κό- [812]
σμου τὴν ἐνέργειαν ἔχει, ἡ δὲ ἀφ' ἑαυτῆς.

⟨Περὶ μερῶν τῆς ψυχῆς.⟩

7[a] ⟨Aetii (IV 4 p. 389 sq. Diels.).⟩

. . . . . .

Ἀπολλοφάνης ⟨ἐξ ἐννέα μερῶν φησι τὴν ψυχὴν συνεστάναι⟩.

Περὶ κινήσεως καὶ ἀφθαρσίας ψυχῆς.

7[b] ⟨Aetii (IV 3, 2 p. 392, 11 Diels.).⟩

Ἀριστοτέλης ἀκίνητον τὴν ψυχήν, πάσης κινήσεως προηγουμένην, τῆς δὲ κατὰ συμβεβηκὸς μετέχειν, καθάπερ τὰ σχήματα καὶ τὰ πέρατα καὶ καθάπαξ τὰ παρὰ τοῖς σώμασιν εἴδη.

7[c] ⟨Aetii (IV 3, 1 p. 392, 9 Diels.) et Platonis.⟩

Πλάτων ἄφθαρτον καὶ ἀεικίνητον.

Λέγει γοῦν ἐν Φαίδωνι (p. 69[E]—70[B])·

Εἰπόντος δή τοῦ Σωκράτους ταῦτα ὑπολαβὼν ὁ Κέβης ἔφη· Ὦ Σώκρατες, τὰ μὲν ἄλλα ἔμοιγε δοκεῖ λέγεσθαι καλῶς, τὰ δὲ περὶ τῆς ψυχῆς πολλὴν ἀπιστίαν παρέχει τοῖς ἀνθρώποις, μὴ ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος οὐδαμοῦ ἔτι ⟨ᾖ⟩, ἀλλ' ἐκείνῃ τῇ ἡμέρᾳ διαφθείρηταί τε καὶ ἀπολ- p. 95 C.

4—8 ex philosophorum indice apud Photium p. 114[a] 25 Elter, de cod. Stob. Phot. p. 40 probavit in hoc capite (eiusque hoc fere loco) intercidisse memoriam Apollophanis, cuius de animae partibus opinionem Tertullianus de anima c. 14 ex Aetio cum aliis multis iteravit; quod si verum est — atque veri sane mihi quoque videtur simillimum — necessario cogitur etiam alia quaedam ex eodem Aetii capite *περὶ μερῶν τῆς ψυχῆς* hausta hic periisse, qualia leguntur apud Plutarch. plac. IV 4; eis accessit fortasse *Αἰγιμίου* mentio, quem hic fere notat pinacographus apud Photium l. s. ‖ **11** lemma *ἀριστοτέλους* add. P ‖ **13** *καὶ* ante *καθάπαξ* om. P ‖ **13. 14** *περὶ τοῖς σώμασιν* FP: *παρὰ τοῖς σώμασιν* (sive *περὶ τὰ σώματα*) Diels, *ἐπὶ τοῖς σώμασιν* Meineke ‖ **16** *πλάτωνος* add. P mrg ‖ **19. 20** *καλῶς λέγεσθαι* Plat. ‖ **21. 22** *οὐδαμοῦ ἔτι ᾖ* (*ᾖ D*) Plat., *οὐδαμοῦ ἐστι* FP ‖ **22.** p. **326, 1** *διαφθείρηταί τε καὶ ἀπολλύηται* (*ἀπόλλυται B*) Plat., *διαφθείρεταί τε καὶ ἀπόλλυται* FP

λύηται, ᾗ ἂν ὁ ἄνθρωπος ἀποθάνῃ, εὐθὺς ἀπαλλαττομένη τοῦ σώματος καὶ ἐκβαίνουσα ὥσπερ πνεῦμα ἢ καπνὸς διασκεδασθεῖσα οἴχηται διαπτομένη καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ. Ἐπεὶ εἴπερ εἴη που αὐτὴ καθ' αὑτὴν συνηθροισμένη καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν ⟨ὧν⟩ νῦν σὺ διῆλθες, 5 *πολλὴ ἂν εἴη ἐλπὶς καὶ καλή, ὦ Σώκρατες, ὡς ἀληθῆ ἐστιν ἃ σὺ λέγεις· ἀλλὰ τοῦτο δὴ ἴσως οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως, ὡς ἔστι τε ἡ ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνησιν. — Ἀληθῆ, ἔφη, λέγεις, ὁ Σωκράτης, ὦ Κέβης· ἀλλὰ τί δὴ* 10 *ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθολογῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν εἴτε μή; — Ἐγὼ γοῦν, ἔφη ὁ Κέβης, ἡδέως ἂν ἀκούσαιμ' ἥντινα δόξαν ἔχεις περὶ αὐτῶν.*

8 *Ἐν ταὐτῷ* (p. 70^{C}—71^{A}; 71^{C}—72^{A}).

Παλαιὸς μὲν οὖν ἔστι τις λόγος οὗτος, οὗ μεμνή- 15 *μεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ, καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων· καὶ εἰ τοῦθ' οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι ἢ εἶεν ἂν ἡμῶν αἱ ψυχαὶ ἐκεῖ; Οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο μὴ οὖσαι· καὶ τοῦτο ἱκανὸν* 20 *τεκμήριον τοῦ ταῦτ' εἶναι, εἰ τῷ ὄντι φανερὸν γένοιτο, ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων· εἰ δὲ μὴ ἔστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου. — Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. — Μὴ τοίνυν κατ' ἀνθρώπων, ἦ δ' ὅς, σκόπει μόνον τοῦτο, εἰ βούλει* 25 *ῥᾷον μαθεῖν, ἀλλὰ καὶ κατὰ ζῴων πάντων καὶ φυτῶν καὶ*

---

1 *ἀποθνήσκῃ* Plat. ‖ **3** *οἴχηται – ᾗ* (4) seclusit Schanz | *οἴχηται* Plat., *οἴχεται* FP | *διαπτομένη* Plat., *διιπταμένη* FP ‖ **5** *ὧν* Plat., *ἃ* P^{2}: om. FP^{1} | *σὺ νῦν* Plat. | ante *διῆλθες* add. *δὴ* Plat. *b*, *ἂν* Plat. *CD* ‖ **6** *πολλὴ* P^{2} et Plat., *πολὺν* FP | *ἐλπὶς εἴη* Plat. ‖ **10** *ἔφη λέγεις* etiam FP ‖ **11** *βούλῃ* P ‖ **12** *ἔγωγε οὖν* Plat. ‖ **12. 13** *ὦ Κέβης* P ‖ **13** *ἀκούσαιμι, ἥντινα* Plat., *ἀκουσαίμην τίνα* F, *ἀκούσαιμι τίνα* P ‖ **15** *οὗτος* om. Plat. praeter *E* et mrg *B*; habet etiam Olympiodor. ‖ **19** *ἢ εἶεν ἂν* Plat., *ἦ, ἐὰν* FP | *αἱ ψυχαὶ ἡμῶν* Plat. praeter *E* ‖ **21** *γίγνοιτο* Plat. ‖ **23** *ἄν του* Plat., *ἀρχύτου* FP ‖ **24** *ὦ Κέβης* P ‖ **25** *ἦ δ' ὅς σκόπει* Plat., *εἶδος σκόπει* P, *εἶδος κόπει* F

ξυλλήβδην ὅσαπερ ἔχει γένεσιν περὶ πάντων ἴδωμεν, ἆρα οὕτωσὶ γίγνεται ἅπαντα οὐκ ἄλλοθεν ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ καλὸν τῷ αἰσχρῷ ἐναντίον που καὶ δίκαιον ἀδίκῳ, καὶ ἄλλα δὴ μύρια οὕτως ἔχει. Τοῦτο οὖν σκεψώμεθα, ἆρα ἀναγκαῖον, ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου. οἷον ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρότερον ἔπειτα μεῖζον γίγνεσθαι; — Ναί. — Οὐκοῦν κἂν ἔλαττον γίγνηται ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται; — Ἔστιν, ἔφη, οὕτω. — Καὶ μὴν ἐξ ἰσχυροτέρου γε τὸ ἀσθενέστερον καὶ ἐκ βραδυτέρου τὸ θᾶττον; — Πάνυ γε. — Τί δέ; ἄν τι χεῖρον γίγνηται, οὐκ ἐξ ἀμείνονος, καὶ ἐὰν δικαιότερον, οὐκ ἐξ ἀδικωτέρου; — Πῶς γὰρ οὔ; — Ἱκανῶς οὖν, ἔφη, ἔχομεν τοῦτο, ὅτι πάντα οὕτω γίγνεται, ἐξ ἐναντίων τὰ ἐναντία πράγματα; — Πάνυ γε. — ..... Τί οὖν; ἔφη, τῷ ζῆν ἔστι τι ἐναντίον, ὥσπερ τῷ ἐγρηγορέναι τὸ καθεύδειν; — Πάνυ μὲν οὖν, ἔφη. — Τί; — Τὸ τεθνάναι, ἔφη. — Οὐκοῦν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα, εἴπερ ἐναντία ἐστί, καὶ αἱ γενέσεις εἰσὶν αὐτοῖν μεταξὺ δύο δυοῖν ὄντων; — Πῶς γὰρ οὔ; — Τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν ὧν νῦν δὴ ἔλεγον ἐγώ σοι, ἔφη, ἐρῶ, ὁ Σωκράτης, καὶ αὐτὴν καὶ τὰς γενέσεις· σὺ δέ μοι τὴν ἑτέραν. Λέγω δὲ τὸ μὲν καθεύδειν, τὸ δὲ ἐγρηγορέναι, καὶ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεσθαι καὶ ἐκ τοῦ ἐγρηγορέναι τὸ καθεύδειν καὶ τὰς γενέσεις αὐτῶν τὴν μὲν

---

1 ὅσαπερ ἔχει P² Plat., ὅσα περιέχει FP¹ et Plat. *C* | εἰδῶμεν Plat. ‖ **2** πάντα Plat. praeter *E* ‖ **3** τοι P ‖ **4** δίκαιον δικαίῳ P ‖ **5** ἔχει Plat., ἔχε FP: ἔσχε Canter ‖ **7** τοῦ αὐτῷ Plat., τῷ αὐτοῦ F, τοῦ αὐτοῦ P ‖ **9** post μεῖζον add. τι Canter, | ναί om. P ‖ **11** ἔστιν οὕτω, ἔφη Plat. praeter *E* | ἐξισχυρότερόν F | γε om. Plat. praeter *E*, habet Olymp. ‖ **12** ἐκ ante βραδυτέρου om. P ‖ **13** καὶ ἂν Plat. praeter *E* ‖ **14** οὐκ post δικαιότερον om. Plat. praeter *E* | ἀδικώτερον P ‖ **17** τῷ ζῆν F Plat., τὸ ζῆν P Plat. *C* ‖ **17. 18** τῷ ἐγρηγορέναι Plat., τὸ ἐγρηγορέναι FP ‖ **21** ὄντοιν Plat. praeter *C* ‖ **22** ἑτέρας F | νῦν διέλεγον P ‖ **25** καὶ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι om. Plat. praeter *Ed* mrg | τὸ ἐγρηγορέναι (post καθεύδειν) Plat. *Ed* mrg, τοῦ ἐγρηγορέναι FP ‖ **26** αὐτοῖν Plat.

καταδαρθάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι. Ἱκανῶς σοι ἔφην ἢ οὔ; — Πάνυ μὲν οὖν. — Λέγε δὴ καὶ σύ μοι, ἔφη, οὕτω περὶ ζωῆς καὶ θανάτου. Οὐκ ἐναντίον μὲν
p. 96 C. φῂς τῷ ζῆν τὸ τεθνάναι εἶναι; — Ἔγωγε. — Γίγνεσθαι δὲ ἐξ ἀλλήλων; — Ναί. — Ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον; — Τὸ τεθνηκός, ἔφη. — ⟨Τί δέ, ἦ δ' ὅς, ἐκ τοῦ τεθνεῶτος; — Ἀναγκαῖον, ἔφη, ὁμολογεῖν,⟩ ὅτι τὸ ζῶν. — Ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται; — Φαίνεται, ἔφη. — Εἰσὶν ἄρα, ἔφη, αἱ ψυχαὶ ἡμῶν ἐν Ἅιδου. — Ἔοικεν. — Οὐκοῦν καὶ τοῖν γενεσέοιν τοῖν περὶ ταῦτα ἥ γ' ἑτέρα σαφὴς οὖσα τυγχάνει; τὸ γὰρ ἀποθνήσκειν σαφὲς δήπου, ἢ οὔ; — Πάνυ μὲν οὖν ,ἔφη. — Πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν; ⟨οὐκ ἀνταποδώσομεν⟩ τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τιῦ ἀποθνήσκειν ἐναντίαν γένεσιν; — Πάντως που, ἔφη. — Τίνα ταύτην; — Τὸ ἀναβιώσκεσθαι. — Οὐκοῦν, ἦ δ' ὅς, εἴπερ ἔστι τὸ ἀναβιώσκεσθαι, ἐκ τῶν τεθνεώτων ⟨ἂν εἴη γένεσις εἰς τοὺς ζῶντας αὕτη, τὸ ἀναβιώσκεσθαι; — Πάνυ γε. — Ὁμολογεῖται ἄρα ἡμῖν καὶ ταύτῃ τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων⟩ γεγονέναι οὐδὲν ἧττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων· τούτου δὲ ὄντος, ἱκανόν που ἐδόκει τεκμήριον εἶναι, ὅτι ἀναγκαῖον τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι. — Δοκεῖ μοι, ἔφη, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν.

9 Ἐν ταὐτῷ (p. 78^{B-C}; 79^{A}—80^{D}).

Ἆρ' οὖν τῷ συντεθέντι τε καὶ συνθέτῳ ὄντι φύσει προσήκει τοῦτο πάσχειν, διαιρεθῆναι ταύτῃ ἥπερ συνε-

---

1. 2 σοι, ἔφη, ἢ Plat. ‖ 2 δή μοι καὶ σύ Plat. praeter *E* et *b* ‖ 6 τί δὲ – ὁμολογεῖν (7) om. FP: add. Plat. ‖ 7 ζῶν Plat., ζῆν FP ‖ 8 ὦ Κέβης Plat., ὁ Κέβης FP ‖ 9 ἄρα εἰσὶν Plat. praeter *E* ‖ 11 γενεσέοιν Plat. *BCD*, γενέσεοιν Plat. *Eb*, γενέοιν FP ‖ 13. 14 οὐκ ἀνταποδώσομεν om. FP, add. Plat. ‖ 15 ἀποδοῦναι P^{2} Plat., ὑποδοῦναι FP^{1} | post ἐναντίαν add. τινὰ Plat. ‖ 18 ἂν εἴη – τῶν τεθνεώτων (20) om. FP, add. Plat. ‖ 23 δεῖ Plat. *E*, corr. P ‖ 26 lemma F in textu, P mrg habet ‖ 27 τῷ μὲν Plat.

τέθη· εἰ δέ τι τυγχάνει ὂν ἀσύνθετον, τούτῳ μόνῳ προσήκει μὴ πάσχειν ταῦτα, εἴπερ τῳ ἄλλῳ; — Δοκεῖ μοι, ἔφη, οὕτως ἔχειν, ὁ Κέβης. — Οὐκοῦν ἅπερ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχει, ταῦτα μάλιστα εἰκὸς εἶναι τὰ ἀσύνθετα, τὰ δὲ ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ⟨ταὐτά⟩, ταῦτα ⟨δὲ⟩ σύνθετα; — Ἔμοιγε δοκεῖ οὕτως. . . . . Θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων, τὸ μὲν ὁρατόν, τὸ δὲ ἀειδές; — Θῶμεν, ἔφη. — Καὶ τὸ μὲν ἀειδὲς κατὰ ταὐτὰ ἔχον, τὸ δὲ ὁρατὸν μηδέποτε κατὰ ταὐτά; — Καὶ τοῦτο, ἔφη, θῶμεν. — Φέρε δή, ἦ δ' ὅς, ἄλλο τι ἡμῶν αὐτῶν, ἢ τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; — Οὐδὲν ἄλλο, ἔφη. — Ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαμὲν ἂν εἶναι καὶ ξυγγενέστερον τὸ σῶμα; — Παντί, ἔφη, τοῦτό γε δῆλον ὅτι τῷ ὁρατῷ. — Τί δὲ ἡ ψυχή; ὁρατὸν ἢ ἀειδές; — Οὐχ ὑπ' ἀνθρώπων γε, ἔφη, ὦ Σώκρατες. — Ἀλλὰ μὴν ἡμεῖς γε τὰ ὁρατὰ καὶ τὰ μὴ τῇ τῶν ἀνθρώπων φύσει ἐλέγομεν· ἢ ἄλλῃ τινὶ οἴῃ; — Τῇ τῶν ἀνθρώπων. — Τί οὖν περὶ ψυχῆς λέγομεν; ὁρατὸν ἢ ἀόρατον εἶναι; — Οὐχ ὁρατόν. — Ἀειδὲς ἄρα; — Ναί. — Ὁμοιότερον ἄρα ψυχὴ σώματός ἐστι τῷ ἀειδεῖ, τὸ δὲ τῷ ὁρατῷ; — Πᾶσα ἀνάγκη, ὦ Σώκρατες. — Οὐκοῦν καὶ τόδε πάλαι ἐλέγομεν, ὅτι ἡ ψυχή, ὅταν μὲν τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι ἢ διὰ τοῦ ὁρᾶν ἢ διὰ τοῦ ἀκούειν ἢ δι' ἄλλης τινὸς αἰσθήσεως (τοῦτο γάρ ἐστι τὸ διὰ τοῦ σώματος, τὸ δι' αἰσθήσεως σκοπεῖν τι), τότε

---

1. 2 προσήκει τοῦτο πάσχειν· ταῦτα P ‖ **2** εἴπερ Plat. (ἥπερ *B*), ἥπερ FP ‖ **3** ἔφη ante ὁ *Κέβης* transp. P ‖ **4** ταὐτὰ (ante καὶ) Plat., ταῦτα FP ‖ **5** ταὐτὰ ante ταῦτα (6) om. FP, add. Plat. ‖ **6** δὲ om. FP, add. Plat. ‖ **8** post ἀειδὲς add. ἀεὶ Plat. ‖ **9** et **10** ταὐτὰ Plat., ταῦτα FP ‖ **10** post τοῦτο add. δὴ Canter ‖ **11** ἄλλο τι Plat., ἄλλ' ὅτι FP | ἢ om. Plat. praeter *c* et *b* mrg ‖ **13** φαῖμεν Plat. praeter *E* (et Theodoret.) ‖ **14** δηλονότι FP ‖ **15. 16** ὦ Σώκρατες, ἔφη Plat. ‖ **16** μὴν om. Plat. praeter *E* (et Theodor. Euseb.) ‖ **17** λέγομεν Plat. praeter *E* (et Theodor.) | οἴει Plat. ‖ **18** ἐλέγομεν Plat. *Ebd* ‖ **18. 19** ἢ ἀόρατον om. P ‖ **20** ἄρα Plat., ἆρα FP Plat. *d* | τὸ δὲ P² Plat., τόδε FP¹ ‖ **21** ὁρατῷ F² Plat., ὁρατὸν et spat. 4 litt. P, ὁρᾶ et spat. 5 litt. F¹ ‖ **22** λέγομεν Theodor. ‖ **25** τὸ δι'] τοῦτο δι' P¹ | αἰσθήσεων Plat. praeter *Eb* | τότε Plat. *Ebcd*, τὸ FP Plat. *BCD*

μὲν ἕλκεται ὑπὸ τοῦ σώματος εἰς τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐτὴ πλανᾶται καὶ ταράττεται καὶ ἰλιγγιᾷ ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη; — Πάνυ γε. — Ὅταν δέ γε αὐτὴ καθ' αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡσαύτως ἔχον, καὶ συγγενὴς αὐτοῦ οὖσα ἀεὶ μετ' ἐκείνου τε γίγνεται, ὅταπερ αὐτὴ καθ' αὑτὴν γένηται καὶ ἐξῇ αὐτῇ, p. 97 C. καὶ πέπαυταί τε τοῦ πλάνου καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη· καὶ τοῦτο αὐτῆς τὸ πάθημα φρόνησις κέκληται; — Παντάπασιν, ἔφη, καλῶς καὶ ἀληθῆ λέγεις, ὦ Σώκρατες. — Ποτέρῳ οὖν αὖ σοι δοκεῖ τῷ εἴδει καὶ ἐκ τῶν πρόσθεν καὶ ἐκ τῶν νῦν λεγομένων ψυχὴ ὁμοιότερον εἶναι καὶ ξυγγενέστερον; — Πᾶς ἂν ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, συγχωρῆσαι, ὦ Σώκρατες, ἐκ ταύτης τῆς μεθόδου καὶ ὁ δυσμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον ἢ τῷ μή. — Τί δὲ τὸ σῶμα; — Τῷ ἑτέρῳ. — Ὅρα δὲ καὶ τῇδε· ὅτι ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ ἄρχειν καὶ δεσπόζειν· καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι, ἢ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν ἄρχεσθαί τε καὶ δουλεύειν; — Ἔοικε. — Ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικε; — Δῆλα δή, ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ. — Σκόπει δή, ἔφη, ὦ Κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων τάδε ἡμῖν ξυμβαίνει, τῷ μὲν θείῳ καὶ ἀθανάτῳ καὶ νοητῷ καὶ μονο-

---

1 ταυτὰ Plat., ταῦτα FP ‖ 2 αὐτὴ Plat., αὖτη FP ‖ 6 ante συγγενὴς add. ὡς Plat. | αὐτοῦ οὖσα P, αὐτῇ οὖσα F, οὖσα αὐτοῦ Plat. | τε om. P et Plat. *b* ‖ 9 ταυτὰ Plat., ταῦτα FP | ante ὡσαύτως add. καὶ Plat. (et cod. Aug.) ‖ 12 ἔμπροσθεν Plat. praeter *Eb* ‖ 14 πᾶς ἂν Plat., πᾶσα FP | ἔμοιγε FP Plat. *Ebd*, μοι Plat. cet. ‖ 17 τὸ μὴ P ‖ 18 ὅρα δὴ Plat. ‖ 22 καὶ πότερον Plat. ‖ 24 ἔοικε (ante ποτέρῳ) FP, ἔμοιγε Plat. ‖ 25 ἔοικεν P | δῆλα δή Plat. *E*, δηλαδὴ F Plat. cet., om. P ‖ 26 δή F Plat., δέ P ‖ 27. 28 ξυμβαίνει ἡμῖν P

εἰδεῖ καὶ ἀδιαλύτῳ, ἀεὶ ὡσαύτως κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι ψυχή, τῷ δὲ ἀνθρωπίνῳ καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότερον αὖ εἶναι σῶμα. Ἔχομέν τι παρὰ ταῦτα λέγειν ἄλλο, ὦ φίλε Κέβης, ὡς οὐχ οὕτως ἔχει; — Οὐκ ἔχομεν. — Τί οὖν οὕτως ἐχόντων τούτων ἆρ' οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι προσήκει, ψυχῇ δὲ αὖ τὸ παράπαν ἀδιαλύτῳ εἶναι ἢ ἐγγύς τι τούτου; — Πῶς γὰρ οὔ; — Ἐννοεῖς οὖν, ἔφη, ὅτι ἐπειδὰν ἀποθάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ σῶμα καὶ ἐν ὁρατῷ κείμενον, ὃ δὴ νεκρὸν καλοῦμεν, ὃ προσήκει διαλύεσθαι καὶ διαπίπτειν καὶ διαπνεῖσθαι, οὐκ εὐθὺς τούτων οὐδὲν πέπονθεν, ἀλλ' ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον· ἐὰν μέν τις καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ καὶ ἐν τοιαύτῃ ὥρᾳ, καὶ πάνυ μάλα. Συμπεσὸν γὰρ τὸ σῶμα καὶ ταριχευθέν, ὥσπερ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον ὅσον χρόνον· ἔνια δὲ μέρη τοῦ σώματος, καὶ ἐὰν σαπῇ, ὀστᾶ τε καὶ νεῦρα καὶ τὰ τοιαῦτα πάντα ὁμοίως, ὡς ἔπος εἰπεῖν, ἀθάνατά ἐστιν· ἢ οὔ; — Ναί. — Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς [τὸ] τοιοῦτον τόπον ἕτερον οἰχόμενον γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ ἰτέον, αὕτη δὲ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυ-

---

1 καὶ ἀδιαλύτῳ usque ad οὐχ οὕτως ἁρμονία (p. 335, 21) om. sine lacunae significatione P (et Cant.) | ante ἀεὶ add. καὶ Plat. | ταὐτὰ Plat., ταῦτα F ‖ **2** ὁμοιότατον Plat., ὁμοιότερον F ‖ **2. 3** καὶ πολυειδεῖ καὶ ἀνοήτῳ Plat. praeter *E* (et Euseb.) ‖ **3** διαλυτῷ Plat. pler., ἀδιαλύτῳ F, εὐδιαλύτῳ Plat. *D*, * διαλύτῳ Plat. *C* ‖ **4** ταὐτὰ Plat., ταῦτα F ‖ **5** ἄλλο λέγειν Plat. | ὡς F Plat. *E* Euseb., ᾗ (sive ᾗ sive ᾖ) Plat. cet.: ᾗ Schanz ‖ **6** τούτων οὕτως ἐχόντων Plat. ‖ **7** ψυχῇ Plat. *E*, ψυχὴ F Plat. *CD* | αὖ τὸ Plat., αὐτὸ F et Plat. *C* ‖ **9** ὅτι om. Plat. praeter *Ebcd* (et Euseb.) | ἀποθάνοι Plat. *BD* ‖ **10** ante σῶμα add. τὸ Plat. praeter *E* ‖ **11** ὃ (ante προσήκει) F, ᾧ Plat. ‖ **12** καὶ διαπνεῖσθαι om. Plat. praeter *Ebcd* (et Euseb.) ‖ **13** μέν Plat., γὰρ F ‖ **14** καὶ χαριέντως Plat., κεχαριέντως F ‖ **15** ὥρᾳ F et Plat. *E* et corr. *b*, ἡμέρᾳ Plat. *CD* ‖ **18** ἂν Plat. praeter *E* ‖ **19** ὅμως Plat.: ὅλως Vermehren ‖ **20** τὸ (post εἰς) F, om. Plat. ‖ **21** ἕτερον Plat., ἑτέρας F ‖ **23** οἷ Plat., οἳ F ‖ **24** post δὲ add. δὴ Plat.

κυῖα ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὡς φασιν οἱ πολλοὶ ἄνθρωποι; Πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης καὶ Σιμμία.

10 *Πλάτωνος ἐκ τοῦ Κρατύλου* (p. 399[D]).

Οἶμαι τοιοῦτόν τι νοεῖν τοὺς τὴν ψυχὴν ὀνομάσαντας, ὡς τοῦτο ἄρα, ὅταν παρῇ τῷ σώματι, αἴτιόν ἐστι τοῦ ζῆν αὐτῷ, τὴν τοῦ ἀναπνεῖν δύναμιν παρέχον καὶ ἀναψῦχον, ἅμα δὲ ἐκλείποντος τοῦ ἀναψύχοντος τὸ σῶμα ἀπόλλυται καὶ τελευτᾷ· ὅθεν δή μοι δοκοῦσιν ψυχὴν αὐτὸ καλέσαι.

11 *Πλάτωνος ἐκ τοῦ Φαίδρου* (p. 245[C]—246[A]).

Ψυχὴ πᾶσα ἀθάνατος. Τὸ γὰρ ἀεικίνητον ἀθάνατον· τὸ δ' ἄλλο κινοῦν καὶ ὑπὸ ἄλλου κινούμενον παῦλαν ἔχον ζωῆς παῦλαν ἔχει κινήσεως. Μόνον δὴ τὸ αὐτὸ κινοῦν, ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, οὔποτε λήγει κινούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὅσα κινεῖται, τοῦτο γὰρ πηγὴ καὶ ἀρχὴ κινήσεως. Ἀρχὴ δὲ ἀγένητον· ἐξ ἀρχῆς γὰρ ἀνάγκη πᾶν τὸ γιγνόμενον γίγνεσθαι, αὐτὴν δὲ μηδ' ἐξ ἑνός. Εἰ γὰρ ἔκ του ἀρχὴ γίγνοιτο, οὐκ ἂν ἐξ ἀρχῆς γίγνοιτο. Ἐπεὶ δὲ ἀγένητόν ἐστι, καὶ ἄφθορον αὐτὸ εἶναι ἀνάγκη. Ἀρχῆς γὰρ δὴ ἀπολομένης οὔτε αὐτή ποτε ἔκ του οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται, εἴπερ ἐξ ἀρχῆς δεῖ τὰ πάντα γίγνεσθαι. Οὕτω δὴ κινήσεως μὲν ἀρχὴ τὸ αὐτὸ αὑτὸ κινοῦν· τοῦτο δ' οὖν οὔτ' ἀπόλλυσθαι οὔτε γίγνεσθαι δυνατόν, ἢ πάντα τε οὐρανὸν πᾶσάν τε γένεσιν συμπεσοῦσαν στῆναι καὶ μήποτε αὖθις ἔχειν ὅθεν κινηθέντα γενήσεται. Ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινουμένου, ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτον αὐτόν τις λέγων οὐχ

---

3 post *Κέβης* add. Plat. *τε* ‖ **4** *κρατύλλου* F ‖ **5** *οἶμαί τι τοιοῦτον* Plat. ‖ **6** *ἄρα* Plat., *ἆρα* F ‖ **9** ante *καὶ* add. *τε* Plat. | *αὐτὸ ψυχὴν* Plat. ‖ **10** lemma F mrg habet ‖ **12. 13** *παῦλαν ἔχον κινήσεως παῦλαν ἔχει ζωῆς* Plat. ‖ **13** *αὐτὸ* Plat., *αὐτὸ* F ‖ **15** *γὰρ* (post *τοῦτο*) om. Plat. ‖ **18** *ἀρχὴ* Plat., *ἀρχὴν* F | *ἐξ ἀρχῆς* (post *ἄν*) F, Plat. cet., *ἀρχὴ* Plat.Vindob. 4 ‖ **18. 19** *ἐπειδὴ δὲ* Plat. ‖ **19** *ἀδιάφθορον* Plat. | *αὐτὸ ἀνάγκη εἶναι* Plat. ‖ **22** *αὐτὸ αὐτὸ* Plat., *αὐτὸ αὐτὸ* F ‖ **23** *οὖν* om. Plat. ‖ **24. 25** *στῆναι* Plat., *συστῆναι* F ‖ **25** post *ἔχειν* Plat. vulg. iterat *στῆναι*

αἰσχυνεῖται. Πᾶν γὰρ σῶμα, ᾧ μὲν ἔξωθεν τὸ κινεῖσθαι, ἄψυχον· ᾧ δὲ ἔνδοθεν αὐτὸ ἐξ αὑτοῦ, ἔμψυχον, ὡς ταύτης οὔσης φύσεως ψυχῆς. Εἰ δ' ἐστὶ τοῦτο οὕτως, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ αὑτὸ κινοῦν ἢ ψυχήν, ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη. Περὶ μὲν οὖν ἀθανασίας αὐτῆς ἱκανῶς. Περὶ δὲ τῆς ἰδέας αὐτῆς ὧδε λεκτέον· οἷον μέν ἐστι, πάντῃ πάντως θείας εἶναι καὶ μακρᾶς διηγήσεως, ᾧ δὲ ἔοικεν, ἀνθρωπίνης τε καὶ ἐλάττονος. Ταύτῃ οὖν λέγωμεν. Ἐοικέτω δὴ ξυμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου.

12 *Ἡροδότου ἱστορία β'* (c. 123).

Πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοί εἰσι οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατόν ἐστι· τοῦ δὲ σώματος καταφθίνοντος ἐς ἄλλο ζῷον αἰεὶ γινόμενον ἐσδύεται· ἐπὰν δὲ πάντα περιέλθῃ τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ πετεινά, αὖτις ἐς ἀνθρώπου σῶμα γενόμενον ἐσδύνειν· τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι. τούτῳ τῷ λόγῳ εἰσὶ οἱ Ἑλλήνων ἐχρήσαντο οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον.

13 *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 91^{E}—95^{A}).

Πότερον οὖν, ἔφη, πάντας τοὺς ἔμπροσθεν λόγους οὐκ ἀποδέχεσθε, ἢ τοὺς μέν, τοὺς δ' οὔ; — Τοὺς μέν, ἐφάτην, τοὺς δ' οὔ. — Τί οὖν, ἦ δ' ὅς, περὶ ἐκείνου τοῦ λόγου λέγετε, ἐν ᾧ ἔφαμεν τὴν μάθησιν ἀνάμνησιν εἶναι, καὶ τούτου οὕτως ἔχοντος ἀναγκαίως ἔχειν ἄλλό τι πρότερον ἡμῶν εἶναι τὴν ψυχήν, πρὶν ἐν τῷ σώματι ἐντε-

---

1 *αἰσχυνεῖται* Plat., *αἰσχύνηται* F ‖ **2** *αὐτῷ* (ante *ἐξ*) Plat. | *αὑτοῦ* Plat., *αὐτοῦ* F ‖ **3** post *οὕτως* add. Plat. *ἔχον* ‖ **4** *αὐτὸ αὐτὸ* F, *αὐτὸ ἑαυτὸ* Plat. ‖ **8** *ᾧ δὲ* Plat., *ὧδε* F ‖ **9** *λέγωμεν* Plat., *λέγομεν* F | *δὴ* etiam F ‖ **12** *εἰσιν* F ‖ **13** *ἀθάνατος* Her. ‖ **13. 14** *τοῦ σώματος δὲ* Her. ‖ **14** *εἰς* F ‖ **15** *ἐπεὰν* Her. ‖ **16** *αὖτις* Her., *αὖθις* F | *γινόμενον* Her. ‖ **17** *ἐσδύνειν* F et Her. *Rz*, *ἐσδύνει* Her. cet. | *περιήλυσιν* Her., *περίκλυσιν* F ‖ **18** *εἰσὶν* F ‖ **20** lemma F mrg habet ‖ **21** *ἔμπροσθε* Plat. *BE* ‖ **23** *φάτην* Plat. praeter *Ebd* ‖ **25** *ἄλλοθι* Plat. *c*, *ἄλλοθί που* Plat. *Eb* ‖ **26.** p. **334. 1** *ἐνδεθῆναι* Plat.

ϑῆναι; — Ἐγὼ μέν, ἔφη ὁ Κέβης, καὶ τότε ϑαυμαστῶς ἐπείσϑην ὑπ' αὐτοῦ καὶ νῦν ἐμμένω ὡς οὐδενὶ λόγῳ. — Καὶ μήν, ἔφη ὁ Σιμμίας, καὶ αὐτὸς οὕτως ἔχω, καὶ πάνυ γε ἂν ϑαυμάσαιμι, εἴ μοι περί γε τούτου ἄλλα ποτὲ ἔτι δόξειεν. — Καὶ ὁ Σωκράτης· Ἀλλ' ἀνάγκη σοι, ἔφη, ὦ ξένε Θηβαῖε, ἄλλο δόξαι, ἅπερ μείνῃ ἥδε ἡ οἴησις, τὸ ἁρμονίαν μὲν εἶναι σύνϑετον πρᾶγμα, ψυχὴν δὲ ἁρμονίαν τινὰ ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων συγκεῖσϑαι. Οὐ γάρ που ἀποδέξῃ γε σαυτοῦ λέγοντος, ὡς πρότερον ἦν ἁρμονία ξυγκειμένη, πρὶν ἐκεῖνο εἶναι ἐξ ὧν ἔδει αὐτὴν συντεϑῆναι· ἢ ἀποδέξῃ; — Οὐδαμοῦ, ἔφη, ὦ Σώκρατες. — Αἰσϑάνῃ οὖν, ἦ δ' ὅς, ὅτι ταὐτά σοι ξυμβαίνει λέγειν, ὅταν φῇς μὲν εἶναι τὴν ψυχὴν πρὶν καὶ εἰς ἀνϑρώπου εἶδος καὶ σῶμα ἀφικέσϑαι, εἶναι δ' αὐτὴν συγκειμένην ἐκ τῶν οὐδέπω ὄντων; οὐ γὰρ δὴ ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν ᾧ ἀπεικάζεις· ἀλλὰ πρότερον καὶ ἡ λύρα καὶ αἱ χορδαὶ καὶ οἱ φϑόγγοι ἔτι ἀνάρμοστοι ὄντες γίγνονται, τελευταῖον δὲ πάντων ξυνίσταται ἡ ἁρμονία καὶ πρῶτον ἀπόλλυται. Οὗτος οὖν σοι ὁ λόγος ἐκείνῳ τῷ λόγῳ πῶς ξυναινέσεται; — Οὐδαμῶς, ἔφη ὁ Σιμμίας. — Καὶ μήν, ἦ δ' ὅς, πρέπει γε, εἴπερ τῳ ἄλλῳ λόγῳ ξυνῳδῷ εἶναι καὶ τῷ περὶ ἁρμονίας. — Πρέπει γάρ, ἔφη ὁ Σιμμίας. — Οὗτος τοίνυν, ἔφη, σοὶ οὐ ξυνῳδός, ἀλλ' ὅρα· πότερον αἱρεῖ τῶν λόγων, τὴν μάϑησιν ἀνάμνησιν εἶναι, ἢ ψυχὴν ἁρμονίαν; — Πολὺ μᾶλλον ἐκεῖνον, ἔφη, ὦ Σώκρατες. Ὅδε μὲν γάρ μοι γέγονεν ἄνευ ἀποδείξεως μετὰ εἰκότος τινὸς καὶ εὐπρεπείας· ὅϑεν καὶ τοῖς πολλοῖς δοκεῖ ἀνϑρώποις· ἐγὼ δὲ τοῖς διὰ τῶν

---

1 ὁ *Κέβης* Plat., ὦ *Κέβης* F | post *ϑαυμαστῶς* add. *ὡς* Plat. ‖ **4** *γε* om. Plat. | *ϑαυμάζοιμι* Plat. | *εἴ μοι* Plat., *ἐμοὶ* F | *ἄλλα* (sive *ἄλλο*) Plat., *ἀλλὰ* F | *ἔτι* om. Plat. praeter *e* ‖ **6** *ἄλλο* F, *ἄλλα* Plat. | *δοξάσαι* Plat. | *ἑάνπερ* Plat. ‖ **9** *ἀποδέξει* Plat. *B* | *σαυτοῦ* F Plat. *Bd*, *αὐτοῦ* Plat. *CD*, *αὑτοῦ* Plat. *e* ‖ **10** *ἐκεῖνα* Plat. ‖ **11** *ἀποδέξει* Plat. *B* | *οὐδαμῶς* Plat. ‖ **12** *αἰσϑάνει* Plat. *B* ‖ **14** post *εἶδος* add. *τε* vel *γε* Plat. ‖ **16** ᾧ F Plat. *be*, ὡ Plat. *E*, ὃ Plat. *BCD* ‖ **17** *ἀνάρμοστοι* Plat., *ἀράρμοστοι* F ‖ **20** *ξυναινέσεται* F, *ξυνέσεται* Plat. *BCDE*, *ξυνάσεται* Plat. *bcde* ‖ **23** *ἔφη οἷον* Plat. *BCD* ‖ **26** *ἔφη ἐκεῖνον* Plat. *Eb*, *ἔφη ἐκεῖνο* vel *ἐκεῖνο ἔφη* Plat. cet.

εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσι, καὶ ἄν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλα ἐξαπατῶσι καὶ ἐν γεωμετρίᾳ καὶ τοῖς ἄλλοις πᾶσιν. Ὁ δὲ περὶ τῆς ἀναμνήσεως καὶ μαθήσεως λόγος δι' ὑποθέσεως ἀξίας ἀποδέξασθαι εἴρηται. Ἐρρήθη γάρ που οὕτως ἡμῶν εἶναι ἡ ψυχὴ καὶ πρὶν ἢ εἰς σῶμα ἀφικέσθαι, ὥσπερ αὐτῆς ἐστιν ἡ οὐσία ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν. Ἐγὼ δὲ ταύτην, ὡς ἐμαυτὸν πείθω, ἱκανῶς τε καὶ ὀρθῶς ἀποδέδειγμαι. Ἀνάγκη οὖν μοι, ὡς ἔοικε, διὰ ταῦτα μήτε ὡς ἐμαυτοῦ μήτε ὡς ἄλλου ἀποδέχεσθαι λέγοντος ὡς ψυχή ἐστιν ἁρμονία. — Τί δέ, ἦ δ' ὅς, ὦ Σιμμία, τῇδε; δοκεῖ σοι ἁρμονίᾳ ἢ ἄλλῃ τινι συνθέσει προσήκειν, ἄλλως πως ἔχειν ἢ ὡς ἂν ἐκεῖνα ἔχῃ ἐξ ὧν ἄν συγκέηται; — Οὐδαμῶς. — Οὐδὲ μὴν ποιεῖν τι, ὡς ἐγῷμαι, οὐδέ τι πάσχειν ἄλλο παρ' ὃ ἂν ἐκεῖνα ἢ ποιῇ ἢ πάσχῃ. — Συνέφη. — Οὐκ ἄρα ἡγεῖσθαί γε προσήκει ἁρμονίαν τούτων ἐξ ὧν ἂν συντεθῇ, ἀλλὰ ἕπεσθαι. — Συνεδόκει. — Πολλοῦ ἄρα δεῖ ἐναντία γε ἁρμονία κινηθῆναι ἂν ἢ φθέγξασθαι ἤ τι ἄλλο ἐναντιωθῆναι τοῖς αὐτῆς μέρεσι. — Πολλοῦ μέντοι, ἔφη. — Τί δὲ; οὐχ οὕτως ἁρμονία πέφυκεν εἶναι ἑκάστη ἁρμονία, ὡς ἂν ἁρμοσθῇ; — Οὐ μανθάνω, ἔφη. — Ἢ οὐχί, ἦ δ' ὅς, ἐὰν μὲν μᾶλλον ἁρμοσθῇ καὶ ἐπὶ πλέον, εἴπερ ἐνδέχεται τοῦτο γίγνεσθαι, μᾶλλόν τε ἂν ἁρμονία εἴη καὶ πλείων· εἰ δ' ἧττόν τε καὶ ἐπὶ ἔλαττον, ἧττόν τε καὶ ἐλάττων; — Πάνυ γε. — Ἦ οὖν ἔστι τοῦτο περὶ ψυχήν, ὥστε κατὰ τὸ σμικρότατον

---

2 *φυλάττοιται* F ‖ **3** ante *τοῖς* add. *ἐν* Plat. | *ἅπασιν* Plat. ‖ **4** *ὑποθέσεως* Plat., *ὑποδέσεως* F: *ὑποδείξεως* Gaisford (ex Aug.?) ‖ **6** *ἤ* om. Plat. ‖ **7** *ὥσπερ* Plat., *οὕτως* F | *αὐτὴ* Mudgius ‖ **8** *ὃ* Plat., *ὃ* F ‖ **9** *ἀποδέδειγμαι* Plat. ‖ **10** *μήτε ἐμαυτοῦ μήτε ἄλλου* Plat. ‖ **12** *τῇδε* Plat., *τί δὲ;* F | *ἁρμονίᾳ* F ‖ **13** *ἔχειν* Plat., *ἔχει* F ‖ **15** *παρ' ἃ* Plat. *BEd* ‖ **16** *ἄρα* Plat., *ἆρα* F ‖ **17** *ἁρμονίαν* Plat., *ἁρμονία* F et Plat. *b* | *συντεθῇ* Plat., *συνετέθη* F ‖ **19** *ἄν* om. Plat. ‖ **20** *αὐτῆς* Plat. *de*, *αὐτῆς* F Plat. cet. | *μέντοι* Plat., *μέντι* F ‖ **21** inde a *πέφυκεν* pergit P ‖ **22** *ἢ οὐχὶ* FP, Plat. *CD*, *ἦ οὐχὶ* Plat. *BEc*: *οὐχὶ* Heindorf | *ἂν* Plat. ‖ **24** *πλεῖον* F ‖ **25** *ἧττόν τε* (post *ἐπὶ ἔλαττον*) Plat. *d*, *ἥττων τε* FP Plat. *BCDE* ‖ **26** *ἦ* Plat. *d* et mrg *b*, *εἰ* FP Plat. *BCD* | ante *κατὰ* add. *καὶ* Plat.

μᾶλλον ἑτέραν ἑτέρας ψυχὴν ἐπὶ πλέον καὶ μᾶλλον ἢ ἐπὶ ἔλαττον καὶ ἧττον αὐτὸ τοῦτ' εἶναι, ψυχήν; — Οὐδ' ὁπωστιοῦν, ἔφη. — Φέρε δή, ἔφη, πρὸς Διός· λέγεται ψυχὴ ἣ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἣ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή; καὶ ταῦτα ἀληθῶς λέγεται; — Ἀληθῶς μέντοι. — Τῶν οὖν τιθεμένων ψυχὴν ἁρμονίαν εἶναι τί τις φήσει ταῦτα ὄντα εἶναι ἐν ταῖς ψυχαῖς, τήν τε ἀρετὴν καὶ τὴν κακίαν; Πότερα ἁρμονίαν αὖ τιν' ἄλλην καὶ ἀναρμοστίαν; καὶ τὴν μὲν ἡρμόσθαι, τὴν ἀγαθήν, καὶ ἔχειν ἐν αὑτῇ τῇ ἁρμονίᾳ οὖσῃ ἄλλην ἁρμονίαν, τὴν δὲ ἀνάρμοστον αὐτήν τε εἶναι καὶ οὐκ ἔχειν ἐν αὑτῇ ἄλλην; — Οὐκ ἔχω ἔγωγε, φησὶν ὁ Σιμμίας, εἰπεῖν· δῆλον δὲ ὅτι τοιαῦτ' ἄττ' ἂν λέγοι ὁ ἐκεῖνο ὑποθέμενος. — Ἀλλὰ προωμολόγηται, ἔφη, μηδὲν μᾶλλον μηδ' ἧττον ἑτέραν ἑτέρας ψυχὴν ψυχῆς εἶναι. Τοῦτο δ' ἐστὶ τὸ ὁμολόγημα, μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον μηδὲ ἧττον, μηδ' ἐπὶ ἔλαττον ἑτέραν ἑτέρας ἁρμονίαν ἁρμονίας εἶναι; ἦ γάρ; — Πάνυ γε. — Τὴν δέ γε μηδὲν μᾶλλον μηδὲ ἧττον ἁρμονίαν οὖσαν μηδὲ μᾶλλον μηδὲ ἧττον ἡρμόσθαι· ἔστιν οὕτως; — Ἔστιν. — Ἡ δὲ μήτε μᾶλλον μήτε ἧττον ἡρμοσμένη ἔστιν ὅτι πλέον ἢ ἔλαττον ἁρμονίας μετέχει, ἢ τὸ ἴσον; — Τὸ ἴσον. — Οὐκοῦν ψυχὴ οὐδὲν μᾶλλον οὐδὲ ἧττον ἄλλη ἄλλης αὐτὸ τοῦτο ψυχή ἐστιν, οὐδὲ δὴ μᾶλλον οὐδὲ ἧττον ἥρμοσται; — Οὕτω. — Τοῦτο δέ γε πεπονθυῖα οὐδὲν πλέον ἀναρμοστίας οὐδὲ ἁρμονίας
p. 98 C. ⟨μετέχοι⟩ ἄν. — Οὐ γὰρ οἷόν. — Τοῦτο δ' αὖ πεπονθυῖα

---

1 ψυχῆς Plat. ‖ 2 τοῦτ'] τ (supra τ rasura) P ‖ 4 ἔχειν καὶ ἀρετὴν etiam FP | ἀγαθὴν P ‖ 5 κακήν P² ‖ 6 θεμένων Plat. praeter *Ebd* ‖ 7 φήσει P² Plat., φύσει FP¹ ‖ 8 πότερον Plat. ‖ 10 αὐτῇ Plat. *BDe*, αὐτῇ FP Plat. *CE* | τῇ om. Plat. ‖ 11 τὴν δὲ Plat., τήν τε FP ‖ 12 αὐτῇ Plat. *Be*, αὐτῇ FP Plat. *CDE* | ἔγωγ' ἔφη Plat. ‖ 13 λέγοι ὁ P Plat. *BDE*, λέγοιο F Plat. *C* ‖ 14 προσωμολόγηται F ‖ 17 ἁρμονίαν om. P ‖ 18. 19 μήτε μᾶλλον μήτε ἧττον Stallbaum ‖ 20 ἢ Plat. *ce*, εἰ FP et Plat. *BCDE* ‖ 21 μὴ δὲ F ‖ 22 τὸ ἴσον alterum om. P | post ψυχὴ add. ἐπειδὴ Plat. | οὐδὲν etiam FP ‖ 26 μετέχοι om. FP, add. Plat. | δ' αὖ F Plat., δ' ἂν P

ἆρ᾽ ἄν τι πλέον κακίας ἢ ἀρετῆς μετέχοι ἑτέρα ἑτέρας, εἴπερ ἡ μὲν κακία ἀναρμοστία, ἡ δὲ ἀρετὴ ἁρμονία εἴη; — Οὐδὲν πλέον. — Μᾶλλον δέ γέ που, ὦ Σιμμία, κατὰ τὸν ὀρθὸν λόγον κακίας οὐδεμία ψυχὴ μεθέξει, εἴπερ ἁρμονία ἐστίν· ἁρμονία γὰρ δήπου παντελῶς αὐτὸ τοῦτο οὖσα, ἁρμονία, ἀναρμοστίας οὔποτ᾽ ἂν μετάσχοι. — Οὐ μέντοι. — Οὐδέ γε δήπου ψυχή, οὖσα παντελῶς ψυχή, κακίας. — Πῶς γὰρ ἔκ γε τῶν προειρημένων; — Ἐκ τούτου ἄρα τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάντων ζῴων ὁμοίως ἀγαθαὶ ἔσονται, εἴπερ ὁμοίως ψυχαὶ πεφύκασιν αὐτὸ τοῦτο εἶναι, ψυχαί. — Ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες. — Ἦ καὶ καλῶς δοκεῖ, ἦ δ᾽ ὅς, οὕτω λέγεσθαι καὶ πάσχειν ἂν ταῦτα ὁ λόγος, εἰ ὀρθὴ ἡ ὑπόθεσις ἦν, τὸ ψυχὴν ἁρμονίαν εἶναι. — Οὐδ᾽ ὁπωστιοῦν, ἔφη. — Τί δέ; ἦ δ᾽ ὅς· τῶν ἐν ἀνθρώπῳ πάντων ἔσθ᾽ ὅ τι ἄλλο λέγεις ἄρχειν ἢ ψυχήν, ἄλλως τε καὶ φρόνιμον; — Οὐκ ἔγωγε. — Πότερον συγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα παθήμασιν, ἢ καὶ ἐναντιουμένην; λέγω δὲ τὸ τοιόνδε· οἷον καύματος ἐνόντος καὶ δίψους ἐπὶ τοὐναντίον ἕλκειν, τὸ μὴ πίνειν, καὶ πείνης ἐνούσης ἐπὶ τὸ μὴ ἐσθίειν, καὶ ἄλλα που μυρία ἐροῦμεν ἐναντιουμένην τὴν ψυχὴν τοῖς κατὰ τὸ σῶμα· ἢ οὔ; — Πάνυ μὲν οὖν. — Οὐκοῦν αὖ ὡμολογήσαμεν ἐν τοῖς πρόσθεν μήποτε ταύτην, ἁρμονίαν γε οὖσαν, ἐναντία ᾄδειν οἷς ἐπιτείνοιτο καὶ χαλῷτο καὶ ψάλλοιτο καὶ ἄλλο ὁτιοῦν πάθος πάσχοι ἐκεῖνα ἐξ ὧν τυγχάνει οὖσα, ἀλλ᾽ ἕπεσθαι ἐκείνοις καὶ οὔποτ᾽ ἂν ἡγεμονεύειν; — Ὡμολογήσαμεν, ἔφη· πῶς γὰρ οὔ; — Τί οὖν νῦν; οὐ πᾶν

---

1 *μετέχει* P ‖ **2** *ἀναρμοστία* P² Plat., *ἀναρμοστίας* FP¹ ‖ **6** *ἁρμονία* om. P ‖ **8** *γε* Plat., *τε* FP ‖ **9** *ἆρα* P ‖ **11** *τοῦτο τὸ* Plat. praeter *E* | *ψυχαὶ εἶναι* Plat. ‖ **13** *ἂν* om. Plat. | *ἡ* om. Plat. praeter *e* ‖ **15** *ἀνθρώπων* P ‖ **16** *ἄρχειν* P² Plat., *ἀρχὴν* FP¹ ‖ **17** *πότερον* P² Plat., *πρότερον* FP¹ | *πάθεσιν* Plat. ‖ **18** *ἢ καὶ* om. Plat. praeter *Ebcd* | post *ἐναντιουμένην* add. Plat. *παθήμασι* vel *τοῖς παθήμασι* | *οἷον* FP, *γρ. οἷον* supra versum add. Plat. *E*, *ὡσεὶ* vel *ὡς εἰ* Plat. cet. ‖ **20.** **21** *μυρία που* Plat. praeter *C* ‖ **21** *ἐροῦμεν* FP, *ὁρῶμεν* Plat. ‖ **23** *ἔμπροσθεν* Plat. *Eb* | *μήποτ᾽ ἂν αὐτὴν* Plat. *E*, in mrg *b* | *γε* Plat., *τε* FP ‖ **24** *πάλλοιτο* Plat. ‖ **25** *πάσχει* P ‖ **27** *τί οὖν; νῦν* Plat.

τοὐναντίον φαίνεται ἡμῖν ἐργαζομένη, ἡγεμονεύουσά τε ἐκείνων πάντων, ἐξ ὧν φησί τις αὐτὴν εἶναι, καὶ ἐναντιουμένη ὀλίγου πάντα διὰ παντὸς τοῦ βίου καὶ δεσπόζουσα πάντας τρόπους, τὰ μὲν χαλεπώτερον κολάζουσα καὶ μετ' ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν καὶ τὴν ἰατρικήν, τὰ δὲ πραότερον, καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα, ταῖς ἐπιθυμίαις καὶ ὀργαῖς καὶ φόβοις ὡς ἄλλῃ οὖσα ἄλλῳ πράγματι διαλεγομένη; οἷόν που καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ πεποίηκεν, οὗ λέγει τὸν Ὀδυσσέα (υ 17. 18)·

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δή, κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

Ἆρ' οἴει αὐτὸν ταῦτα ποιῆσαι διανοούμενον ὡς ἁρμονίας αὐτῆς οὔσης καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος παθημάτων, ἀλλ' οὐχ οἵας ἄγειν τε ταῦτα καὶ δεσπόζειν, καὶ οὔσης αὐτῆς πολὺ θειοτέρου τινὸς ἢ καθ' ἁρμονίαν; — Νὴ Δία, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ. — Οὐκ ἄρα, ὦ ἄριστε, ἡμῖν οὐδαμῇ καλῶς ἔχει ψυχὴν ἁρμονίαν τινὰ φάναι εἶναι· οὔτε γὰρ ἂν, ὡς ἔοικεν, Ὁμήρῳ θειῳ ποιητῇ ὁμολογοῖμεν οὔτε αὐτοὶ ἡμῖν αὐτοῖς. — Ἔχει οὕτως, ἔφη. — Εἶεν δή, ἦ δ' ὃς ὁ Σωκράτης, τὰ μὲν Ἁρμονίας ἡμῖν τῆς Θηβαικῆς ἵλεά πως, ὡς ἔοικε, μετρίως γέγονε· τί δὲ δὴ τὰ Κάδμου, ἔφη, ὦ Κέβης, πῶς ἱλασόμεθα καὶ τίνι λόγῳ; — Σύ μοι δοκεῖς, ἔφη ὁ Κέβης, ἐξευρήσειν.

14 (10 H.) Ἐν ταὐτῷ (p. 95[E]—96[C]).

Ὁ οὖν Σωκράτης συχνὸν χρόνον ἐπισχὼν καὶ πρὸς αὐτόν τι σκεψάμενος, Οὐ φαῦλον πρᾶγμα, ἔφη, ὦ Κέβης, ζητεῖς· ὅλως γὰρ δεῖ περὶ γενέσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι. Ἐγὼ οὖν σοι δίειμι περὶ αὐτῶν,

---

1 ἡμῖν φαίνεται Plat. ‖ **2. 3** ἐναντιουμένην Plat. *BCD* ‖ **6** νοὐθετοῦσα F ‖ **8** ἄλλο πράγματι F ‖ **9** λέγειν P[2] ‖ **13. 14** παθῶν Plat. (παθημάτων γρ. *E*, in mrg add. *b*) ‖ **14** ταῦτα Plat., ταύτας FP ‖ **15** post τινὸς add. πράγματος Plat. ‖ **18** εἶναι om. P ‖ **19** ὁμολογοῖμεν Plat., ὁμολογοῦμεν FP | ἔχειν Plat. praeter *d* ‖ **20** εἶεν Plat., ἓν FP | δὴ F Plat., δὲ P | ὁ Σωκράτης Plat., ὦ Σώκρατες FP ‖ **21** ἵλεά F ‖ **24** lemma FP mrg habent ‖ **26** ἑαυτὸν Plat., αὐτὸν FP ‖ **27** δεῖ etiam FP ‖ **28** σοι om. P

ἂν βούλῃ, τά γ' ἐμὰ πάθη· ἔπειτα ἐάν τί σοι χρήσιμον p. 99 C.
φαίνηται ὧν ἂν λέγω, πρὸς τὴν πειθὼ περὶ ὧν λέγεις
χρήσῃ. — Ἀλλὰ μήν, ἔφη ὁ Κέβης, βούλομαί γε. — Ἄκουε
τοίνυν ὡς ἐροῦντος. Ἐγὼ γάρ, ἔφη, ὦ Κέβης, νέος ὢν
θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ
καλοῦσι περὶ φύσεως ἱστορίαν· ὑπερήφανον γάρ μοι ἐδό-
κει εἶναι εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκα-
στον καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστι· καὶ πολλάκις
ἄνω κάτω μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε· ἆρ'
ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ,
ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῷα συστρέφεται· καὶ πό-
τερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ ἢ τὸ πῦρ,
ἢ τούτων μὲν οὐδέν, ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθή-
σεις παρέχων τοῦ ἀκούειν καὶ τοῦ ὁρᾶν καὶ ὀσφραίνεσθαι,
ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ
δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταὐτὰ γίγνεσθαι ἐπι-
στήμην· καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν καὶ τὰ περὶ
τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυ-
τῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν
χρῆμα.

15 (11 H.) *Πλάτωνος* (Phaed. p. 99^{B}—100^{A}). [814]

Τὸ γὰρ μὴ διελέσθαι οἷόν τε εἶναι ὅτι ἄλλο μέν τί
ἐστι τὸ αἴτιον τῷ ὄντι, ἄλλο δὲ ἐκεῖνο ἄνευ οὗ τὸ αἴτιον
οὐκ ἄν ποτ' εἴη αἴτιον· ὃ δή μοι φαίνονται ψηλαφῶντες
οἱ πολλοὶ ὥσπερ ἐν σκότει, ἀλλοτρίῳ ὀνόματι προσχρώ-
μενοι, ὡς αἴτιον αὐτὸ προσαγορεύειν. Διὸ δὴ καὶ ὁ μέν
τις δίνην περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ μένειν δὴ
ποιεῖ τὴν γῆν, ὁ δὲ ὥσπερ καρδόπῳ πλατείᾳ βάθρον τὸν

---

1 ἐὰν Plat. | βούλῃ Plat. cet., βούλει FP Plat. *C* | ἄν Plat. ‖ **2** λέγεις FP Plat. *E*, ἂν λέγῃς Plat. cet. ‖ **6** ὑπερήφανον FP Euseb. Cyrill. Theodor., ὑπερήφανος Plat. ‖ **7** εἶναι εἰδέναι Plat., εἰδέναι εἶναι FP ‖ **9** ante ἄνω add. ἐμαυτὸν Plat. | πρῶτον om. Plat. *BCD* (habet etiam Euseb. Cyrill.) ‖ **10** τὸ ante ψυχρὸν om. Plat. *BD* ‖ **14** τοῦ ante ὁρᾶν om. Plat. ‖ **16** ταὐτὰ Heindorf ‖ **18** τε om. Plat. praeter *Eb* ‖ **21** lemma F in textu, P mrg habet ‖ **23** ἄλλοι F ‖ **24** εἴη αἴτιον Plat., εἶναί τι ὂν FP^{1}, εἶν' αἴτιον P^{2} ‖ **25** ὄμματι Plat. praeter *E* corr. ‖ **28** ποιεῖ P^{2} Plat., ποιεῖν FP^{1}

ἀέρα ὑπερείδει· τὴν δὲ τοῦ ὡς οἷόν τε βέλτιστα αὐτὰ τεθῆναι δύναμιν οὕτω νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν οὔτε τινὰ οἴονται δαιμονίαν ἰσχὺν ἔχειν, ἀλλ' ἡγοῦνται τούτου ἄν ποτε Ἄτλαντα ἰσχυρότερον καὶ ἀθανατώτερον καὶ μᾶλλον ἅπαντα συνέχοντα ἐξευρεῖν καὶ ὡς ἀληθῶς τὸ ἀγαθὸν καὶ δέον συνιδεῖν καὶ συνδέειν οὐδὲν οἴονται. Ἐγὼ μὲν οὖν τῆς τοιαύτης αἰτίας, ὅπῃ ποτὲ ἔχει, μαθητὴς ὁτουοῦν ἥδιστ' ἂν γενοίμην· ἐπειδὴ δὲ ταύτης ἐστερήθην καὶ οὔτ' αὐτὸς εὑρεῖν οὔτε παρ' ἄλλου μαθεῖν οἷός τε ἐγενόμην, τὸν δεύτερον πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν ᾗ πεπραγμάτευμαι, βούλει σοι, ἔφη, ἐπίδειξιν ποιήσομαι, ὦ Κέβης; — Ὑπερφυῶς μὲν οὖν, ἔφη, ὡς βούλομαι. — Ἔδοξε τοίνυν μοι, ἦ δ' ὅς, μετὰ ταῦτα, ἐπειδὴ ἀπείρηκα τὰ ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι, μὴ πάθοιμι ὅπερ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι πάσχουσι· διαφθείρονται γάρ που ἔνιοι τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἢ τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόνα αὐτοῦ. Τοιοῦτόν τι καὶ ἐγὼ διενοήθην καὶ ἔδεισα, μὴ παντάπασι τὴν ψυχὴν τυφλωθείην βλέπων πρὸς τὰ πράγματα τοῖς ὄμμασι καὶ ἑκάστῃ τῶν αἰσθήσεων ἐπιχειρῶν ἅπτεσθαι αὐτῶν. Ἔδοξε δή μοι χρῆναι εἰς τοὺς λόγους καταφυγόντα ἐν ἐκείνοις σκοπεῖν τῶν ὄντων τὴν ἀλήθειαν. Ἴσως μὲν οὖν, ὡς εἰκάζω, τρόπον τινὰ οὐκ ἔοικεν. Οὐ γὰρ πάνυ συγχωρῶ, τὸν ἐν λόγοις σκοπούμενον τὰ ὄντα ἐν εἰκόσι μᾶλλον σκοπεῖν ἢ τὸν ἐν τοῖς ἔργοις· ἀλλ' οὖν δὴ ταύτῃ γε ὥρμησα, καὶ ὑποθέμενος ἑκάστοτε λόγον ὃν ἂν κρίνω ἐρρωμενέστατον εἶναι, ἃ μὲν ἄν μοι δοκῇ τούτῳ συμφωνεῖν, τίθημι ὡς ἀληθῆ ὄντα, καὶ περὶ αἰτίας καὶ

---

1 *βέλτιστον* Plat. praeter *b* | *αὐτὰ* P Plat., *αὐτοῦ* F Plat. *c* ‖ **2** *τεθῆναι* (corr. in *τεθῆναι*) F ‖ **3** *ἔχειν* Plat., *ἔχει* FP ‖ **4** *Ἄτλαντα ἄν ποτε* Plat. praeter *e* ‖ **6** *συνιδεῖν καὶ συνδέειν* FP, *ξυνδεῖν καὶ συνέχειν* Plat. ‖ **11** *βούλῃ* P ‖ **11. 12** *ποιήσομαι* etiam FP, *ποιήσωμαι* Plat. *E* ‖ **14** *ἀπείρηκα* Plat., *ἀπειρήκει* FP^1, *ἀπειρήκειν* P^2 ‖ **16** *πάσχουσι* om. Plat. (add. *bde*) ‖ **21** *δὲ* P ‖ **23** *ὡς* etiam FP, *ᾧ* cod. Aug., Plat. in mrg *b* ‖ **24** *τὸν* F^2 Plat., *τὸ* F^{1}P | *ἐν λόγοις* P, *εὐλόγοις* F, *ἐν τοῖς λόγοις* Plat. ‖ **27** *ἂν κρίνω* P Plat., *ἀνακρίνω* F

περὶ τῶν ἄλλων πάντων· ἃ δ' ἂν μή, ὡς οὐκ ἀληθῆ. Βούλομαι δέ σοι σαφέστερον εἰπεῖν ἃ λέγω· οἶμαι γάρ σε νῦν οὐ μανθάνειν. — Οὐ μὰ τὸν Δί', ἔφη ὁ Κέβης, οὐ σφόδρα.

16 (12 H.) *Ἐν ταὐτῷ* (p. 105[C]—107[A]).

Ἀποκρίνου δή, ἦ δ' ὅς, ᾧ ἂν τί ἐγγένηται σώματι, ζῶν ἔσται; — Ὧι ἂν ψυχή, ἔφη. — Οὐκοῦν ἀεὶ τοῦτο οὕτως ἔχει; — Πῶς γὰρ οὐχί, ἦ δ' ὅς. — Ἡ ψυχὴ ἄρα ὅ τι ἂν αὐτὴ κατάσχῃ, ἀεὶ ἥκει ἐπ' ἐκεῖνο φέρουσα ζωήν; — Ἥκει μέντοι, ἔφη. — Πότερον δ' ἔστι τι ζωῇ ἐναντίον ἢ οὐδέν; — Ἔστιν, ἔφη. — Τί; — Θάνατος. — Οὐκοῦν ψυχὴ τὸ ἐναντίον ᾧ αὐτὴ ἐπιφέρει ἀεὶ οὐ μήποτε δέξηται, ὡς ἐκ τῶν πρόσθεν ὡμολόγηται; — Καὶ μάλα σφόδρα, ἔφη ὁ Κέβης. — Τί οὖν; τὸ μὴ δεχόμενον τὴν τοῦ ἀρτίου ἰδέαν, τί νῦν δὴ ὀνομάζομεν; — Ἀνάρτιον, ἔφη. — Τὸ δὲ δίκαιον μὴ δεχόμενον καὶ ὃ ἂν μουσικὸν μὴ δέχηται; — Ἄμουσον, ἔφη, τὸ δὲ ἄδικον. — Εἶεν· ὃ δ' ἂν θάνατον μὴ δέχηται, τί καλοῦμεν; — Ἀθάνατον, ἔφη. — Οὐκοῦν ψυχὴ οὐ δέχεται θάνατον; — Οὔ. — Ἀθάνατον ἄρα ψυχή; — Ἀθάνατον. — Εἶεν, ἔφη· τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν· ἢ πῶς δοκεῖ; — Καὶ μάλα γε ἱκανῶς, ὦ Σώκρατες. — Τί οὖν, ἦ δ' ὅς, ὦ Κέβης; Εἰ τῷ ἀναρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶναι, ἄλλο τι ἢ τὰ τρία ἀνώλεθρα ἂν ἦν; — Πῶς γὰρ οὔ; — Οὐκοῦν εἰ καὶ τὸ θερμὸν ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε τις ἐπὶ χιόνα θερμὸν ἐπάγει, ὑπεξῄει ἂν ἡ χιὼν μένουσα ἄτηκτος· οὐ γὰρ ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα ἐδέξατ' ἂν τὴν θερμότητα. — Ἀληθῆ, ἔφη, λέγεις. — Ὡσαύτως,

---

1 ἅπάντων Plat. | post πάντων add. ὄντων (τῶν ὄντων *d*) Plat. praeter *e* ‖ **4** οὐ σφόδρα om. P ‖ **6** ὃ ἄν Plat. praeter *Eb* ‖ **7** ὃ Plat. praeter *Eb* ‖ **8** ἆρα F ‖ **10** τι om. vulg. ‖ **15** post δὴ add. ταῦτα Plat. praeter *Eb* | ὠνομάζομεν Plat. ‖ **16** δὲ om. P ‖ **19** ἡ ψυχὴ Plat. ‖ **20** ἆρα F Plat. *B* | ἡ ψυχή Plat. ‖ **22** ὁ Κέβης P ‖ **22. 23** ἐν τῷ F ‖ **23** ἀρτίῳ P Plat. *D* ‖ **23. 24** τι τὰ τρία ἢ Plat. ‖ **25** ἄθερμον Plat. *e* ‖ **26** ἐπάγοι Plat. *C*, ἐπαγάγοι Plat. cet. | χιὼν οὖσα σῶς καὶ ἄτηκτος Plat. | ἄτηκτος Plat., ἄτεκτος FP[1], ἀτεγκτος P[2] ‖ **27** ἐδέξατ' P[2], ἐδέξατο Plat., ἐδέξετ' FP[1] ‖ **28** ὡσαύτως Plat., ὡς δ' αὕτως FP

οἶμαι, κἂν εἰ τὸ ψυχρὸν ἀνώλεθρον ᾖν, ὁπότε ἐπὶ τὸ
p. 100 C. πῦρ ψυχρόν τι ἐπῄει, οὔποτ' ἂν ἀπεσβέννυτο οὐδ' ἀπώλλυτο, ἀλλὰ σῶον ἂν ἀπελθὸν ᾤχετο. — Ἀνάγκη, ἔφη. — Οὐκοῦν καὶ ᾧδε, ἔφη, ἀνάγκη περὶ τοῦ ἀθανάτου ⟨εἰπεῖν⟩; Εἰ μὲν τὸ ἀθάνατον καὶ ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνατος ἐπ' αὐτὴν ἴῃ, ἀπόλλυσθαι· θάνατον μὲν γὰρ δὴ ἐκ τῶν προειρημένων οὐ δέξεται οὐδ' ἔσται τεθνηκυῖα, ὥσπερ τὰ τρία οὐκ ἔσται, ἔφαμεν, ἄρτιον, οὐδὲ γοῦν τὸ περιττόν, οὐδὲ δὴ τὸ πῦρ ψυχρόν, οὐδέ γε ἡ ἐν τῷ πυρὶ θερμότης. Ἀλλὰ τί κωλύει, φαίη ἄν τις, ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι ἐπιόντος τοῦ ἀρτίου, ὥσπερ ὡμολόγηται, ἀπολομένου δ' αὐτοῦ ἀντ' ἐκείνου ἄρτιον γεγονέναι; Τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοιμεν διαμάχεσθαι ὅτι οὐκ ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον οὐκ ἀνώλεθρόν ἐστιν, ἐπεὶ εἰ τοῦτο ὡμολόγητο ἡμῖν, ῥᾳδίως ἂν διεμαχόμεθα ὅτι ἐπελθόντος τοῦ ἀρτίου τὸ περιττὸν καὶ τὰ τρία οἴχεται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ καὶ τῶν ἄλλων οὕτως ἂν διεμαχόμεθα· ἢ οὔ; — Πάνυ μὲν οὖν. — Οὐκοῦν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη πρὸς τῷ ἀθάνατος εἶναι καὶ ἀνώλεθρος· εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου. — Ἀλλ' οὐδὲν δεῖ, ἔφη, τούτου γε ἕνεκα· σχολῇ γὰρ ἄν τι ἄλλο φθορὰν μὴ δέχοιτο, εἴ γε τὸ ἀθάνατον ἀίδιον ὂν φθορὰν δέξεται. — Ὁ δέ γε θεός, οἶμαι, ἔφη ὁ Σωκρά-

---

1 εἰ Plat., ᾗ FP | ψυχρὸν FP, ἄψυκτον Plat.: ἄψυχρον Wyttenbach ‖ **2** ἀπεσβέννυτο Plat., ἀποσβέννυτο F Plat. *D*, ἐπισβέννυτο P ‖ **2. 3** ἀπόλλυτο FP Plat. *D* ‖ **3** σῶν Plat. | ἀπελθὼν F ‖ **4** οὐκοῦν Plat., οὖν FP | ἀθανάτου Plat., θανάτου FP | εἰπεῖν om. FP, add. Plat. ‖ **5** ψυχῇ Plat., ψυχὴ FP ‖ **6** ἀθάνατος F: ὁ θάνατος vulg. | post ἀπόλλυσθαι add. F θάνατον ψυχὴ ὅτ' ἂν ἴῃ ἀπόλλυσθαι ‖ **9** γοῦν FP, γ' αὖ Plat. | τὸ ante πῦρ om. Plat. praeter *e* ‖ **12** ἀπολομένου Plat. *BDE*, ἀπολλομένου F, ἀπολλυμένου P Plat. *d* ‖ **13** ἔχομεν F ‖ **15** ὡμολόγητα Plat., ὡμολογεῖτο FP ‖ **16** τὰ om. sed ead. m. sprscr. P ‖ **17** ἀπιόντα (corr. ex ἀπόντα) P ‖ **19** ἀθανάτου Plat., θανάτου FP ‖ **21** δέῃ F ‖ **22** δεῖ Plat., δὴ FP | σχολῇ Plat. *DE*, σχολὴ FP Plat. *BC* ‖ **23** εἴ γε τὸ Plat. *BCDE*, εἰ τό γε Plat. in mrg *b*, εἰ τό τε FP Plat. *γρ. e*

της, καὶ αὐτὸ τὸ τῆς ζωῆς εἶδος καὶ εἴ τι ἄλλο ἀθάνατόν ἐστι, παρὰ πάντων ἂν ὁμολογηθείη μηδέποτε ἀπόλλυσθαι. — Παρὰ πάντων μέντοι νὴ Δί', ἔφη, ἀνθρώπων τέ γε καὶ ἔτι μᾶλλον, ὡς ἐγῷμαι, παρὰ θεῶν. — Ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιάφθορόν ἐστιν, ἄλλο τι ψυχὴ ἤ, εἰ ἀθάνατος τυγχάνει οὖσα, καὶ ἀνώλεθρος ἂν εἴη; — Πολλὴ ἀνάγκη. — Ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον, τὸ μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ ἀποθνήσκει, τὸ δ' ἀθάνατον σῶον καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ. — Φαίνεται. — Παντὸς μᾶλλον ἄρα, ἔφη, ὦ Κέβης, ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου.

17 (13 H.) *Ἐκ τῶν Πορφυρίου Πρὸς τὰ νοητὰ ἀφορμῶν* (Porphyr. op. p. 60 Holsten.).

Ἡ μὲν ψυχὴ τῆς ἀμερίστου καὶ ⟨τῆς⟩ περὶ τὰ σώματα μεριστῆς οὐσίας μέσον τι· ὁ δὲ νοῦς ἀμέριστος οὐσία μόνον, τὰ δὲ σώματα μεριστὰ μόνον. Αἱ δὲ ποιότητες καὶ τὰ ἔνυλα εἴδη περὶ τὰ σώματα ⟨τὰ⟩ μεριστά.

18 (14 H.) *Ἐν ταὐτῷ* (Porphyr. op. p. 60 Holsten.).

Ψυχὴ καταδεῖται πρὸς σῶμα τῇ ἐπιστροφῇ τῇ πρὸς τὰ πάθη τὰ ἀπ' αὐτοῦ, καὶ λύεται διὰ τῆς ἀπαθείας.

19 (15 H.) *Ἐν ταὐτῷ* (Porphyr. op. p. 66 Holsten.). [S16]

Ἡ ψυχὴ ἔχει μὲν πάντων τοὺς λόγους, ἐνεργεῖ δὲ κατ' αὐτοὺς ἢ ὑπ' ἄλλου εἰς τὴν προχείρισιν ἐκκαλουμένη ἢ ἑαυτὴν εἰς αὐτοὺς ἐπιστρέφουσα εἰς τὸ εἴσω. Καὶ ὑπ' ἄλλου μὲν ἐκκαλουμένη ὡς πρὸς τὰ ἔξω τὰς αἰσθήσεις ⟨εἴσω⟩ ἀποδίδωσιν· εἰς δὲ ἑαυτὴν εἰσιοῦσα πρὸς τὸν νοῦν

---

5 *διάφθορον* P¹ | *ψυχὴ ἤ* Plat., *ἤ ψυχὴ* P, *ἡ ψυχὴ* F ‖ **7** *ἆρα* P ‖ **9** *σῶν* Plat. | *ὑπεχωρῆσαν* P ‖ **10** *ἀθανάτῳ* P ‖ **11** ante *ἔσονται* add. Plat. *ψυχὴ ἀθάνατον καὶ ἀνώλεθρον καὶ τῷ ὄντι* ‖ **14** (*ἡ*) *μὲν* F, *ἡ μὲν γὰρ ἡ* P¹, *ἡ μὲν γὰρ* P² | *τῆς* ante *περὶ τὰ σώματα* addidi ‖ **17** *τὰ* ante *μεριστὰ* addidi ‖ **18** lemma F in textu, P mrg habet ‖ **20** *ὑπ' αὐτοῦ* F, *ὑπ' αὐτὸ* P: *ἀπ' αὐτοῦ* Holsten | post *λύεται* add. *πάλιν* Holsten, post *διὰ τῆς* iterat *ἀπ' αὐτοῦ* ‖ **22** *ἐνεργείαν* (m. 1 corr. in *ἐνεργεῖ*) P ‖ **23** *προχείρησιν* FP et vulgo ‖ **25** *ἐκκαλουμένη* P², *ἐκκαλουμένου* FP: *ἐπικαλουμένη* Holsten ‖ **26** *εἴσω* add. Usener | *εἰσάγειν δίδωσιν* Holsten ‖ **26**—p. **344**, **2** *εἰσδῦσα ὡς ἐν ταῖς νοήσεσι* (om.

ἐν ταῖς νοήσεσι γίγνεται· καὶ οὔτε αἴσθησις ἔξωθεν οὔτε νόησις ⟨εἴσω⟩ ἄλλη ποτέ. Ὡς δὲ τῷ ζῴῳ οὐκ ἄνευ πάθους τῶν αἰσθητικῶν ὀργάνων αἱ αἰσθήσεις, οὕτω καὶ αἱ νοήσεις οὐκ ἄνευ φαντασίας· ἵν' ᾖ τὸ ἀνάλογον, ὡς ὁ τύπος παρακολούθημα ζῴου αἰσθητικοῦ, οὕτως τὸ φάντασμα ψυχῆς
p. 101 C. ζῴου ἑπόμενον νοήσει.

[818] 20 (16 H.) Ἐν ταὐτῷ (Holsten. l. s.).

Ἡ ψυχὴ οὐσία ἀμεγέθης, ἄυλος, ἄφθαρτος, ἐν ζωῇ παρ' ἑαυτῆς ἐχούσῃ τὸ ζῆν κεκτημένη τὸ εἶναι.

21 (17 H.) Ἐν ταὐτῷ (Holsten. l. s.).

Ἄλλο τὸ πάσχειν τῶν σωμάτων, ἄλλο τῶν ἀσωμάτων. Τῶν μὲν γὰρ σωμάτων σὺν τροπῇ τὸ πάσχειν· τῆς δὲ ψυχῆς αἱ οἰκειώσεις καὶ τὰ πάθη ἐνέργειαι, οὐδὲν ἐοικυῖαι θερμάνσεσι καὶ ψύξεσι σωμάτων. Διὸ εἴπερ τὸ πάσχειν πάντως σὺν τροπῇ, ἀπαθῆ ῥητέον παντελῶς τὰ ἀσώματα. Τὰ μὲν γὰρ ὕλης κεχωρισμένα καὶ σωμάτων ἐνεργείαις ἧν τὰ αὐτά· τὰ δ' ὕλῃ πλησιάζοντα καὶ σώμασιν αὐτὰ μὲν ἀπαθῆ, τὰ δὲ ἐφ' ὧν θεωρεῖται πάσχει. Ὅταν γὰρ τὸ ζῷον αἰσθάνηται, ἔοικεν ἡ ψυχὴ μὲν ἁρμονίᾳ χωριστῇ, ἐξ ἑαυτῆς τὰς χορδὰς κινούσῃ ἡρμοσμένας· * * ἁρμονίᾳ
[820] ἀχωρίστῳ· τὸ δὲ αἴτιον τοῦ κινῆσαι τὸ ζῷον διὰ τὸ εἶναι

πρὸς τὸν νοῦν) γίγνεται. οὔτε οὖν αἰσθήσεις ἔξω φαντασίας οὔτε αἱ νοήσεις, εἴπῃ τις· ὡς τῷ ζώῳ Holsten

2 εἴσω add. Usener | ἄλλη FP: ἄλλῃ scripsi | ποτὲ δὲ ὡς FP: ποτέ. Ὡς δὲ scripsi, coll. supra p. 313, 24 aliis Porphyrii locis, quibus v. γίγνεσθαι vel simile omissum; ἔτι δὲ ὡς Heeren; ποτ' ἐγέ⟨νετο⟩. Ὡς Usener ‖ **3** αἱ αἰσθήσεις P, lac. (in qua postea αἱ αἰσθή scr.) σεις F ‖ **4** ἵν ᾖ FP: εἰ μὴ Holsten | ὁ om. vulg. cum Cantero ‖ **5** ζῴου ante αἰσθητικοῦ om. P | οὕτω P | ψυχῆς fort. secludendum ‖ **6** haec non sana; fort. sufficit pro νοήσει scripsisse νοεροῦ vel νοητικοῦ ‖ **7** lemma F in textu, P mrg habet ‖ **8** (ᾗ) ψυχὴ F ‖ **9** ἐχούσῃ in ras. P² (ἐχούσης P¹?) ‖ **10** lemma F in textu, P mrg habet ‖ **12** τὸ μὲν γὰρ τῶν ἀσωμάτων (ἀ m. 1 del.) P | συντροπῇ F ‖ **14** θερμάσεσι P¹ ‖ **15** πάντως FP: τῶν σωμάτων ἀεὶ cum Holstenio vulgo ‖ **16** ἐνεργείαις F, ἐνεργείαι P¹, ἐνεργεία P² ‖ **19** ἡ μὲν ψυχὴ P | ἁρμονία χωριστὴ FP: corr. Canter ‖ **20** κινοῦσα F, κινοῦσιν P: corr. Holsten | post ἡρμοσμένας add. Holsten τῇ δὲ ἐν ταῖς χορδαῖς, post ἁρμονίᾳ ἀχωρίστῳ (21) idem add. τὸ σῶμα; sed

ἔμψυχον ἀνάλογον τῷ μουσικῷ διὰ τὸ εἶναι ἐναρμόνιον· τὰ δὲ πληγέντα σώματα διὰ πάθος αἰσθητικὸν ταῖς ἡρμοσμέναις χορδαῖς. καὶ γὰρ ἐκεῖ οὐδ' ἡ ἁρμονία πέπονθεν ἡ χωριστή, ἀλλ' ἡ χορδή· καὶ κινεῖ μὲν ὁ μουσικὸς κατὰ τὴν ἐν αὐτῷ ἁρμονίαν, οὐ μὴν ἐκινήθη ἂν ἡ χορδὴ μουσικῶς, εἰ καὶ ὁ μουσικὸς ἐβούλετο, μὴ τῆς ἁρμονίας τοῦτο λεγούσης.

22 (18 H.) Ἐν ταὐτῷ (Porphyr. op. p. 71 Holsten.).

Ἧς οὐσίας ἐν ζωῇ τὸ εἶναι καὶ ἧς τὰ πάθη ζωή, ταύτης καὶ ὁ θάνατος ἐν ποιᾷ ζωῇ κεῖται, οὐκ ἐν ζωῆς καθάπαξ στερήσει, ὅτι μηδὲ τὸ παθεῖν ἦν ὁδὸς εἰς τὴν παντελῆ ἀζωίαν ἐπ' αὐτῆς.

23 (19 H.) Ἐν ταὐτῷ (Porphyr. op. p. 95 Holsten.).

Οὐ διὰ τὸ πλῆθος τῶν σωμάτων δεῖ νομίζειν πλῆθος τῶν ψυχῶν γενέσθαι, πρὸ δὲ τῶν σωμάτων εἶναι καὶ [822] πολλὰς καὶ μίαν, οὔτε τῆς μιᾶς ὅλης κωλυούσης τὰς πολλὰς ἐν ἑαυτῇ εἶναι οὔτε τῶν πολλῶν τὴν μίαν εἰς αὐτὰς μεριζουσῶν. Διέστησαν γὰρ οὐκ ἀποκοπεῖσαι οὐδ' ἀποκερματίσασαι εἰς αὐτὰς τὴν ὅλην, καὶ πάρεισιν ἀλλήλαις οὐ συγκεχυμέναι οὐδὲ σωρὸν ποιοῦσαι τὴν ὅλην. Οὔτε γὰρ πέρασίν εἰσι διειλημμέναι οὔτε πάλιν ἀλλήλαις συγκεχυμέναι, ὥσπερ οὐδὲ ἐπιστῆμαι συνεχύθησαν αἱ

---

haec sent. p. 345, 2. 3 iterum et rectius expressa, itaque ante ἁρμονίᾳ ἀχωρίστῳ cum Cantero lacunam statui, qua maior pars alterius coli interciderit talis fere (ut Usener vidit): αὐτὴ δ' ἡ αἴσθησις

1 post ἀνάλογον add. Holsten δὲ ‖ **2** πάθους P ‖ **3** οὔθ' FP: οὐδ' Meineke ‖ **5** αὐτῷ FP: corr. Meineke ‖ **6. 7** fort. τούτῳ ἐνούσης ‖ **7** λεγούσης FP: θελούσης Meineke, κελευούσης Usener ‖ **9** ˇς F^1 (litt. in. pro rubr. om.), τῆς F^2, (τ)ῆς P: ἧς scripsi cum Aug. | post οὐσίας add. ἧς Holsten | ζῶα F, θῶα P: ζωή Usener, ζωαί Holsten; cf. supra p. 344, 13 ‖ **10. 11** ζωῇ καθάπερ FP: ζωῆς καθάπαξ Holsten ‖ **11. 12** ὅτι μηδὲ πάθος ἦ ὁδός ἐστι πάντη πρὸς τὸ μὴ ζῆν, ἡ ἀζωία ἢ ἐν αὐτῇ Holsten ‖ **11** μηδὲ] cf. infra p. 350, 4 | τὸ πάθος FP: τὸ παθεῖν scripsi coll. Porph. p. 69, 21 et 70, 13. 14 H.; ⟨διὰ⟩ τοῦ πάθους Usener ‖ **12** τελῆ P ‖ **13** lemma F et P mrg habent ‖ **14** (ο)ὐ F | post νομίζειν add. τὸ Holsten ‖ **16** μιᾶς καὶ ὅλης Holsten ‖ **17** αὐτὰς F, ἀστὰς P: αὐτὰς scripsi ‖ **19** εἰς αὐτὰς FP: correxi cum Holstenio | πάρησιν P^1

πολλαὶ ἐν ψυχῇ μιᾷ καὶ πάλιν οὐκ ἔγκεινται ὡς τὰ σώματα τῇ ψυχῇ ἑτερουσίως, ἀλλὰ τῆς ψυχῆς ποιαὶ ἦσαν ἐνέργειαι.

Ἀπειροδύναμος ἡ τῆς ψυχῆς φύσις καὶ καθ' ἕκαστον τὸ τυχὸν αὐτῆς * * ψυχή, καὶ πᾶσαι μία, καὶ πάλιν ἡ ὅλη ἄλλη παρὰ πάσας. Ὡς γὰρ τὰ σώματα ἐπ' ἄπειρον τεμνόμενα οὐ καταλήγει εἰς ἀσώματα, κατ' ὄγκον λαμβανόντων τῶν τμημάτων τὴν διαφοράν, οὕτως ψυχή, οὖσα ζωτικόν, ἐπ' ἄπειρον κατὰ τὰ εἴδη διείληπται, παραλλαγὰς ἔχουσα εἰδικάς, καὶ ἡ ὅλη σὺν ταύταις οὖσα
[824] καὶ ἄνευ τούτων. Ἡ γὰρ ἐπ' αὐτῆς οἷον τομὴ ἑτερότης ἐστὶ μενούσης τῆς ταὐτότητος. Εἰ δ' ἐπὶ τῶν σωμάτων, ἐφ' ὧν ἡ ἑτερότης ἐκράτει μᾶλλον τῆς ταὐτότητος, οὐδὲν ἐπεισελθὸν ἀσώματον διέκοψε τὴν ἕνωσιν, μένει δὲ πάντα ἡνωμένα μὲν κατὰ τὴν οὐσίαν, ταῖς δὲ ποιότησι καὶ τοῖς ἄλλοις εἴδεσι διειλημμένα, τί χρὴ ὑπονοεῖν ἐπὶ τῆς εἰδικῆς ἀσωμάτου ζωῆς, ἐφ' ἧς ἡ ταὐτότης μᾶλλον κεκράτηκε τῆς ἑτερότητος, καὶ οὐδὲν ὑπόκειται ἀλλοῖον παρὰ τὸ εἶδος, ἀφ' ἧς καὶ τοῖς σώμασιν ἡ ἑνότης, οὐδὲ σῶμα συμπεσὸν ἀποκόπτει τὴν ἕνωσιν, καίπερ πρὸς τὰς ἐνεργείας ἐν πολλοῖς ἐμποδίζον; Αὐτὴ δι' αὐτὴν ἡ ταὐτότης
p. 102 C. αὐτῆς πάντα ποιεῖ καὶ εὑρίσκει διὰ τῆς ἐπ' ἄπειρον

---

1 ψυχὴ μιᾷ P ‖ **2** ἑτεροουσίως Holsten ‖ **3** post ἀπειροδύναμος add. γὰρ Holsten; sed incipit nova sententia ‖ **4** post αὐτῆς lacunam signavi, qua εἶδος ἡ πᾶσα haustum sit: cf. infra p. 347, 7—9 | καὶ (post ψυχὴ) F (radendo, ut vid., in δὲ mutatum) | πᾶσα F ‖ **5** ἄλλη ὅλη FP: corr. Holsten ‖ **6** ἀσώματον Holsten ‖ **7** λαμβανόντων FP: μόνον λαμβάνοντα Holsten ‖ **8** ante οὖσα add. Holsten εἶδος | ζωτικὴ cod. Aug. | τὰ del. Usener | συνειλῆφθαι FP: correxi coll. v. 15 ‖ **9** ante ἔχουσα add. γὰρ Holsten | εἰδητικὰς FP: corr. Holsten cum cod. Aug. | ἡ FP: ἣν Usener, om. Canter: fort. δὴ | σύν ⟨τε⟩ Usener ‖ **10** ἢ ἄνευ Holsten | εἰ γὰρ FP: ἡ γὰρ scripsi | οἷον FP: corr. Holsten | τομὴ etiam FP ‖ **11** σημαινούσης FP: ἐστὶ μενούσης scripsi, ἣν μενούσης Holsten | εἰ δ' ἐπὶ τῶν – ταὐτότητος (12) om. P | εἰ δ' ἐφ' ὧν σωμάτων F: εἰ δ' ἐπὶ τῶν σωμάτων Holsten ‖ **12** ἐφ' ὧν (ante ἡ) del. Meineke ‖ **14** ἡνωμένα μὲν P, ἡνωμὲν F ‖ **15** ante ὑπονοεῖν add. καὶ λέγειν καὶ Holsten ‖ **16. 17** κεκράτηκεν P ‖ **18** ἀφ' ἧς – ἑνότης del. Usener | ἡ om. Holsten ‖ **18. 19** σώμπεσὸν P: σῶμα ξυνεμπεσὸν Holsten ‖ **20** ἐμποδίζον αὐτήν. δι' FP: ἐμποδίζον. αὐτὴ δὲ δι' Holsten recte, nisi quod δὲ in responso abundat ‖ **21** αὐτῆς del. Heeren cum cod. Aug.

εἰδικῆς ἐνεργείας, τοῦ τυχόντος μέρους πάντα δυναμένου, ὅταν σωμάτων καθαρεύῃ, ὡς τὸ τυχὸν μέρος τοῦ σπέρματος τὴν τοῦ παντὸς σπέρματος ἔχει δύναμιν. Ὥσπερ δὲ κρατηθὲν ἐν ὕλῃ τὸ σπέρμα καθ' ἕκαστον ὧν ἠδύνατο λόγων ἐν τοῖς μέρεσι τῆς ὕλης κρατεῖται, καὶ πάλιν συναχθὲν εἰς τὴν τοῦ σπέρματος δύναμιν καθ' ἕκαστον τῶν μερῶν ἔχει τὴν πᾶσαν δύναμιν, οὕτω καὶ ψυχῆς [826] ἀύλου τὸ ὡς μέρος ἐπινοούμενον τῆς πάσης ψυχῆς ἔχει τὴν δύναμιν. Τὸ δὲ πρὸς ὕλην ῥέψαν κεκράτηται μὲν καθ' ὃ [εἶδος ῥέψαν] ἐπιτηδείως ἔσχε προσομιλεῖν ἐνύλῳ· ἔχει δὲ τὴν τῆς ὅλης δύναμιν ἤδη καὶ ἐντυγχάνει οὖσῃ ἐν ἑαυτῷ, ὅταν ἀπὸ τοῦ ἐνύλου ἀποστὰν ἐν ἑαυτῷ γένηται. Ἐπεὶ δὲ πρὸς μὲν ὕλην ῥεπούσῃ ἀπορία ἁπάντων ⟨ἦν⟩ καὶ τῆς οἰκείας δυνάμεως κένωσις, εἰς δὲ τὸν νοῦν ἀναγομένῃ τὸ πλῆρες ἑαυτῆς κατὰ τὴν δύναμιν ἔχειν τῆς πάσης ηὑρίσκετο, τὴν μὲν εἰκότως πενίαν τὴν δὲ κόρον οἱ τοῦτο πρῶτον γνόντες τῆς ψυχῆς τὸ πάθος ᾐνίξαντο.

24 (20 H.) Ἐκ τῶν Πορφυρίου Περὶ τ῀ν τῆς ψυχῆς δυνάμεων.

Τὰς τῆς ψυχῆς δυνάμεις ὑπογράψαι πρόκειται καὶ πρότερόν γε ἐπεξελθεῖν τῇ ἱστορίᾳ τῇ τε παρὰ τοῖς παλαιοῖς καὶ τῇ ὕστερον ἐπικρίσει τῇ παρὰ τοῖς διδασκάλοις.

---

1 εἰδητικῆς FP: corr. Holsten ‖ **2** num *σώματος*? ‖ **4** ὅλῃ P | τι F, τί P: τὸ Holsten ‖ **4. 5** ἐδύνατο FP ‖ **5** λέγων FP: corr. Canter | ὅλης P | πάλιν FP: πᾶν Holsten ‖ **6** τοῦ FP: τοῦ ὅλου Heeren, del. Holsten ‖ **9** κρατῆσαι Holsten ‖ **10** καθὸ εἶδος ἔρρεψε καὶ ἐπιτηδείως Holsten | εἶδος ῥέψαν seclusi | ἐν ὕλῳ P: ἀύλῳ Holsten, qui reliquis omissis pergit εἴδει εἰ καὶ ἐντυγχάνει ‖ **12** ὑπὸ FP: corr. Holsten | ὑποστὰν P ‖ **13** ὕλῃ F | ῥέπουσιν FP: ῥεπούσῃ scripsi, ῥέπον ἴσχει Holsten | ἀπορία FP: ἀπορίαν Holsten ‖ **14** ἦν addidi | κένωσις FP: κένωσιν Holsten ‖ **16—18** ad Heraclitum spectant: cf. fr. 24 et 36 Bywat. ‖ **16** τὸν δὲ F, τὸ δὲ P: τὴν δὲ Heeren ‖ **17** ὅπου τὸ πρῶτον FP: οἱ τοῦτο πρῶτον Holsten ‖ **22** ἐπεξελθὼν τῇ FP: ἐπεξελθεῖν τῇ scripsi, ἐπεξελθόντι Meineke | τῇ τε FP: τά τε Heeren ‖ **22. 23** post παλαιοῖς add. δοξασθέντα vel simile quid Meineke ‖ **23** τῇ ὕστερον ἐπικριθείσῃ FP: τῇ ὕστερον ἐπικρίσει τῇ Usener, τὰ ὕστερον ἐπικριθέντα Heeren

[828] Ἀρίστων ἀντιληπτικὴν δύναμιν τῆς ψυχῆς θέμενος ταύτην διαιρεῖ εἰς δύο, τὸ μέν τι μέρος φάσκων μετά τινος τῶν αἰσθητηρίων ὡς τὰ πολλὰ κινεῖσθαι, ὃ αἰσθητικὸν καλεῖ, ἀρχὴν καὶ πηγὴν ὑπάρχον τῶν κατὰ μέρος αἰσθήσεων, τὸ δὲ ἀεὶ καθ' ἑαυτὸ καὶ χωρὶς ὀργάνων, ὃ ἐπὶ μὲν τῶν ἀλόγων οὐκ ὠνομάσθαι (ἢ γὰρ ὅλως οὐκ εἶναι ἐν αὐτοῖς, ἢ τελέως ἀσθενὲς καὶ ἀμυδρὸν ἄγαν), ἐν δὲ τοῖς λογικοῖς, ἐν οἷς δὴ μάλιστα ⟨ἢ⟩ μόνοις φαίνεται, νοῦν προσαγορεύεσθαι. [Ἔφη ἄνευ ὀργάνων τὸν
[830] νοῦν ἐνεργεῖν, τὴν αἰσθητικὴν καὶ μετ' ὀργάνου.] Πῶς οὖν ἡ μετ' ὀργάνου οὐχ ἡ αὐτὴ ἔσται τῷ νῷ, εἴγε ὑφ' ἓν γένος, τὸ τῆς ἀντιληπτικῆς, τέτακται καὶ ⟨τὸ⟩ μετ' ὀργάνου ἐνεργοῦν μέρος καὶ τὸ ἄνευ ὀργάνου; ἢ ὅτι ἡ μὲν τῆς μορφῆς τῶν ὄντων ἀντιλαμβάνεται, ἡ δὲ τῆς οὐσίας; Αἴσθησις γὰρ οὐσίας οὐκ ἀντιληπτική, ἀλλὰ μορφῆς καὶ πλάσεως ** ὅτι δὲ ἄνθρωπος ἢ ἵππος, ἄλλου ἡ ἀντίληψις. Διάφορον οὖν τῆς ἀντιλήψεως κίνημα· ἡ μὲν γὰρ τυπουμένῃ ἔοικεν ἡ τῆς αἰσθητικῆς καὶ ἔξω ἑλκομένῃ ἐπὶ μορφήν, ἡ δὲ ἀφισταμένῃ τυπώσεως. Οἱ μὲν οὖν διήρουν καὶ τὸ μὲν ἄνευ φαντασίας ⟨ἡ αἰσθήσεως⟩ διεξοδικόν, ἀπὸ τοῦ νοῦ ἠρτημένον διάνοιάν τε καὶ νοῦν προσηγόρευον, τὸ δὲ μετὰ φαντασίας ἡ αἰσθήσεως τὴν διέξοδον ἔχον δοξαστικόν. Οἱ δὲ μίαν μὲν

---

1 post Ἀρίστων add. μὲν οὖν Meineke | θέματος F || **2** μέν τι F, μέν τοι P || **5** post δὲ add. τι Heeren || **6** ἄλλων FP: ἀλόγων Heeren | ὠνόμασται F, ὀνόμασται P: corr. Heeren || **8** ἢ add. Heeren || **8. 9** νοῦν φαίνεται FP: corr. Heeren || **9** ἔφη – ὀργάνου (10) seclusi ut summarium margini olim adscriptum | post ἔφη add. δὲ Canter || **10** τὴν αἰσθητικὴν καὶ FP¹, τὴν αἰσθητικὴν δὲ P²: τὴν δ' αἰσθητικὴν καὶ Meineke, τὴν αἰσθητικὴν δὲ καὶ Heeren || **11** οὖν ἄνευ FP: οὖν ἡ μετ' Heeren || **12** ἑνὶ F | τὸ ante μετ' om. FP¹, add. P² || **16** ante πλάσεως lacunam statuit Usener qui sic fere scribit ⟨βάρους καὶ τῶν τοιούτων. ὅτι μὲν γὰρ δίπουν τόδε ἢ τετράπουν, ἀντιλαμβάνεται διὰ τῆς τυ⟩πώσεως; sed πλάσεως defendi potest coll. Polyb. VI 53, 5, crediderim igitur post πλάσεως haec fere: ⟨ὅτι αὐτίκα δίπουν τόδε ἢ τετράπουν⟩ propter homoiarcton intercidisse || **18** τυπούμενον P¹, τυπουμένῳ P² | ἢ FP: ἡ Heeren ex Aug. || **20. 21** ἢ αἰσθήσεως om. FP: add. Meineke coll. v. 22 || **23** οἱ δὲ μίαν F, οὐδὲ μίαν P

τὴν οὐσίαν λογικὴν ἐτίθεντο, διαφόρους δὲ τὰς ἐνεργείας. [832]
Τοιαύτης δὲ οὔσης τῆς διαφορᾶς ὑφ' ἓν τίθεσθαι τὰς ⟨*δύο*⟩ *δυνάμεις μήποτε ἄτοπον ἦν* (*οὐ γὰρ ἐκ μιᾶς ἥ τε νόησις οὐσίας ὁρμᾶται καὶ ἡ αἴσθησις, καὶ ἀντίληψιν εἴ τις λέγει τὴν τοῦ νοῦ ἐνέργειαν, ὁμωνύμως ἐρεῖ*), *καὶ ἔδει ἄλλην μὲν θέσθαι τὴν τοῦ νοῦ δύναμιν καὶ ἑτερογενῆ, μεθ' ἣν τὴν τῆς διανοίας, πάντας τοὺς ἐφ' ἑκατέρας, ἀλλὰ τὴν μὲν ἀθρόαν ἐνέργειαν τὴν δὲ ἐν διεξόδῳ· ἄλλην δὲ πάντῃ τὴν αἰσθητικήν, ἧς τὸ μέν τι μετὰ προσχρήσεως ὀργάνων, τὸ δέ* ⟨*τι*⟩ *ἄνευ προσχρήσεως, τοῦ μὲν μετ' ὀργάνων αἰσθητικοῦ καλουμένου, τοῦ δὲ ἄνευ τούτων φανταστικοῦ, τὸ δέ τι οὐχ ἧττον τοῦ αὐτοῦ γένους, ὑπερβεβηκὸς δὲ τὸ διεξοδεῦον, τὸ ἀθρόον τούτων, δοξαστικὸν καλούμενον, ἐπιστάσεως οὔσης, πότερον τῆς διανοίας εἶδος τὸ τοιοῦτο ἢ τὸ ἄλλο, τὸ ὑπερβεβηκὸς μὲν τὸ αἰσθητικὸν καὶ φανταστικόν, ὑποβεβηκὸς δὲ τὸ νοητικόν.*

25 (21 H.) *Ἐν ταὐτῷ.* p. 103 C.

Νουμήνιος (fr. 52 ap. Thedinga, de Numenio p. 70) *δὲ τὴν συγκαταθετικὴν δύναμιν παραδεκτικὴν ἐνεργειῶν φήσας εἶναι, σύμπτωμα αὐτῆς φησιν εἶναι τὸ φανταστικόν, οὐ μὴν ἔργον γε καὶ ἀποτέλεσμα, ἀλλὰ παρακολούθημα· τῶν ἀπὸ τῆς Στοᾶς τὴν αἴσθησιν οὐκ ἐν τῇ φαντασίᾳ ἱστάντων μόνον, ἀλλὰ τὴν οὐσίαν ἀναρτώντων ἀπὸ τῆς συγκαταθέσεως. Αἰσθητικὴ γὰρ φαντασία συγκατάθεσίς ἐστιν ἡ αἴσθησις τῆς συγκαταθέσεως καθ' ὁρμὴν οὔσης. Λογγῖνος δὲ μηδ' εἶναι ὅλως συγκαταθετικὴν δύναμιν ὑπονοεῖ. Κατὰ μέντοι τοὺς πρεσβυτέρους* [834]

---

3 *δύο* (vel *διαφόρους*) add. Meineke | *ἦ* FP: *ἦν* Meineke | *ἥ γε* FP: *ἥ τε* Meineke ‖ **6** *εἰς ἄλλην* FP: *ἔδει ἄλλην* Usener, *δεῖ ἄλλην* Heeren ‖ **7** fort. *μεθ' ἧς* | *πάντας τοὺς* FP: *ἱστάντας νοῦν* Usener coll. v. 24; *ἱστάντας ταὐτὸ* malim, sed locus nondum persanatus videtur | *τοὺς ἀφ' ἑκατέρας* ⟨*αἱρέσεως*⟩ Meineke ‖ **10** *δὲ* F, *δὲν* P | *τι* post *δὲ* addidi ‖ **12. 13** *γένους· ὑπερβεβηκὸς* FP: interpunctionem mutavi ‖ **14** *πότερον* F, *πρότερον* P ‖ **15** *τοιοῦτο* FP ‖ **18** lemma F in textu, P mrg habet ‖ **22** *τε* FP: *γε* Meineke

καὶ τοὺς ἀπὸ τῆς Ἀκαδημίας ἡ αἴσθησις ἐπὶ τῆς ⟨δι'⟩ αἰσθητηρίου φαντασίας ψιλὴ τίθεται καὶ διὰ τοῦτο οὐδὲ κατ' ἀρχὰς μέτοχος ἰδιώματος, ὅτι μηδὲ συγκαταθέσεως μέτοχος. Κἂν ᾖ δὲ μετὰ συγκαταθέσεως συγκατακειμένη φαντασία δι' αἰσθητηρίου ἡ αἴσθησις, οὐ πάντως καὶ ἀρετῆς μέτοχος ἡ αἴσθησις ἔσται, εἰ μὴ συγκατάθεσις εἴη τῶν ἐφ' ἡμῖν.

25[a] (21 H.) Τοῦ αὐτοῦ.

Διαπεφώνηται δὲ οὐ τὰ περὶ τούτων μόνον τοῖς [S36] παλαιοῖς, ἀλλὰ καὶ ἐξ ἀρχῆς τὰ περὶ τῶν μερῶν τῆς ψυχῆς, καὶ ὅλως τί τὸ μέρος καὶ τίς ἡ δύναμις καὶ τίνι ταῦτα διενήνοχεν.

Αὐτίκα οἱ μὲν ἀπὸ τῆς Στοᾶς ὀκταμερῆ τὴν ψυχὴν θέντες καὶ πέντε μὲν μέρη τὰ αἰσθητικὰ λαβόντες, ἕκτον δὲ τὸ φωνητικὸν καὶ ἕβδομον τὸ σπερματικόν, [καὶ] λοιπὸν τὸ ἡγεμονικὸν ὡς ἂν ἄρχοντος χώραν ἔχειν ὑπετίθεντο, τὰ δὲ ἄλλα μέρη ἐν ὑπηρέτου τάξει ἀπεδίδοσαν, ὥστε τὸ αὐτὸ ἐξ ἄρχοντος καὶ ἀρχομένων συνεστάναι. Παρὰ δὲ Πλάτωνι καὶ Ἀριστοτέλει ἐν τοῖς Ἠθικοῖς τριμερὴς ἡ ψυχὴ λέγεται εἶναι, καὶ κεκράτηκε τοῦτο παρὰ τοῖς πολλοῖς ἀγνοοῦσιν ὡς ἡ διαίρεσις τῆς συστάσεως ἕνεκα τῶν ἀρετῶν παρείληπται· οὐ γὰρ ἁπλῶς εἰς σύλληψιν πάντων τῶν μερῶν. Τὸ γὰρ φανταστικὸν καὶ αἰσθητικὸν καὶ τὸ νοερὸν καὶ ⟨τὸ⟩ φυτικὸν οὐ δήπου ἐν τῇ διαιρέσει ταύτῃ περιληφθήσεται. Ἄλλοι δέ, ὧν καὶ Νουμήνιος (fr. 54 p. 70 Theding.), οὐ τρία μέρη ψυχῆς μιᾶς, ἢ δύο γε, τὸ λογικὸν καὶ ἄλογον, ἀλλὰ δύο ψυχὰς ἔχειν ἡμᾶς οἴονται, ὥσπερ καὶ ἄλλα, τὴν μὲν λογικήν,

---

1 ἀκαδμίας F | ἀπὸ τῆς FP: ἐπὶ τῆς ⟨δι'⟩ Usener ‖ **2** αἰσθητέρου P^1 ‖ **2. 3** οὐδὲ τοῦ κατ' ἀρετὰς F ‖ **4** ᾖδε F, ᾗδε P: ᾗ δὲ Usener, ᾗ γε Meineke (ᾗδε Heeren) ‖ **5** αἰσθητέρου P | ἡ αἴσθησις FP: ᾗ (sive ᾗ ἡ) αἴσθησις Meineke ‖ **5. 6** καὶ ἀρετῆς FP: καὶ αἱρέσεως Usener; κατ' ἀρχὰς αὐτῆς coll. v. 4 (ubi v. cod. F) temptabam ‖ **8** lemma habent FP mrg: om. vulg. ‖ **11** ψυχῆς· καὶ FP ‖ **15** καὶ ante λοιπὸν (16) seclusit Usener ‖ **24** κατὰ τὸ FP: καὶ τὸ Canter mrg | καὶ φυσικὸν FP: corr. Usener coll. Ar. Eth. N. p. 1102[b] 29; cf. tamen infra p. 369, 16 ‖ **25** παρειληφθήσεται P ‖ **28** ἄλλοι FP: correxi (ἄλλα sunt aures, oculi, manus etc.) | λοξὴν F

τὴν δὲ ἄλογον· ὧν πάλιν οἱ μὲν ἄμφω ἀθανάτους, οἱ δὲ τὴν λογικὴν ἀθάνατον, τὴν δὲ ἄλογον οὐ κατὰ τὰς ἐνεργείας μόνον ἀφίστασθαι τῆς ποιᾶς κινήσεως, ἀλλὰ καὶ κατ' οὐσίαν διαλύεσθαι. Τοῖς δὲ ἐδόκει δύο ψυχῶν εἰς ταὐτὸ συμπλακεισῶν ἀλλήλαις διπλασίας εἶναι τὰς κινήσεις, ὁμοιουμένων ἀλλήλαις ἐκ τοῦ ἀπολαύειν ἑκα- [838]
τέραν τῶν τῆς ἑτέρας παθημάτων κατὰ τὴν ἕνωσιν.

Ῥητέον δὲ ὡς δύναμις μέρους διήνεγκεν, ὅτι τὸ μὲν μέρος ἐκβέβηκε κατὰ γένος τὸν χαρακτῆρα τοῦ ἄλλου μέρους, αἱ δὲ δυνάμεις περὶ τὸ αὐτὸ στρέφονται γένος. Διὸ τὰ μὲν μέρη παρῆκται Ἀριστοτέλης ἐπὶ τῆς ψυχῆς, τὰς δὲ δυνάμεις οὐκέτι· τὸ γὰρ ἑτερομερὲς εὐθὺς ὑποκειμένου παραλλαγὴν εἰσάγειν, τὸ δὲ ἑτεροδύναμον καὶ περὶ ἓν ὑποκείμενον ἐνίστασθαι. Λογγῖνος δὲ οὐδὲ τὸ ζῷον πολυμερὲς εἶναι ἀλλ' ἀμερές, πολυδύναμον δέ, τὸ τοῦ Πλάτωνος ἐν τοῖς σώμασι πολυμερῆ φάσκων τὴν ψυχὴν γίγνεσθαι, καθ' ἑαυτὴν οὖσαν ἀμερῆ. ὅτι δὲ οὐ πολυμερής, οὐ διὰ τοῦτο καὶ μονοδύναμος· ἐνδέχεσθαι γὰρ ἓν ἀμερὲς δυνάμεις πλείους ἔχειν.

Διακριτέον οὖν τάχα ἐκ τοῦ πολλοῦ ταράχου θέντας ὅρον γνώσεως μερικῆς διαφορᾶς καὶ ἀδιαφορίας καὶ πάλιν δυνάμεων πρὸς μέρη καὶ πρὸς ἀλλήλας, εἶτ' ἀνωτέρω οὐσιῶν εἰ καὶ πλείους ἐν ἑνὶ εἶεν. Ὡς ἐκ τούτου γὰρ γνώριμον ἔσται, εἰ καὶ ἡ ψυχὴ ἐν ζῴῳ οὖσα πολυμερὴς [840]
ἢ μόνον πολυδύναμος, καὶ πότερον συγχωρητέον τοῖς

---

2 *τὰς* del. Usener ‖ **6.7** *ἑκάτερον* FP¹, *ἑκατέροι* P² (ut vid.): *ἑκατέραν* Canter ‖ **11** *ἀριστοτέλους* P¹ ‖ **12** *δὲ* ante *δυνάμεις* om. P¹, post *δυνάμεις* add. *δ'* P² | *οὐκ ἔστι* P¹ | *ἑτερόμενον* FP, *ἑτερόμερον* P mrg: *ἑτερομερὲς* Heeren ‖ **13** *εἰσάγει* FP: corr. Heeren ‖ **14** *ἐνυποκειμένου* FP¹, *ἓν ὑποκειμένου* P²: corr. Canter | *συνίστασθαι* Meineke | *Λογγῖνος*] cf. Proclus in Remp. p. 415 sq. ‖ **16** ante *τὸ τοῦ* add. Heeren *κατὰ* ‖ **16.17** *φάσκοντος* FP: corr. Usener ‖ **18** *οὐ δὲ οὐ* F, *οὐ δὲ ὁ* P: *ὅτι δὲ οὐ* scripsi, *εἰ δὲ οὐ* Canter mrg et int. ‖ **19** *ἦν* FP: *ἓν* Meineke ‖ **20.21** *θέντα σαρὸν* F, *θέντα σάρον* P: *θέντας ὅρον* Canter mrg ‖ **22** *δυνάμεως* FP: corr. Heeren ‖ **22.23** *ἐπανωτέρω* FP: *εἶτ' ἀνωτέρω* Usener, *ἔτι τῶν μερῶν* Heeren ‖ **23** ⟨*πρὸς*⟩ *οὐσίαν* Heeren | *ὡς* FP: om. vulgo; sed cf. Krebs, de praep. ap. Polyb. p. 19 ‖ **24** *οὐσία* Usener | *πολυμερὶς* P¹

μίαν μὲν ψυχὴν εἰς τὸν ἄνθρωπον κατακλείουσι πολυμερῆ δὲ ταύτην, ἢ καθ' αὑτὴν ἢ καὶ ἐν τούτῳ λέγουσι
p. 104 C. γίγνεσθαι· ἢ πλειόνων ψυχῶν ἦν σύνοδος καὶ ἐῴκει ὁ ἄνθρωπος μάλιστα χορῷ συνᾴδοντι καὶ κατὰ τοῦτο ἔχοντι τὸ ἓν κατὰ τὴν τῶν συμπληρούντων τὸ ὅλον συμφωνίαν, ἢ ἑνὸς ἦν κατ' οὐσίαν τὸ διάφορον πλῆθος.

Ῥητέον οὖν, ὡς δύναμις καὶ μέρος καὶ κατασκευὴ ἐπὶ τῆς ψυχῆς ταύτῃ διενήνοχε· μέρος μὲν γάρ ἐστιν ὃ καὶ τῷ ὑποκειμένῳ καὶ τῷ εἴδει καὶ ταῖς ἐνεργείαις ἄλλου μέρους διαφέρει· κατασκευὴ δὲ ἡ πρὸς ὃ πέφυκε τῶν μερῶν οἰκεία ἐπιτηδειότης· δύναμις δὲ τῆς κατασκευῆς ἕξις ἀφ' ἧς ἐνεργεῖν δύναται, καθ' ὃ κατεσκεύασται ἕκαστον. Ἔνιοι δὲ τὴν αὐτὴν ἔφασαν εἶναι κατασκευήν τε καὶ δύναμιν. Διαφέρει δὲ μέρους δύναμις· ⟨αἱ μὲν γὰρ δυνάμεις⟩ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου ὅλου πλείους θεωροῦνται, οὐκ ἐν ἄλλῳ καὶ [ἐν] ἄλλῳ περατούμεναι τῷ ποσῷ τῆς ὑποκειμένης οὐσίας, τὰ δὲ μέρη ἀπολαμβάνει ἑαυτοῖς ποσόν τι τῆς οὐσίας καὶ περιγράφει ἀλλοῖόν τι μόριον αὐτῆς. Αὐτίκα τοῦ μήλου αἱ μὲν δυνάμεις πᾶσαι ἐν ἑνί, τὰ δὲ μέρη ἄλλα ἀλλαχοῦ
[842] κεχώρισται· ἐφάπτεται γὰρ ἡ μὲν τοῦ μέρους ἔννοια ποσοῦ, ὡς πρὸς τὴν τοῦ ὅλου κατασκευὴν ὀλιγωτέραν ποσότητα ἀπολαμβάνον· ἡ δὲ τῆς δυνάμεως τοῦ ὅλου τὴν ἐπίνοιαν ἀπείληφε. Διόπερ ἀμερεῖς μὲν αἱ δυνάμεις καὶ δι' ὅλου κεχωρηκυῖαι, τὰ δὲ μέρη ἠλλοίωται, μεριτοῦ ἔχοντα ἀντὶ τοῦ ὅλου ποσότητα.

---

2 *ταύτην ἢ* FP ‖ **3** post *ἢ* add. *εἰ* Meineke | *ἦ σύνοδος* FP: *ἦν σύνοδος* Meineke ‖ **8** *ταύτῃ* P², *ταύτης* FP¹ ‖ **14. 15** *αἱ μὲν γὰρ δυνάμεις* om. FP¹, *δυνάμεις γὰρ* add. P²: *αἱ μὲν γὰρ δυνάμεις* addidi cum Meinekio, *ὅτι αἱ δυνάμεις* Heeren ‖ **16** *ἐν* ante alterum *ἄλλῳ* seclusit Meineke coll. p. 353, 6 ‖ **17** *περατούμεναι* F, *παραιτούμεναι* P ‖ **18** *ἀπολαμβάνει* P², *ἀπολαμβάνειν* (*ἀ* in *ὑ* eras.) F, *ἀπολαμβάνειν* P¹ ‖ **19** *ἀλλ' οἷον* P² ‖ **21** *κατακεχώρισται* Usener ‖ **22** *ὀλιγωτέραν* FP: *ὀλικωτέραν* Canter mrg ‖ **23** *ἀπολαμβάνον* FP¹: *ἀπολαμβάνοντος* vulg. cum P² ‖ **24** *ἀμερὴς* P ‖ **25** *κεχωρικυῖαι* P ‖ **25. 26** *μερισμοῦ* FP: corr. Usener ‖ **26** *τοῦ* om. vulg.

Πῶς οὖν ἀμερὴς ἡ ψυχὴ καὶ πάλιν τριμερής; Οἱ μὲν οὖν τὰ μέρη τῆς ψυχῆς κατὰ τὸ ποσὸν ἀκούσαντες εἰκότως ἀποροῦσι, πῶς καὶ ἀμερὴς καὶ τριμερής, καὶ λύουσι φάσκοντες κατὰ μὲν ἴδιον λόγον καὶ καθ' ἑαυτὴν εἶναι ἀμερῆ, τριμερῆ δὲ καθ' ὅσον ἐν σώματι γενομένη μεριστῷ ὄντι ἄλλο καὶ ἄλλο μέρος ἐπέχει τοῦ σώματος εἰς τὰς διαφόρους αὐτῆς ἐνεργείας. Οὐ γὰρ δὴ ⟨ἡ⟩ αὐτὴ κεφαλὴν ἔχει καὶ θώρακα καὶ τοῦ ποτ' ἦπαρ, ἀλλ' αἱ διὰ τούτων διάφοροι ἐνέργειαι διαμεριστῶς καὶ μερῶν γιγνόμεναι διαφόρων τοῦ σώματος ἀπ' ἐκείνων αὐτῇ τῶν μερῶν μερισμὸν ἐπανέθεσαν.

Νικόλαος δὲ οὐκ ἠξίου τὰ μέρη τῆς ψυχῆς κατὰ τὸ ποσὸν λαμβάνειν, ἀλλὰ μᾶλλον κατὰ τὸ ποιόν, ὥσπερ καὶ τέχνης καὶ φιλοσοφίας· ἐπὶ μὲν γὰρ τοῦ ποσοῦ τὸ ὅλον ἐκ τῶν μερῶν συμπληροῦται καὶ γίγνεται ὡς κατὰ τὴν πρὸς ἕτερον ἀντεξέτασιν πλέον ἢ ἔλαττον, ἢ μικρότερον ἢ μεῖζον, προστιθεμένου μέρους ἢ ἀφαιρουμένου. [844]
Ψυχῆς δὲ ⟨οὐχ⟩ οὕτως λέγομεν εἶναι μέρη (οὐ γὰρ δὴ τὸ ποσὸν αὐτῆς ὑπὸ τούτων συμπληροῦται, οὔτε γὰρ μέγεθός ἐστιν, οὔτε τι ἔχει πλῆθος), ἀλλ' ὡς τέχνης μέρη. Διαφέρει δὲ καὶ τούτων· τέχνη μὲν γάρ, ⟨ἂν⟩ ἀπῇ τι μέρος, οὐκ ἂν εἴη ὁλόκληρος οὐδὲ τελεία, ψυχὴ δὲ πᾶσα τελεία ἐστὶ καὶ τὸ πᾶν ζῷον οὐ κομισάμενον τὸ κατὰ φύσιν τέλος ἀτελές ἐστιν. Ἀκούει τοίνυν Νικόλαος τὰ μέρη τῆς ψυχῆς ὡς δυνάμεις τοῦ ἔχοντος· τὸ γὰρ ζῷον καὶ ὅλως τὸ ἔμψυχον τῷ ψυχὴν ἔχειν πολλὰ δύναται, οἷον ζῆν, αἰσθά-

---

1. 2 *οἱ μὲν* P, *ἡ μὲν* F ‖ **2** *καὶ τὸ* FP: *κατὰ τὸ* Heeren ‖ **3** post *πῶς* add. *γὰρ* P ‖ **5** *γενομένη* P², *γενομένῳ* FP¹ ‖ **6** *ὄντι* P², *οὔτι* FP¹ ‖ **7** *αὐτῆς* FP: correxi | *αὐτὴ* FP¹: ⟨*ἡ*⟩ *αὐτὴ* scripsi cum P², *αὕτη* Heeren ‖ **8** *τοῦ ποτ' ἦ παρ* FP,*τοῦτο τὸ ἦπαρ* P² mrg: *τρίτον τὸ ἦπαρ* Heeren et Meineke (qui *τὸ* om.); num *τοὔμπαλιν ἦπαρ*? | *ἀλλ'* P² mrg, *ἄμ'* FP¹ ‖ **9** *μεριστῶς καὶ διὰ μερῶν* scripserim | *διαμεριστῶν* FP: *διαμεριστῶς* Usener, *διὰ μερισμῶν* Heeren ‖ **10** *αὐτῇ* P², *αὐτὴ* FP¹ ‖ **11** *ἐπανέθεσαν* (*εσ* corr. in *ησ*) P, *ἐπανέθησαν* F ‖ **18** *οὐχ* om. FP¹, add. P² mrg ‖ **20** *οὔτι τε* FP: *οὔτε τι* Heeren ‖ **21** *τέχνη* P², *τέχνης* FP¹ | *ἂν* addidi | *ἀπόντος μέρους* Heeren | *ἀπὸ* FP¹, *ἀπόν* P²: *ἀπῇ* scripsi ‖ **23** *καὶ τὸ* FP: *καί τοι* Roeper, lect. Albuph. p. 40 sententia non intellecta ‖ **25** *δυνάμεις* P², *δύναμις* FP¹

νεσθαι, κινεῖσθαι, νοεῖν, ὀρέγεσθαι, ὧν πάντων αἰτία καὶ ἀρχὴ ἡ ψυχή. Ταύτας οὖν τὰς δυνάμεις, ἀφ' ὧν λέγεται τὸ ἔμψυχον ταῦτα δρᾶν ἢ πάσχειν, μέρη τῆς ψυχῆς τίθεται ὡς εἴρηται. Οὐδὲν ⟨δὲ⟩ κωλύει αὐτῆς ἀμεροῦς οὔσης μεριστῶς δέχεσθαι τὰς ἀπ' αὐτῆς τῶν ἐνεργειῶν ἐνδόσεις.

Μεριστὸν οὖν τὸ ζῷον, εἰς τὴν ἐπίνοιαν αὐτοῦ καὶ τοῦ σώματος παραλαμβανομένου, ἀφ' οὗ αἱ ζωτικαὶ ἐνέργειαι κατὰ ψυχῆς ἔνδοσιν δεχόμεναι τὴν εἰς μέρη τῶν διαφόρων ἐνεργειῶν κατάταξιν καὶ τῇ ψυχῇ τὸ μέρη ἔχειν
[846] *προσανέθεσαν. Καὶ μήποτε διττῶς ἐπινοουμένης τῆς*
p. 105 C. *ψυχῆς καὶ ἐχούσης τὴν ζωήν, τήν τε καθ' αὑτὴν καὶ τὴν κατὰ σχέσιν, ἐν τῇ κατὰ σχέσιν ζωῇ ὑφίσταται τὰ μέρη. Ὡς γὰρ πυρῷ σπαρέντι ἐν τῇ πρὸς τὴν γένεσιν σχέσει ὑφίσταται τὰ μέρη, τοῦ στάχυος τοῦ ὅλου οὐκ ὄντος μεριστοῦ ἐν δὲ μεριστῷ θεωρουμένου, ἀφ' οὗ πάλιν ἐπάνεισιν εἰς τὸ ἀμέριστον, οὕτω καὶ ψυχῇ ἀμερίστῳ οὔσῃ ἐν τῇ σπορᾷ παρυφίσταται τὰ μέρη.*

26 (22 H.) *Ἐν ταὐτῷ.*

** * συμβαλλόμενον ἑξῆς ⟨ἂν⟩ εἴη ἐπισκέψασθαι πρὸς τὸ γνῶναι τίνες διὰ τὴν ψυχὴν ζῷα προβέβληνται ὡς δι' αὐτήν, καὶ τίνες διὰ τὴν μετ' αὐτήν, καὶ τίνες διὰ τὸ ζῷον. Οὕτως γὰρ καὶ αἱ ὑποστάσεις πρόδηλοι καὶ τίνες αἱ ἀνάγκαι εἰς τὴν καθ' αὑτὴν ἐπάνοδον ἔσονται τῶν ἐν μέρεσι τοῦ σώματος μέρη ψυχῆς κατακλειόντων.*

---

4 *τίθενται* FP: correxi | *δὲ* post *οὐδὲν* addidi, *γὰρ* add. Heeren ‖ **7** *ὃν* F, *ὧν* P: *οὖν* Canter ‖ **8** *καὶ ζωτικαὶ* FP: *αἱ ζωτικαὶ* Meineke, *καὶ αἱ ζωτικαὶ* Heeren ‖ **9** *ἐχόμεναι* FP: corr. Canter ‖ **10** *κατὰ τάξιν* FP: corr. Usener | *τὰ* FP: *τὸ* idem ‖ **11** *προσανέθησαν* Heeren | *δήποτε* Heeren ‖ **12** *κατ' αὐτὴν* FP: corr. Canter ‖ **13** *ἐν τῇ* P², *ἐν τῇδε* FP¹: fort. *ἐν τῇ δὴ* ‖ **15** *τοῦ ὅλου* P², *τοῦ λόγου* FP¹: *ὅλου* Canter ‖ **16** *θεωρουμένῳ* F, *θεωρούμενα* P: correxi ‖ **17** *οὔσῃ* P², *αὕτῃ* F, *αὔτη* P¹ ‖ **19** lemma F mrg, P in textu habet ‖ **20** *Συμβαλλόμενον* (*Σ* add. F²) F, *ἐμβαλλόμενον* P: *ἐπιβαλλόμενον* Meineke; sed videntur initio plura deesse | *ἂν* om. FP: add. Heeren ‖ **21** *προσβέβληνται* P ‖ **22** fort. *διὰ τὴν μετοχήν* ‖ **23** *ἀποστάσεις* Aug., fort. recte

27 (23 H.) *Αἰσάρας Πυθαγορείου Λευκανᾶς ἐκ τοῦ Περὶ ἀνθρώπω φύσιος* (fr. phil. Gr. II p. 51 Mull.).

Φύσις ἀνθρώπω κανών μοι δοκέει νόμω τε καὶ δίκας ἦμεν καὶ οἴκω τε καὶ πόλιος. Ἴχνια γὰρ ἐν αὐτῷ στιβα- [848]
ζόμενος εὕροιτό κά τις καὶ μαστευόμενος· νόμος γὰρ ἐν αὐτῷ καὶ δίκα ἃ τᾶς ψυχᾶς ἐστι διακόσμασις. Τριχθαδία γὰρ ὑπάρχοισα ἐπὶ τριχθαδίοις ἔργοις συνέστακε· γνώμαν καὶ φρόνασιν ἐργαζόμενος ⟨ὁ νόος⟩ καὶ ἀλκὰν καὶ ⟨ὁρμὰν ἁ⟩ θύμωσις καὶ ἔρωτα καὶ φιλοφροσύναν ἃ ἐπιθυμία. Καὶ οὕτω συντέτακται ταῦτα ποτ' ἄλλαλα πάντα, ὥστε [850]
αὐτᾶς τὸ μὲν κράτιστον ἀγέεσθαι, τὸ δὲ χέρειον ἄρχεσθαι, τὸ δὲ μέσον μέσαν ἐπέχειν τάξιν, καὶ ἄρχειν καὶ ἄρχεσθαι. Ταῦτα δ' οὕτως ἐμάσατο κατὰ λόγον ὁ θεὸς ἔν τε ἐκτυπώσι καὶ ἐξεργασίᾳ τῶ ἀνθρωπίνω σκάνεος, ὅτι μόνον ἄνθρωπον ἐνοάσατο νόμω τε καὶ δίκας ἐπιδέκτορα γενέσθαι καὶ οὐδὲν ἄλλο τῶν θνατῶν ζῴων. Οὔτε ⟨γὰρ⟩ ἐξ ἑνὸς σύσταμα κοινανίας γένοιτό κα, οὔτε μὰν ἐκ πλειόνων, ὁμοίων δὲ τούτων (ἀνάγκα γάρ, ἐπεὶ τὰ πράγματα διαφέροντά ἐντι, καὶ τὰς ἐν ἁμῖν μοίρας τᾶς ψυχᾶς διαφόρως

1 *αἰσάρας* P, *Αἰσάρας* (*A* add. F², sed *α* parvolum m. 1 mrg adscr.) F; *αἴσαρος* pinacogr. ap. Photium p. 114ᵃ 26: *Ἀρέσα* Heeren cum Cant. int. coll. Iambl. Pyth. vit. c. 36 (*Ἀρέσαν ἐκ τῶν Λευκανῶν*); feminam esse statuo eiusdem nominis quod Pythagorae filiae (apud Phot. p. 438ᵇ 30) restituit Bentley resp. ad Boyl. p. 215 Lennep. | *πυθαγόρου* P | *Λευκάνας* FP: *Λευκανᾶς* scripsi, *Λευκανοῦ* vulgo cum Salmasio in Epict. p. 169 ‖ **2** *ἀνθρώπων φύσεως* FP: corr. Meineke ‖ **3** *δοκεῖ* FP ‖ **4** *αὐτῷ* FP: corr. Heeren ‖ **5** *καί τις* FP: corr. Gaisford ‖ **6** *αὖτῷ* Gaisford | *ἃ τᾶς* FP¹, *ἅ τᾶς* P² et vulg. ‖ **7** *ὑπάρχουσα* P | post *γνώμαν* add. Heeren *γὰρ* ‖ **8** *φρόνησιν* F | *ἐργαζομένην* F, *ἐργαζομέναν* P¹, *ἐργαζομένα* P²: corr. Heeren | *ὁ νόος* add. Heeren coll. p. 357, 13 | ante *καὶ ἀλκὰν* add. Canter *καὶ ἀρκὰν* ‖ **8. 9** *καὶ δύναμιν* FP: *καὶ ⟨ὁρμὰν ἁ⟩ θύμωσις* scripsi coll. p. 357, 14; post *δύναμιν* add. *ἃ θύμωσις* Heeren ‖ **10** *ἄλλα* P ‖ **11** *ἀγέεσθαι* FP: *ἀγέεσθαι* Salmas. ad Epictet. p. 169, vereor ut recte, cf. nomina propria ab *Ἄγησι* incipientia | *χεῖρον* FP: corr. Meineke coll. infra p. 356, 16 ‖ **12** *ἐπέχειν* P², *ἐπέχει* FP¹ ‖ **13** *οὕτως* P | *ἐν τᾷ* Meineke ‖ **13. 14** *ἐκτυπώσει* FP ‖ **15** *ἐνοήσατο* F, *ἐνενοήσατο* P ‖ **16** *ἄλλο* P², *ἄλλα* FP¹ | *γὰρ* post *οὔτε* add. Heeren ‖ **17** *σύστημα* F | *κοινωνίας* FP | *γένοιτο ἦν* FP¹, *γένοιτο ἔν* P²: *γένοιτό κα* Meineke ‖ **18** *ἐπὶ* P¹ ‖ **19** *ἔν τι* P¹ | *ἡμῖν* P | *διαφόρους* FP

ἦμεν, ὥσπερ καὶ ἐπὶ τῶ σώματος ⟨ἄψιος ὄργανα καὶ⟩ ὁράσιος καὶ ἀκοᾶς καὶ γεύσιος καὶ ὀσφράσιος, οὐ γὰρ πάντα ποτὶ πάντα τὰν αὐτὰν ἔχει συναρμογάν), οὔτε μὰν ἐκ πλειόνων μὲν καὶ ἀνομοίων, τῶν τυχόντων μέντοι γε, ἀλλὰ τῶν ποττὰν τῶ ὅλω συστάματος ἐκπλάρωσιν καὶ σύνταξιν καὶ συναρμογὰν τευχθέντων· οὐ μόνον δὲ ἐκ πλειόνων καὶ ἀνομοίων καὶ τῶν ἐς τὸ ὅλον καὶ τέλεον τευχθέντων, ἀλλὰ καὶ αὐτῶν τούτων οὐκ εἰκαίως καὶ ὡς ἔτυχε συνταχθέντων, ἀλλὰ μετά τινος νόμω καὶ ἔμφρονος ἐπιστασίας.

[852] Αἴ τε γὰρ τὰν ἴσαν ἐφέρετο μοῖραν καὶ δυνάμιος καὶ τιμᾶς, ἀνόμοια ἐόντα καὶ τὰ μὲν χερείονα τὰ δὲ κάρρονα τὰ δὲ μέσα, οὔ κα ἐδύνατο ἃ κατὰ ψυχὰν τῶν μερέων κοινανία συναρμοσθῆμεν· αἴ τε ἀνίσας, μὴ τὰ κάρρονα δὲ τὰν μείζονα μοῖραν ἐφέρετο, ἀλλὰ τὰ χερείονα, πολλά ⟨κα⟩ ἀφροσύνα καὶ ἀταξία περὶ τὰν ψυχὰν ὑπᾶρχεν· αἴ τε τὰ κάρρονα μὲν τὰν μείζονα, τὰ χερείονα δὲ τὰν μείονα, μὴ ποτὶ λόγον δὲ ἕκαστον τούτων, οὔ κα ἐδύνατο ὁμόνοια καὶ φιλία καὶ δικαιότας ἦμεν περὶ τὰν ψυχάν, ἐπεὶ ὧ ἕκαστον ἓν ποτὶ λόγον συντέτακται τὸν ἁρμόσδοντα,

---

1 ἐπὶ ⟨τῶν⟩ τῶ σώματος ⟨αἰσθατηρίων⟩ Meineke | τοῦ FP | ἄψιος ὄργανα καὶ supplevi; ἄψιος καὶ add. Salmasius p. 170; eadem add. Meineke post ὁράσιος καὶ (2) ‖ **3** οὐδὲ FP: οὔτε Heeren ‖ **4** μάντοι FP: 'notanda haec forma' Meineke; mihi plane incredibilis videtur, itaque eam correxi ‖ **5** τῷ ὅλῳ F | ἐκπλήρωσιν FP ‖ **6** τευχόντων FP: τευχθέντων scripsi (fort. licuit etiam τετευχότων), τυχόντων Heeren ‖ **7** τυχόντων FP: correxi ‖ **8** εἰκαίων FP: corr. Meineke ‖ **9** νόμῳ F ‖ **10** αἴ τε P, αἵ τε F: corr. Heeren | ἐφέροντο FP: corr. Meineke ‖ **11** χείρονα FP: corr. Heeren ‖ **12** οὐκ ἀδύνατον FP: οὔ κα ἐδύνατο Meineke cum Valckenario ad Theocr. II 46 ‖ **13** κοινωνία FP | εὐνομασθῆναι μὲν FP: συναρμοσθῆμεν Valckenaer l. s. recte, cf. Diotog. ap. Stob. flor. 48, 62 | αἴ τε P, αἵ ταi F: αἱ δὲ Heeren | τὰν ἴσαν FP: ἀνίσας Usener, τὰν ἀνίσαν Heeren | τὰν κάρρονα FP: corr. Mullach ‖ **14** τὰ μείζονα FP: corr. Mullach | τὰν χείρονα FP: corr. Mullach ‖ **15** κα post πολλὰ add. Meineke | ὑπάρχεν P, ὑπάρχειν F: corr. Meineke ‖ **16** οὔτε FP: αἴ τε Heeren | τὰν κάρρονα F | τὰ μείζονα FP: corr. Mullach | χείρονα P ‖ **16. 17** τὰ μείονα FP: corr. Mullach ‖ **17** οὐκ ἂν δύνατο FP: corr. Meineke ‖ **19** ὧν FP: ὧ Meineke, sed falso interpretatus *ubi*, est genit. pronom. | ἐν FP: ἓν Heeren | ἁρμόζοντα FP

τὸ τοιοῦτον φαμὶ ἐγὼ δικαιότατα ἦμεν. Καὶ μὰν ὁμόνοιά τις καὶ ὁμοφροσύνα ὀπαδέει τᾷ τοιαύτᾳ διατάξι. Τὸ δὲ [854]
τοιοῦτον δικαίως κα λέγοιτο εὐνομία ἦμεν τᾶς ψυχᾶς, ἅτις ἐκ τῶ ἄρχεν μὲν τὸ κάρρον, ἄρχεσθαι δὲ τὸ χέρειον κράτος
5 ἐπιφέροιτο τᾶς ἀρετᾶς. Καὶ φιλία δὲ καὶ ἔρως καὶ φιλοφροσύνα σύμφυλος καὶ συγγενὶς ἐκ τούτων ἐξεβλάστασε τῶν μερέων. Συμπείθει μὲν γὰρ ὁ νόος ὁρανγούμενος, ἔραται δὲ ἃ ἐπιθυμία, ἃ δὲ θύμωσις ἐμπιπλαμένα μένεος, ἔχθρᾳ ζέοισα φίλα γίνεται τᾷ ἐπιθυμίᾳ. Ἁρμόξας γὰρ
10 ὁ νόος τὸ ἁδὺ τῷ λυπηρῷ συγκατακρεόμενος καὶ τὸ σύν- p. 106 C.
τονον καὶ σφοδρὸν τῷ κούφῳ μέρει τᾶς ψυχᾶς καὶ διαχυτικῷ· ἕκαστόν τε ἑκάστω πράγματος τὰν σύμφυλον καὶ συγγενέα προμάθειαν διαμεμέρισται, ὁ μὲν νόος ὁρανγούμενος καὶ στιβαζόμενος τὰ πράγματα, ἃ δὲ θύμωσις ὁρμὰν
15 καὶ ἀλκὰν ποτιφερομένα τοῖς ὁρανγαθεῖσιν· ἃ δὲ ἐπιθυ- [856]
μία φιλοστοργίᾳ συγγενὴς ἐᾶσα ἐφαρμόσδει τῷ νόῳ ἴδιον περιποιουμένα τὸ ἁδὺ καὶ τὸ σύννοον ἀποδιδοῖσα τῷ συννόῳ μέρει τᾶς ψυχᾶς. Ὥνπερ ἕκατι δοκέει μοι καὶ ὁ βίος ὁ κατ᾽ ἀνθρώπως ἄριστος ἦμεν, ὅκκα τὸ ἁδὺ τῷ σπου-
20 δαίῳ συγκατακραθῇ καὶ ⟨ἃ⟩ ἁδονὰ τᾷ ἀρετᾷ. Ποθαρμόξασθαι δ᾽ αὐτὰ ὁ νόος δύναται, παιδεύσιος καὶ ἀρετᾶς ἐπήρατος γενόμενος.

---

2 ὅπα δεῖ τὰ FP: *ὀπαδεῖ τᾷ* Heeren tamquam e cod. Vat. Aug. Esc. | *διατάξει* FP ‖ **3** *καὶ* FP: *κα* Gaisford ‖ **4** *ἐκ τῶν* FP: corr. Heeren ‖ **5** *τὰς ἀρετὰς* F: *ταῖς ἀρεταῖς* Meineke | *φιλία τε* Heeren ‖ **6** *ἐκ* P^2, *ἑ* F, *αἱ* P ‖ **7** *νόμος* P ‖ **8** *ἔραται* P^2 mrg, *ἐρᾶται* F, *ἐράτε* P^1 | *μένος* P ‖ **9** *ζέουσα* FP | *γίγνεται* P | *ἁρμόσας* FP ‖ **10** fort. *ὁ νόμος* | *συγκατακρεόμενος* P, *συγκατακρεώμενος* F: *συγκατακερώμενος* Heeren; *συγκατακεραίων μέρος* Meineke, debuit, nisi fallor, *συγκατακεραίει μέρος* ‖ **12** *ἑκάστῳ* F ‖ **15** *ὁρανγασθεῖσιν* FP: corr. Canter ‖ **16** *ἐᾶσσα* FP: *ἐᾶσα* Gaisford ex Aug.; cf. Ahrens dial. Dor. p. 325 | *ἐφαρμόζει* FP | *ἤδιον* F ‖ **17** *περιποιούμενα* FP: corr. Canter | *ἀδὺ* (*ἀ* corr. in *ἁ*) P | *σύνοον* P: vix sanum | *ἀποδιδοῦσα* FP ‖ **17.18** *συνόλῳ* FP: *συννόῳ* Meineke ‖ **18** *τῆς ψυχῆς* P ‖ **19** *ἀνθρώπων* FP: corr. Meineke | *ὅκκα* F ‖ **20** *ἁ* add. Meineke ‖ **22** *ἐπήρατος* corruptum: *ἐμπήραμος* Usener; *ἐπήβολος* temptabam | post Aesarae fragmentum (ignotum tamen quo loco) excerpta interciderunt, quibus philosophorum quorundam de anima sententiae con-

28 (24 H.) *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 34[B]—35[B]; p. 36[E]—37[C]).

Τὴν δὲ δὴ ψυχὴν οὐχ ὡς νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν, οὕτως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· οὐ γὰρ ἂν ἄρχεσθαι ὁ θεὸς πρεσβύτερον ἀπὸ νεωτέρου συνέρξας εἴασεν· ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ ταύτῃ πῃ καὶ λέγομεν, ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ ⟨προτέραν⟩ καὶ πρεσβυτέραν ψυχὴν σώματος ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου ξυνεστήσατο ἐκ τῶνδέ τε καὶ τοιῷδε τρόπῳ. Τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως αὖ πέρι καὶ τῆς τοῦ ἑτέρου, καὶ κατὰ ταῦτα ξυνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ. Καὶ τρία λαβὼν αὐτὰ ὄντα συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς ταὐτὸν ξυναρμόττων βίᾳ. Μιγνὺς δὲ μετὰ τῆς οὐσίας καὶ ἐκ τριῶν ποιησάμενος ἕν, πάλιν ὅλον τοῦτο μοίρας ὅσας προσῆκε διένειμεν, ἑκάστην δὲ ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην. —

Καὶ τὸ μὲν δὴ σῶμα ὁρατὸν οὐρανοῦ γέγονεν, αὐτὴ δὲ ἀόρατος μέν, λογισμοῦ δὲ μετέχουσα καὶ ἁρμονίας ψυχή, τῶν νοητῶν ἀεί τε ὄντων ὑπὸ τοῦ ἀρίστου ἀρίστη γενομένη τῶν γεννηθέντων. Ἅτε οὖν ἐκ τῆς ταὐτοῦ καὶ τῆς θατέρου φύσεως ἔκ τε οὐσίας τριῶν τούτων συγκραθεῖσα μοιρῶν, καὶ ἀνάλογον μερισθεῖσα καὶ ξυνδεθεῖσα,

---

tinebantur, inter eos probabiliter Aristander numerandus, cuius doctrinam novimus ex Procli comm. in Timaeum p. 187[B]; minus certa sunt quae praeterea disputavit Elter, de Stob. cod. Phot. p. 26 sq.

3 *νῦν* F Plat., *γῆν* P ‖ **5** *ὁ θεὸς* ante *πρεσβύτερον* om. Plat. | *ὑπὸ* Plat. ‖ **8** *προτέραν* om. FP, add. Plat. | *καὶ* (ante *πρεσβυτέραν*) om. P ‖ **9** *δεσπότην* P ‖ **10** *τε* om. P ‖ **13. 14** *τῆς θατέρου* Plat. cod. aliqu. ‖ **14** *ταῦτα* etiam FP ‖ **17** *ταυτὸ* P ‖ **19** *τοῦτο* Plat. plerique, *τούτῳ* FP et Plat. *A* | *προσᾶκε* F ‖ **25** *γενηθέντων* P | *ἅτε οὖν* Plat., *ἄτερος* FP | *αὐτοῦ* Plat. *A* ‖ **27** *ἀνὰ λόγον* Plat.

αὐτή τε ἀνακυκλουμένη πρὸς ἑαυτήν, ὅταν οὐσίαν σκεδαστὴν ἔχοντός τινος ἐφάπτηται καὶ ὅταν ἀμέριστον, λέγει διὰ πάσης ἑαυτῆς κινουμένη, ὅτῳ τ' ἂν τι ταὐτὸν ᾖ καὶ ὅτου ἂν ἕτερον, πρὸς ὅ τι τε μάλιστα καὶ ὅπῃ καὶ ὅπως καὶ ὁπότε ξυμβαίνει κατὰ τὰ γιγνόμενά τε πρὸς ἕκαστον ἕκαστά τε εἶναι καὶ πάσχειν καὶ πρὸς τὰ κατὰ ταὐτὰ ἔχοντα ἀεί· λόγος δὲ ὁ κατὰ ταὐτὸν ἀληθὴς γιγνόμενος, περὶ τε θάτερον ⟨ὢν⟩ καὶ περὶ τὸ ταὐτόν, ἐν τῷ κινουμένῳ ὑφ' αὑτοῦ φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται καὶ ⟨ὁ⟩ τοῦ θατέρου κύκλος ὀρθὸς ὢν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δὲ αὖ περὶ τὸ λογιστικὸν ᾖ καὶ ὁ τοῦ ταὐτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, νοῦς ἐπιστήμη τε ἐξ ἀνάγκης ἀποτελεῖται. Τούτω δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίγνεσθον, ἄν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν εἴπῃ, πᾶν μᾶλλον ἢ τἀληθὲς ἐρεῖ.

29 (25 H.) *Πλάτωνος Πολιτείας ι'* (p. 610^{E}—611^{B}).

Οὐκοῦν ὁπότε μηδ' ὑφ' ἑνὸς ἀπόλλυται κακοῦ, μι'τε οἰκείου μήτε ἀλλοτρίου, δῆλον ὅτι ἀνάγκη αὐτὸ ἀεὶ ὂν εἶναι· εἰ δ' ἀεὶ ὄν, ἀθάνατον. — Ἀνάγκη, ἔφη. — Τοῦτο μὲν τοίνυν, ἦν δ' ἐγώ, οὕτως ἐχέτω. Εἰ δ' ἔχει, ἐννοεῖς ὅτι ἀεὶ ἂν εἶεν αἱ αὐταί. Οὔτε γὰρ ἄν που ἐλάττους γένοιντο μηδεμιᾶς ἀπολλυμένης, οὔτε αὖ πλείους· εἰ γὰρ ὁτιοῦν τῶν ἀθανάτων πλέον γίγνοιτο, οἶσθ' ὅτι ἐκ τοῦ θνητοῦ ἂν γίγνοιτο καὶ πάντα ἂν εἴη τελευτῶντα ἀθάνατα. — Ἀληθῆ λέγεις. — Ἀλλ', ἦν δ' ἐγώ, μήτε

---

1 ἀνακυκλουμένη F Plat., ἀνάγκην καλουμένη P ‖ **2** καὶ ante ὅταν om. P | λέγει Plat., λέγῃ FP, λέγει sed λέγῃ sprscr. Plat. *A* ‖ **3** κινουμένη διὰ πάσης ἑαυτῆς Plat. ‖ **3. 4** καὶ ὅτῳ Plat. cod. aliqu. ‖ **4** πρὸς ὅ τι τε Plat., πρὸς ὅτε τι F, πρὸς ὅ τι τε τι P ‖ **6** τε ante εἶναι om. Plat. ‖ **8** ὢν om. FP, add. Plat. (ὂν add. *A*) ‖ **10** ὁ om. FP, add. Plat. ‖ **11** ὀρθὸς ὢν Plat. *A* al., ὀρθὸς ἐὼν FP, ὀρθὸς ἰὼν Plat. vulg. | διόξαι P^{1} ‖ **12** αὖ Plat., οὖ FP ‖ **13** λογιστικὸν F Plat., λογικὸν P | δύτροχος P^{1}, δύστροχος P^{2} ‖ **15** ἐγγίγνεσθον Plat., ἐγίγνεσθον FP ‖ **18** lemma in textu, FP mrg habet ‖ **22** ἦν δὲ (om. ἐγὼ) P

τοῦτο οἰώμεθα, ὁ γὰρ λόγος οὐκ ἐάσει, μήτε γε αὖ τῇ ἀληθεστάτῃ φύσει τοιοῦτον εἶναι ψυχήν, ὥστε πολλῆς ποικιλίας καὶ ἀνομοιότητός τε καὶ διαφορᾶς γέμειν αὐτὸ πρὸς αὑτό. — Πῶς λέγεις; ἔφη. — Οὐ ῥᾴδιον, ἦν δ' ἐγώ, ἀίδιον εἶναι σύνθετόν τε ἐκ πολλῶν καὶ μὴ τῇ καλλίστῃ κεχρημένον συνθέσει, ὡς νῦν ἡμῖν ἐφάνη ἡ ψυχή. — Οὔκουν εἰκός γε. — Ὅτι μὲν τοίνυν ἀθάνατον ψυχή, καὶ ὁ ἄρτι λόγος καὶ οἱ ἄλλοι ἀναγκάσειαν ἄν.

30 (26 H.) *Πλάτωνος Πολιτείας δ'* (p. 436[A-B]; p. 439[A]—440[A]).

Τόδε δὲ ἴδη χαλεπόν, εἰ τῷ αὐτῷ τούτῳ ἕκαστα πράττομεν, ἢ τρισὶν οὖσιν ἄλλο ἄλλῳ· μανθάνομεν μὲν ἑτέρῳ, θυμούμεθα δὲ ἄλλῳ τῶν ἐν ἡμῖν, ἐπιθυμοῦμεν δ' αὖ τρίτῳ τινὶ τῶν περὶ τὴν τροφήν τε καὶ γέννησιν ἡδονῶν καὶ ὅσα τούτων ἀδελφά, ἢ ὅλῃ τῇ ψυχῇ καθ' ἕκαστον αὐτῶν πράττομεν, ὅταν ὁρμήσωμεν. Ταῦτ' ἔσται τὰ χαλεπὰ διορίσασθαι ἀξίως λόγου. — Καὶ ἐμοὶ δοκεῖ, ἔφη. —

Τοῦ διψῶντος ἡ ψυχή, καθ' ὅσον διψῇ, οὐ βούλεται ἄλλο τι ἢ πιεῖν, καὶ τούτου ὀρέγεται καὶ ἐπὶ τοῦτο ὁρμᾷ. — Δῆλον δή. — Οὐκοῦν εἴ ποτέ τι αὐτὴν ἀνθέλκει διψῶσαν, ἕτερόν τι ἂν ἐν αὐτῇ εἴη αὐτοῦ τοῦ διψῶντος καὶ ἄγοντος ὥσπερ θηρίον ἐπὶ τὸ πιεῖν; Οὐ γὰρ δή, φαμέν, τό γε αὐτὸ τῷ αὐτῷ ἑαυτοῦ περὶ τὸ αὐτὸ ἅμα τἀναντία πράττοι. — Οὐ γὰρ οὖν. — Ὥσπερ γε, οἶμαι, τοῦ τοξότου οἱ καλῶς ἔχει λέγειν, ὅτι αὐτοῦ ἅμα αἱ χεῖρες τὸ τόξον ἀπωθοῦνταί τε καὶ προσέλκονται, ἀλλ' ὅτι ἄλλη μὲν ἡ ἀπωθοῦσα χείρ, ἑτέρα δὲ ἡ προσαγομένη. — Παντάπασι μὲν οὖν, ἔφη. — Πότερον δὴ φῶμέν τινας ἔστιν ὅτε δι-

---

1 οἰώμεθα F et Plat., οἰώθαμεν corr. in οἰώμεθα P ‖ 4 αὐτὸ Plat., αὐτὸ FP ‖ 7 οὔκουν Plat. plerique, οὐκ οὖν FP ‖ 8 ὁ om. P[1] ‖ 11 τόδε (δ ex γ corr.) F ‖ 13 αὖ Plat., ἂν FP ‖ 14 τῶν F Plat., τῆς P | τε om. P | γένεσιν Plat. vulg. ‖ 16 ὁρμήσομεν P ‖ 17 post ἔφη nullum spatium ne punctum quidem in FP ‖ 18 ante ἡ ψυχὴ add. Plat. ἆρα | διψῇ Plat., διψᾷ FP ‖ 18. 19 οἰκ ἄλλο τι βούλεται Plat. ‖ 21 ἕτερον ἄν τι Plat. | ἐν ἑαυτῇ P ‖ 22 ἐπὶ τὸ P[1] Plat., ἐπὶ τῷ F, ἀπὸ τοῦ P[2] ‖ 28 πότερον Plat., πρότερον FP

ψῶντας οὐκ ἐθέλειν πιεῖν; — Καὶ μάλα γε, ἔφη, πολλοὺς καὶ πολλάκις. — Τί οὖν, ἔφην ἐγώ, φαίη τις ἂν τούτων πέρι; οὐκ ἐνεῖναι μὲν ἐν τῇ ψυχῇ αὐτῶν τὸ κελεῦον, ἐνεῖναι δὲ τὸ κωλῦον πιεῖν, ἄλλο ὂν καὶ κρατοῦν τοῦ κελεύοντος; — Ἔμοιγε δοκεῖ, ἔφη. — Ἆρ' οὖν οὐ τὸ μὲν κωλῦον τὰ τοιαῦτα ἐγγίγνεται, ὅταν ἐγγένηται, ἐκ λογισμοῦ, τὰ δὲ ἄγοντα καὶ ἕλκοντα διὰ παθημάτων τε καὶ νοσημάτων παραγίγνεται; — Φαίνεται. — Οὐ δὴ ἀλόγως, ἦν δ' ἐγώ, ἀξιώσομεν αὐτὰ διττά τε καὶ ἕτερα ἀλλήλων εἶναι, τὸ μὲν ᾧ λογίζεται λογιστικὸν προσαγορεύοντες τῆς ψυχῆς, τὸ δ' ᾧ ἐρᾷ τε καὶ πεινῇ καὶ διψῇ καὶ περὶ τὰς ἄλλας ἐπιθυμίας ἐπτόηται ἀλόγιστόν τε καὶ ἐπιθυμητικόν, πληρώσεών τινων καὶ ἡδονῶν ἑταῖρον. — Οὔκ, ἀλλ' εἰκότως, ἔφη, ἡγοίμεθ' ἂν οὕτως. — Ταῦτα μὲν τοίνυν, ἦν δ' ἐγώ, δύο ἡμῖν ὡρίσθω εἴδη ἐν ψυχῇ ἐνόντα· τὸ δὲ δὴ τοῦ θυμοῦ καὶ ᾧ θυμούμεθα πότερον ⟨τρίτον⟩, ἢ τούτων ποτέρῳ ἂν εἴη ὁμοφυές; — Ἴσως, ἔφη, τῷ ἑτέρῳ ⟨τῷ⟩ ἐπιθυμητικῷ. — Ἀλλ', ἦν δ' ἐγώ, ποτὲ ἀκούσας τι πιστεύω τούτῳ, ὡς ἄρα Λεόντιος ὁ Ἀγλαίωνος ἀνιὼν ἐκ Πειραιέως ὑπὸ τὸ βόρειον τεῖχος ἐκτός, αἰσθόμενος νεκροὺς παρὰ τῷ δημίῳ κειμένους, ἅμα μὲν ἰδεῖν ἐπιθυμοίη, ἅμα δὲ δυσχεραίνοι καὶ ἀποτρέποι ἑαυτόν, καὶ τέως μὲν μάχοιτο καὶ παρακαλύπτοιτο, κρατούμενος δ' οὖν ὑπὸ τῆς ἐπιθυμίας, διελκύσας τοὺς ὀφθαλμούς, προσδραμὼν πρὸς τοὺς νεκρούς, ἰδού ὑμῖν, ἔφη, ὦ κακοδαίμονες, ἐμπλήσθητε τοῦ καλοῦ θεάματος. — Ἤκουσα, ἔφη, καὶ αὐτός. — Οὗτος μέντοι, ἔφην, ὁ λόγος σημαίνει τὴν ὀργὴν πολεμεῖν ἐνίοτε ταῖς ἐπιθυμίαις, ὡς ἄλλο ὂν ἄλλῳ. — Σημαίνει γάρ, ἔφη.

---

3 περί P | εἶναι μὲν P ‖ **5** ἔμοιγε, ἔφη, δοκεῖ Plat. ‖ **10** προσαγορεύεται F ‖ **13** ἑταῖρον Plat., ἕτερον FP ‖ **16** τρίτον om. FP, add. Plat. ‖ **17** τῷ post ἑτέρῳ om. FP, add. Plat. ‖ **18** ποπε P ‖ **19** τούτῳ Plat., τοῦτο FP ‖ **19. 20** Πειραιῶς Plat. Paris. *K* ‖ **20** ἐκτὸς etiam FP | αἰσθόμενος FP^2 Plat. *A*, αἰσχόμενος P^1, αἰσθανόμενος Plat. vulg. ‖ **21** ἐπιθυμοίη F, ἐπιθυμείη P, ἐπιθυμοῖ Plat. | δ' αὖ Plat. ‖ **22. 23** μάχοιτό τε καὶ Plat. ‖ **25** ἡμῖν P | ἐμπλήσθητε Plat., ἐπλήσθητε FP ‖ **27** τὸν θυμὸν Plat. Mon. et Flor. ‖ **28** ὡς om. F

[858] 31 (27 H.) Ἐν ταὐτῷ (p. 440^{E}—441^{C}).

Ἆρ᾽ οὖν ἕτερον ὂν καὶ τούτου, ἢ λογιστικόν τι εἶδος, ὥστε μὴ τρία ἀλλὰ δύο εἴδη εἶναι ἐν ψυχῇ, λογιστικὸν καὶ ἐπιθυμητικόν; ἢ καθάπερ ἐν τῇ πόλει ξυνεῖχεν αὐτὴν τρία ὄντα γένη, χρηματιστικόν, ἐπικουρητικόν, βουλευτικόν, οὕτω καὶ ἐν ψυχῇ τρίτον τοῦτό ἐστι τὸ θυμοειδές, ἐπίκουρον ὂν τῷ λογιστικῷ φύσει, ἐὰν μὴ ὑπὸ κακῆς τροφῆς διαφθαρῇ; — Ἀνάγκη, ἔφη, τρίτον. — Ναί, ἦν δ᾽ ἐγώ, ἄν γε τοῦ λογιστικοῦ ἄλλο τι, ὥσπερ τοῦ ἐπιθυμητικοῦ ἐφάνη ἕτερον ὄν. — Ἀλλ᾽ οὐ χαλεπόν, ἔφη, φανῆναι· καὶ γὰρ ἐν τοῖς παιδίοις τοῦτο [οὖ] ἄν τις ἴδοι, ὅτι θυμοῦ μὲν εὐθὺς γενόμενα μεστά ἐστι, λογισμοῦ δὲ ἔνιοι μὲν ἔμοιγε δοκοῦσιν οὐδέποτέ γε μεταλαμβάνειν, οἱ δὲ πολλοὶ ὀψέ ποτε. — Ναὶ μὰ Δί᾽, ἦν δ᾽ ἐγώ, καλῶς γε εἶπες. Ἔτι δὲ ἐν τοῖς θηρίοις ἄν τις ἴδοι ὃ λέγεις, ὅτι οὕτως ἔχει. Πρὸς δὲ τούτοις καὶ ἃ ἄνω που ἐκεῖ εἴπομεν, τὸ τοῦ Ὁμήρου μαρτυρήσει, τὸ (υ 17)

p. 107 C. στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·

ἐνταῦθα γὰρ δὴ σαφῶς ὡς ἕτερον ἑτέρῳ ἐπιπλῆττον πεποίηκεν Ὅμηρος τὸ ἀναλογισάμενον περὶ τοῦ βελτίονός τε καὶ χείρονος τῷ ἀλογίστως θυμουμένῳ. — Κομιδῇ, ἔφη, ὀρθῶς λέγεις.

32 (28 H.) ⟨Ἰαμβλίχου ἐκ τοῦ περὶ ψυχῆς.⟩

Ἀριστοτέλης (de anima I 2 p. 405^{b} 10) μὲν οὖν τὰ μάλιστα δοκοῦντα τῇ ψυχῇ ὑπάρχειν εἰς τρία τὰ κυριώτατα γένη ἀναγαγών, κίνησίν τε καὶ γνῶσιν καὶ λεπτότητα οὐσίας, ἣν ἐνίοτε καὶ ἀσώματον ὑπόστασιν ἐπονομάζει, ἐς ταῦτα

---

1 lemma habent FP mrg ‖ **2** *τούτου* Plat., *τοῦτο* FP ‖ **3** ante *ψυχῇ* add. *τῇ* P et Plat. vulg. ‖ **5** *ἐπικουρικὸν* Plat. praeter *A* ‖ **7** *λογικῷ* P ‖ **9** *ἂν δὲ* P | *τοῦ λογικοῦ* P | post *ἄλλο τι* add. *φανῇ* Plat. ‖ **11** *οὗ* P, *οὗ* (circumfl. in acut. mutato) F, *γ᾽* Plat.: seclusi ‖ **13** *γε* post *οὐδέποτε* om. Plat. ‖ **15** *ἔτι* Plat., *ἔστι* FP ‖ **16** *καὶ ὃ* Plat. ‖ **19** *ἐν ταῖτα* P ‖ **23** lemma in FP deest (nisi quod *ἀριστοτέλους* in P); addidi coll. p. 317, 20, ecl. II 1, 16; 31, 32; flor. 25, 6 cum Cantero, qui mrg 'Iamblichi de anima' adscripsit sola coniectura nisus

τὰ τρία τὰς καθ' ἕκαστα διωρισμένας ἐπαναφέρει δόξας, πέρας τῶν ἀπείρων ἀνευρὼν οὕτω καὶ σαφῆ καὶ σύντομον περίληψιν. Ἐγὼ δὲ ὁρῶ ἐν τούτοις τοῖς ὅροις πολὺ μὲν τὸ ὁμώνυμον καὶ συγκεχυμένον, (οὐ γὰρ ὡσαύτως αἱ κατὰ μεταβολὴν καὶ αἱ κατὰ ζωὴν θεωροῦνται κινήσεις, ἢ αἱ μορφωτικαὶ καὶ ⟨αἱ⟩ ἄμορφοι γνώσεις, ἢ αἱ τοῦ ἀέρος καὶ αἱ τῶν καθ' αὑτὰ ἀσωμάτων καθαρότητες τῆς οὐσίας,) πολὺ δὲ καὶ τὸ ἀτελὲς αὐτῶν καὶ ἐνδεές· οὐ γὰρ ἔνεστι πάντα περιλαβεῖν τὰ γένη τῶν δοξῶν ἐν τοῖς τρισὶ τούτοις ὅροις.

Τινὲς εἰς τὰς τῶν τεσσάρων στοιχείων ἀρχὰς τὴν [860] οὐσίαν τῆς ψυχῆς ἐπαναφέρουσιν. Εἶναι μὲν γὰρ τὰ πρῶτα σώματα ἄτομα, πρὸ τῶν τεσσάρων στοιχείων στοιχειωδέστερα· εἰλικρινῆ δ' ὄντα καὶ πεπληρωμένα πάντῃ καθαρᾶς πρώτης οὐσίας μὴ δέχεσθαι μηδ' ὁπωστιοῦν εἰς αὑτὰ διαίρεσιν. Ταῦτα τοίνυν ἄπειρα ἔχειν σχήματα, ἓν δὲ αὐτῶν εἶναι τὸ σφαιροειδές, ἀπὸ δὴ τῶν σφαιροειδῶν ἀτόμων εἶναι τὴν ψυχήν.

Ὡς δὲ τῶν Ἀριστοτελικῶν τινες ὑφηγοῦνται, εἶδός ἐστι τὸ περὶ τοῖς σώμασιν, ἢ ποιότης ἁπλῆ ἀσώματος ἢ ποιότης οὐσιώδης τελεία· ᾗ παράκειται δόξῃ οὐ παραδοθεῖσα μέν, δυναμένη δὲ πιθανῶς λέγεσθαι αἵρεσις, ἡ τὴν συνδρομὴν τῶν ὅλων ποιοτήτων καὶ τὸ ἓν αὐτῶν κεφάλαιον, εἴτε τὸ ἐπιγιγνόμενον ἢ τὸ προϋπάρχον, τιθεμένη τὴν ψυχήν.

Μετὰ δὴ ταῦτα τοὺς εἰς μαθηματικὴν οὐσίαν ἐντι-

---

1 ἑκάστους Usener ‖ **3** ὁρῶν FP: corr. Canter ‖ **5** καὶ αἱ F, ἢ (in καὶ corr.) αἱ P | ἢ αἱ (ante μορφωτικαὶ [6]) P^2, ἢ καὶ FP^1 ‖ **6** μοφωτικαὶ P^1 | ἢ ἄμορφοι FP: καὶ ⟨αἱ⟩ ἄμορφοι scripsi ‖ **7** ἢ αἱ τῶν FP: καὶ αἱ τῶν scripsi | αὐτὰ F ‖ **9** τῆς δόξης FP: τῶν δοξῶν Usener ‖ **11—18** haec ad Leucippum et Democritum spectant: cf. Arist. de anima I 2 p. 403b 31sqq. et 405a 8 ‖ **15** ὁπωστινοῦν FP: corr. Usener ‖ **16** αὐτὰ FP: corr. Heeren ‖ **18** ἀτόμων F, αὐτῶν P ‖ **20** ἐπὶ τοῖς Meineke ‖ **21** δόξα FP: corr. Usener ‖ **22. 23** ἥ τε συνδρομὴ FP: ἡ τὴν συνδρομὴν Meineke cum Heereno ‖ **24** εἴτε τὸ F, ἥτε τὸ P ‖ **24. 25** προυπάρχοντι θεμένη P ‖ **26** num μαθηματικὴν ἰδέαν?

θέντας τὴν οὐσίαν τῆς ψυχῆς καταλέγω διευκρινημένως.
[862] *Ἔστι δὴ γένος ἕν τι αὐτῆς τὸ σχῆμα, πέρας ὂν διαστάσεως, καὶ αὐτὴ ⟨ἡ⟩ διάστασις. Ἐν αὐτοῖς μὲν οὖν τούτοις Σεβῆρος ὁ Πλατωνικὸς αὐτὴν ἀφωρίσατο, ἐν ἰδέᾳ δὲ τοῦ πάντῃ διαστατοῦ Σπεύσιππος· ἐν αἰτίᾳ δὲ ἤτοι ἑνώσει τούτων ἄλλος ἄν τις καθαρώτερον αὐτὴν προστήσαιτο τελεώτατα. Πάλιν τοίνυν ὁ ἀριθμὸς ἐν ἑτέρῳ γένει κεῖται. Ἀλλὰ καὶ τοῦτον ἁπλῶς μὲν οὕτως ἔνιοι τῶν Πυθαγορείων τῇ ψυχῇ συναρμόζουσιν· ὡς δ' αὐτοκίνητον Ξενοκράτης, ὡς δὲ ⟨ἐν⟩ λόγοις περιέχουσιν Μοδέρατος*
[864] *ὁ Πυθαγόρειος, ὡς δὲ κριτικὸν κοσμουργοῦ θεοῦ ὄργανον Ἵππασος, ὁ ἀκουσματικὸς τῶν Πυθαγορείων· ὡς δ' Ἀριστοτέλης* (de anima I 2 p. 404[b] 18—24) *ἱστορεῖ, Πλάτων ἐκ τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους ⟨καὶ πλάτους⟩ καὶ βάθους αὐτὸ τὸ ζῷον προϋποτιθέμενος καὶ τὸ μὲν ἓν νοῦν, τὴν δὲ δυάδα ἐπιστήμην, δόξαν δὲ τον τοῦ ἐπιπέδου ἀριθμόν, τὸν δὲ τοῦ στερεοῦ [τὴν] αἴσθησιν διοριζόμενος.*

Ἔτι τοίνυν τὴν ἁρμονίαν ἴδωμεν, οὐ τὴν ἐν σώμασιν ἐνιδρυμένην, ἀλλ' ἥτις ἐστὶ μαθηματική. Ταύτην τοίνυν, ὡς μὲν ἁπλῶς εἰπεῖν, τὴν τὰ διαφέροντα ὁπωσοῦν σύμμετρα καὶ προσήγορα ἀπεργαζομένην ἀναφέρει εἰς τὴν ψυχὴν Μοδέρατος· τὴν δ' ὡς ἐν οὐσίαις καὶ ζωαῖς καὶ γενέσει πάντων μεσότητα καὶ σύνδεσιν ὁ Τίμαιος (Locr. p. 99[a] sq.) *αὐτῇ ἀνατίθησι, τὴν δ' ὡς ἐν λόγοις τοῖς κατ'*

---

1 *καταλέγω διευκρινημένως* F, *καταλέγωσιν εὐκρινμένως* P: *καταλέγωμεν εὐκρινῶς* Heeren ‖ **2** *ἕν τι* F, *ἔτι* P ‖ **3** *αὐτὴ* in *αὐτὴ* corr. P | *ἡ* addidi | *οὖν* om. F ‖ **4** *αὐτὴν ἀφωρίσατο* om. Heeren | *δὲ* om. P ‖ **5** *ἀδιαστάτου* Ravaisson, Speus. pl. p. 40 male | *Σπεύσιππος* P[2], *πεύσιππος* FP[1] | *ἤ τῇ* FP: *ἤτοι* Usener ‖ **6** *καθαρωτέραν* Heeren ‖ **6. 7** an *αὐτῆς προστήσαιτο ⟨τὴν⟩ τελειότητα*? | *προσήσαιτο* P ‖ **9** *συναρμόσουσιν* P ‖ **10** *λόγους* FP: *⟨ἐν⟩ λόγοις* Usener coll. v. 25 | *περιέχουσαν* FP[2], *περιέχουσα* P[1]: *περιέχουσιν* Usener, *περιέχοντα* (scil. *ἀριθμὸν*) Heeren ‖ **14. 15** *καὶ πλάτους* om. FP: add. Heeren coll. Arist. de an. l. s. ‖ **15** *τοῦτο ζωὴν* FP: *τὸ ζῷον* Usener ‖ **16** *δὲ τὴν τοῦ* P ‖ **17** *τὴν* delevi ‖ **20** *ὅτις* FP: corr. Canter | *μαθηματικὴ* F, *θαυμαστικὴ* P: *φανταστικὴ* Canter mrg | *ταύτης* Meineke ‖ **24** *τούτων* FP: *πάντων* Usener

οὐσίαν προϋπάρχουσι Πλωτῖνος καὶ Πορφύριος καὶ Ἀμέλιος παραδεδώκασι, τὴν δὲ συνδιαπλεκομένην τῷ p. 108 C.
κόσμῳ καὶ ἀχώριστον τοῦ οὐρανοῦ πολλοὶ δή τινες τῶν Πλατωνικῶν καὶ Πυθαγορείων προκρίνουσιν.

Ἴθι δὴ οὖν ἐπὶ τὴν καθ' αὑτὴν ἀσώματον οὐσίαν [866]
ἐπανίωμεν, διακρίνοντες καὶ ἐπ' αὐτῆς ἐν τάξει τὰς περὶ
ψυχῆς πάσας δόξας. Εἰσὶ δή τινες, οἳ πᾶσαν τὴν τοι-
αύτην οὐσίαν ὁμοιομερῆ καὶ τὴν αὐτὴν καὶ μίαν ἀποφαί-
νονται, ὡς καὶ ἐν ὁτῳοῦν αὐτῆς μέρει εἶναι τὰ ὅλα· οἵτι-
νες καὶ ἐν τῇ μεριστῇ ψυχῇ τὸν νοητὸν κόσμον καὶ θεοὺς
καὶ δαίμονας καὶ τἀγαθὸν καὶ πάντα τὰ πρεσβύτερα γένη
αὐτῆς ἐνιδρύουσι καὶ ἐν πᾶσιν ὡσαύτως πάντα εἶναι ἀπο-
φαίνονται, οἰκείως μέντοι κατὰ τὴν αὐτῶν οὐσίαν ἐν ἑκά-
στοις. Καὶ ταύτης τῆς δόξης ἀναμφισβητήτως μέν ἐστι
Νουμήνιος (fr. 48 p. 69 Theding.), οὐ πάντῃ δὲ ὁμολο-
γουμένως Πλωτῖνος, ἀστάτως δὲ ἐν αὐτῇ φέρεται
Ἀμέλιος· Πορφύριος δὲ ἐνδοιάζει περὶ αὐτήν, πῇ
μὲν διατεταμένως αὐτῆς ἀφιστάμενος, πῇ δὲ συνακολου-
θῶν αὐτῇ, ὡς παραδοθείσῃ ἄνωθεν. Κατὰ δὴ ταύτην
νοῦ καὶ θεῶν καὶ τῶν κρειττόνων γενῶν οὐδὲν ἡ ψυχὴ
διενήνοχε κατά γε τὴν ὅλην οὐσίαν.

Ἀλλὰ μὴν ἥ γε πρὸς ταύτην ἀνθισταμένη δόξα χω-
ρίζει μὲν τὴν ψυχήν, ὡς ἀπὸ νοῦ γενομένην δευτέραν
καθ' ἑτέραν ὑπόστασιν, τὸ δὲ μετὰ νοῦ αὐτῆς ἐξηγεῖται
ὡς ἐξηρτημένον ἀπὸ τοῦ νοῦ, μετὰ τοῦ κατ' ἰδίαν ὑφε-
στηκέναι αὐτοτελῶς, χωρίζει δὲ αὐτὴν καὶ ἀπὸ τῶν
κρειττόνων γενῶν ὅλων, ἴδιον δὲ αὐτῇ τῆς οὐσίας ὅρον [868]
ἀπονέμει ἤτοι τὸ μέσον τῶν μεριστῶν καὶ ἀμερίστων

---

4 καὶ om. P ‖ **5** ἴθι P², ἴσθι FP¹ ‖ **7** δή om. P ‖ **9** ἐντωουν (ἐν τῶουν F) αὐτῶν FP: corr. Heeren ‖ **11. 12** ἐν αὐτῇ FP: γένη αὐτῆς Usener ‖ **13. 14** ἑκάστ (supra τ sprscr. ς) F ‖ **14** καὶ ταύτης P², κατὰ ταύτης FP¹ | ἀναμφισβήτως FP: corr. Heeren ‖ **16** φέρεται P ‖ **17** ἐνδιάζει P ‖ **18** διατεταγμένως FP: corr. Meineke ‖ **18. 19** συνακολουθεῖν F ‖ **21** γε om. Heeren ‖ **24** μετὰ νοῦν F, μενοῦν P: corr. cod. Vatic. ‖ **26** μερίζει FP: χωρίζει Canter mrg

⟨τῶν τε σωματικῶν καὶ ἀ⟩σωμάτων γενῶν, ἢ τὸ πλήρωμα τῶν καθόλου λόγων, ἢ τὴν μετὰ τὰς ἰδέας ὑπηρεσίαν τῆς δημιουργίας, ἢ ζωὴν παρ' ἑαυτῆς ἔχουσαν τὸ ζῆν τὴν ἀπὸ τοῦ νοητοῦ προελθοῦσαν, ἢ τὴν αὖ τῶν γενῶν ὅλου τοῦ ὄντως ὄντος πρόοδον εἰς ὑποδεεστέραν οὐσίαν. Περὶ δὴ ταύτας τὰς δόξας ὅ τε Πλάτων αὐτὸς καὶ ὁ Πυθαγόρας, ὅ τε Ἀριστοτέλης καὶ ἀρχαῖοι πάντες, ὧν ὀνόματα μέγαλα ἐπὶ σοφίᾳ ὑμνεῖται, τελέως ἐπιστρέφονται, εἴ τις αὐτῶν τὰς δόξας ἀνιχνεύοι μετ' ἐπιστάσεως· ἡμεῖς τε περὶ αὐτὰς τὴν μετ' ἀληθείας πραγματείαν πᾶσαν πειρασόμεθα ἐνστήσασθαι.

Τινὲς δὲ τῶν φυσικῶν σύνοδον τῶν ἐναντίων συνυφαίνουσιν, οἷον θερμοῦ καὶ ⟨ψυχροῦ⟩, ξηροῦ καὶ ὑγροῦ. Καὶ γὰρ τὸ ζῆν ἀπὸ τοῦ ἀναζεῖν ὑπὸ τοῦ θερμοῦ καὶ τὴν ψυχὴν ἀπὸ τοῦ ἀναψύχεσθαι ὑπὸ τοῦ ψυχροῦ ὠνομάσθαι ἀποφαίνονται, καὶ ἅμα ἐπ' ἀμφοτέρων [ἢ] τὸν ἀναπνεόμενον ἀέρα ψυχὴν νομίζουσιν· ὥσπερ Ἀριστοτέλης (de anima I 5 p. 410^{b} 27 sq.) μὲν ἐν τοῖς Ὀρφικοῖς ἔπεσί
[870] φησι λέγεσθαι τὴν ψυχὴν εἰσιέναι ἐκ τοῦ ὅλου ἀναπνεόντων ἡμῶν φερομένην ὑπὸ τῶν ἀνέμων· ἔοικέ γε μὴν αὐτὸς ὁ Ὀρφεὺς χωρὶς ὑπολαμβάνειν εἶναι καὶ μίαν τὴν ψυχήν, ἀφ' ἧς πολλὰς μὲν εἶναι διαιρέσεις, πολλὰς δὲ καὶ ἀμέσους ἐπιπνοίας καθήκειν ἐπὶ τὰς μεριστὰς ψυχὰς ἀπὸ τῆς ὅλης ψυχῆς.

Τινὲς μὲν τῶν Ἀριστοτελικῶν αἰθέριον σῶμα τὴν ψυχὴν τίθενται· ἕτεροι δὲ τελειότητα αὐτὴν ἀφορί-

---

1 σωμάτων FP: ⟨τῶν τε σωματικῶν καὶ ἀ⟩σωμάτων Usener ‖ **2** ἢ τὴν FP: καὶ τὴν vulg. cum Cantero ‖ **4** προσελθουσῶν FP: corr. Usener | τῶν αὐτῶν γενῶν FP: τὴν αὖ τῶν γενῶν idem | ante ὅλου add. ἢ perperam Heeren ‖ **5** ὄντος om. P ‖ **6** δὲ FP: δὴ Usener ‖ **7** πᾶν P ‖ **8** μεγάλα F, μεγάλ P: μεγάλως Heeren ‖ **9. 10** ἐπιστήμης FP: corr. Usener ‖ **10** ἡμεῖς δὲ Heeren | τὴν om. Heeren ‖ **12—16** cf. Ar. de an. I 2 p. 405^{b} 23 sqq. ‖ **12** συνόδων FP: corr. Canter ‖ **13** καὶ (post θερμοῦ) om. F | ψυχροῦ add. Heeren ‖ **16** ἢ FP: seclusi, καὶ Canter ‖ **18** μὲν del. Meineke | φυσικοῖς FP: Ὀρφικοῖς Gaisford ex Ar. l. s. ‖ **19** ὡς εἰσὶν F, ὡς εἰσὴν P: εἰσιέναι Canter, πως εἰσιέναι Meineke ‖ **23** μέσας FP: ἀμέσους Usener

ζονται κατ' οὐσίαν τοῦ θείου σώματος, ἣν ἐντελέχειαν καλεῖ Ἀριστοτέλης, ὥσπερ δὴ ἐν ἐνίοις Θεόφραστος, ἢ τὸ ἀπογεννώμενον ἀπὸ τῶν θειοτέρων γενῶν ὅλων, ὥσπερ ἄν τις νεωτερίσειεν ἐν ταῖς ἐπινοίαις· ἢ τὸ συγκεκραμένον τοῖς σώμασιν, ὥσπερ οἱ Στωικοὶ λέγουσιν· ἢ τὸ τῇ φύσει συμμεμιγμένον ἢ τὸ τοῦ σώματος ὂν ὥσπερ τὸ ἐψυχῶσθαι, αὐτῇ δὴ μὴ παρὸν τῇ ψυχῇ ὥσπερ ὑπάρχειν, οἷα δὴ λέγεται περὶ ψυχῆς παρὰ Δικαιάρχῳ τῷ Μεσσηνίῳ.

33 (29 H.) *Ἐν ταὐτῷ· περὶ δυνάμεων ψυχῆς.* p. 106 C. [872]

Πλάτων μὲν οὖν οὐχ ὡς ἑτέρας τὰς δυνάμεις ἐν ἑτέρᾳ τῇ ψυχῇ ἐνεῖναι ἡγεῖται, συμφύτους δ' αὐτὰς καὶ κατὰ μίαν ἰδέαν συνυφεστηκέναι λέγει διὰ τὴν ἀσύνθετον οὐσίαν τῆς ψυχῆς. Ἀριστοτέλης δὲ ὡσαύτως ἁπλῆν οὐσίαν, ἀσώματον, εἴδους τελεσιουργὸν τὴν τῆς ψυχῆς ὑποθέμενος, οὐ ποιεῖ τὰς δυνάμεις ὡς ἐν συνθέτῳ τινὶ τῇ ψυχῇ παρούσας. Ἀλλὰ μὴν οἵγε ἀπὸ Χρυσίππου [874] *καὶ Ζήνωνος φιλόσοφοι καὶ πάντες ὅσοι σῶμα τὴν ψυχὴν νοοῦσι τὰς μὲν δυνάμεις ὡς ἐν τῷ ὑποκειμένῳ ποιότητας συμβιβάζουσι, τὴν δὲ ψυχὴν ὡς οὐσίαν προϋποκειμένην ταῖς δυνάμεσι τιθέασιν, ἐκ δ' ἀμφοτέρων τούτων σύνθετον φύσιν ἐξ ἀνομοίων συνάγουσιν. Ταύτῃ*

---

1 *ἐνδελέχειαν* FP: corr. Heeren ‖ **3** *γενῶν* om. P ‖ **4** *ἐν* delet Usener | *ταῖς ἐπινοίαις* suspectum Heereno; libri titulum putat Meineke; sed ut assolet Iamblichus hic ipse novam quandam, quae per se excogitari potuerit, quamquam nondum ab ullo philosopho prolata sit, profert opinionem; itaque *νεωτ. ἐν ταῖς ἐπινοίαις* idem valet atque infra p. 882 H. *ἐπινοήσειε καινότερον* ‖ **6. 7** *ὥσπερ τὸ ἐμψυχῶσθαι* FP: 'nisi reconditius aliquid latet, scribendum *ὡσπερεὶ ἐψυχῶσθαι* vel *ἐνεψυχῶσθαι*' Meineke; post *ὄν* add. *ἀχώριστον* et maiorem lacunam statuit Heeren; sufficiat *ὥσπερ τὸ ἐψυχῶσθαι*: cf. Cic. Tusc. I 10, 21 ‖ **7** *δὲ* FP: *δὴ* scripsi | *ὥσπερ* corruptum; fort. *ὁπωσοῦν* coll. Euseb. praep. ev. XV 9, 5 ‖ **7. 8** *ὑπάρχον* FP: correxi ‖ **10** *δυνάμεως* FP: corr. Meineke | post *ψυχῆς* add. lemma *πλάτωνος* P ‖ **13** *συνεφεστηκέναι* P | *σύνθετον* FP: corr. Wyttenbach ‖ **15** *τελεσιουργὸν* P^2, *τελεσιουργοῦ* FP^1 ‖ **16** *ὑποτιθέμενος* Heeren ‖ **21** *προτιθέασιν* FP: correxi, *ταῖς δυνάμεσιν* ad *προϋποκειμένην* referens ‖ **22** *αὗται* F (ante *αυ* spat. rel. pro rubr. post clausulam), *ταῦτα* P: *ταύτῃ* Usener, *αὗται* Heeren

τοίνυν αἱ δυνάμεις αὐτῆς τῆς ψυχῆς καθ' αὑτὴν ἢ τοῦ ἔχοντος τοῦ κοινοῦ μετὰ τοῦ σώματος θεωρουμένου ζῴου, καθ' οὓς μὲν ἡ ψυχὴ διττὴν ζωὴν ζῇ, καθ' αὑτήν τε καὶ μετὰ τοῦ σώματος, ἄλλως μὲν πάρεισι τῇ ψυχῇ, ἄλλως δὲ τῷ κοινῷ ζῴῳ, ⟨ὡς⟩ κατὰ Πλάτωνα καὶ Πυθαγόραν· καθ' οὓς δὲ μία ζωὴ τῆς ψυχῆς ἐστιν ἡ τοῦ συνθέτου, συγκεκραμένης τῆς ψυχῆς τῷ σώματι, ὡς οἱ Στωικοὶ λέγουσιν, ἢ δούσης ὅλην τὴν ἑαυτῆς ζωὴν εἰς τὸ κοινὸν ζῷον, ὡς οἱ Περιπατητικοὶ διισχυρίζονται, κατὰ τούτους εἷς ἐστιν ὁ τρόπος τῆς παρουσίας αὐτῶν ὁ ἐν τῷ μετέχεσθαι ἢ ἐν τῷ κεκρᾶσθαι τῷ ὅλῳ ζῴῳ.

Πῶς οὖν διακρίνονται; Κατὰ μὲν τοὺς Στωικοὺς
[S76] ἔνιαι μὲν διαφορότητι ⟨τῶν⟩ ὑποκειμένων σωμάτων· πνεύματα γὰρ ἀπὸ τοῦ ἡγεμονικοῦ φασιν οὗτοι διατείνειν ἄλλα κατ' ἄλλα, τὰ μὲν εἰς ὀφθαλμούς, τὰ δὲ εἰς ὦτα, τὰ δὲ εἰς ἄλλα αἰσθητήρια· ἔνιαι δὲ ἰδιότητι ποιότητος περὶ τὸ αὐτὸ ὑποκείμενον· ὥσπερ γὰρ τὸ μῆλον ἐν τῷ αὐτῷ σώματι τὴν γλυκύτητα ἔχει καὶ τὴν εὐωδίαν, οὕτω καὶ τὸ ἡγεμονικὸν ἐν ταὐτῷ φαντασίαν, συγκατάθεσιν, ὁρμήν, λόγον συνείληφε. Κατὰ δὲ τοὺς Ἀριστοτελικοὺς καὶ πάντας ὅσοι ἀμέριστον τὴν ψυχὴν διανοοῦνται κατὰ μὲν τὴν οὐσίαν αἱ δυνάμεις, κατὰ δὲ εἴδη ἃ ἂν δύνανται ποιεῖν. Κατὰ δὲ Πλάτωνα ἄλλως μὲν λέγεται ἡ ψυχὴ τριμερής, ὡς ἐν ἑτέραις οὐσίαις τριπλῇ ζωῆς παραλλάττουσα, ἄλλως δὲ πολυδύναμος, οὐκέτι κατ'

---

3 καθ' ἃς F | μὲν ⟨οὖν⟩ Heeren, qui a καθ' οὓς cum vulg. novum enuntiatum inchoat ‖ **5** ὡς add. Heeren ‖ **8** ἢ δούσης P², ἡδούσης FP¹ | ὅλην P², ὅλης FP¹ ‖ **10** αὐτῆς Heeren, hoc male de anima, non de eius facultatibus dici ratus ‖ **11** κεκρᾶσθαι P¹: συγκεκρᾶσθαι Meineke ‖ **13** ἔνιοι P | ante διαφορότητι add. τῇ vulgo cum Heereno, sed cf. infra v. 16 | τῶν add. Heeren ‖ **15** ἄλλα καὶ ἄλλα FP: ἄλλα κατ' ἄλλα Meineke, ἄλλα εἰς ἄλλα Heeren ‖ **17** γὰρ τῷ P ‖ **18** ἐδωδίαν P¹ ‖ **22. 23** ⟨ἀμέρισταί⟩ αἱ δυνάμεις, κατὰ δὲ εἴδη ⟨μερισταὶ καθ'⟩ ἃ δύν. ποιεῖν Heeren; ego post αἱ δυνάμεις addiderim οὐ διακρίνονται; Usener mavult μία (quod α' scriptum fuerit) δύναμις, κατὰ δὲ εἴδη ὧν δύνανται πλείονες ‖ **24** ὡς ἂν FP: ὡς ἐν Usener ‖ **24. 25** fort. coll. p. 369, 1 ζωῆς τριπλῇ scribendum vel τριπλῇ secludendum

οὐσίαν ζωῆς διαφέρουσα, ἐν ταὐτῷ δὲ πολλαῖς ἰδιότησι διακρινομένη. Καὶ ὅλως μέρος δυνάμεως ταύτῃ διενήνοχεν, ᾗ τὸ μὲν μέρος οὐσίας ἑτερότητα, ᾗ δὲ δύναμις ἐν ταὐτῷ γεννητικὴν ἢ ποιητικὴν διάκρισιν παρίστησιν.

34 (30 H.) Ἐν ταὐτῷ· περὶ πλήθους δυνάμεων. [878]

Οἱ ἀπὸ Ζήνωνος ὀκταμερῆ τὴν ψυχὴν διαδοξάζουσι, περὶ ⟨ἣν⟩ τὰς δυνάμεις εἶναι πλείονας, ὥσπερ ἐν τῷ ἡγεμονικῷ ἐνυπαρχουσῶν φαντασίας, συγκαταθέσεως, ὁρμῆς, λόγου. Οἱ δὲ περὶ Πλάτωνα καὶ Ἀρχύτας καὶ οἱ λοιποὶ Πυθαγόρειοι τὴν ψυχὴν τριμερῆ ἀποφαίνονται, διαιροῦντες εἰς λογισμὸν καὶ θυμὸν καὶ ἐπιθυμίαν· ταῦτα γὰρ εἶναι χρήσιμα πρὸς τὴν τῶν ἀρετῶν σύστασιν. Δυνάμεις δὲ τῆς ψυχῆς ἀναλογίζονται φύσιν καὶ φαντασίαν καὶ αἴσθησιν καὶ δόξαν καὶ κινητικὴν σωμάτων διάνοιαν καὶ ὄρεξιν καλῶν κἀγαθῶν καὶ νοήσεις. Ἀριστοτέλης (de anim. II 3 p. 414ᵃ 31 et p. 432ᵃ 29) δὲ εἰς πέντε αὐτὰς διαιρεῖ, φύσιν, αἴσθησιν, κίνησιν κατὰ τόπον, ὄρεξιν, διανόησιν.

35 (31 H.) Ἐν ταὐτῷ· περὶ τῶν κατ᾽ οὐσίαν τῆς [880] ψυχῆς καὶ τῶν προστιθεμένων αὐτῇ δυνάμεων.

Πλωτῖνος (ennead. IV 3, 18) αὐτῆς ἀφαιρεῖ τὰς ἀλόγους δυνάμεις, τὰς αἰσθήσεις, τὰς φαντασίας, τὰς μνήμας, τοὺς p. 110 C. λογισμούς· μόνον δὲ τὸν καθαρὸν λογισμὸν εἰς τὴν καθαρὰν οὐσίαν αὐτῆς ἀνατείνει, ὡς ἔχοντα συμφυῆ δύναμιν πρὸς αὐτὴν τὴν τῆς οὐσίας ἰδέαν.

---

3 ᾗ FP: ᾗ Heeren ‖ **6—9** cf. supra p. 368, 12—20 ‖ **6** *δοξάζουσιν* Heeren; 'de verbo *διαδοξάζουσι* ambigo utrum in *δια* lateat initium participii velut *διοριζόμενοι*, an servato vocabulo Platonico (vid. Phileb. p. 38ᵇ, quod etiamsi probabiliter suspectatum et correctum est a Badhamo, poterant Platonici legisse et sustulisse) supplendum sit participium velut *ποιοῦντες*' Usener ‖ **7** *περὶ τὰς* FP: *περὶ ⟨ἣν⟩ τὰς* scripsi, *μερικὰς* Usener, *ἐν ἑνὶ δὲ τὰς* Heeren, *⟨ἐν ἑκάστῳ δὲ⟩ μέρει τὰς* Meineke ‖ **8** *ἐν ὑπάρχουσι* P ‖ **8. 9** post *συγκαταθέσεως* hab. FP clausulam, dein lemmatis instar *ὁρμῆς* (῾ρμῆς F lac. pro rubr. rel.) *λόγου* F in textu et P mrg ‖ **9—17** cf. Porphyrius supra p. 360, 19—25 ‖ **15** *καὶ ἀγαθῶν* FP: corr. Meineke ‖ **18** *ἐν ταυτῷ* post *δυνάμεων* (19) transponit F ‖ **18. 19** *περὶ τῆς οὐσίας τῆς ψυχῆς* Heeren ‖ **23** fort. *ἀνατείνειν* | *συμνῆ* F

Οἱ δὲ περὶ Δημόκριτον Πλατωνικοὶ πάντα ταῦτα τὰ εἴδη τῶν δυνάμεων εἰς τὴν οὐσίαν αὐτῆς συνάγουσιν.

Ὁ δὲ Πλάτων καὶ αὐτὰς ἑαυτῶν ποιεῖ καὶ τῶν ζῴων, καθ' ἑκατέραν ζωὴν διοριζόμενος ἑκάτερον.

Οἱ δὲ περὶ Πορφύριον (supra ecl. 23) *καὶ Πλωτῖνον ἑκάστῳ μέρει τοῦ παντὸς τὰς οἰκείας δυνάμεις προβάλλεσθαι ὑπὸ τῆς ψυχῆς ἀποφαίνονται, καὶ ἀφίεσθαι μὲν καὶ μηκέτι εἶναι τὰς ζωὰς τὰς ὁπωσοῦν προβληθείσας [οἱ περὶ Πορφύριον καὶ Πλωτῖνον Πλατωνικοὶ] ἀφορίζονται παραπλησίως τοῖς ἀπὸ τοῦ σπέρματος φυομένοις, ὁπόταν εἰς ἑαυτὸ ἀναδράμῃ τὸ σπέρμα· εἶναι δὲ*
[882] *καὶ ταύτας ἐν τῷ παντὶ καὶ μὴ ἀπόλλυσθαι τάχα ἄν τις ἐπινοήσειε καινότερον, οὐκ ἀπιθάνως.*

36 (32 H.) *Ἐν ταὐτῷ· περὶ τῶν ἐνεργειῶν τῆς ψυχῆς.*

Τίς οὖν ἀνήκοός ἐστι τῆς Περιπατητικῆς δόξης, ἣ τὴν ψυχὴν ἀκίνητον μὲν εἶναί φησιν, αἰτίαν δὲ κινήσεων; Εἰ δὴ καὶ ἀνενέργητόν ἐστι τὸ ἀκίνητον, ἔσται καὶ χορηγὸν τῶν ἐνεργειῶν τὸ τῆς ψυχῆς ἀνενέργητον. Εἰ δ', ὡς ἔνιοι λέγουσι, τέλος καὶ συνοχὴ καὶ ἕνωσις καὶ μόνιμος αἰτία τῶν κινήσεών ἐστιν ἡ ἐνέργεια καὶ ταύτην ἐν ἑαυτῇ συνείληφεν ἡ κατ' Ἀριστοτέλην ἀκίνητος ἐντελέχεια τῆς ψυχῆς, ἔσται ἀπὸ τῆς τελειοτάτης ἐνεργείας προϊοῦσα [ἀπὸ τῆς ψυχῆς] ἡ ἐν τοῖς καθ' ἕκαστα τῶν ζῴων ἔργοις ἀπεργασία. Αὕτη τοίνυν κατά γε Πλάτωνα πολλοῦ δεῖ ἡ αὐτὴ εἶναι τῇ συμφύτῳ τῆς ψυχῆς οὐσίᾳ καὶ ζωῇ. Δῆλον γὰρ ὅτι δίδοται μὲν εἰς τὸ κοινόν, ἀλλ' ἐπεὶ μεταβολὴ καὶ διαίρεσις καὶ παράτασις περὶ τὸ σῶμα καὶ κατὰ χρό-

---

1 δὲ om. P | *πλατωνικοὶ* FP: seclusit Heeren, *ἀτομικοὶ* Meineke; sed cf. Syrian. in metaph. p. 892b 31 ‖ **3** num *αὐτὰς καὶ ἑαυτῶν*? ‖ **4** *καθ' ἑτέραν ἑτέραν* FP: *καθ' ἑκατέραν* Canter mrg ‖ **7** *προβαλέσθαι* P ‖ **7. 8** *ἀμφίεσθαι* P ‖ **9** *οἱ περὶ – Πλατωνικοὶ* FP: seclusit Heeren ‖ **11** *ἑαυτο* P², *ἑαυτὸν* FP¹ | *ἀναδράμῃ* P, *ἀναδράμοι* F ‖ **12** *ἀπόλυσθαι* P ‖ **17** *ἡ* P², *ἢ* FP¹ ‖ **18** *ἐνενεργητὸν* P | post *ἐστι* add. *καὶ* F ‖ **22** *ἡ* P², *ἢ* FP¹ ‖ **24** *ἀπὸ τῆς ψυχῆς* ut glossema seclusit Heeren ‖ **25** *κατά τε* FP: *κατά γε* (vel *κατὰ*) Meineke | *δεῖ* FP², *δὴ* P¹ ‖ **28** *περὶ* F, om. sed add. m. 1 mrg P: *παρὰ* Heeren tamquam ex Aug.

νον καὶ τόπον διάστασις ἐπισυμπίπτει, ὧν οὐδέν ἐστιν ἐν τῇ καθ' αὑτὴν ἀσωμάτῳ ζωῇ, φανερὸν δὴ καὶ τοῦτο γέγονεν, ὡς οὐδὲν ὑπάρχει κατὰ Πλάτωνα τῶν τοῦ συν- [884]
θέτου ζῴου κινημάτων ἴδιον αὐτῆς τῆς ψυχῆς. Οὐκοῦν ὥσπερ ζωὴ κατ' αὐτὸν ἦν διττή, ἡ μὲν χωριστὴ τοῦ σώματος, ἡ δὲ κοινὴ μετ' αὐτοῦ, οὕτω καὶ ἐνεργήματα ⟨τὰ⟩ μὲν ἴδια ἔσται τῆς ψυχῆς, τὰ δὲ κοινὰ καὶ τοῦ ἔχοντος. Καὶ τούτων τὰ μὲν ἀπὸ τῆς ψυχῆς προκατάρχοντα, τὰ δὲ ἀπὸ τῶν τοῦ σώματος παθημάτων ἐγειρόμενα, τὰ δὲ ἐξ ἀμφοῖν ἐπίσης ἀνακινούμενα· πάντα δὲ ὡς ἀπ' αἰτίας τῆς ψυχῆς ὡρμημένα. Ὥσπερ δὴ καὶ τῆς κατὰ τὴν ναῦν φορᾶς κοινῆς οὔσης πρὸς τὸν κυβερνήτην καὶ τὸν ἄνεμον, τὰ μὲν ἄλλα τοιαῦτά ἐστιν, ὡς ἄνευ αὐτῶν μὴ γίγνεσθαι τὴν κίνησιν, ὁ δὲ κυβερνήτης καὶ ὁ ἄνεμος τὴν κυριωτάτην αἰτίαν περιέχουσιν ἐν ἑαυτοῖς τῆς φορᾶς, οὕτως ἄρα καὶ ἡ ψυχὴ αὐτή τε ὅλῳ χρῆται τῷ σώματι καὶ τὰ ἔργα μεταχειρίζεται, ὡς ὄργανον ἢ ὄχημα τὸ σῶμα περιέχουσα· ἔχει δὲ καὶ καθ' αὑτὴν οἰκείας κινήσεις, ὅσαι τοῦ συνθέτου ζῴου ἀπολελυμέναι αὐταὶ καθ' αὑτὰς [ἀπόλυτοι] τὰς κατ' οὐσίαν ζωὰς τῆς ψυχῆς ἐνεργοῦσιν, οἷαι δή εἰσιν αἱ τῶν ἐνθουσιασμῶν καὶ τῶν ἀύλων νοήσεων καὶ συλλήβδην ἐκείνων, καθ' ἃς τοῖς θεοῖς συναπτόμεθα. Οὐ μὴν ἔτι γε τούτοις συγχωροῦσιν οἱ σῶμα τὴν ψυχὴν ὑπολαμβάνοντες, οἷον οἱ Στωικοὶ καὶ ἄλλοι πλείονες· οὐδ' ὅσοι [886]
συγκεκρᾶσθαι αὐτὴν εἰς τὴν γένεσιν οἴονται, ὥσπερ οἱ πλεῖστοι τῶν φυσικῶν· οὐδὲ ὅσοι βλάστημα αὐτὴν ἀπὸ

---

5 ἡ FP: ἦν Usener (coll. supra p. 368, 3); seclusit Meineke ‖ **6** τὰ ante μὲν (7) add. Usener ‖ **11** ὁρμημένα P | δὴ ἐν τῆς P ‖ **16** αὐτῇ P | ὅλῃ F, ὅλη P: corr. Canter ‖ **17** περιέχουσα] 'exspectes κρατοῦσα: interim sufficiet στρέφουσα; quod antecedit περιέχουσιν (15) causa fuit erroris' Usener ‖ **18. 19** τὸ σύνθετον ζῶον FP: corr. Heeren cum Canter. int. lat. ‖ **19** ἀπολλυόμεναι FP: ἀπολελυμέναι Meineke, ἀπολυόμεναι Heeren | αὐταὶ καθ' αὑτὰς ἀπόλυτοι seclusit Heeren | ἀπόλυτοι seclusi cum Meinekio, hanc alteram verbi ἀπολλυόμεναι scripturam eamque coniectura repertam esse opinatus ‖ **22. 23** ἔτι τε FP: corr. Meineke ‖ **26** αὐτὴν P², αἰτὸν FP¹

τῶν σωμάτων ποιοῦσιν ἐν ἁρμονίας εἴδει οὖσαν. Πάντες γὰρ οὗτοι σωματοειδεῖς τὰς κινήσεις αὐτῇ ἀποδιδόασιν.

p. 111 C. 37 (33 H.) *Ἐν ταὐτῷ· περὶ τῶν ἔργων τῆς ψυχῆς.*

Πότερον οὖν πασῶν τῶν ψυχῶν τὰ αὐτὰ ἔργα ἀποτελεῖται, ἢ τα μὲν τῶν ὅλων τελεώτερα, τὰ δὲ τῶν ἄλλων ὡς ἕκασται διειλήχασι τὴν προσήκουσαν ἑαυταῖς τάξιν; Ὡς μὲν οἱ Στωικοὶ λέγουσιν, εἷς τέ ἐστιν ὁ λόγος καὶ ἡ αὐτὴ πάντως διανόησις καὶ τὰ κατορθώματα ἴσα καὶ αἱ αὐταὶ ἀρεταὶ τῶν τε μεριστῶν καὶ τῶν ὅλων· καί που Πλωτῖνος καὶ Ἀμέλιος ἐπὶ ταύτης εἰσὶ τῆς δόξης (ἐνίοτε γὰρ ⟨οὐχ⟩ ὡς ἄλλην τὴν μεριστὴν ψυχὴν παρὰ τὴν ὅλην, μίαν δὲ αὐτὴν πρὸς ἐκείνην εἶναι ἀφορίζονται)· ὡς δ' ἂν εἴποι Πορφύριος, πάντῃ κεχώρισται τὰ τῆς ὅλης ψυχῆς παρὰ τὴν μεριστὴν ἐνεργήματα.

[888] *Γένοιτο δὲ κἂν ἄλλη δόξα οὐκ ἀπόβλητος, ἡ κατὰ γένη καὶ εἴδη τῶν ψυχῶν ἄλλα μὲν τὰ τῶν ὅλων παντελῆ, ἄλλα δὲ τὰ τῶν θείων ψυχῶν ἄχραντα καὶ ἄυλα, ἕτερα δὲ τὰ τῶν δαιμονίων δραστήρια, τὰ δὲ τῶν ἡρωικῶν μεγάλα, τὰ δὲ τῶν ἐν τοῖς ζῴοις καὶ τοῖς ἀνθρώποις θνητοειδῆ καὶ τὰ ἄλλα ὁ σαύτως ἔργα διαιρουμένη. Τούτων δὴ διωρισμένων καὶ τὰ ἐχόμενα τούτων τὴν ὁμοίαν λήψεται διάκρισιν.*

Οἱ μὲν γὰρ μίαν καὶ τὴν αὐτὴν πανταχοῦ ψυχὴν διατείνοντες ἤτοι γένει ἢ εἴδει, ὡς δοκεῖ Πλωτίνῳ (ennead. IV 2, 1), *ἢ καὶ ἀριθμῷ, ὡς νεανιεύεται οὐκ ὀλιγάκις Ἀμέλιος, εἶναι αὐτὴν ἐροῦσιν ἅπερ ἐνεργεῖν. Οἱ δ' ἀσφαλέστερον τούτων διαταττόμενοι καὶ προόδους πρώτας καὶ*

---

1 *πάντα* FP: corr. Heeren ‖ **3** *Περὶ τῶν ἔργων τῆς ψυχῆς. Ἐν ταυτῷ* Gaisford ‖ **5** *τὰ μὲν* P², *τὸ μὲν* FP¹ ‖ **6** *ἕκαστοι* FP: corr. Heeren ‖ **7** post *μὲν* add. *οὖν* Heeren ‖ **9** *τε* om. P ‖ **10** *που* om. P ‖ **11. 12** cf. supra p. 365, 15—17 ‖ **11** *οὐχ* ante *ὡς* add. Usener ‖ **12** *μίαν*] *ἐνίοτε* Canter mrg | post *ἀφορίζονται* clausula in FP: interpunctionem corr. Meineke ‖ **15** *καὶ* FP: *κἂν* Meineke ‖ **20** *ἄλλα* FP: *ἄλλων* Usener ‖ **24** *γένη ἢ εἴδη* F ‖ **25** *ἢ καὶ* F, *καὶ καὶ* P ‖ **26** *ἐνεργεῖ* Heeren; fort. recte coll. p. 373, 8

δευτέρας καὶ τρίτας οὐσιῶν τῆς ψυχῆς διισχυριζόμενοι προχωρεῖν εἰς τὸ πρόσω, οἵους ἄν τις θείη τοὺς καινῶς μὲν ἀπταίστως δὲ ἀντιλαμβανομένους τῶν λόγων, τὰ μὲν τῶν ὅλων ψυχῶν καὶ θείων καὶ ἀύλων ἐνεργήματα ἐροῦσιν οὗτοι πάντως δήπου καὶ εἰς οὐσίαν ἀποτελευτᾶν· τὰ δὲ τῶν μεριστῶν ⟨καὶ⟩ κρατουμένων ἐν ἑνὶ εἴδει καὶ διαιρουμένων περὶ τοῖς σώμασιν οὐδαμῶς συγχωρήσουσιν εὐθὺς εἶναι ταῦθ' ἅπερ ἐνεργοῦσι. [890]

Κατὰ δὴ τὴν αὐτὴν μέθοδον προΐτω καὶ ἡ συγγενὴς πρὸς ταύτην διαίρεσις. Λέγω δὴ προσπεφυκέναι μὲν ταῖς δυνάμεσι τὰ ἔργα ἐκείνων τῶν ψυχῶν τῶν αὐτοτελῶν καὶ μονοειδῶν καὶ χωριστῶν ἀπὸ τῆς ὕλης, ὡς ἂν φαίη ἡ νεωστὶ παρευρεθεῖσα ἥδε αἵρεσις, ἐοικέναι δὲ ταῖς τῶν καρπῶν ἀπογεννήσεσιν ἐπὶ τῶν ἀτελεστέρων καὶ περὶ γῆν ἀπομεριζομένων. Ἐπὶ δὴ τούτοις δεῖ νοεῖν ὡς οἱ μὲν Στωικοὶ πάσας τῆς ὁποιασοῦν ψυχῆς τὰς ἐνεργείας συμμιγνύουσιν τοῖς διοικουμένοις καὶ ἀψύχοις, οἱ δ' ἀπὸ Πλάτωνος οὐ πάσας. Εἶναι μὲν γάρ τινας δυνάμεις τῆς ψυχῆς αἳ τοῦ σώματος ὡς ὕλης ἐφάπτονται, ὡς τὴν αἰσθητικὴν καὶ ὁρμητικήν, καθαρωτέρας δὲ τούτων τὰς μηδὲν σώματι προσχρωμένας, ὡς τὴν νοεράν. Τὰ μὲν οὖν τῶν σωματοειδῶν δυνάμεων ἔργα κατ' οὐσίαν μὲν Πλάτων οὐ συνάπτει τοῖς σώμασιν, κατ' ἐπιστροφὴν δὲ κοινωνεῖν φησί, τὰ δὲ τῶν χωριστῶν ἀπολύει πάντῃ [892] τοῦ κατατείνεσθαι εἰς τὰ σώματα. Ἤδη τοίνυν καὶ τὰ μὲν τῶν ὅλων καὶ θειοτέρων ἔργα ἄμικτα εἶναι διὰ τὴν καθαρότητα αὐτῶν τῆς οὐσίας, τὰ δὲ τῶν ἐνύλων καὶ μεριστῶν μηκέθ' ὡσαύτως εἶναι ἄχραντα· καὶ τὰ μὲν τῶν ἀνιουσῶν καὶ ἀπολυομένων τῆς γενέσεως ἀφίεσθαι τὸ λοιπὸν τῶν σωμάτων, τὰ δὲ τῶν κατιουσῶν συμπλέκεσθαι

---

2 ante *τοὺς* add. *κατὰ* Heeren | *κενῶς* F ‖ **3** *τῶν λόγων* om. P ‖ **6** *καὶ* ante *κρατουμένων* add. Heeren ‖ **7** *περὶ*] num *ἐπὶ*? ‖ **7. 8** *οὐδαμῶς — ἐνεργοῦσι* om. P ‖ **9** *αὐτῶν* F ‖ **13** *παρευρεθεῖσα* P, *πορευθεῖσα* F ‖ **19** *αἳ* FP², *αἱ* P¹ ‖ **20** *καὶ προτέραν μὲν τούτων* P, *καὶ πρότερον μὲν τούτων* F: *καθαρωτέρας δὲ τούτων* Canter mrg ‖ **25** *κατὰ* FP: *καὶ τὰ* Heeren

αὐτοῖς πολυειδῶς καὶ συνυφαίνεσθαι. Καὶ τὰ μὲν τῶν ἐποχουμένων τοῖς αὐτοειδέσι πνεύμασι καὶ δι' αὐτῶν τιθεμένων εὐκόλως, ἅπερ ἂν θέλωσιν, ἄνωθεν ἀπραγμόνως ἐκφαίνειν τὰ σφῶν ἔργα· τὰ δὲ τοῖς στερεωτέροις σώμασιν ἐνσπειρόμενα καὶ κατεχόμενα ἐν αὐτοῖς ἀναπίμπλασθαι ἀμωσγέπως τῆς τούτων φύσεως. Καὶ τὰ μὲν τῶν ὅλων
p. 112 C. ἐπιστρέφειν εἰς ἑαυτὰ τὰ διοικούμενα, τὰ δὲ τῶν διῃρημένων αὐτὰ ἐπιστρέφεσθαι πρὸς ταῦτα ὧν ἐπιμελοῦνται.

Κατ' ἄλλην τοίνυν ἀρχὴν τῆς τῶν αὐτῶν διακρίσεως ἡ μὲν Περιπατητικὴ δόξα τοῦ ζῴου μόνως καὶ τοῦ συνθέτου τίθεται τὰ ἔργα τῆς ψυχῆς. [Πλάτων δὲ τῆς ψυχῆς αὐτὰ πρώτως προτάττει, εἶθ' οὕτως εἰς τὸ κοινὸν δίδωσιν.] Πλάτων δὲ καὶ Πυθαγόρας ὑπερφυῆ τὴν
[894] οὐσίαν αὐτῆς καὶ γεννητικὴν τῆς φύσεως προτάττοντες πρεσβύτερα αὐτῆ καὶ τιμιώτερα πρὸ τῆς φύσεως τὰ ἔργα διδόασιν· ἄρχεσθαί τε αὐτὴν οὐ ποιοῦσιν ἀπὸ τῆς φύσεως, αὐτὴν δὲ ἀφ' αὑτῆς καὶ περὶ αὑτὴν ἐξηγεῖσθαι τῶν οἰκείων ἐνεργειῶν ὑπολαμβάνουσιν, ὅσα τέ ἐστιν ἐν αὐτῇ καλὰ καὶ σπουδαῖα κινήματα τῆς φύσεως ὑπερέχοντα καθ' αὑτὰ ἐξαιροῦσιν.

Ἤδη τοίνυν καὶ ἐν αὐτοῖς τοῖς Πλατωνικοῖς πολλοὶ διαστασιάζουσιν, οἱ μὲν εἰς μίαν σύνταξιν καὶ μίαν ἰδέαν τὰ εἴδη καὶ τὰ μόρια τῆς ζωῆς καὶ τὰ ἐνεργήματα συνάγοντες, ὥσπερ Πλωτῖνός τε καὶ Πορφύριος· οἱ δὲ εἰς μάχην ταῦτα κατατείνοντες, ὥσπερ Νουμήνιος (fr. 49 p. 69 Theding.)· οἱ δὲ ἐκ μαχομένων αὐτὰ συναρ-

---

2 *αὐτῶν* FP: correxi ‖ **3** *ἔλωσιν* FP: corr. Usener ‖ **7** *ἐπιστρέφει* P | *εἰς αὐτὰ* P¹ ‖ **8** post *ἐπιμελοῦνται* clausula in F ‖ **10** *περιπατητικὴ* F (quod servavi coll. p. 370, 15), *περιπατητικοὶ* P: *περιπατητικῶν* vulg. ‖ **11** post *ψυχῆς* clausula in F et P (in quo lemma *πλάτωνος* additur) | *Πλάτων δὲ — δίδωσιν* (13) delevit Usener ut argumentum proximorum a docto lectore margini appositum ‖ **13** *δίδωσιν* F, *δίδωσι* P: *τίθησιν* Heeren ex cod. Aug. Esc. | post *δίδωσιν* clausula in F et P (in quo mrg lemma *πλάτων καὶ πυθαγρ.* additur) | *Πλάτων* (ante *δὲ καὶ*) suspectum Cantero ‖ **17** *ἑαυτὴν* F ‖ **20** *ἐξαίρουσιν* FP (in quibus postea clausula) ‖ **22** *διαστάζουσιν* P¹, *διστάζουσιν* P² ‖ **25** *κατατείναντες* Heeren

μόζοντες, ὥσπερ οἱ περὶ Ἀττικὸν καὶ Πλούταρχον. Καὶ οὗτοι μὲν προϋποκειμένων τῶν ἀτάκτων καὶ πλημμελῶν κινημάτων ἐπεισιέναι φασὶν ὕστερα τὰ κατακοσμοῦντα αὐτὰ καὶ διατάττοντα καὶ τὴν συμφωνίαν ἀπ' ἀμφοτέρων οὕτως συνυφαίνουσι, κατὰ μὲν Πλωτῖνον τῆς πρώτης ἑτερότητος, κατ' Ἐμπεδοκλέα (fr. 381 Sturz.) δὲ τῆς [πρώτης] ἀπὸ τοῦ θεοῦ φυγῆς, καθ' Ἡράκλειτον (fr. 83 Bywat.) δὲ τῆς ἐν τῷ μεταβάλλεσθαι ἀναπαύλης, [896] κατὰ δὲ τοὺς Γνωστικοὺς παρανοίας ἢ παρεκβάσεως, κατ' Ἀλβῖνον δὲ τῆς τοῦ αὐτεξουσίου διημαρτημένης κρίσεως αἰτίας γιγνομένης τῶν καταγωγῶν ἐνεργημάτων· τῶν δ' αὖ διισταμένων πρὸς τούτους καὶ ἀπὸ τῶν ἔξωθεν προσφυομένων προστιθέντων ὁπωσοῦν τῇ ψυχῇ τὸ κακόν, ἀπὸ μὲν τῆς ὕλης Νουμηνίου (fr. 49 p. 69 Theding.) καὶ Κρονίου πολλάκις, ἀπὸ δὲ τῶν σωμάτων αὐτῶν τούτων ἔστιν ὅτε καὶ Ἀρποκρατίωνος, ἀπὸ δὲ τῆς φύσεως καὶ τῆς ἀλόγου ζωῆς Πλωτίνου καὶ Πορφυρίου ὡς τὰ πολλά. Κατὰ δὲ Ἀριστοτέλην εἴδεσι ζωῆς καὶ ἄλλοις ὅροις ταῦτα χωρὶς ἐπὶ τῶν ἀνθρωπίνων διακέκριται. Κατὰ δ' αὖ τοὺς Στωικοὺς ἀτελέστερα ἀεὶ ἀπομερίζεται τὰ τοιαῦτα τῆς ζωῆς ἐνεργήματα καὶ ὅσῳ ἂν ᾖ προϊόντα προσωτέρω τῆς ἀλογίας, τοσῷδε μᾶλλον ἐπὶ [898] τὸ ἀτελέστερον ἀποφέρεται τὰ καταδεέστερα τῶν πρεσβυτέρων. Ὡς δ' ἐγώ τινων ἀκήκοα Πλατωνικῶν, οἷον Πορφυρίου καὶ ἄλλων πολλῶν, ἀφομοιοῦται ἀλλήλοις τὰ μὲν ἀνθρώπεια τοῖς θηρείοις, τὰ δὲ τῶν ζῴων τοῖς ἀνθρωπείοις, ἐφ' ὅσον πέφυκε τὰ διακεκριμένα καθ' ἑτέρας οὐσίας ὁμοιοῦσθαι πρὸς ἄλληλα.

---

5 *οὕτω* P | *συνυφαίνουσι* P, *συμφαίνουσι* F (in utroque post h. v. clausula) ‖ **6—8** cf. Plotin. enn. IV 8, 7 (II p. 129, 22—24 M.) ‖ **7** *πρώτης* seclusi; poteris etiam *τῆς πλάνης ἀπό ⟨τε⟩ τοῦ* coll. Plotin. l. s. ‖ **11** *καταγωγῶν* suspectum Heereno cum adiectivum non agnoverit ‖ **11. 12** *ἐνεργημάτων. τῶν δ' αὖ* FP: interpunctionem correxi; fort. *ἐνεργ.· ἐνίων αὖ* ‖ **16** *ἔστι δ' ὅτε* Usener, sed opponitur v. *πολλάκις* (15) | *ἀποκρατίωνος* P ‖ **18** post *τὰ πολλά* clausula in FP ‖ **19** *ἐπὶ* corr. Usener pro *ἀπὸ* ‖ **19. 20** post *διακέκριται* clausula in F ‖ **22** *τόσῳ δὲ* P ‖ **26** *ἀνθρώπια* FP | *θηρίοις* FP: corr. Meineke ‖ **27** *ἀνθρωπίοις* FP

38 (34 H.) Ἐν ταὐτῷ· περὶ μέτρου ψυχῆς.

Οἱ μὲν δὴ μίαν οὐσίαν τῆς ψυχῆς ἀριθμῷ τιθέμενοι, πληθύουσαν δὲ αὐτήν, ὡς Ἀμέλιος οἴεται, σχέσεσι καὶ κατατάξεσιν, ἤ, ὡς οἱ Ὀρφικοὶ λέγουσιν, ἐπιπνοίαις ἀπὸ τῆς ὅλης, ἔπειτα ἀνασχέοντες ἀπὸ τοῦ πλήθους τῆς ὅλης ἐπὶ τὴν μίαν ψυχὴν ἀποθεμένην τὰς σχέσεις καὶ τὰς εἰς ἕτερον κατατάξεις καὶ ἀναλύοντες ἀπὸ τῆς εἰς τὰ [900] μεταλαβόντα διαιρέσεως, ἀπολυομένης τῆς τῶν μετασχόντων διαλήψεως, τηροῦσιν αὐτὴν ὅλην πανταχοῦ τὴν αὐτήν, μίαν οὐσίαν τε αὐτῇ διδόασι καθ' ἓν πεπερασμένην. Οἱ δ' ἐν ἀπείροις κόσμοις, ὥσπερ δὴ οἱ περὶ Δημόκριτον καὶ Ἐπίκουρον νομίζουσιν, ἀπὸ τῶν ἀπείρων ἀτόμων κατὰ συντυχίαν συνερχομένων * * συνίστασθαι ἀπὸ τῶν p. 113 C. τοιῶνδε στοιχείων τὰς ψυχὰς ἡγούμενοι ἀπείρους αὐτὰς εἶναι ἑπομένως ταῖς οἰκείαις ὑποθέσεσιν ἀποφαίνονται. Καὶ οἱ μὲν ἐκ σπερμάτων αὐτὰς γεννῶντες ἑκάστου δυναμένου πολλὰ σπείρειν καὶ τοῦδε προϊόντος ἀεὶ καὶ οὐδαμῇ ἰσταμένου κατὰ τὴν γέννησιν καὶ ἐν τῷ γίγνεσθαι ἀεὶ τὸ ἄπειρον ἀπολείπουσιν. Οἱ δὲ κατὰ μεταβολὴν ἐξ ἑνὸς ζῴου φθειρομένου πολλὰ ζῷα καὶ πολλὰς ζωὰς παράγοντες ἐν τῷ μεταβάλλειν συνεχῶς καὶ μηδέποτε ἐπιλείπειν τὴν ἐκ τῆς μεταβολῆς διαδεχομένην ἀειγενεσίαν ταύτῃ τὸ ἀπέραντον πλῆθος τῶν ψυχῶν ἐπινοοῦσιν ἐν τῷ ἀεὶ πλεῖον γίγνεσθαι. Οἱ δὲ τῆς φύσεως τὴν ψυχὴν

---

1 *Περὶ μέτρων ψυχῆς.* *Ἐν ταὐτῷ* Gaisford | *μέτρα* FP: *μέτρου* Canter cum FP supra in additamento p. 319, 5, *μέτρων* Gaisford ‖ **3** *πληθύοντες* FP: *πληθύουσαν* scripsi | ante *ὡς* add. *ἤ* Heeren ‖ **4** *ὡς οἱ* F^2P, *ὅσοι* F^1 ‖ **5** *ἀνασχέοντες* P^1, *ἀναχέοντες* FP^2: *ἀναστοιχειοῦντες* Lobeck Aglaoph. p. 756 falso, expectatur enim notio 'restringendi'; *ἄγχοντες* Usener coll. supra p. 304, 18, *ἀναστέλλοντες* vel *ἀναστρέφοντες* temptabam ‖ **6** *ἀποθεμένας* FP: corr. Usener, *ἀποθεμένης* Lobeck ‖ **7** *ἤ* FP: *καὶ* Canter ‖ **9** *ἀποδιαλήψεως* FP: corr. Heeren ‖ **10** *οὐσίαν* om. P ‖ **13** lacunam signavi qua haustum sit participium ad *κόσμοις* relatum, nisi praestat *συνερχομένοις* corrigere ‖ **13. 14** *ἀπὸ τῶν τοιῶνδε στοιχείων* del. Heeren ‖ **16** *αὐτὸς* P ‖ **18** *γένεσιν* Heeren ‖ **19** *ἄπορον* FP: corr. Canter mrg ‖ **20** ante *πολλὰ* add. *καὶ* Heeren ‖ **23** *ταύτην* P | *ἀπέρατον* P ‖ **23. 24** *ἐν τῷ ἀεὶ πλεῖον γίγνεσθαι* del. Heeren

μὴ διακρίνοντες πάλιν δὴ καὶ οὗτοι κατὰ διαίρεσιν τὸ ἄπειρον τῶν ψυχῶν γίγνεσθαι προσομολογοῦσιν, ἐπειδὴ καὶ ἕκαστον τῶν φυομένων δένδρων μεριζόμενον ταὐτόν [902] ἐστι τῷ ὅλῳ καὶ τῶν ἴσων αὐτῷ φαίνεται γεννητικὸν εἶναι. Οἱ δ' ἀπὸ Πλάτωνος ἀγενήτους καὶ ἀφθάρτους αὐτὰς προστησάμενοι ἑστάναι ἀεὶ κατὰ τὴν αὐτὴν συμμετρίαν ἀφορίζονται, οὔτε γὰρ προστίθεσθαί τι αὐταῖς ἀπὸ τῆς γενέσεως οὔτε ἀφαιρεῖσθαι ἀπ' αὐτῶν μεθιστάμενον εἰς τὰ ἀπολλύμενα. Τοῦτο δὴ τὸ μέτρον οἱ μὲν περὶ Πλωτῖνον εἰς τὸν τέλεον ἀριθμὸν ὡς οἰκεῖον προσβιβάζουσι.

39 (35 H.) ⟨Ἐν ταὐτῷ· περὶ διαφορᾶς καθόδου τῶν ψυχῶν.⟩

Πλωτῖνος μὲν καὶ Πορφύριος καὶ Ἀμέλιος ἀπὸ τῆς ὑπὲρ τὸν οὐρανὸν ψυχῆς καὶ πάσας ἐπίσης εἰσοικίζουσιν εἰς τὰ σώματα.

Πολὺ δὲ διαφερόντως ἔοικεν ὁ Τίμαιος τὴν πρώτην ὑπόστασιν τῶν ψυχῶν ποιεῖν, τὸν δημιουργὸν διασπείροντα περὶ πάντα μὲν τὰ κρείττονα γένη, καθ' ὅλον δὲ τὸν οὐρανόν, εἰς ὅλα δὲ τὰ στοιχεῖα τοῦ παντός. Ἔσται δὴ οὖν καὶ ἡ σπορὰ ἡ δημιουργικὴ τῶν ψυχῶν διαιρουμένη παρὰ τὰς θείας δημιουργίας καὶ ἡ πρώτη τῶν ψυχῶν πρόοδος συνυφισταμένη, μεθ' ἑαυτῆς ἔχουσα τὰ δεχόμενα τὰς ψυχάς· ἡ μὲν ὅλη τὸν ὅλον κόσμον, αἱ δὲ τῶν ἐμφανῶν θεῶν τὰς κατ' οὐρανὸν σφαίρας, αἱ δὲ τῶν στοι- [904] χείων αὐτὰ τὰ στοιχεῖα μεθ' ὧν καὶ ψυχαὶ συνεκληρώθησαν καθ' ἑκάστην τοιαύτην λῆξιν, ἀφ' ὧν δὴ αἱ κάθοδοι γίγνονται τῶν ψυχῶν ἄλλαι ἀπ' ἄλλων διακληρώσεων, ὡς βούλεται ἐνδείκνυσθαι σαφῶς ἡ τοῦ Τιμαίου διάταξις.

---

3 *δένδρον* FP: corr. Heeren ‖ **4** *τὸ ὅλῳ* P | *αὐτῷ* FP: corr. Heeren | post *εἶναι* clausula in FP ‖ **7** *προτίθεσθαι* F ‖ **8** *μεθιστάμενα* F ‖ **10** *προβιβάζουσι* FP: corr. Canter int. ‖ **11. 12** lemma om. FP: addidi lemma eclogae proximae (infra p. 379, 11) in FP praepositum, quod huc pertinere argumento ipso demonstratur ‖ **16** *διαφερόντος* P ‖ **19** *ὅλα δὲ* FP: *ὅλα τε* Heeren ‖ **21** *περὶ τὰς* FP: corr. Usener ‖ **24** *θεῶν* om. P ‖ **25** post *καὶ* add. *αἱ* Heeren ‖ **29** post *διάταξις* clausula in FP

Ἄλλη τοίνυν αἵρεσις τῶν Πλατωνικῶν οὐ κατὰ τοὺς δημιουργικοὺς κλήρους, οὐδὲ κατὰ τὰς διαιρέσεις τῶν κρειττόνων γενῶν οἷον θεῶν, ἀγγέλων, δαιμόνων, ἡρώων, οὐδὲ κατὰ τὰς νομὰς τοῦ παντὸς διακρίνει τὰς ἀπὸ τῶν διαφερόντων τόπων καταβάσεις τῶν ψυχῶν· τιθεμένη δὲ τὴν ψυχὴν ἀεὶ εἶναι ἐν σώματι, ὥσπερ ἡ Ἐρατοσθένους καὶ Πτολεμαίου τοῦ Πλατωνικοῦ καὶ ἄλλων, ἀπὸ σωμάτων αὐτὴν λεπτοτέρων εἰς τὰ ὀστρεώδη πάλιν εἰσοικίζει σώματα· διατρίβειν μὲν γὰρ αὐτὴν εἰς μοῖράν τινα τοῦ αἰσθητοῦ, καθήκειν γε μὴν εἰς τὸ στερεὸν σῶμα ἄλλοτε ἀπ' ἄλλων τοῦ παντὸς τόπων. Καὶ τούτους
[906] Ἡρακλείδην μὲν τὸν Ποντικὸν ἀφορίζειν περὶ τὸν γαλαξίαν, ἄλλους δὲ καθ' ὅλας τοῦ οὐρανοῦ τὰς σφαίρας, ἀφ' ὧν δὴ δεῦρο κατιέναι τὰς ψυχάς· τοὺς δὲ περὶ σελήνην ἢ ἐν τῷ ὑπὸ σελήνην ἀέρι λέγειν αὐτὰς κατοικεῖν καὶ ἀπ' αὐτῶν κάτω χωρεῖν εἰς τὴν περίγειον γένεσιν, τοὺς δὲ ἀπὸ σωμάτων ἀεὶ στερεῶν πίπτειν εἰς ἕτερα σώματα διισχυρίζεσθαι.

Ἀπὸ μὲν δὴ τοσούτων καὶ οὕτω διαφερόντων μερῶν γίγνεσθαι διαφερούσας τὰς τῇδε καθόδους, αὐτοὺς δὲ τοὺς τρόπους διίστασθαι πολυειδῶς. Ἡράκλειτος (fr. 83 Bywat.) μὲν γὰρ ἀμοιβὰς ἀναγκαίας τίθεται ἐκ τῶν ἐναντίων, ὁδόν τε ἄνω καὶ κάτω διαπορεύεσθαι τὰς ψυχὰς
p. 114 C. ὑπείληφε καὶ τὸ μὲν τοῖς αὐτοῖς ἐπιμένειν κάματον εἶναι, τὸ δὲ μεταβάλλειν φέρειν ἀνάπαυσιν. Οἱ δὲ περὶ Ταῦρον Πλατωνικοὶ πέμπεσθαι τὰς ψυχὰς ὑπὸ θεῶν εἰς γῆν λέγουσιν, οἱ μὲν ἑπομένως τῷ Τιμαίῳ παραδιδόντες ὅτι εἰς τελείωσιν τοῦ παντός, ὥστε εἶναι καὶ ἐν τῷ κό-

---

1 πλωτινικῶν P ‖ **3** γενῶν om. P ‖ **6** τιθεμένην FP: corr. Heeren ‖ **8** λεπτοδέρμων Gaisford, λεπτομερῶν Meineke ‖ **9. 10** εἰς μοῖράν τινα] cf. Usener ad Pelagiam 4, 4 p. 34 ‖ **14** post τὰς ψυχάς clausula in FP: interpunctionem corr. Canter ‖ **23** ὁδόντ' P, ὁδόντες F: ὁδόν τε Heeren, recte cf. Plotin. enn. IV 8, 2 (II p. 124, 11 M.) ‖ **24** ante τοῖς add. ἐν Heeren ‖ **25** post ἀνάπαυσιν clausula in FP ‖ **26** πέμπουσι FP: corr. Canter ‖ **28** καὶ (ante ἐν) om. Heeren ‖ **28.** p. **379, 1** τῷ ⟨αἰσθητῷ⟩ κόσμῳ Meineke

σμῳ τοσαῦτα ζῷα, ὅσα εἰσὶν ἐν τῷ νοητῷ· οἱ δὲ εἰς θείας ζωῆς ἐπίδειξιν τὸ τέλος ἀναφέροντες τῆς καθόδου. ταύτην γὰρ εἶναι τὴν βούλησιν τῶν θεῶν, θεοὺς ἐκφαίνεσθαι διὰ τῶν ψυχῶν· προέρχονται γὰρ εἰς τοὐμφανὲς οἱ θεοὶ καὶ ἐπιδείκνυνται διὰ τῶν ψυχῶν καθαρᾶς καὶ ἀχράντου [908] ζωῆς.

Κατ' ἄλλην τοίνυν διαίρεσιν οἱ μὲν ἑκούσιοι τρόποι νοοῦνται τῆς καθόδου ἢ ἑλομένης αὐτῆς τῆς ψυχῆς τὴν διοίκησιν τῶν περὶ γῆν, ἢ πειθαρχούσης τοῖς κρείττοσιν, οἱ δὲ ἀκούσιοι βιαζομένης ἐπὶ τὸ χεῖρον ἕλκεσθαι.

40 (36 H.) Ἐν ταὐτῷ.

Οὐχ ἡ αὐτή ἐστι πασῶν τῶν ψυχῶν κοινωνία πρὸς τὰ σώματα, ἀλλ' ἡ μὲν ὅλη, ὥσπερ καὶ Πλωτίνῳ δοκεῖ, προσιὸν ἑαυτῇ τὸ σῶμα ἔχει ἐν ἑαυτῇ, ἀλλ' οὐκ αὐτὴ πρόσεισι τῷ σώματι, οὐδὲ περιέχεται ὑπ' αὐτοῦ· αἱ δὲ μερισταὶ προσέρχονται τοῖς σώμασι καὶ τῶν σωμάτων γίγνονται καὶ ἤδη κρατουμένων τῶν σωμάτων ὑπὸ τῆς τοῦ παντὸς φύσεως εἰσοικίζονται εἰς αὐτά. Καὶ αἱ μὲν τῶν θεῶν θεῖα σώματα, νοῦν μιμούμενα, ἐπιστρέφουσι πρὸς τὴν ἑαυτῶν νοερὰν οὐσίαν· αἱ δὲ τῶν ἄλλων θείων γενῶν, ὡς ἕκασται ἐτάχθησαν, οὕτω κατευθύνουσιν ἑαυτῶν τὰ ὀχήματα. Ἔτι γε μὴν αἱ καθαραὶ ψυχαὶ καὶ τέλειαι καθαρῶς εἰσοικίζονται εἰς τὰ σώματα ἄνευ παθημάτων καὶ τῆς στερήσεως τοῦ νοεῖν· αἱ δ' ἐναντίαι ἐναντίως. Ἀττικῷ ⟨δὲ⟩ καὶ ⟨ἄλλοις τισὶ⟩ Πλατωνικοῖς [910]

---

1 post νοητῷ clausula in FP | εὐθείας FP: θείας Lobeck Aglaoph. p. 1095 ‖ 4 διὰ τῶν ψυχῶν – ἐπιδείκνυνται (5) om. Heeren dormitanter | εἰς ἐμφανὲς FP: εἰς τοὐμφανὲς scripsi, εἰς τὸ ἐμφανὲς Meineke ‖ 11 ἐν ταὐτῷ: περὶ διαφορᾶς (διαφορὰς P) καθόδου τῶν ψυχῶν FP: ἐν ταὐτῷ scripsi titulo ad priorem ecl. revocato, Π. διαφ. καθ. τ. ψυχ. Ἐν ταὐτῷ Gaisford ‖ 14 αὐτῇ P: αὐτῇ Heeren | ἔχειν FP: corr. Canter | ἐν ἑαυτῇ P, ἐν αὐτῇ F ‖ 15 πρόεισι FP: corr. Canter ‖ 22 σχήματα FP: corr. Canter mrg | γε om. P ‖ 23 οἰκίζονται P ‖ 25 ἢ πλατωνικοῖς FP: ⟨δὲ⟩ καὶ ⟨ἄλλοις τισὶ⟩ Πλατωνικοῖς Heeren, καὶ Πλατωνικοῖς Meineke

οὐ συνδοκεῖ, καθ' ἕνα δὲ τρόπον συντεύξεως τὰς ὅλας ψυχὰς τοῖς σώμασι συνάγουσιν, ὡσαύτως ἀεὶ μὲν καὶ ἐπὶ πάσης ἐνσωματώσεως τῶν ψυχῶν προϋποτιθέντες τὴν ἄλογον καὶ πλημμελῆ καὶ ἔνυλον ψυχήν, ἐν αὐτῇ δὲ κατακοσμουμένῃ τὴν κοινωνίαν τῆς λογικῆς ἐπεισάγοντες.

Οἶμαι τοίνυν καὶ τὰ τέλη διάφορα ὄντα καὶ τοὺς τρόπους τῆς καθόδου τῶν ψυχῶν ποιεῖν διαφέροντας. Ἡ μὲν γὰρ ἐπὶ σωτηρίᾳ καὶ καθάρσει καὶ τελειότητι τὴν τῇδε κατιοῦσα ἄχραντον ποιεῖται καὶ τὴν κάθοδον· ἡ δὲ διὰ γυμνασίαν καὶ ἐπανόρθωσιν τῶν οἰκείων ἠθῶν ἐπιστρεφομένη περὶ τὰ σώματα οὐκ ἀπαθής ἐστι παντελῶς, οὐδὲ ἀφεῖται ἀπόλυτος καθ' ἑαυτήν· ἡ δὲ ἐπὶ δίκῃ καὶ κρίσει δεῦρο κατερχομένη συρομένῃ πως ἔοικε καὶ συνελαυνομένῃ. ⟨Τινὲς δὲ τῶν νεωτέρων οὐχ οὕτως⟩ διακρίνουσιν, οὐκ ἔχοντες δὲ σκοπὸν τῆς διαφορότητος εἰς ταὐτὸ συγχέουσι τὰς ἐνσωματώσεις τῶν ὅλων, κακάς τε εἶναι πάσας διισχυρίζονται καὶ διαφερόντως οἱ περὶ Κρόνιόν τε καὶ Νουμήνιον (fr. 50 p. 70 Theding.) καὶ
[912] Ἀρποκρατίωνα. Λεῖ δέ που καὶ τοὺς βίους τῶν ψυχῶν κατανοεῖν πρὶν ἐλθεῖν εἰς σῶμα, ὡς ἄρα καὶ οὗτοι πολλὴν ἔχουσιν ἐν ἑαυτοῖς διάστασιν· ἀπὸ δὲ διαφόρων τρόπων ζωῆς διάφορον ποιοῦνται ἑαυτῶν καὶ τὴν πρώτην σύνοδον. Οἵ τε γὰρ νεοτελεῖς καὶ πολυθεάμονες τῶν ὄντων, οἵ τε συνοπαδοὶ καὶ συγγενεῖς τῶν θεῶν, οἵ τε παντελεῖς καὶ ὁλόκληρα τὰ εἴδη τῆς ψυχῆς περιέχοντες, πάντες ἀπαθεῖς καὶ ἀκήρατοι ἐμφύονται πρώτως εἰς τὰ σώματα· οἱ δὲ ἀπὸ τῶν ἐπιθυμιῶν ἄδην ἀναπεπλησμένοι καὶ ἄλλων παθῶν μεστοὶ μετὰ παθῶν συνέρχονται πρώτως τοῖς σώμασι.

---

1 καθ' ἓν δὲ πρῶτον FP: καθ' ἕνα δὲ τρόπον Heeren cum Cantero ‖ **5** post ἐπεισάγοντες clausula in FP ‖ **10** διὰ γυμνασίαν F^2, δι' ἀμνασίαν F^1P | τῆς οἰκείων P ‖ **13. 14** post συνελαυνομένῃ clausula in FP; in F versus dimidia pars vacua relicta ‖ **14** τινὲς δὲ τῶν νεωτέρων οὐχ οὕτως add. Heeren ‖ **24** οὔτε συνοπαδοὶ P ‖ **25** περιέχον P, περιέχον (supra ν m. y τ sprscr.) F: corr. Canter ‖ **27** ὑπὸ Meineke; sed cf. Iambl. infra p. 1056 H. (πλήρωσιν ἀπὸ νοῦ) ‖ **28** ἄλλως Meineke

41 (37 H.) *Ἐν ταὐτῷ.*

Κατὰ δ' Ἱπποκράτην, τὸν τῶν Ἀσκληπιαδῶν, ὅταν πλασθῇ τὸ σπέρμα (τότε γὰρ ἐπιτηδείως ἔχειν αὐτὸ μεταλαμβάνειν ζωῆς), κατὰ δὲ Πορφύριον ἐν τῇ πρώτῃ ἀπογεννήσει τοῦ τικτομένου πρώτως ἡ κατ' ἐνέργειαν p. 115 C. *ζωοποιία καὶ παρουσία τῆς ψυχῆς φύεται. Γένοιτο δ' ἂν καὶ ἄλλη τις δόξα οὐδέπω καὶ νῦν ῥηθεῖσα, ἡ λέγουσα πλείονας μὲν εἶναι τὰς δυνάμεις καὶ τὰς οὐσίας τῆς ψυχῆς, κατὰ καιροὺς δὲ ἄλλοτε ἄλλους, ἥπερ ἂν ἐπιτηδείως ἔχῃ* [914] *τὸ γιγνόμενον σῶμα, τὰ μὲν πρῶτα τῆς φύσεως μεταλαμβάνειν, ἔπειτα τῆς αἰσθήσεως, εἶτα τῆς ὁρμητικῆς ζωῆς καὶ τότε δὴ τῆς λογικῆς ψυχῆς, ἐπὶ δὲ τῷ τέλει τῆς νοερᾶς. Τοσαῦτα καὶ ἡ κατὰ τοὺς χρόνους συμφυομένη κοινωνία τῶν ψυχῶν πρὸς τὰ σώματα δέχεται δοξάσματα.*

Ἀλλὰ μὴν ἔν γε τῷ τόπῳ τῆς εἰσόδου τῶν ψυχῶν, καθ' ὃν ἐπιζητοῦμεν πῶς εἰσκρίνεται, μία μέν ἐστι τριπλῆ δόξα ἡ ἕλκουσα ἀπὸ τῶν ἐκτὸς τὴν ψυχὴν ἐν τῇ καλουμένῃ συλλήψει ἢ διὰ προθυμίαν τοῦ γεννῶντος διὰ τῆς ἀναπνοῆς, ἢ διὰ προθυμίαν τῆς ὑποδεχομένης [μήτρας], ὅταν αὕτη ἐπιτηδείως ἔχῃ πρὸς τὴν κράτησιν, ἢ διὰ συμπάθειαν ἀμφοῖν, ὅταν κοινῇ συμπνέοντα ἀμφότερα ἑλκτικὴν ἔχῃ τὴν ἰδιότητα συγκινουμένης καὶ τῆς φύσεως· ἢ δὲ κατ' ἀνάγκην εἰσδύνειν ποιεῖ ⟨αὐ⟩τὴν αὐτοκίνητον εἰς τὸ ὀργανικὸν σῶμα ἤτοι ἀπὸ τοῦ παντός, ἢ τῆς ὅλης ψυχῆς, ἢ τῆς δημιουργίας πάσης.

---

1 titulum in textu habet P, mrg F (in quo viridi colore infra *ἱπποκράτης* mrg add.) ‖ **2** *κατὰ μὲν* Heeren | *τὸ* FP: *τὸν* Canter ‖ **7** *καὶ νῦν*] *εἰς τὰ νῦν* Heeren ‖ **9** *ἄλλως* FP: corr. Meineke | *ἥπερ ἂν* FP: *ᾗπερ ἂν* Canter, *εἴπερ ἂν* Heeren cum Vat. Aug., *εἰσκρίνεσθαι, ἂν* Meineke | *ἔχει* P ‖ **13** *καὶ ἡ* FP: *γὰρ ἡ* Meineke, *γὰρ καὶ ἡ* Heeren ‖ **15** *τρόπῳ* Heeren pessime ‖ **16** ⟨*καὶ*⟩ *πῶς* Meineke ‖ **18** ⟨*τὴν*⟩ *προθυμίαν* Heeren ‖ **18. 19** *διὰ τῆς ἀναπνοῆς* FP: *διὰ τὴν ἀναπνοὴν* vulgo cum Heereno; transponit Usener post *συλλήψει* (18) ‖ **19. 20** *μήτρας* FP: seclusit Meineke, *μητρὸς* Heeren ‖ **20** *αὐτὴ* FP: corr. Meineke | *κράτησιν* F, *κατάστασιν* P: *ἐγκράτησιν* Heeren ‖ **22** *συγκρινομένης* Heeren tamquam ex Vat. ‖ **23** *τὴν* FP: ⟨*αὐ*⟩*τὴν* (scil. *τὴν ψυχὴν*) Usener ‖ **23. 24** *αὐτοκίνητον* ⟨*δύναμιν*⟩ Meineke ‖ **25** post *πάσης* clausula in FP

Ἤδη τοίνυν καὶ ἡ χρῆσις τοῦ σώματος πολλῆς δεῖται διακρίσεως. Οἱ μὲν γὰρ προσεοικέναι αὐτὴν λέγουσι νεως κυβερνήσει, ἧς καὶ ἀπολελύσθαι χωρὶς δύναται ὁ κυβερνήτης· οἱ δὲ ὀχήματος ἐπιβάσει κοινὴν πορείαν καὶ διακομιδὴν ἡνιοχούσῃ προσοικειοῦσιν αὐτήν· οἱ δὲ ὡς μᾶλλον ἁρμόζουσαν συνεργείᾳ ἀπ' ἀμφοτέρων ἰσομοιρούσῃ, ἣ συννεύσει καὶ ῥοπῇ πρὸς τὸ σῶμα ἐπικρατεῖ τοῦ σώματος ἀποδιδόασιν αὐτῆς τὴν ὁμοιότητα· οἱ δὲ οὐδὲν τούτων
[918] *συγχωροῦσιν, ὡς δὲ μέρος τὴν ψυχὴν φασιν εἶναι ἐν ὅλῳ τῷ ζῴῳ, οἱ δὲ ὡς τέχνην ἐμπεφυκέναι τοῖς ὀργάνοις, ὥσπερ εἰ ἦν ἔμψυχος ⟨ὁ⟩ οἰαξ. Οἱ δὲ καθαρώτεροι τῶν Πλα-*
[916] *τωνικῶν, ὥσπερ δὴ οἱ περὶ Πλωτῖνον* (enn. IV 3, 3 et 23), *ἄρχεσθαι μὲν τῆς κινήσεως τὸ ὀργανικὸν σῶμά φασιν ἀπὸ τούτων τῶν μερῶν, δουλεῦον εἰς τὴν γέννησιν ταῖς χρωμέναις αὐτῷ δυνάμεσιν, αὐτὰς δὲ τὰς δυνάμεις ἀπολύτους εἶναι τῶν μεριστῶν σωμάτων διισχυρίζονται.*

42 (38 H.) ⟨*Ἐν ταὐτῷ.*⟩

Περὶ τῆς κοινωνίας τῆς πρὸς τοὺς θεοὺς τῶν ψυχῶν γέγονέ τις διαμφισβήτησις τῶν μὲν λεγόντων ἀδύνατον μίγνυσθαι θεοὺς ταῖς κατεχομέναις ψυχαῖς ἐν τῷ σώματι, τῶν δὲ διατεινομένων μίαν εἶναι κοινὴν πολιτείαν τῶν καθαρῶν ψυχῶν πρὸς τοὺς θεοὺς καὶ εἰ ὅτι μάλιστα ἐν τοῖς σώμασι διατρίβουσιν· οἱ δὲ μόνοις δαίμοσιν ἢ καὶ ἥρωσιν ὑποτιθέασιν αὐτὰς εἰς κοινὴν συνουσίαν.

42ᵃ (38 H.) * * *ἄλλοι μὲν οἱ βελτίονες κρινόμενοι κατὰ*

---

1 *καὶ* om. Heeren ‖ **2. 3** cf. Plotin. enn. IV 3, 21 (II p. 30, 12 Müll.) ‖ **2** *λέγουσιν ὡς* FP: *λέγουσι νεὼς* Meineke ‖ **3** *ἀπόλλυσθαι* F, *ἀπόλυσθαι* P: corr. Usener | *δύναται χωρὶς* F ‖ **5** *προσοιχοῦσιν* FP: corr. Canter ‖ **5. 6** *ὡς μᾶλλον ἁρμόζουσαν* post *αὐτὴν* (5) habent FP: transposui ‖ **7** *ἐπικρατείᾳ* FP: corr. Usener ‖ **8** *οἱ δὲ οὐδὲν – οἰαξ* (11) infra post *διατρίβουσιν* (23) habent FP: transposui ‖ **9. 10** cf. Plotin. enn. IV 3, 20 (II p. 29, 21 M.) ‖ **10. 11** cf. Plotin. enn. IV 3, 21 (II p. 30, 19. 20 M.) ‖ **11** *ὁ* addidi coll. Plotin. l. s. | *οἱ δὲ καθαρώτεροι – διισχυρίζονται* (16) supra ante *ἤδη τοίνυν* (1) habent FP: transposui ‖ **14** *γένεσιν* FP: corr. Meineke ‖ **15** *τὰς* om. P ‖ **17** titulum om. FP, qui haec cum prioribus copulant: addidi ‖ **23** post *διατρίβουσιν* clausula in P ‖ **24** *αὐτὴν* FP: correxi | post *συνουσίαν* clausula in F ‖ **25** ante *ἄλλοι* lacunam signavi cum Meinekio et novam eclogam constitui

Πλάτωνα καθάρσει καὶ ἀναγωγῇ καὶ τελειώσει τῆς ψυχῆς· ἄλλοι δὲ οἱ χείρονες τοῖς ἐναντίοις τούτων ἀντιδιαστελλόμενοι· κατὰ δὲ τοὺς Στωικοὺς τῇ κοινωνίᾳ καὶ τῷ καλῷ τῷ τῆς φύσεως ἐξηρτημένῳ· κατὰ δὲ τοὺς Περιπατητικοὺς τῇ κατὰ φύσιν τε συμμετρίᾳ καὶ τῇ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν νοερᾷ ζωῇ προτιμώμενοι· κατὰ δὲ Ἥριλλον ἐπιστήμῃ· κατὰ δὲ Ἀρίστωνα ἀδιαφορίᾳ· κατὰ δὲ Δημόκριτον εὐσχημοσύνῃ· κατὰ δὲ [920]
τοὺς ἄλλους μέρει τινὶ τοῦ καλοῦ· ἢ τῇ ἀοχλησίᾳ καθ' Ἱερώνυμον (fr. XI 19 Hiller. in satur. Saupp. p. 102) *ἢ ἄλλοις τισὶ τρόποις διαγωγῆς τὸ αἱρετὸν ἔχοντες, ἀφ' ὧν οἱ κατὰ μέρος φύονται βίοι ἄπειροι περὶ τὴν γένεσιν διαιρούμενοι· περὶ ὧν οὐδὲν δεῖ πολυπραγμονεῖν, ἀλλὰ εἰς τὸ ἄπειρον αὐτοὺς μεθιέντας χαίρειν ἐᾶν.*

43 (39 H.) *Ἐν ταὐτῷ· περὶ θανάτου.*

Ἐπειδὰν μετὰ τὸν τῇδε βίον ἡ τελευτὴ συμπίπτῃ, τί ποτε συμβαῖνόν ἐστι; Πότερον ὥσπερ ἐν τῇ γενέσει προ- p. 116 C.
ὑπῆρχεν ἢ συνυφίστατο ἢ ὑστέρα πως ἐπεγίγνετο τοῖς σώμασιν ἡ ψυχὴ κατὰ τὰς διαφόρους αἱρέσεις, οὕτω καὶ ἐν τῷ ἀποθνήσκειν προφθείρεται τοῦ σώματος ἢ συναπόλλυται αὐτῷ ἢ καὶ διαμένει καθ' ἑαυτὴν μετὰ τὴν ἐνθένδε ἔξοδον; Τὸ μὲν οὖν πᾶν κεφάλαιον τοιοῦτον· μέρη δὲ αὐτοῦ καὶ ἡ κατὰ τὰ εἴδη διαίρεσις δέχεται πολλὰς τοιαύτας ἀμφισβητήσεις· ἆρά γε πνιγμῷ τῶν ἀρτηρίων ἀποκλειομένων τοῦ δέχεσθαι τὸ ἐκτὸς πνεῦμα, ἢ [922]
ἐκλυομένου τοῦ τόνου καὶ παριεμένου, ἢ τοῦ θερμοῦ ἐναποσβεννυμένου πως εἰς τὰ εἴσω τὰ ζῶντα πρότερον εἰσαῦθις ἀποθνήσκει; Ἀλλ' εἰ οὕτως γίγνεται ὁ θάνατος,

---

1. 2 post *τῆς ψυχῆς*, **2.** 3 post *ἀντιδιαστελλόμενοι*, 4 post *ἐξηρτημένῳ*, 6 post *προτιμώμενοι*, 7 post *ἐπιστήμῃ*, **7.** 8 post *ἀδιαφορίᾳ*, 8 post *εὐσχημοσύνῃ* clausula in F ‖ **2** *ἐναντίως* FP: correxi ‖ **6** *ἀνθρωπίνη* P ‖ **8** *εὐθημοσύνῃ* Meineke ‖ **9** *ἀνοχλησίᾳ* P ‖ **11** *ἔχοντες* vix sanum ‖ **15** *Περὶ θανάτου· ἐν ταὐτῷ* Gaisford | *ἐν ταυτῷ* F mrg habet ‖ **20** *τῷ σώματι* F ‖ **22** *ἐνθέδε* P ‖ **25** *ὑποκλειομένων* P ‖ **26** *περιεμένου* P | *τοῦ θερμοῦ ἢ* FP: *ἢ τοῦ θερμοῦ* Meineke ‖ **27** ante *πως* add. *τοῦ δὲ ψυχροῦ ἐγγιγνομένου* Meineke; tu cf. supra p. 378, 9. 10

προαναιρεῖται ἢ συναναιρεῖται ἡ ψυχὴ τῷ σώματι, καθάπερ Κουρνοῦτος οἴεται. Εἰ δὲ ὡς δύναμις ὑποκειμένου, ὥσπερ δὴ ἁρμονία λύρας ἢ τελειότης, προαφίσταται τοῦ σώματος ἐν τῷ ἀποθνήσκειν ἡ ψυχή, προφθείρεται μὲν οὐδαμῶς (οὐδὲ γὰρ διὰ κινήσεως πρόεισιν εἰς τὸ μὴ εἶναι), ἀλλ' ἐξαίφνης εἰς τὸ μὴ εἶναι μεθίσταται ἀχράντως καὶ ἄνευ φθορᾶς, ὥσπερ δὴ καὶ ἔστιν ὅτε ἔστιν ἀθρόως οἷον ἀστραπῆς ἐκλαμπούσης.

Ἔσται δὴ οὖν τὸ μὲν ζῆν τὰ ζῷα ἀπὸ τοῦ ἔχειν τὸ τῆς ζωῆς εἶδος· τὸ δὲ καλούμενον ἀποθνήσκειν ἀπὸ τοῦ μὴ παρεῖναι αὐτὸ ἢ μὴ ἔχεσθαι· ἧς πολλοὶ Περιπατητικοὶ δόξης προεστήκασιν. Εἰ δὲ παρέσπαρται μὲν [924] καὶ ἔνεστιν ἡ ψυχὴ τῷ σώματι καθαπερεὶ ἀσκῷ πνεῦμα, περιεχομένη ἢ συμμιγνυμένη πρὸς αὐτὸ καὶ ἐγκινουμένη ὥσπερ τὰ ἐν τῷ ἀέρι ξύσματα διὰ τῶν θυρίδων φαινόμενα, δῆλόν που τοῦτο ὅτι ἔξεισιν μὲν ἀπὸ τοῦ σώματος, ἐν δὲ τῷ ἐκβαίνειν διαφορεῖται καὶ διασκεδάννυται, ὥσπερ Δημόκριτος καὶ Ἐπίκουρος ἀποφαίνονται.

* * τοὺς δὲ περὶ Πλωτῖνον τῆς στάσεως προισταμένους ἐκείνης τῆς χωριζούσης αὐτὰς ἀπὸ τοῦ λόγου, ἢ καὶ ἀφιείσης εἰς τὴν γένεσιν, ἢ καὶ ἀφαιρούσης ἀπὸ τῆς διανοίας, ἀφ' ἧς πάλιν διττῆς δόξης γίγνεται διάκρισις. Ἥτοι γὰρ λύεται ἑκάστη δύναμις ἄλογος εἰς τὴν ὅλην ζωὴν τοῦ παντὸς ἀφ' ἧς ἀπεμερίσθη, ἣ καὶ ὅτι μάλιστα μένει ἀμετάβλητος, ὥσπερ ἡγεῖται Πορφύριος· ἢ καὶ χωρισθεῖσα ἀπὸ τῆς διανοίας ἡ ὅλη ἄλογος ζωὴ μένει καὶ αὐτὴ διασῳζομένη ἐν τῷ κόσμῳ, ὅσπερ οἱ παλαιότατοι τῶν ἱερέων ἀποφαίνονται.

---

1 *συναιρεῖται* P ‖ **5** *οὐδὲν* Meineke ‖ **6** *ἀχρόνως* FP: corr. Usener ‖ **8** *ἐλλαμπούσης* FP: corr. Meineke ‖ **9** *τῷ ζώῳ* Heeren ‖ **12** *προέσπαρται* P, sed cf. Laert. X 63 ‖ **13** *καθάπερ ἐν ἀσκῷ* FP: corr. Meineke ‖ **14** *περιεχόμενον* P | *συμπιγομένη* P ‖ **15** *ξύσματα* etiam P ‖ **18** post *ἀποφαίνονται* clausula in F ‖ **19** lacunam ante *τοὺς* signavi cum Heereno ‖ **21** *ἀμφιείσης* P | *ἀφαιρούσας* F, *ἀφερούσας* P: corr. Canter ‖ **24** *ἢ καὶ* FP: *ᾗ καὶ* Heeren, *εἰ καὶ* Meineke | *ὅτι* del. Heeren ‖ **27** *διασώζεται* Heeren | post *κόσμῳ* clausula in FP, in quibus *καὶ τὰ αὐτὰ κτλ.* (p. 385, 1) copulata cum prioribus

Κατὰ ταὐτὰ δὴ οὖν καὶ περὶ τῶν μέσων οὐσιῶν [926]
ψυχῆς τε καὶ σώματος πολὺ διαφερόντως διατάττονται. Οἱ μὲν γὰρ εὐθὺς αὐτὴν τὴν ψυχὴν αὐτῷ τῷ σώματι τῷ ὀργανικῷ συνοικίζουσιν, ὥσπερ οἱ πλεῖστοι τῶν Πλατωνικῶν· οἱ δὲ μεταξὺ τῆς τε ἀσωμάτου ψυχῆς καὶ τῆς ἀγγελιώδους αἰθέρια καὶ οὐράνια καὶ πνευματικὰ περιβλήματα περιαμπέχοντα τὴν νοερὰν ζωὴν προβεβλῆσθαι μὲν αὐτῆς φρουρᾶς ἕνεκεν, ὑπηρετεῖν δὲ αὐτῇ καθάπερ ὀχήματα, συμμέτρως δ' αὖ καὶ πρὸς τὸ στερεὸν σῶμα συμβιβάζειν μέσοις τισὶ κοινοῖς συνδέσμοις αὐτὴν συνάπτοντα.

44 (40 H.) *Ἑρμοῦ τρισμεγίστου ἐκ τῆς ἱερᾶς βίβλου ⟨τῆς⟩ ἐπικαλουμένης Κόρης κόσμου* (p. 27[b] Patr.).

Ταῦτα εἰποῦσα Ἶσις ἐγχεῖ ποτὸν Ὥρῳ γλυκὺ το πρῶτον ἀμβροσίας, ὃ αἱ ψυχαὶ λαμβάνειν ἔθος ἔχουσιν ⟨ἀπὸ⟩ θεῶν, καὶ οὕτως τοῦ ἱερωτάτου λόγου ἄρχεται [Ἶσις]· [928]

„Ἐπικειμένου, τέκνον Ὥρε, τῇ τῶν ὑποκειμένων φύσει πάσῃ τοῦ πολυστεφοῦς οὐρανοῦ καὶ κατ' οὐδένα τόπον στερουμένου τινὸς ὧν νῦν ὁ σύμπας ἔχει κόσμος, ἀνάγκη πᾶσα ὑπὸ τῶν ὑπερκειμένων συγκεκοσμῆσθαι καὶ πεπληρῶσθαι φύσιν πᾶσαν τὴν ὑποκειμένην· οὐ γὰρ δήπου δυνατὰ κοσμῆσαι τὰ κάτω τὸν ὕπερθεν διάκοσμον. Ἀνάγκη τοίνυν τοῖς κρείττοσι μυστηρίοις εἴκειν τὰ ἐλάσσονα. Κρείσσων δὴ τῶν ὑποκειμένων ἡ τῶν μετεώρων ἐστὶ διάταξις καὶ τῷ παντὶ ἀσφαλής τε καὶ θνητῶν οὐχ ὑπο-

---

1 *τὰ αὐτὰ* FP ‖ **3** *αὐτὴν* om. Heeren ‖ **5. 6** *τοῦ ἀγγελιώδους* P ‖ **6** fort. ante *αἰθέρια* intercidit *τίθενται* ‖ **7** fort. post *περιβλήματα* intercidit *ἃ* | *περιαπέχοντα* P[1] ‖ **8** post *ἕνεκεν* add. *λέγουσιν* Heeren ‖ **11** sqq. ecl. 44 et 45 inter se copulatae cum ecl. h. c. 68. 69 leguntur ap. Patricium p. 27[b]—37[b], qui p. 3 haec scribit: "sed extat et alius (Hermetis liber) titulo 'sacri libri', quem nos in Cypro in monasterio, cui nomen Enclistra, simul cum reliquis invenimus et quem Io. Stobaeus eclogis suis physicis inseruit cum fragmentis aliis" ‖ **12** *τῆς* ante *ἐπικαλουμένης* add. Gaisford ‖ **13** *Ἶσις* om. P | *γλυκὺν* FP Patr.: corr. Heeren ‖ **14** *ἀπὸ* om. FP, add. Patr. (ex cod.?) ‖ **15** *ἴσις* FP[2], *ἴσης* (?) P[1]: del. Heeren ‖ **17** *πολυστεφοῖς* FP: *πολυαστέρου* Lobeck Agloaph. p. 462 adn.[o] ‖ **18** *στερομένου* P ‖ **21** *τῶν ὕπερθεν* P ‖ **23** *δὴ* F, *δεῖ* P, *δὲ* Patr. cum Cantero ‖ **24** *θνητῷ* Heeren

p. 117 C. πίπτουσα διανοίᾳ. Ἔνθεν ἐστέναξε τὰ κάτω, φόβον ἔχοντα, τὴν περικαλλῆ καὶ εἰς ἀεὶ διαμονὴν τῶν ἐπικειμένων. Ἦν γὰρ ἄξιον θεωρίας ὁμοῦ καὶ ἀγωνίας ὁρᾶν οὐρανοῦ κάλλος θεῷ καταφανταζόμενον τῷ ἔτι ἀγνώστῳ πλουσίαν τε νυκτὸς σεμνότητα, ἐλάττονι μὲν ἡλίου ὀξεῖ δὲ προσφορουμένην φωτί, τῶν τε ἄλλων κατὰ μέρος κινουμένων
[930] ἐν οὐρανῷ μυστηρίων τακταῖς χρόνων κινήσεσι καὶ περιόδοις διά τινων κρυπτῶν ἀπορροιῶν τὰ κάτω συγκοσμούντων καὶ συναυξόντων.

Καὶ οὗτος φόβος μὲν ἐπάλληλος ζητήσεις τε ἄληκτοι, καὶ ἕως ὁ τῶν συμπάντων οὐκ ἐβούλετο τεχνίτης ἀγνωσία κατεῖχε τὰ ξύμπαντα· ὅτε δὲ ἔκρινεν αὐτὸν ὅστις ἐστὶ δηλῶσαι, ἔρωτας ἐνεθουσίασε θεοῖς καὶ αὐγὴν ἣν εἶχεν ἐν στέρνοις πλείονα ταῖς τούτων ἐχαρίσατο διανοίαις· ἵνα πρῶτον μὲν ζητεῖν θελήσωσιν, εἶτα ἐπιθυμήσωσιν εὑρεῖν, εἶτα καὶ κατορθῶσαι δυνηθῶσι.

Τοῦτο δ' ἄν, ὦ τέκνον ἀξιοθαύμαστον Ὦρε, οὐκ ἂν ἐπὶ θνητῆς σπορᾶς ἐγεγόνει, οὐδὲ γὰρ ἦν οὐδέπω, ψυχῆς δὲ τὴν συμπάθειαν ἐχούσης τοῖς οὐρανοῦ μυστηρίοις· τοῦτο δὲ ἦν ὁ πάντα γνοὺς Ἑρμῆς· ὃς καὶ εἶδε τὰ σύμπαντα καὶ ἰδὼν κατενόησε καὶ κατανοήσας ἴσχυσε δηλῶσαί τε καὶ δεῖξαι. Καὶ γὰρ ἃ ἐνόησεν ἐχάραξε· καὶ χαράξας ἔκρυψε τὰ πλεῖστα σιγήσας ἀσφαλῶς καὶ λαλήσας, ἵνα ζητῇ ταῦτα πᾶς αἰὼν ὁ μεταγενέστερος κόσμου· καὶ οὕτως τοὺς συγγενεῖς θεοὺς δορυφορεῖν ⟨εἰπὼν⟩ ἀνέβαινεν εἰς ἄστρα.

---

1 *διανοίᾳ* P², *διάνοια* FP¹ | *φόβῳ* Patr. cum Cant. ‖ 5. 6 *προσφερομένην* (*comparatum*) Patr.: *προφορουμένην* Canter, *πορφυρουμένην* Meineke; num *προφαινομένην?* ‖ 8 *ἀποριῶν* P ‖ 8. 9 *κοσμούντων* P Patr. ‖ 9 *συναυξανόντων* Heeren tamquam ex Vat. Aug. ‖ 10 *ἄληκτοι* P² Patr., *ἄλεκτοι* FP¹ ‖ 11 *ξυμπάντων* Patr. ‖ 12 *σύμπαντα* Patr. | *αὐτὸν* FP Patr.: corr. Meineke | *ὅστις ἐστὶ* FP, *ὅστις καὶ* Patr. ‖ 13 *ἐνεθουσία* Patr. Cant. | *αὐτὴν* FP Patr.: *αὐγὴν* Canter mrg | *ἣν* Patr., *ἧ* FP ‖ 17 *ἄν* post *δ'* om. Patr. | *ὦ τέκνον, ἀξιοθαύμαστον, Ὦρε* Canter; sed cf. infra p. 395, 4 | *ὦρε* P ‖ 19 *τὴν* om. Patr. ‖ 20 *πάντων* Patr. | *γνοὺς* P², *νοῦς* FP¹ Patr. ‖ 22 *τε* om. P Patr. ‖ 23 *ἧ* FP: *καὶ* Patr. Cant. ‖ 25 *εἰπὼν* add. Meineke, *κελεύσας* add. Heeren | *ἀνέβενεν* P¹

Ἀλλ' ἦν αὐτῷ διάδοχος ὁ Τάτ, υἱὸς ὁμοῦ καὶ παραλήπτωρ [932]
τῶν μαθημάτων τούτου, οὐκ εἰς μακρὰν δὲ καὶ Ἀσκληπιὸς
ὁ Ἰμούθης, Πανὸς καὶ Ἡφαιστοβούλης, ἄλλοι τε ὅσοι τῆς
οὐρανίου θεωρίας πιστὴν ἀκρίβειαν ἔμελλον βουλομένης
τῆς πάντων βασιλίδος ἱστορῆσαι προνοίας. Ἑρμῆς μὲν
οὖν ἀπελογεῖτο τῷ περιέχοντι, ὡς οὐδὲ τῷ παιδὶ παρ-
έδωκεν ὁλοτελῆ θεωρίαν διὰ τὸ ἔτι τῆς ἡλικίας νεοειδές·
ἐμοὶ δὲ τῆς ἀνατολῆς γενομένης τοῖς πάντα βλέπουσιν
ὀφθαλμοῖς τὰ τῆς ἀνατολῆς θεωρήσαντι ἀειδῆ καὶ ἐπι-
σκοποῦντι βραδέως μὲν ἀλλ' οὖν ἦλθεν ἡ ἀκριβὴς διά-
γνωσις πλησίον τῶν Ὀσίριδος κρυφίων ⟨Ἑρμῆν⟩ ἀποθέ-
σθαι τὰ ἱερὰ τῶν κοσμικῶν στοιχείων σύμβολα. [Ἐπικατ-
ευξάμενος δὲ καὶ τοὺς λόγους τούσδε εἰπὼν εἰς οὐρανὸν
ἀπῆλθεν.]

Ἀλλ' οὐ καθῆκον ἀτελῆ τὴν ἐπαγγελίαν, ὦ τέκνον, [934]
ταύτην με καταλεῖψαι, εἰπεῖν δ' ὅσα τὰς βίβλους κατα-
τιθέμενος ἐξεῖπεν Ἑρμῆς. Ἐξεῖπε γὰρ οὕτως· "Ὦ ἱεραὶ
βίβλοι, τῶν ἀφθάρτων αἳ τετεύχατέ μου χειρῶν, ἃς τῷ τῆς
ἀφθαρσίας φαρμάκῳ χρίσας ἐπικρατῶ, ἀσαπεῖς παντὸς
αἰῶνος καὶ ἄφθαρτοι διαμείνατε χρόνοις, ἀθεώρητοι καὶ

---

2 τούτων FP Patr.: τούτου Meineke (vel antea pro ὁμοῦ scribit Ἑρμοῦ) | ante Ἀσκληπιὸς add. ὁ P Patr. ‖ **3** πανὸς P², σπανὸς FP¹ Patr. | Ἡφαιστοβούλης Patr., ἡφαίστου βουλαῖς FP | καὶ ἄλλοι ὅσοι Patr. ‖ **7** τὸ ἐπὶ τῆς P Patr. | νεοειδὲς Patr., θεοειδὲς FP ‖ **8** ἐγὼ δὲ FP Patr.: ἐμοὶ δὲ Heeren cum Cant. int. | γενομένης Patr., γενόμενος FP ‖ **9** θεωρῆσαί τι ἀειδεῖ FP¹, θεωρῆσαι τῷ ἀειδεῖ P², θεωρῆσαι τὰ ἀειδῆ Patr.: corr. Heeren ‖ **9. 10** ἐπισκοποῦντι Patr., ἐπισκοτοῦντι FP ‖ **11** Ἑρμῆν addidi | ἀπολέσθαι Patr. ‖ **12. 13** ἐπικατευξάμενος – ἀπῆλθεν (14) ut ad argumentum proximorum significandum a lectore adscripta seclusi: nam τοὺς λόγους τούσδε hic non habet quo referatur, de imprecatione infra accuratius dicitur, de discessu in caelum supra iam dictum | ἐπικατευξάμενος Patr., ἐπικατατευξάμενον F, ἐπικατευξάμενον P ‖ **13** εἰπὼν Patr., εἰπόντας FP ‖ **15** ἀπαγγελίαν FP: ἐπαγγελίαν Patr. Cant. ‖ **16** μὲν FP, om. Patr.: με Meineke ‖ **17** ἐξειπεῖν (ante Ἑρμῆς) FP: ἐξεῖπεν Patr. Cant. ‖ **18** τετεύχατέ μου P Patr., τετεύχαται μου F: τετ. τῶν ἐμοῦ Heeren | χείρονας FP Patr.: χειρῶν ἃς Meineke | τῷ om. Patr. ‖ **19** χορείας ἐπικρατῷ FP Patr.: χρίσας ἐπικρατῶ Meineke | ante παντὸς add. διὰ Heeren ‖ **20** χρόνους FP Patr.: correxi, χρόνῳ Heeren | ante καὶ add. τε Heeren

ἀνεύρετοι γιγνόμεναι παντὶ τῷ τὰ γῆς ταύτης παροδεύειν μέλλοντι πεδία, ἄχρις οὗ γέρων οὐρανὸς συστήματα ὑμῶν ἄξια τεκνώσεται, ἃς ψυχὰς ὁ δημιουργὸς προσηγόρευσε.” Τοσαῦτα εἰπὼν τὰς βίβλους [καὶ] τοῖς ἑαυτοῦ κατευξάμενος ἔργοις ἰδίαις τεμενίζεται ζωναις.

Ἱκανὸς δὲ ὁ μέσος ἤργει χρόνος ⟨καὶ⟩ ἐκέκρυπτο· καὶ ἡ φύσις, ὦ τέκνον, ἐτύγχανε στεῖρα, ἕως αὐτοὶ οἱ ἤδη περιπολεῖν τὸν οὐρανὸν κελευσθέντες ⟨θεοὶ⟩ τῷ πάντων θεῷ βασιλεῖ προσελθόντες τὴν τῶν ὄντων ἡσυχίαν ἀπήγγειλαν, καὶ ὅτι δέον ἐστὶ συγκοσμηθῆναι τὰ σύμπαντα καὶ τοῦτο ὅτι οὐχ ἑτέρου τινός ἐστιν ἔργον ἢ αὐτοῦ· “καὶ δεόμεθά σου”, ἔλεγον, “τὰ νῦν ὄντα καὶ ὧν ⟨τὰ⟩ ὕστερον ἔχει χρείαν διάσκεψαι”. Ταῦτα εἰπόντων ἐμειδίασεν ὁ θεὸς
p. 118 C. *καὶ εἶπε Φύσιν εἶναι καὶ θῆλυ πάγκαλον χρῆμα ἐκ τῆς φωνῆς αὐτοῦ προῆλθεν, ὃ καὶ θεωρήσαντες οἱ θεοὶ κατ-*
[936] *επλάγησαν. Καὶ ταύτην Φύσεως ὀνόματι ἐτίμησεν ὁ θεὸς ὁ προπάτωρ καὶ αὐτῇ προσέταξεν εἶναι γεννητικὴν καὶ ταῦτα ἔτι εἰς τὸ περιέχον ἀτενίσας ἐφώνησεν· “ἔστω πεπληρωμένος ὁ οὐρανὸς ἅπασιν ἀήρ τε καὶ αἰθήρ”. Εἶπεν ὁ θεὸς καὶ ἦν. Ἡ δὲ Φύσις ἑαυτῇ λαλήσασα ἔγνω ὡς μὴ δέον αὐτήν ἐστι παρακοῦσαι τῆς τοῦ πατρὸς ἐντολῆς καὶ καλὴν Πόνῳ συνελθοῦσα θυγατέρα ἐποίησεν,*

---

1 *ἀνερεύνητοι* Patr. | *τὰ* om. Patr. | *γῆς* pro *τῆς* Meineke ‖ **2** *πεδία* F, *πεδιὰ* P, *παιδίας* Patr. (*παιδία* Cant.) | *οὖν* Patr. | ante *γέρων* add. *ὁ* Heeren | *ὑμῶν* FP: *ἡμῶν* Patr. Cant. ‖ **3** *τεκνώσηται* FP Patr.: corr. Meineke ‖ **4** *καὶ* del. Heeren | *τοῖς κατ' ἑαυτῷ* Patr. ‖ **4. 5** *κατεξάμενος* P ‖ **5** *τε μενίζεται* FP: *τεμενίζεται* Patr.: *ταινιάζεται* Meineke, *τελαμωνίζει* Heeren: num *ἐταινίασε ταῖς*? ‖ **6** inde ab *ἱκανὸς* novum enunt. ap. Patr. (continuant FP) | *ἤργει* FP Patr.: *ἤρκει* vulgo cum Heereno, sed *ἤργει* rectissime 'iners erat'; cf. infra 389, 5 | *καὶ* ante *ἐκέκρυπτο* add. Heeren ‖ **7** *ἦση* F ‖ **7. 8** *τὸν οὐρανὸν περιπολεῖν* Heeren ‖ **8** *κελευσθέντας* F | *θεοὶ* addidi coll. v. 15 | *τῶν πάντων* FP: *τῷ πάντων* Patr. Cant. ‖ **11** *ὅτι* om. P Patr. | **12** *τὰ* ante *ὕστερον* addidi ‖ **13** *διασκέψαι* Patr., *διασκέψας* FP: corr. Meineke ‖ **14** *πάγκαλον* FP, *πόμαλλον* Patr. Cant. ‖ **16** *ταύτην* om. P Patr. | *φύσιν* Patr. | *πόματι* FP Patr.: corr. Meineke ‖ **17** *ταύτης* FP, *ταύτην* Patr.: *αὐτῇ* Heeren, *ταύτῃ* Meineke | *προέταξεν* Patr. | *γεννητικὴ* Heeren, *γεννητικῇ* Meineke ‖ **18** *ἀτενήσας* Patr. Cant. | *ἐφώνησεν* P² Patr., *φώνησεν* FP¹ ‖ **19** *ὁ* om. Patr. ‖ **22** *συνελθοῦσαν* FP: *συνελθοῦσα* Patr. Cant.

ἣν Εὕρεσιν ἐκάλεσε. Τῇ δὲ ὁ Θεὸς ἐχαρίσατο ⟨τὸ⟩ εἶναι καὶ χαρισάμενος διέκρινε τὰ ἤδη γεγονότα καὶ ἐπλήρωσεν αὐτὰ μυστηρίων καὶ τῇ Εὑρέσει [τούτων] τὸ κατὰ τούτων ἐχαρίσατο ἡγεμονικόν.

Αὐτὸς δ' οὐκέτι βουλόμενος ἀργὸν τὸν ὑπεράνω κόσμον εἶναι, ἀλλὰ πνευμάτων πληρῶσαι δοκιμάσας τοῦτον ὡς μὴ τὰ κατὰ μέρος ἀκίνητα καὶ ἀργὰ μένῃ, οὕτως εἰς ταῦτα ἤρξατο, τεχνιτείαις οὔσαις πρὸς τὴν τοῦ ἰδίου ἔργου γένεσιν χρησάμενος ἱεραῖς. Πνεῦμα γὰρ ὅσον ἀρκετὸν ἀπὸ τοῦ ἰδίου λαβὼν καὶ νοερῷ τοῦτο πυρὶ μίξας ἀγνώστοις τισὶν ἑτέραις ὕλαις ἐκέρασε· καὶ ταῦτα ἑκάτερον ἑκατέρῳ μετά τινων ἐπιφωνήσεων κρυπτῶν εἰ ὡσας [938] τὸ πᾶν οὕτως εὖ μάλα διεκίνησε κρᾶμα, ἕως ἐπεγέλασέ τις ὕλη τῷ μίγματι λεπτοτέρα τε καὶ καθαρωτέρα μᾶλλον καὶ διαφανεστέρα ἢ ἐξ ὧν ἐγένετο, διειδὴς δὲ ἦν αὕτη, ἣν δὴ καὶ μόνος ὁ τεχνίτης ἑώρα. Ἐπειδὴ δὲ οὔτε ὡς ἐκ πυρὸς καιομένη διετήκετο, οὔτε μὴν ὡς ἐκ πνεύματος τελεσιουργηθεῖσα ἔψυχεν, ἀλλά τινα ἰδιογενῆ καὶ οἰκείαν εἶχε τὴν τοῦ κράματος σύστασιν ἰδιότυπόν τε καὶ ἰδιοσύγκριτον, ἔν⟨θεν⟩ δὴ καὶ ἀπὸ τοῦ εὐφημοτέρου ὀνόματος καὶ τῆς καθ' ὁμοιότητα ἐνεργείας ψύχωσιν ὁ Θεὸς ἐκάλεσε τὴν σύστασιν. Ἐξ οὗ δὴ ἐπιπάγου μυριάδας ψυχῶν ἱκανὰς ἐγενεσιούργησε, τὸ παρ' αὐτοῦ τοῦ κράματος ἐπανθοῦν

---

1 τὸ post ἐχαρίσατο addidi ‖ **2** ἤδη FP Patr. ‖ **3** τούτων (ante τὸ κατὰ) del. Heeren | κατὰ τοῦτο Patr. Cant. ‖ **5** οὐ βουλόμενος Heeren ‖ **7** ὡς μὴ – μένῃ secluseris cum haec melius iam supra verbis οὐκέτι (5) – εἶναι (6) dicta sint iterum lectoris marginalem notam in textum irrepsisse ratus | μένει Patr.: μείνῃ Meineke ‖ **8** εἰς ταῦτα ἤρχετο Meineke, εἰσαῦθις ἤρξατο Heeren | οὔσαις] ὡς Heeren; num ὁσίαις et v. 9 ἱερὸν πνεῦμα γὰρ (coll. p. 390, 24)? ‖ **8. 9** τοῦ οἰκείου ἔργου Patr. ‖ **10** νοερῶς FP Patr.: corr. Meineke coll. Euseb. pr. ev. XV 11. 16 | τούτῳ P², τοῦτῳ Patr. | πῦρ P Patr. ‖ **11** ἀγνώστοις Patr., ἀγνώστως FP ‖ **16** ὡς om. Patr. Cant. ‖ **18** Διογενῆ Patr. Cant. ‖ **19. 20** ἰδιοσύγκρατον Patr. ‖ **20** ἣν δὴ FP Patr.: ἔνθεν δὴ scripsi coll. p. 392, 5. 6; poteris etiam ⟨ταύτ⟩ην δὴ; vulgo ἣν δὴ usque ad σύστασιν (22) per parenthesin dicta putant, ita ut toti enuntiato apodosis desit ‖ **21** ἰδιότητα Patr. ‖ **22** ἐπὶ πάγου FP² ‖ **23** ἐγενεσιούργησε FP, ἐγενησιούργησε Patr.: ἐδημιούργησε Heeren tamquam ex Vat. Aug. Esc. | τοῦ om. P Patr.

πρὸς ὃ θέλει πλάσσων εὐτάκτως τε καὶ συμμέτρως, μετ' ἐμπειρίας καὶ λόγου τοῦ καθήκοντος, ὡς μηδέ τι διαφέρειν αὐτὰς ἑαυτῶν ἦν ἀναγκαῖον, ἐπειδήπερ τὸ ἐκ τῆς κινήσεως τοῦ θεοῦ ἐξατμιζόμενον ἄνθος οὐκ ἦν ἑαυτῷ ὅμοιον, ἀλλὰ μεῖζον καὶ πληρέστερον ἦν τοῦ δευτέρου τὸ πρῶτον καὶ τῷ παντὶ καθαρώτερον, τὸ δεύτερον δὲ ἱκανῶς μὲν ἦν τοῦ πρώτου [τὸ] δεύτερον, πολλῷ δὲ τοῦ τρίτου [τὸ] μεῖζον. Καὶ οὕτως ἄχρι βαθμῶν ἑξήκοντα ὁ πᾶς ἀπήρτιστο ἀριθμός, πλὴν ὅτι γε πάσας ἀιδίους εἶναι
[940] νομοθετήσας ἔταξεν, ὡς ἂν ἐκ μιᾶς οὐσίας, ἧς μόνος αὐτὸς εἴδη τελειοῖ. Ταῖς δὲ καὶ τμήματα καὶ ταμιεῖα ἐν μεταρσίῳ διέταξε τῆς ἄνω φύσεως [οὐρανοῦ], ὅπως τόν τε κύλινδρον περιστροβῶσι τάξει τινὶ καὶ οἰκονομίᾳ καθηκούσῃ καὶ τὸν πατέρα τέρπωσιν. Οὕτως δὴ καὶ ἐν τῇ περικαλλεῖ τοῦ αἰθέρος στάσει καὶ τὰς τῶν ἤδη ὄντων μεταπεμψάμενος φύσεις, "ὦ", φησί, "πνεύματος ἐμοῦ καὶ μερίμνης ἐμῆς, ψυχαί, καλὰ τέκνα, ἃ ταῖς ἐμαυτοῦ μαιωσάμενος χερσὶν ἤδη τῷ ἐμῷ καθιερῶ κόσμῳ, λόγων ἐμῶν ὡς νόμων τούτων ἐπακούσατε καὶ τόπου μηδενὸς ἄλλου θίγητε πλὴν τοῦ διαταγέντος ὑμῖν ὑπὸ τῆς ἐμῆς γνώμης. εὐσταθησάσαις μὲν οὖν ὑμῖν οὐρανός τε καταμένει πάλιν ὁμοίως καὶ ὁ διαταγεὶς ἀστερισμὸς θρόνοι τε ἀρετῆς πεπληρωμένοι· εἰ δέ τι νεώτερον παρὰ τἀμὰ πράξετε βουλεύματα, ἱερὸν ὑμῖν ὀμνύω πνεῦμα καὶ κρᾶμα τοῦτ' ἀφ' οὗπερ ὑμᾶς ἐγέννησα ψυχοποιούς τε ταύτας μου τὰς χεῖρας, ὡς οὐκ εἰς μακρὰν δεσμὸν καὶ κολάσεις ὑμῖν τεχνιτεύσω."

---

1 *πρὸς ὃ* F Patr., *πρ σὸ* P¹, *πρσ, ὃ* P² | *πράσσων* Patr. ‖ 2 *μηδέ τι* corruptum; fort. *ἤδη τι* | *μήτε* Patr. ‖ 3 *ἑαυτὰς ἑαυτῶν* FP Patr.: corr. Meineke ‖ 4 *κράσεως* Heeren ‖ 7 *τὸ* del. Heeren ‖ 8 *τὸ* ante *μεῖζον* del. Heeren ‖ 10 *οὐσίας*] *ὕλης* Patr. ‖ 11 *ἤδη* FP: *εἴδη* Patr. Cant. | *τελειῶ* FP Patr.: corr. Meineke | *τμεῖα* FP: *ταμεῖα* Patr. Cant.; cf. infr. p. 392, 18 ‖ 12 *οὐρανοῦ* del. Heeren ‖ 15 *καὶ* om. Patr. ‖ 16 *ὦ φησὶ* P², *ὡς φὴς* FP¹, *οὕτως φησὶ* Patr. ‖ 17 an *ψυχαί* secludendum? ‖ 18 ante *ἤδη* add. *καὶ* Patr. Cant. | *μῷ* FP Patr.: corr. Meineke | *λέγων* P² ‖ 21 *εὐσταθησάσαι* P¹, *εὐσταθήσασα* Patr. | *καὶ μένει* FP Patr.: *καταμένει* scripsi, *μένει* (om. *καὶ*) Heeren tamquam ex Vat. ‖ 23 *τὰ μα* Patr. | *πράξετε* Patr., *πρόξηται* F, *πράξητε* P ‖ 24 *βουλεύματα* om. P Patr. ‖ 26 *δεσμοὺς* P Patr.

Τοσαῦτα εἰπὼν ὁ θεός, ὁ κἀμοῦ κύριος, τὰ λοιπὰ τῶν στοιχείων συγγενῆ μίξας, ὕδωρ καὶ γῆν, καί τινας ὁμοίως κρυπτοὺς ἐπειπὼν λόγους, δυνατοὺς μέν, οὐ τοῖς πρώτοις δ' ὁμοίους, εὖ τε κινήσας καὶ ζῳοποιὸν ἐνθου- [942]
σιάσας τῷ κράματι ἐπιπλέοντα ὁμοίως ἐπίπαγον εὐβαφῆ τε καὶ εὐπαγῆ γενόμενον ἔλαβε καὶ ἐκ τούτου τὰ ἀνθρω- p. 119 C.
ποειδῆ τῶν ζῴων διέπλασε. *Τὸ δὲ τοῦ μίγματος λείψανον ταῖς ἤδη προκοψάσαις ψυχαῖς ἔδωκε. Ψυχαῖς δὲ ταύταις ταῖς εἰς χωρία θεῶν καὶ τοὺς ἐγγὺς ἄστρων τόπους καὶ ἱεροὺς δαίμονας μετακεκλημέναις "πλάσσετε", λέγων, "ὦ τέκνα, τῆς ἐμῆς φύσεως γεννήματα, δέχεσθε τῆς ἐμῆς τέχνης τὰ λείψανα καὶ ἑκάστη τῇ ἑαυτῆς φύσει πλασσέτω τι παραπλήσιον· παραθήσομαι δ' ἔτι καὶ ταῦθ' ὑμῖν παραδείγματα", καὶ λαβὼν εὖ καὶ καλῶς τὸν ζωδιακὸν συμφώνως ταῖς ψυχικαῖς κινήσεσι διέταξε κόσμον, πρὸς τοῖς ἀνθρωποειδέσι τῶν ζῳδιακῶν τὰ ἑξῆς ἀπαρτίσας οἷον ζῳδίοις, καὶ τὰς πανούργους ἐχαρίσατο δυνάμεις καὶ πάντεχνον πνεῦμα γεννητικὸν τῶν εἰς ἀεὶ μελλόντων ἔσεσθαι καθολικῶς πάντων. Καὶ ἀπέστη ὑποσχόμενος τοῖς ὁρατοῖς ἔργοις αὐτῶν τὸ ἀόρατον πνεῦμα ἐπιζεῦξαι οὐσίαν τε ὁμοιογονίας ἑκάστῳ, ὅπως αὐτῷ [αὐτοῖς] ἕτερα γεννᾷ ὅμοια αὐτά τε οὐκέτι ἀνάγκην ἔχουσιν ἄλλο τι ποιεῖν ⟨ἢ⟩ ἃ ἔφθησαν ἐργάσασθαι.*"

---

4 *εὐτεκεῖν ἴσας* sed m. 2 mrg *κινήσας* i. e. *εὖ τε κινήσας* P, *εὐτεκεῖν ἴσας* F, *εὐτεκεῖν ἴσους* Patr. ‖ **5** *ἐπιπλέοντι* Patr. | *ἐπὶ πάγον* F ‖ **8** *ψυχαῖς* pr. l. om. P Patr. | *δὲ* om. Heeren cum Aug. ‖ **10** num *ἱερῶν δαιμόνων*? | *μετακεκλημέναις* Patr., *μετακεκλημένας* FP | *πλάσσετε* (*πλάσσε τε* F) suspectum; fort. *λάβετε*, nisi *πλ.* delendum ut var. lect. v. *πλασσέτω* (13)? ‖ **11** *δέχεσθαι* P ‖ **13** *δέ τι* FP, *δὲ* Patr.: *δ' ἔτι* Meineke ‖ **14** *ἡμῖν* Patr. ‖ **15** *συμπώνως* Patr. | *ταῖς* om. Patr. Cant. | *διέταξα* Heeren ‖ **16** *ζῳδίων* Patr. ‖ **16. 17** *ἀπαρτήσας* Patr. Cant. ‖ **17** *ἐχαρίσατο* Patr., *ἐχαρισάμην* FP (sed P² *μην* delevit et corr. mrg ni fallor *το*): an *χαρισάμενος*? ‖ **20** *ὁρατὸν πνεῦμα* FP Patr.: corr. Canter int. ‖ **21** *τε* FP, *δ'* Patr. | *ὁμοιογενίας* P Patr. | *ἑκάστῳ* om. P Patr. ‖ **21. 22** *αὐτῷ αὐτοῖς* FP¹ Patr., *αὐτὰ αὐτοῖς* P²: *αὐτῷ* (om. *αὐτοῖς*) Heeren recte, cf. *Stud.* p. 66, *αὐταυτῷ* Meineke ‖ **22** *αὐτά τε* P, *αὐτά γε* F, *αὐτὰ δὲ* Patr.: *αὐταί τε* Meineke | *οὐκ ἔτι* FP | *ἀνάγκη* P¹ | *ἔχωσιν* P² ‖ **23** *ἢ* om. FP¹ Patr., add. P²: *παρ'* add. Heeren

„Τί οὖν, ὦ τεκοῦσα, ἐποίησαν αἱ ψυχαί;“

Καὶ εἶπειν Ἶσις· „Τὸ κεκερασμένον, ὦ τέκνον Ὧρε,
[944] τῆς ὕλης λαβόμεναι κατενόουν πρῶτον καὶ τὸ τοῦ πατρὸς προσεκύνουν κρᾶμα καὶ ὁπόθεν ἦν συμπεπλεγμένον ἐπεζήτουν. Τὸ δὲ ἦν αὐταῖς οὐκ εὔπορον ἐπιγνῶναι. Ἔνθεν δὴ καὶ ὅτι ἐπεζήτησαν ἐφοβοῦντο μὴ τῷ τοῦ πατρὸς ὑποπέσωσι χόλῳ καὶ ἐπὶ τὸ πράττειν τὰ προσταχθέντα ἐτράπησαν. Ἔνθεν ἐκ μὲν τῆς ἀνωτέρω ὕλης τῆς ὑπερβολῆ κοῦφον ἐχούσης τὸν ἐπίπαγον τὸ τῶν ὀρνέων γένος ἐμόρφουν· ἐν τούτῳ δ' ἡμιπαγοῦς ἤδη τοῦ κράματος γενομένου καὶ ἤδη τὴν στερεὰν πῆξιν λαβόντος τὸ τῶν τετραπόδων γένος ἔπλασσον, τό θ' ἧττον κοῦφον καὶ ἑτέρας ὑγρασίας δεόμενον εἰς διάνηξιν, τὸ τῶν ἰχθύων· ψυχροῦ δὲ τοῦ λοιποῦ καὶ ἤδη κατωφεροῦς ὑπάρχοντος τὴν τῶν ἑρπετῶν αἱ ψυχαὶ φύσιν ἐκαινούργουν. Αὗταί τε, ὦ τέκνον, ὅς τι πράξασαι ἤδη καὶ περίεργον ὡπλίζοντο τόλμαν καὶ παρὰ τὰ διατεταγμένα ἐποίουν καὶ ἤδη τῶν ἰδίων τιμημάτων καὶ ταμιείων προήρχοντο καὶ ἐφ' ἑνὸς οὐκέτι ἤθελον τόπου μένειν, ἀεὶ δὲ ἐκινοῦντο καὶ τὸ [ἔτι] ἐπὶ μιᾶς μονῆς εἶναι θάνατον ἡγοῦντο.

Τοῦτο μὲν οὖν, φησίν, ὦ τέκνον, Ἑρμῆς, ὡς κἀμὲ [λέγων] καὶ τὸν τῶν ὅλων κύριον καὶ θεὸν οὐκ ἐλάνθανεν ὃ πράσσουσιν, κόλασιν δὲ αὐταῖς ἐπεζήτει καὶ δεσμόν, ὃν τλημόνως ὑπομενοῦσι. Καὶ δὴ καὶ ἔδοξε τῷ πάντων

---

2 κεκραμμένον Patr. ‖ **4** πόθεν P Patr. | ᾗ FP Patr.: corr. Heeren ex Vat. Aug. ‖ **6** τῷ om. Patr. Cant. ‖ **8** ἀνωτέρων Patr. Cant. | τῇ (ante ὑπερβολῇ) FP Patr.: τῆς Meineke ‖ **9** ἐχούσης Patr., ἐχούσῃ FP | ἐπὶ πάγον FP¹ ‖ **9. 10** ἐμόρφουν P² Patr., εὐμόρφουν FP¹ ‖ **10** δ' om. Patr. ‖ **12** γένος om. Patr. Cant. | δὴ FP Patr.: θ' scripsi, δὲ Heeren, qui etiam antea post τὸ (11) debuit μὲν addere ‖ **13** ὑγρασίας ὑσίας F¹, ὑγρασίας ὑγίας P¹ Patr., ὑγρασίας οὐσίας F²P²: ὑγρασίας scripsi (cf. *Stud.* p. 66) cum Heereno, qui etiam ὑγρᾶς οὐσίας coni. ‖ **15** ἐκαινούργουν F¹ ‖ **18** προέρχοντο Patr. Cant. ‖ **19** οὐκέτι Patr., οὐκ ἔτι P, οὐκ F | ἀεί τε Patr. | ἔτι (ante ἐπὶ [20]) seclusi ‖ **20** μόνης FP Patr.: corr. Heeren | εἶναι F, αἴγε P Patr. ‖ **21** οὖν om. Patr. | κἀμὲ P², κἀμοῦ FP¹, κἀμοὶ Patr. ‖ **21. 22** λέγων seclusi: ἔλεγεν Heeren (κἀμοὶ recepto) ‖ **22** ἐλάνθανον Heeren ‖ **23** fort. δὴ

ἡγεμόνι καὶ δεσπότῃ τὸ τῶν ἀνθρώπων σύστημα τεχνήσασθαι, ὅπως ἐν τούτῳ τὸ τῶν ψυχῶν διαπαντὸς γένος [946]
κολάζηται. Τότε δὴ μεταπεμψάμενος ἐμέ, φησὶν Ἑρμῆς, εἶπεν· "Ὦ ψυχῆς ἐμῆς ψυχὴ καὶ νοῦς ἱεροῦ ἐμοῦ νοῦ, ἄχρι ποῦ στυγνὴ φύσις ἡ τῶν ὑποκειμένων ὁρᾶται; ἄχρι πότε τὰ ἤδη γεγονότα ἀργὰ μένει καὶ ἀνεγκωμίαστα ἀλλ' ἄγε δή μοι τοὺς ἐν οὐρανῷ θεοὺς πάντας ἤδη", εἶπεν ὁ θεός, ὦ τέκνον, ὥς φησιν Ἑρμῆς. Οἱ δὲ ⟨ὡς⟩ ἦλθον πρὸς ἐπίταγμα, "ἀπίδετε", εἶπεν, "εἰς τὴν γῆν καὶ πάντα τὰ χαμαί". Οἱ δὲ ἐν τάχει καὶ εἶδον καὶ ἐνόησαν ἃ ἐβούλετο ὁ δυνάστης. Καὶ εἰπόντι ὑπὲρ τῆς τῶν ἀνθρώπων γενέσεως συνῆσθοντο, ὅτι παρ' ἑνὸς ἑκάστου τι δυνατός ἐστι παρασχεῖν τοῖς μέλλουσι γίγνεσθαι.

Ἔλεγεν Ἥλιος· "ἐπὶ πλέον λάμψω". Ὑπισχνεῖτο Σελήνη τὸν μετὰ τὸν ἥλιον δρόμον φωτίσαι· ἔλεγε καὶ προπεπαιδοποιηκέναι Φόβον καὶ Σιγὴν καὶ Ὕπνον καὶ τὴν μέλλουσαν αὐτοῖς ἔσεσθαι πανωφελῆ Μνήμην. Κρόνος ἀπήγγειλεν ἤδη πατὴρ γεγονέναι καὶ Δίκης καὶ Ἀνάγκης. Ζεὺς ἔλεγεν· "ὡς μὴ παντάπασι πολεμῆσαι τὸ φῦλον τὸ ἐσόμενον, ἤδη αὐτοῖς καὶ Τύχην καὶ Ἐλπίδα καὶ Εἰρήνην γεγέννηκα". Ἄρης Ἀγωνίας ἔλεγεν ἤδη καὶ Ὀργῆς καὶ Ἔριδος πατὴρ εἶναι. Ἀφροδίτη οὐκ ἐμέλλησεν, ἀλλὰ εἶπεν· p. 120 C.
"ἐγὼ δὲ Πόθον αὐτοῖς, ὦ δέσποτα, καὶ Ἡδονὴν ἐπιζεύξω καὶ Γέλωτα· ὡς μὴ χαλεπωτάτην αἱ συγγενεῖς ψυχαὶ τὴν [948]
καταδίκην ὑπομένουσαι ἐπὶ πλέον κολάζωνται". Ἐτέρπετο, ὦ τέκνον, [ἐπὶ πλέον] Ἀφροδίτης ταῦτα λεγούσης. "Ἐγὼ

---

1 τὸ F Patr., τὸ eras. ex τῷ P | σύστημα P² Patr., συστήματι FP¹ | **1. 2** τεχνίσασθαι P et vulgo ‖ **3** δὴ FP, δὲ Patr. Cant. ‖ **4** ἐμῆς Patr., ἐμὴ FP | ἱεροῦ FP Patr.: correxi ‖ **5** στεγνὴ Patr. ‖ **6** πότε] ποῦ Aug. | εἴδη P ‖ **7** ἀλλά τε δῆμοι P¹ ‖ **7** ante πάντας add. κάλεσον Usener ‖ **8** ὡς add. Heeren ‖ **11** ὁ P² Patr., om. FP¹ ‖ **12** συνήσθοντο F, συνέθεντο P² Patr., συνήθοντο P¹ | ὅτι corr. Usener pro εἴ τι | τι FP¹ Patr., τις P² ‖ **15** μετὸν F | φωτίσω Patr. ‖ **15. 16** προπεπαιδοπεποιηκέναι P Patr. ‖ **17** αὐτῆς Patr. | ἀνωφελῆ FP Patr.: corr. Meineke ‖ **18** καὶ (ante Δίκης) om. Heeren ‖ **19. 20** τὸ ἐσομένων P, τῶν ἐσομένων F: τὸ ἐσόμενον Patr. Cant. ‖ **20** καὶ ante Τύχην om. Patr. Cant. ‖ **22** ἐμέλησεν F | post ἀλλὰ add. καὶ Aug. ‖ **26** ante ὦ addiderim ὁ θεός | ἐπὶ πλέον ex v. 25 iteratum delevi | τάδε λεγούσης P Patr.

δέ", εἶπεν Ἑρμῆς, "καὶ ποιήσω τὴν ⟨τῶν⟩ ἀνθρώπων φύσιν εὐφυῆ καὶ σοφίαν αὐτοῖς καὶ σωφροσύνην καὶ πειθὼ καὶ ἀλήθειαν ἀναθήσω καὶ οὐ παύσομαι τῇ Εὑρέσει συνών, ἀλλὰ καὶ τῶν ὑπὸ ζῳδίων τῶν ἐμῶν γινομένων ἀνθρώπων εἰσαεὶ τὸν θνητὸν βίον ὠφελήσω (ζῴδια γὰρ ἃ ἐμοὶ ἀνέθηκεν ὁ πατὴρ καὶ δημιουργὸς ἔμφρονά γε καὶ νοερά) καὶ τότε πλέον, ὅταν ἡ ἐπικειμένη αὐτοῖς τῶν ἀστέρων κίνησις σύμφωνον ἔχῃ τὴν ἑνὸς ἑκάστου φυσικὴν ἐνέργειαν".

Ἔχαιρεν ὁ θεός, ὁ δεσπότης κόσμου, ταῦτα ἀκούσας καὶ προσέταξε γίγνεσθαι φῦλον τὸ ἀνθρώπων. Ἐγὼ δέ, φησὶν Ἑρμῆς, ἐπεζήτουν ὕλην τίνι δέον ἐστὶ χρήσασθαι καὶ παρεκάλουν τὸν μόναρχον. Ὁ δὲ ταῖς ψυχαῖς προσέταξε τοῦ κράματος τὸ λείψανον δοῦναι· καὶ λαβὼν εὗρον αὐτὸ παντελῶς ξηρόν. Ἔνθεν πολλῷ πλείονι τοῦ δέοντος ἐχρησάμην κατὰ μῖξιν ὕδατι [ὡς τὴν τῆς ὕλης σύστασιν νεαροποιήσασθαι], ὡς ἔκλυτον παντάπασιν καὶ ἀσθενὲς καὶ ἀδύνατον τὸ πλασσόμενον εἶναι, ὡς μὴ πρὸς τῷ συνετὸν εἶναι ἔτι καὶ δυνάμεως ᾖ πεπληρωμένον. Ἔπλασα καὶ καλὸν ὑπῆρχε καὶ ἑτερπόμην βλέπων μου τὸ ἔργον καὶ κάτωθεν ἐπεκαλεσάμην τὸν μόναρχον θεωρῆσαι. Ὁ
[950] δὲ καὶ εἶδε καὶ ἐχάρη καὶ τὰς ψυχὰς ἐκέλευσεν ἐνσωματισθῆναι. Αἱ δὲ τότε πρῶτον στυγνάσασαι ⟨ἐστέναζον⟩ κατακρίτους ἑαυτὰς μαθοῦσαι.

Ἐθαύμασα οὖν καὶ τοὺς τῶν ψυχῶν λόγους. Πρόσεχε, τέκνον Ὥρε, κρυπτῆς γὰρ ἐπακούεις θεωρίας, ἧς ὁ μὲν προπάτωρ Καμῆφις ἔτυχεν ἐπακούσας παρὰ Ἑρμοῦ τοῦ

---

1 καὶ del. Heeren | τὴν ἀνθρώπων FP, τῶν ἀνθρώπων Patr.: corr. Heeren ‖ **2** ἔφη FP Patr.: εὐφυῆ Heeren ‖ **5** θνητὸν FP: θνητὸν Patr. Cant. | ὠφελήσω. ζῴδια vulgo ‖ **6** τὰ FP Patr.: ἃ scripsi, τινα Heeren | γε FP Patr.: τε Meineke ‖ **7** καὶ (ante ἐπικειμένη) FP, om. Patr.: ἡ scripsi ‖ **11** τὸ ἀνθρώπων F, τῶν ἀνθρώπων P Patr. | δέ om. Aug. ‖ **12** τίνι FP, τινὶ Patr. ‖ **16** κατὰ μίξας P^2 | ὕδατος Patr. | ὡς τὴν — νεαροποιήσασθαι (17) secl. Usener ‖ **18** ἀδύναμον Patr. Cant. | πρὸς τὸ P Patr. ‖ **19** ᾖ P^1 ‖ **23** ἐστέναζον addidi ‖ **24** post μαθοῦσαι add. ἐστέναξαν Meineke, πολλὰ ὠδύροντο Heeren ‖ **26** ὦρε P ‖ **27** καμῆφις F, καμήφης P Patr.: κάμηφις Meineke (*Καμηφίς* est ap. Damasc. p. 386)

πάντων ἔργων ὑπομνηματογράφου, ⟨ἐγὼ δὲ⟩ παρὰ τοῦ πάντων προγενεστέρου Καμήφεως, ὁπότ᾽ ἐμὲ καὶ τῷ τελείῳ μέλανι ἐτίμησε· νῦν δὲ αὐτὸς σὺ παρ᾽ ἐμοῦ. Ὅτε γάρ, ὦ θαυμαστὲ παῖ μεγαλόδοξε, ἔμελλον ἐγκατακλείεσθαι τοῖς σώμασιν, αἳ μέν γε αὐτῶν αὐτὸ μόνον ὠδύροντο καὶ ἐστέναζον, καθ᾽ ὅπερ τρόπον τῶν γεγονότων θηρίων τὰ ἐλεύθερα δουλοῦσθαι πονηρῶν μελλήσει τῆς συνήθους τε καὶ φίλης ἀποσπώμενα ἐρημίας μάχεσθαι καὶ στασιάζειν καὶ οὐχ ὁμονοεῖν πρὸς τοὺς κρατήσαντας αὐτῶν, ἀλλὰ καὶ ἐὰν τύχῃ περιγενόμενα θανάτῳ [952] παραδώσουσι τοὺς αὐτοῖς ἐπιβάλλοντας· αἳ δὲ πλέον ἔτριζον δίκην ἀσπίδων, ὀξὺ δὲ κωκύσασα ἑτέρα καὶ πρὸ τῶν λόγων ἱκανὰ κλαύσασα καὶ πολλάκις ἄνω τε καὶ κάτω τοὺς ὡς ἔτυχεν ἔχουσα μεταφέρουσα ὀφθαλμούς· Οὐρανέ, τῆς ἡμετέρας, εἶπεν, ἀρχὴ γενέσεως, αἰθήρ τε καὶ ἀὴρ καὶ τοῦ μονάρχου θεοῦ χεῖρές τε καὶ ἱερὸν πνεῦμα, περιλαμπῆ τε, ὀφθαλμοὶ θεῶν, ἄστρα καὶ φῶς ἡλίου καὶ σελήνης ἀκοπίαστον, τὰ τῆς ἡμετέρας ἀρχῆς σύντροφα, ὧν ἁπάντων ἀποσπώμεναι ἄθλια πάσχομεν, πλέον δ᾽ ὅτι ἀπὸ μεγάλων τε καὶ λαμπρῶν καὶ τοῦ ἱεροῦ περιχύματος καὶ πλουσίου πόλου καὶ ἀπὸ τῆς μακαρίας μετὰ θεῶν πολιτείας εἰς ἄτιμα καὶ ταπεινὰ οὕτως

---

1 ἐγὼ δὲ add. Cant. int. ‖ **2** ὁπότε με FP, ὁπότε Patr.: corr. Heeren ‖ **3** μέλανι i. e. illo atramento quo libri arcani Mercurii scripti sunt ‖ **5** post σώμασιν add. αἱ ψυχαὶ Patr. | μὲν γὰρ FP, μὲν Patr.: μέν γε Heeren | an αὐτὸ ⟨τοῦτο⟩? ‖ **6** καθ᾽ Usener pro καὶ ‖ **6. 7** an τῶν θηρίων τὰ γεγονότα ἐλεύθερα? | τῶν ⟨ἐν δεσμοῖς⟩ γεγονότων vel τῶν ἁλωκότων Heeren ‖ **7** τὰ ἐλεύθερα post πονηρῶν transponit Usener | δούλοις FP Patr.: δουλοῦσθαι Usener, δουλεύειν Heeren | πονηρῶν FP¹ Patr., πονηροῖς P²: πονηρῶς Heeren, ὀκνηρῶς Meineke | μελήσει F ‖ **8** τε om. F ‖ **8. 9** μάχεται et στασιάζει et ὁμονοεῖ Patr. | post μάχεσθαι add. δὲ Heeren ‖ **10** ante ἀλλὰ iterant καὶ στασιάζειν FP ‖ **11** τοὺς P², τοῖς FP¹ Patr. | πλέον P Patr., παλαιῶν F: λιβυκῶν Meineke ‖ **12. 13** πρὸς τὸν λόγον Patr. (πρὸς τὸν λόγων Cant.) ‖ **14** an τοὺς οὓς ἔτυχεν? | φέρουσα P Patr. ‖ **19** ἀποσπώμεναι P², ἀποσπώμενα FP¹ Patr. | ἐνάθλια FP¹, ὡς ἄθλια P², ὡς ἐνάθλια Patr. Cant.: correxi, πανάθλια Meineke ‖ **20** πλέον οὐδ᾽ ὅτι F: num πλέον δ᾽ ἔτι? | post λαμπρῶν addiderim θρόνων coll. p. 390, 22 ‖ **21** ἀπὸ P², ἐπὶ FP¹ Patr.

ἐγκατειρχθησόμεθα σκηνώματα· τί ταῖς δυστήναις ἡμῖν ἁπρεπὲς οὕτως πέπρακται; τί τῶν κολάσεων τούτων ἄξιον; ὅσαι τὰς δειλαίας ἡμᾶς ἁμαρτίαι περιμένουσιν· ὅσα διὰ τὰ πονηρὰ τῶν ἐλπίδων πράξομεν, ἵνα τῷ ὑδαρεῖ καὶ ταχὺ διαλύτῳ σώματι πορίζωμεν τὰ ἐπιτήδεια· ὀφθαλμοὶ τὰς οὐκέτι τοῦ θεοῦ ψυχὰς χωρήσουσιν ἄλογοι, καὶ παντελῶς μικρὸν τῷ ἐν τούτοις ὑγρῷ [καὶ] κύκλῳ τὸν
p. 121 C. *ἑαυτῶν πρόγονον οὐρανὸν ὁρῶσαι στενάξομεν ἀεί, ἔστι δ' ὅτε καὶ οὐ βλέψομεν [ἔνθεν Ὀρφεύς* (fragm. monad. 10 p. 504 Herm.)·

[954] *τῷ λαμπρῷ βλέπομεν, τοῖς δ' ὄμμασιν οὐδὲν ὁρῶμεν]· ἄθλιαι γὰρ κατεκρίθημεν καὶ τὸ βλέπειν ἡμῖν οὐκ ἀντικρὺς ἐχαρίσθη, ὅτι χωρὶς τοῦ φωτὸς ἡμῖν τὸ ὁρᾶν οὐκ ἐδόθη· πόροι τοίνυν καὶ οὐκέτι εἰσὶν ὀφθαλμοί. ὡς δὲ καὶ τῶν συγγενῶν φυσώντων ἐν ἀέρι πνευμάτων ἀκοῦσαι τλημόνως οἴσομεν, ὅτι μὴ συμπνέομεν αὐτοῖς. οἶκος ἡμᾶς ἀντὶ τοῦ μεταρσίου κόσμου τούτου ὁ βραχὺς περιμένει καρδίας ὄγκος. ἀεὶ δὴ ἐπιλήσας ἡμᾶς ἀφ' ὧν εἰς οἷα κατέβημεν, ἀπόλυε τοῦ λυπεῖσθαι, δέσποτα καὶ πάτερ καὶ ποιητά, εἰ ταχέως οὕτως σῶν ἔργων ἠμέλησας· ⟨ἢ⟩*

---

3 ὅσαι P², ὃ καὶ FP¹ Patr. | ἡμῶν Patr. | ἁμαρτίαι P², ἁμαρτίας FP¹ Patr. ‖ **4** ὅσαι F ‖ **6** γὰρ οὐκέτι Meineke (γὰρ οὐκέτι τὰς Heeren) | χωρίσουσιν Patr. Cant. | ὀλίγοι FP, ὀλίγαι Patr.: ἄλογοι Usener, ὀλίγον Meineke, ὀλίγως Heeren ‖ **7** τῷ .. ὑγρῷ .. κύκλῳ Usener pro τῶν .. ὑγρῶν .. κύκλων | [τῶν] ἐν τούτοις ὑγρῶν καὶ ⟨ἀμυδρῶν ὀμμάτων⟩ κύκλοις Meineke, τοῖς τοιούτοις ὑγροῖς κύκλοις Heeren | καὶ ante κύκλῳ seclusi ‖ **8** ὁρῶντες Heeren | στενάξωμεν F, στενάζομεν Patr. | ἀεὶ del. Heeren ‖ **9** ἔνθεν – ὁρῶμεν (11) seclusit Heeren | ἔνθ' FP, ἔνθα Patr.: ἔνθεν Meineke | Ὀρφεὺς FP, ὄρφνος Patr., φῶς P² mrg ‖ **11** ὄμασιν P ‖ **13** ἐχωρίσθη FP Patr.: corr. Canter mrg ‖ **14** τόποι FP Patr.: corr. Meineke, ὀπαὶ Heeren, ποτὲ Usener | οὐκέτ' FP | ὡς FP Patr.: πῶς Meineke, sed ὡς est exclamantis ‖ **15** φυσσώντων FP, φυσσόντων Patr. ‖ **16** τλημόνας Patr. Cant. | συμπνέομεν F Patr., συμπνέμεν P ‖ **18** ἀεὶ δὲ FP Patr.: ἀεὶ δὴ Usener, σὺ δ' Heeren, ἀλλ' Meineke | ἀπολίσας FP Patr.: ἐπιλήσας scripsi ‖ **18. 19** ἀφ' ὧν εἰς οἷα corrupta putat Meineke ‖ **19** ἀπολεῖ τὸ FP, ἀπολεῖτο τὸ Patr.: ἀπόλυε τοῦ Usener, ἀπόλλυ τὸ Meineke ‖ **20** εἰ F, καὶ P Patr. | τῶν σῶν Heeren | ἢ addidi

διάταξον ἡμῖν τινας ὅρους, ἔτι κἂν βραχέων ἡμᾶς ἀξίωσον λόγων, ἕως ἔτι δι' ὅλου τοῦ περιφανοῦς ἔχομεν βλέπειν κόσμου." Ἐπέτυχον, τέκνον Ὥρε, αἱ ψυχαὶ τάδε εἰποῦσαι, παρῆν γὰρ καὶ ⟨ὁ⟩ μόναρχος καὶ τάδε ἐπὶ τοῦ τῆς Ἀλη- [956]
Θείας καθίσας θρόνου ταῖς δεηθείσαις ἐφώνησεν·

"Ἔρως ὑμῶν, ψυχαί, δεσπόσει καὶ Ἀνάγκη, οἵδε γὰρ μετ' ἐμὲ πάντων δεσπόται τε καὶ ταξίαρχοι. Ψυχαὶ δέ, ὅσαι τὴν ἀγήρατόν μου σκηπτουχίαν θεραπεύετε, ἴστε ὡς ἕως μὲν ἀναμάρτητοί ἐστε, τὰ τοῦ οὐρανοῦ οἰκήσετε χωρία· εἰ δ' ἄρα τις ὑμῶν τινος ἐγγίσει μέμψις, θνητοῖς καὶ αὐταὶ προσμεμοιρασμένον χῶρον σπλάγχνοις καταδικασθεῖσαι ἐνοικήσετε. κἂν μὲν ᾖ ὑμῶν μέτρια τὰ αἰτιάματα, τὸν ἐπίκηρον τῶν σαρκῶν σύνδεσμον καταλιποῦσαι, πάλιν ἀστένακτοι τὸν ἑαυτῶν οὐρανὸν ἀσπάσεσθε· εἰ δ' ἄρα τινῶν μειζόνων ἁμαρτημάτων ἔσεσθε ποιητικαί, οὐ μετὰ τέλους καθήκοντος τῶν πλασμάτων ἀπελθοῦσαι, οὐρανὸν μὲν οὐκέτι οἰκήσετε, οὐδ' αὖ σώματα ἀνθρώπων, ζῷα δ' ἄλογα μεταπλανώμεναι λοιπὸν διατελέσετε."

Τάδε εἰπών, ὦ τέκνον Ὥρε, πάσαις αὐταῖς ἐχαρίσατο πνεύματα καὶ πάλιν ἐφώνησεν· "Ἀλλ' οὐδὲ εἰκῇ καὶ ὡς ἔτυχεν ἐνομοθέτησα τὰς μεταβολὰς ὑμῶν, ἀλλ' ὡς ἐπὶ τὸ χεῖρον εἴ τι διαπράξετε ἄσχημον, οὕτως ἐπὶ τὸ βέλτιον

---

1 βραχέω Patr. Cant. ‖ 4 ὁ add. Heeren ‖ 5 post ἐφώνησεν clausula in FP, dein titulus λόγοι τοῦ θεοῦ ‖ 7 τε om. P Patr. ‖ 8 θεραπεύεται P¹ ‖ 9 τὰ τοῦ ἀνθρώπου Patr. Cant. | οἰκήσεται P¹ ‖ 10 ἡμῶν Patr. Cant. | ἐγγείσι Patr. Cant. ‖ 11 αὐταὶ Patr., αὗται FP | σπλάγχνων P (ων in corr.), om. Patr. ‖ 12 ἐνοικήσεται P¹ Patr. | ᾖ FP Patr.: ᾗ Meineke ‖ 12. 13 αἰτιώματα FP: αἰτιάματα Patr. Cant. ‖ 14 ἀστένακτον P Patr. | τὸν ἑαυτῶν F et P mrg, τὸν ἐπ' αὐτὸν P Patr. | ἀσπάσεσθαι P, ἀσπάζεσθε Patr. ‖ 15 ἔσεσθαι P ‖ 16 προελθοῦσαι F, προσελθοῦσαι P Patr.: ἀπελθοῦσαι scripsi ‖ 17 οἰκήσεται P¹ Patr. ‖ 18 ante λοιπὸν add. τὸ Heeren ‖ 19. 20 αὐτὸ ἐχαρίσατο τὸ πνεῦμα (πνεῦμα τι Cant.) Patr. Cant. ‖ 20 ἄλλους δὲ FP, ἀλλ' οὐκ Patr.: ἀλλ' οὐδὲ Canter mrg ‖ 21 ἐνομοθέτησε F, ὀνομοθέτησε P: ἐνομοθέτησα Patr. Cant. | διαβολὰς FP Patr.: μεταβολὰς (vel διανομὰς) Meineke, διαβουλὰς Canter, καταβολὰς Heeren | ἄλλως FP: ἀλλ' ὡς Patr. (Canter mrg) ‖ 22 διαπράξητε P Patr.

εἴ τι βουλεύσεσθε τῆς ἑαυτῶν γενέσεως ἄξιον· ἐγὼ γὰρ καὶ οὔτις ἕτερος ἐπόπτης αὐτὸς καὶ ἐπίσκοπος ἔσομαι.
[958] ἐπίγνωτε δὴ οὖν ὡς διὰ τὰ πρόσθεν πραχθέντα ὑμῖν κόλασιν ταύτην ὑπομένετε τὴν ἐνσωμάτωσιν. ἡ τοίνυν διαφορὰ τῆς παλιγγενεσίας ὑμῖν ἔσται ἡ τῶν σωμάτων, ὡς ἔφην, διαφορά, εὐεργεσία δὲ καὶ ⟨ἡ⟩ πρόσθεν εὐδαιμονία ** ἡ διάλυσις. τυφλωθήσεται δ' ὑμῶν ἡ φρόνησις, ἐάν τι ἀνάξιον ἐμοῦ δόξητε πράσσειν, ὥστε φρονεῖν τὰ ἐναντία καὶ τὴν μὲν κόλασιν ὡς εὐεργεσίαν ὑπομένειν, τὴν δὲ εἰς τὰ βελτίονα μεταβολὴν ἀτιμίαν τε καὶ ὕβριν. αἱ δικαιότεραι δ' ὑμῶν καὶ τὴν εἰς τὸ θεῖον μεταβολὴν ἐκδεχόμεναι εἰς μὲν ἀνθρώπους βασιλεῖς δίκαιοι, φιλόσοφοι γνήσιοι, ** κτίσται καὶ νομοθέται, μάντεις [οἱ] ἀληθεῖς, ῥιζοτόμοι γνήσιοι, ἄριστοι προφῆται θεῶν, μουσικοὶ ἔμπειροι, ἀστρονόμοι νοεροί, οἰωνοσκόποι σαφεῖς, ἀκριβεῖς θύται καὶ ὁπόσοι ἐστὲ καλῶν κἀγαθῶν ἄξιαι· εἰς δὲ πτηνὰ ἀετοί, διότι οὐδὲν τῶν ὁμογενῶν οὔτε ἐκσοβήσουσιν οὔτε θοινήσονται, ἀλλ' οὐδὲ πλησίον τούτων ζῷον ἕτερον ἀσθενέστερόν τι αὐτοῦ ἀδικεῖν ἀφεθήσεται, ἐνδικώτερα γὰρ ἡ τῶν ἀετῶν φύσις μετελεύσεται· εἰς δὲ τετράποδα λέοντες, ἰσχυρὸν γὰρ τὸ ζῷον καὶ φύσεως ἔτυχεν
[960] ἀκοιμήτου τρόπῳ τινὶ καὶ φθαρτῷ σώματι τὴν ἀθάνατον γυμναζόμενον φύσιν (οὔτε γὰρ κάμνουσιν οὔτε κοιμῶνται)·

---

1 *βουλεύεσθε* F Patr., *βουλεύεσθαι* P: corr. Meineke ‖ **2** *καὶ ἐπίσκοπος* del. Meineke ‖ **3** *δὲ* FP Patr.: correxi ‖ **4** *τὴν* F, *καὶ* P Patr. | *ἡ* FP, *καὶ* Patr. Cant. ‖ **5** *ἡ τῶν* om. P Patr. ‖ **6** *εὐεργεσίᾳ* Patr. | *ἡ* (ante *πρόσθεν*) om. FP, add. Patr. ‖ **7** lacunam statui, qua hausta sint fere *ἡ ἀτιμία καὶ κακοδαιμονία* | *ἡμῶν* P Patr. ‖ **8** *ὡς τὸ* Patr. Cant. ‖ **9** *ὑπομένετε* Patr. (*ὑπομένον* Cant.) ‖ **10** *ἀτιμίαν – ἐκδεχόμεναι* (11. 12) om. Patr. Cant. ‖ **11** *καὶ τὴν* F, *κατὰ τὴν* P ‖ **13** *γνήσιοι* suspectum, quod iteratur v. 14, sed huic scriptori fort. concedendum | lacunam ante *κτίσται* signavi, qua haustum fuerit epitheton | *οἱ* (ante *ἀληθεῖς*) F Patr., *ἡ* P: seclusi cum Meinekio, qui etiam *παναληθεῖς* coni.; fuit fort. *φιλαλήθεις* ‖ **15** *σαφεῖς* FP Patr.: *σοφοὶ* Heeren ex Vat. ‖ **16** *ὁπόσων* Patr. | num *ἔσονται* et *ἄξιοι*? ‖ **17. 18** *ἐκβοήσουσιν* FP, *ἐκβρόσουσιν* Patr.: *ἐκσοβήσουσιν* Cant. mrg ‖ **19** *αὐτοῦ* FP Patr.: correxi ‖ **19. 20** *ἐνδικώτερα* Patr., *ἐνδικωτέρα* FP (quo recepto *μετ.* debuit verti *puniet*) ‖ **20** *ἀρετῶν* P Patr. ‖ **23** *κάμνωσιν* FP: *κάμνουσιν* Patr. Cant.

εἰς δὲ ἕρπετὰ δράκοντες, δυνατὸν ὅτι τὸ ζῷον καὶ μακρόβιον ἄκακόν τε καὶ φιλάνθρωπον ὑπωστιοῦν καὶ τιθασευθήσεται καὶ ἰὸν οὐχ ἕξει, νεάσει δὲ καὶ γηράσαν, καθάπερ φύσις ἡ θεῶν· ἐν δὲ νήχουσι δελφῖνες, συμπαθήσουσι γὰρ καὶ τοῖς εἰς πέλαγος ἐμπίπτουσιν οὗτοι καὶ τὰ μὲν ἔμπνοα διακομιοῦσιν εἰς γῆν, τῶν δὲ τελευτησάντων οὐδ' ὅλως ποτὲ ἅψονται, καίτοι φιλοβρωτάτου πάντων ἐσομένου τοῦ τῶν ἐνύδρων γένους". Τοσαῦτα ὁ θεὸς εἰπὼν ἄφθαρτος νοῦς γίγνεται. p. 122 C.

Τούτων οὕτως γενομένων, τέκνον Ὧρε, ἰσχυρότατόν τι ἀπὸ γῆς ἀνίσταται πνεῦμα, ἀκατάληπτον μὲν περιοχῇ σώματος, δυνάμει δὲ φρονήσεως ὑπάρχον, ὃ καίπερ εἰδὸς ὑπὲρ ὧν ἐπυνθάνετο, τὸ σῶμα μὲν κατὰ τύπον ἀνδρὸς [962] περικείμενον καὶ καλὸν καὶ σεμνοπρεπὲς ὄν, ὑπερβολῇ δὲ ἄγριον καὶ πλῆρες φόβου, τὸ δὲ παραυτίκα τὰς ψυχὰς εἰσιούσας εἰς τὰ πλάσματα θεωρῆσαν, "τίνες", ἔλεγεν, "οὗτοι καλοῦνται, ὦ Ἑρμῆ, θεῶν ὑπομνηματογράφε;" Εἰπόντος δέ, "ἄνθρωποι, ⟨ὦ Μῶμε⟩", "Ὦ Ἑρμῆ", ἔφη, "τολμηρὸν ἔργον ποιῆσαι τὸν ἄνθρωπον, περίεργον ὀφθαλμοῖς καὶ λάλον γλώσσῃ, ἀκουστικὸν μέλλοντα εἶναι καὶ τῶν αὐτῷ μὴ προσηκόντων, λίχνον ὀσφρήσει καὶ μέχρι πάντων τῷ τῆς ἁφῆς ἁπτικῷ μέλλοντα καταχρᾶσθαι. τοῦτον ἀμέ-

---

2 οὕτως τε οὖν FP Patr.: ὑπωστιοῦν Gaisford ‖ **3** ἰὸν] cf. Plin. n. h. XXIX 67 | ἑάσει δὲ FP Patr.: correxi coll. Ar. h. a. V 17 | γηράσαν FP, γηράσκειν Patr. ‖ **4** νηχοῦσι vulg. ‖ **6** διακοσμιοῦσοι Patr. ‖ **7** φιλοβρωτάτου P et F (in quo ω corr. in ο), φιλοβροτάτου Patr., φιλοβορωτοτάτου P^2: φιλοβορωτάτου Meineke ‖ **10** fort. ἰσχνότατον ‖ **11** τι F, τε P Patr. | περιοχῇ P^2 Patr., περιοχῆς FP^1 ‖ **12** ὑπερέχον Meineke, qui cum Heereno sequentia manca putat | εἶδος FP Patr.: εἰδὸς scripsi, εἰδὼς Canter ‖ **13** μὲν om. Patr. Cant. | καὶ τύπον FP Patr.: κατὰ τύπον Meineke ‖ **15** ὃ δὴ FP Patr.: τὸ δὲ scripsi, ἤδη δὲ Heeren ‖ **16** θεωρῆσαι ἂν τινες FP (θεωρῆσας ἂν τινὲς Patr.): θεωρῆσαν τίνες scripsi, θεωρήσας τίνες Heeren | ἔλεγον FP Patr.: corr. Heeren ‖ **17** οὕτως Patr. | θεῶν – ἔφη (18) om. Patr. Cant. | ὑπομνηματογράφοι FP: corr. Heeren ‖ **18** ὦ Μῶμε addidi | ἔφης· ἔφη, ὦ Ἑρμῆ FP: ὦ Ἑρμῆ, ἔφη Heeren ‖ **20** λάλου γλώσσης FP Patr.: λάλον γλώσσῃ Heeren | μᾶλλον FP Patr.: μέλλοντα Canter mrg | τῶν Patr. Cant., τῷ FP ‖ **21** λίχνον Patr., λίχνων FP ‖ **22** καταχρᾶσαι P Patr., καταχράσαι F: corr. Heeren e Vat. Aug.

ριμνον καταλεῖψαι κέκρικας, ὦ γενεσιουργέ, τὸν ὁρᾶν μέλλοντα τολμηρῶς τῆς φύσεως τὰ καλὰ μυστήρια; ἄλυπον ἐᾶσαι θέλεις τοῦτον καὶ μέχρι τῶν περάτων γῆς τὰς ἑαυτοῦ μελλήσοντα πέμπειν ἐπινοίας; ῥίζας φυτῶν ἀνασκάψουσιν ἄνθρωποι καὶ ποιότητα ἐξετάσουσι χυλῶν, λίθων φύσεις ἐπισκοπήσουσι καὶ διὰ μέσον ἀνατεμοῦσι τῶν ζῴων τὰ ἄλογα οὐ μόνον, ἀλλὰ καὶ ἑαυτούς, ὡς ἐγένοντο ἐξετάζειν θέλοντες, τολμηρὰς ἐκτενοῦσι χεῖρας καὶ μέχρι θαλάσσης καὶ τὰς αὐτοφυεῖς ὕλας τέμνοντες μέχρι καὶ τῶν πέραν διαπορθμεύσουσιν ἀλλήλους ἐπὶ ζήτησιν,
[964] καὶ τίς ἐνδοτέρω τῶν ἱερῶν ἀδύτων φύσις ὑπάρχει, τὰ μέχρις ἄνω διώξουσι, παρατηρῆσαι βουλόμενοι τίς οὐρανοῦ καθέστηκε κίνησις. ἔτι μέτρια ταῦτα· λείπει γὰρ οὐδὲν ἔτι πλὴν γῆς τόπος ἔσχατος. ἀλλὰ καὶ τούτων τὴν ἐσχάτην τῷ θέλειν ἐρευνήσουσι νύκτα. μηδὲν οὖν ἐμπόδιον ἔχωσιν οὗτοι, ἀλλὰ τῷ τῆς ἀλυπίας ἀγαθῷ μυηθῶσι καὶ τοῖς χαλεποῖς μὴ βιασθέντες τοῦ φόβου κέντροις ἀμερίμνῳ βίῳ τρυφήσωσιν; εἶτα οὐ καὶ μέχρις οὐρανοῦ περίεργον ὁπλισθήσονται τόλμαν οὗτοι; οὐκ ἀμερίμνους ἐκτενοῦσιν ἐπὶ καὶ τὰ στοιχεῖα τὰς ψυχὰς αὐτῶν; δίδαξον ἐντεῦθεν ἐρᾶν τοῦ τι βουλεύεσθαι [ἵνα ἔχωσι

---

3 τῶν πέραν FP Patr.: τῶν περάτων scripsi, τὰ πέραν Heeren ‖ **3. 4** τὰ σεαυτοῦ FP, τὰς σεαυτοῦ Patr.: corr. Heeren ‖ **4. 5** ἀνασκάψουσιν F, ἀνακάμψουσιν P Patr. ‖ **6** μέσων P Patr. | ἀνατέμνουσι FP Patr.: corr. Heeren ‖ **7** τὰ ἄλογα τῶν ζώων Meineke ‖ **8** ἐκτείνουσι FP Patr.: corr. Heeren ‖ **10** διαπορθμεύουσιν FP Patr.: corr. Heeren | ἀλλήλων Heeren | ἐπὶ ζήτησιν F Patr., ἐπιζήτησιν P ‖ **11** καὶ τίς – ὑπάρχει] num post θέλοντες (v. 8) transponenda? ‖ **12. 13** οὖν FP Patr.: οὐρανοῦ Canter mrg ‖ **14** τούτων F, τοῦτον P Patr.: num ταύτην? ‖ **15** τῷ θέλειν FP Patr.: τῷ τέλει Heeren; num τῶν πόλων? | ἐρεύνησιν P Patr. ‖ **16** ἔχωσιν F, ἔχουσιν P Patr. | οὗτοι om. Patr. | ἀλλὰ] ἵνα Meineke | ἀλυπίας P Patr., ἀληθείας F ‖ **18** τρυφήσωσιν FP, τριφώσουσι Patr. (τριφόσωσι Cant.): τρυφήσουσι Heeren | οὖ FP, οὖν Patr.: οὐ Canter | καὶ om. P Patr. ‖ **19** ὁπλισθήσεται FP Patr.: corr. Heeren | τόλμαν; οὗτοι οὐκ FP Patr.: correxi ‖ **20** ἐπεὶ FP Patr.: corr. Heeren | καὶ om. Heeren | αὐτῶν FP Patr.: correxi; fort. οὗτοι | post αὐτῶν add. ἔχουσι Patr. ‖ **21** τοῦ τί F, τουτὶ P, τοῦτο Patr. Cant.: τε καὶ Heeren | ἵνα ἔχωσι – φοβηθῆναι (p. 401, 1) seclusi, cum sententia v. ἵνα τῷ τῆς (p. 401, 1) – ἀποτυχόντες (p. 401, 2) iteretur

καὶ τῆς ἀποτυχίας τὸ χαλεπὸν φορβηθῆναι], ἵνα τῷ τῆς λύπης δακνηρῷ δαμασθῶσι τῶν ἐλπιζομένων ἀποτυχόντες. χρεωκοπείσθω τῶν ψυχῶν αὐτῶν τὸ περίεργον ἐπιθυμίαις καὶ φόβοις καὶ λύπαις καὶ ἐλπίσι πλάνοις. ἐπάλληλοι τὰς ψυχὰς αὐτῶν ἔρωτες νεμέσθωσαν, ἐλπίδες, ποικίλαι ἐπιθυμίαι, ποτὲ μὲν ἐπιτυγχάνουσαι, ποτὲ δὲ ἀτευκτοῦσαι, ἵνα αὐτοῖς καὶ τῆς ἐπιτυχίας ἡδὺ δέλεαρ ᾖ εἰς ἄθλησιν τελειοτέρων κακῶν· βαρείτω πυρετὸς αὐτούς, ἵνα ἐκκακήσαντες κολάσωσι τὴν ἐπιθυμίαν." [966]

Λυπῇ, τέκνον Ὧρε, τάδε ἑρμηνευούσης σοι τῆς τεκούσης; Οὐ θαυμάζεις, οὐ καταπλήσσῃ, πῶς ὁ τάλας ἄνθρωπος ἐβαρήθη; Τὸ δεινότερον ἐπάκουσον.

Ἐτέρπετο Μώμου ταῦτα λέγοντος Ἑρμῆς, ἐλέγετο γὰρ οἰκείως αὐτῷ τὰ εἰρημένα καὶ ταῦτα ἔπραττεν, ὅσα περ εἰρήκει, λέγων· "Μῶμε, ἀλλ' οὐκ ἐναργὴς γενήσεται πνεύματος θείου φύσις ἡ τοῦ περιέχοντος; εἶπε γὰρ εἶναί με ταμίαν καὶ προνοητὴν ὁ τῶν συμπάντων δεσπότης. ἐπόπτειρα τοίνυν ταγῆς ἔσται τῶν ὅλων ὀξυδερκὴς θεὸς Ἀδράστεια καί τι κρυπτὸν ὄργανον ἐγὼ τεχνάσομαι, ἁπλανοῦς καὶ ἀπαραβάτου θεωρίας ἐχόμενον, ᾧ τὰ ἐπὶ γῆς ἀναγκαίως δουλαγωγηθήσεται πάντα τὰ ἀπὸ γενέσεως ἄχρι φθορᾶς ἐσχάτης, ἔχον τὴν ⟨τῶν⟩ ἀποτελουμένων πῆξιν· πεισθήσεται δὲ τῷ ὀργάνῳ τούτῳ καὶ τὰ ἐπὶ γῆς ἄλλα πάντα." Εἶπεν Ἑρμῆς [ἐγὼ] δὴ ταῦτα τῷ Μώμῳ καὶ ἤδη p. 123 C. τὸ ὄργανον ἐκινεῖτο.

Ταῦτα δὲ ὡς ἐγένετο καὶ ἐνεσωματίσθησαν αἱ ψυχαὶ

---

4 *πλάνης* F Patr., *πλάν* (supra *ν* sprscr. *ς*) P: corr. Heeren ‖ **7** *ἀπευκτοῦσαι* FP Patr.: corr. Meineke | *ἐπιθυμίας* Patr. | *ἡδὺς* P ‖ **9** *κλάσωσι* Patr. Cant. ‖ **12** *ἐβαρήθη* FP, *ἐβαρείθη* Patr.: *ἐβαρύνθη* Aug. ‖ **15** *λέγω* Patr. Cant. | *ἐναργὴς* Patr., *ἐναργῆ* FP ‖ **16** interrog. signum posui ‖ **17** *μετὰ μίαν* FP Patr.: corr. Canter mrg | *προνοητὴν* F, *προνοητικὴν* P, *προνοητὴς ἦν* Patr. ‖ **18** *ἐποπτετῆρα* FP Patr.: corr. Meineke | *τὰ γῆς* FP, *τοὺς τῆς γῆς* Patr.: *ταγῆς* Heeren | *ἔσται* om. Patr. Cant. | *τῶν* om. Patr. ‖ **21** *ἀναγκαίως* om. Heeren ‖ **22** *τῶν* addidi ‖ **24** *εἶπον* FP: *εἶπεν* Patr. Cant. | *ἐγὼ δὲ* del. Heeren | *ἐγὼ* seclusi, ut propter v. *εἶπον* corruptelam interpolatum | *δὴ* scripsi pro *δὲ* ‖ **26** *ἐνεσηματίσθησαν* P, *ἐνσωματίσθησαν* Patr. (*ἐνεσωματίσθησαν* Cant.), *ἐνεμβατίσθησαν* F

καὶ ἐπαίνου ὑπὲρ τῶν γενομένων αὐτὸς ἔτυχεν, πάλιν ὁ μόναρχος σύγκλητον τῶν θεῶν ἐποίησε συνέδριον καὶ οἱ
[968] θεοὶ παρῆσαν καὶ πάλιν αὐτὸς ταῦτα οὕτως ἐφώνησε· "Θεοί," λέγων "ὅσοι τῆς κορυφαίας, ὅσοι καὶ ἀφθάρτου φύσεως τετεύχατε, οἳ τὸν μέγαν αἰῶνα διέπειν ἐς ἀεὶ κεκλήρωσθε, οἷς αὐτὰ ἑαυτοῖς ἀντιπαραδίδοντα οὐδέποτε κοπιάσει τὰ σύμπαντα, μέχρι πότε τῆς ἀνεπιγνώστου ταύτης δεσπόσομεν ἡγεμονίας; μέχρι πότε ἀθεώρητα γενήσεται ταῦτα ἡλίῳ καὶ σελήνῃ; ἕκαστος ἡμῶν ἐφ' ἑαυτῷ γεννάτω· ἀπαλείψωμεν τῷ δύνασθαι τὴν ἔτι ἀργὴν σύστασιν ταύτην· ἄπιστος τοῖς μεταγενεστέροις μῦθος δὴ δοξάτω χάος εἶναι· ἔργων ἅπτεσθε μεγάλων, ἐγὼ δ' αὐτὸς ἄρξομαι πρῶτος". Εἶπε καὶ εὐθέως κοσμικῆς τῆς ἔτι μελαίνης ἑνώσεως διάστασις ἐγένετο· καὶ ἐφάνη μὲν οὐρανὸς ἄνω, συγκεκοσμημένος τοῖς ἑαυτοῦ μυστηρίοις πᾶσι· κραδαινομένη ἔτι γῆ ἡλίου λάμψαντος ἐπάγη καὶ ἐφάνη πᾶσι τοῖς περὶ αὐτὴν συγκεκοσμημένη καλοῖς. Καλὰ γὰρ τῷ θεῷ καὶ τὰ θνητοῖς εἶναι νομιζόμενα φαῦλα, ὅτι δὴ τοῖς τοῦ θεοῦ νόμοις δουλεύειν ἐποιήθη. Ἔχαιρε δὲ ὁ θεὸς ὁρῶν ἤδη ἑαυτοῦ τὰ ἔργα κινούμενα· πληρώσας δὲ τὰς ἰσοστασίους χεῖρας τῷ περιέχοντι τῶν ἐκ τῆς φύσεως ὑπαρχόντων καὶ τὰς δράκας καρτερῶς σφίγξας "λάβε," εἶπεν "ὦ ἱερὰ γῆ, λάβε, πάντιμε καὶ εἶναι γεννήτειρα μέλλουσα πάντων, καὶ μηδενὶ ἐντεῦθεν λείπεσθαι δόκει."
[970] Εἶπεν ὁ θεὸς καὶ τὰς χεῖρας, οἵας δεῖ θεὸν ἔχειν, ἁπλώσας πάντα ἀφῆκεν ἐν τῇ τῶν ὄντων συστάσει.

Καὶ ἀγνωσία μὲν ἦν κατ' ἀρχὰς παντάπασι. Νεωστὶ γὰρ αἱ ψυχαὶ καθειρχθεῖσαι καὶ τὴν ἀτιμίαν μὴ φέρουσαι

---

1 ἔπαινον Patr. (ἐπαίνου Cant.) | ἔτυχον FP Patr.: corr. Heeren ‖ **6** num οἷς ἑαυτὰ (om. ἑαυτοῖς)? ‖ **9** ὑμῶν Patr. ‖ **10** ἔτι FP², αἰτίαν P¹ Patr. ‖ **11** δὲ FP, om. Patr.: δὴ scripsi ‖ **12** δοξασάτω Patr. Cant. ‖ **14** μελαίνης om. P Patr. ‖ **14.15** ante οὐρανὸς add. ὁ P Patr. ‖ **16** ἐκλάμψαντος Meineke ‖ **17** συγκεκοσμημένη Patr., συγκεκοσμημένοις FP: συγκεκομισμένοις Meineke | καλοῖς om. P Patr. ‖ **21** ἰσοστασίας FP Patr.: correxi ‖ **22** σφίγξας F, σφίξας P, σφήξας Patr. (σφῆξας Cant.) ‖ **23** λάβε πάντιμε om. P Patr. ‖ **27** ἄγνωστα FP: correxi coll. supra p. 386, 11.

τοῖς ἐν οὐρανῷ θεοῖς ἐφιλονείκουν τῆς ἑαυτῶν εὐγενείας περικρατοῦσαι καὶ ἀντιλαμβανόμεναι, ὡς καὶ αὐταὶ τοῦ αὐτοῦ ἔτυχον δημιουργοῦ, ἐστασίαζον καὶ τοῖς λειπομένοις ἀνθρώποις ὀργάνοις χρώμεναι, ἐποίουν αὐτους ἑαυτοῖς ἐπιτίθεσθαι καὶ ἀντιτάσσεσθαι καὶ πολεμεῖν ἀλλήλοις. Καὶ οὕτως ἡ μὲν ἰσχὺς κατὰ τῆς ἀσθενείας μέγα ἐδύνατο, ὥστε οἱ ἰσχυροὶ τοὺς ἀδυνάτους καὶ ἔκαιον καὶ ἐφόνευον καὶ [κατὰ τῶν ἱερῶν] τοῦτο μὲν ζῶντας τοῦτο δὲ καὶ νεκροὺς ἔρριπτον κατὰ τῶν ἀδύτων, ἕως ἀγανακτήσαντα τὰ στοιχεῖα τῷ μονάρχῳ θεῷ ἐντυχεῖν ἐδοκίμαζον ὑπὲρ τῆς τῶν ἀνθρώπων ἀγρίου πολιτείας. Πολλοῦ δὲ ἤδη γενομένου τοῦ κακοῦ τὰ στοιχεῖα τῷ ποιήσαντι αὐτὰ τῷ θεῷ προσελθόντα τοιούτοις λόγοις ὑπὲρ μέμψεως ἐχρήσαντο. Καὶ δὴ καὶ εἶχε τὴν τοῦ λέγειν ἐξουσίαν τὸ πῦρ πρῶτον. "Δέσποτα" δὲ ἔλεγε "καὶ τοῦ καινοῦ τούτου κόσμου τεχνῖτα καὶ κρυπτὸν ἐν θεοῖς καὶ σεβαστὸν ὄνομα μέχρι νῦν ἅπασιν ἀνθρώποις, μέχρι πότε, ὦ δαῖμον, ἄθεον καταλεῖψαι τὸν θνητῶν βίον προαίρεσιν ἔχεις; ἀνάτειλον [972] ἤδη σεαυτὸν χρηματίζοντι τῷ κόσμῳ καὶ τοῦ βίου τὸ ἄγριον μύησον εἰρήνῃ· χάρισαι νόμους τῷ βίῳ, χάρισαι νυκτὶ χρησμούς· πλήρωσον καλῶν ἐλπίδων πάντα· φοβείσθωσαν ἄνθρωποι τὴν ἀπὸ θεῶν ἐκδικίαν καὶ οὐδεὶς ἁμαρτήσει· ἐπαξίους ἁμαρτημάτων μισθοὺς ἂν ἀπολάβωσι, φυλάξονται οἱ λοιποὶ τὸ ἀδικεῖν, φοβηθήσονται ὅρκους καὶ οὐδὲ εἷς ἔτι ἀνόσιον φρονήσει· μαθέτωσαν εὐεργετηθέντες εὐχαριστῆσαι, ἵνα χαῖρον παρὰ λοιβαῖς

---

2 *αὐτὰ* P ‖ **3** *λοιπομένοις* P Patr. ‖ **8** *κατὰ τῶν ἱερῶν* seclusi, cum *κατὰ τῶν ἀδύτων* (9) sequatur; *τῶν ἱερέων* Meineke | *καὶ* (ante *νεκροὺς* [8. 9]) om. Heeren ‖ **9** *κατὰ τῶν ἀδύτων* del. Heeren | *ἀναγκαστήσονται* P: *ἀναγκασθήσονται* Patr. Cant. ‖ **13** *ὑπὲρ*] *περὶ* Heeren ‖ **16** an *κρυπτον* et *σεβαστὸν* inter se mutanda? ‖ **18** *τῶν* Patr. | *πρὸς αἵρεσιν* FP Patr.: corr. Heeren ‖ **20** *χάρισο* (ante *νόμους*) FP, *χάρισον* Patr.: corr. Meineke ‖ **21** *νυκτί* suspectum | *πάντα* F Patr., *πάντα* corr. ex *πάντων* P ‖ **22** *θεοῦ* Patr. ‖ **23** *ἁμαρτήσει* Patr. (Canter mrg), *ἑκαρτήσει* FP: *ἐγκακήσει* Meineke ‖ **24** *οἱ πολλοὶ* Heeren ex Aug. ‖ **25** *ἀνόητον* Patr. Cant.

[παρὰ θυσίαις] ὑπηρετήσω [τὸ πῦρ], ἵν' εὐώδεις ἀτμοὺς ἀπ' ἐσχάρας προπέμψω σοι. μαίνομαι γάρ, ὦ δέσποτα, μέχρι νῦν καὶ ὑπὸ τῆς τῶν γενομένων ἀνθρώπων ἀθέου τόλμης σάρκας ἀναγκάζομαι τίκειν, οὐκ ἐῶσί τε μένειν εἰς ὃ πέφυκα, παραχαράσσοντες οὐ καθηκόντως τὸ ἄφθαρτον." Ὁ δὲ ἀήρ "καὶ αὐτὸς θολοῦμαι, δέσποτα,"
p. 124 C. ἔλεγε "καὶ ἀπὸ τῶν νεκρῶν σωμάτων ἀναθυμιάσεως νοσώδης τέ εἰμι καὶ ὑγιεινὸς οὐκέτι, ἐφορῶ τε ἄνωθεν ὅσα μὴ θέμις ὁρᾶν". "Υδωρ ἐξῆς, ὦ παῖ μεγαλόψυχε, τὴν τοῦ λέγειν εἶχεν ἐξουσίαν καὶ ἔλεγεν οὕτως· "Πάτερ καὶ θαυμαστὲ ποιητὰ πάντων, αὐτόγονε δαῖμον καὶ τῆς διά
[974] σε πάντα γεννώσης ποιητὰ φύσεως, ἤδη ποτέ, ὦ δαῖμον, ἀεὶ ῥεῖθρα ποταμῶν καθαρὰ πρόσταξον εἶναι· ἢ γὰρ ἀπολούουσι ποταμοὶ καὶ θάλασσαι τοὺς φονεύσαντας, ἢ δέχονται τοὺς φονευθέντας." Γῆ παρῆν περίλυπος ἐξῆς καὶ † τάξομαι τῆς ἀπὸ τῶν λόγων, ὦ παῖ μεγαλόδοξε, οὕτως λέγειν ἤρξατο· "Βασιλεῦ καὶ τῶν οὐρανίων πρύτανι καὶ δέσποτα ἀψίδων, στοιχείων ἡμῶν ἡγεμὼν ⟨καὶ⟩ πάτερ τῶν σοι παρεστώτων, ἐξ ὧν αὐξήσεως καὶ μειώσεως ἀρχὴν ἔχει τὰ πάντα, εἰς ἃ καὶ πάλιν καταλήγοντα ἀναγκαίως ὀφειλόμενον τέλος ἔχει, ἀλόγιστος, ὦ πολυτίμητε, καὶ ἄθεος [ἀπ'] ἀνθρώπων ἐπ' ἐμὲ χορὸς ἔπεισι. χωρῶ δ' ἐγὼ καὶ φύσιν πάντων. αὐτὴ γάρ, ὡς σὺ προσέταξας, καὶ φέρω πάντα καὶ τὰ φονευθέντα δέχομαι. ἀτιμοῦμαι δὲ ἤδη

---

1 *παρὰ θυσίαις* seclusit Heeren | *τὸ πῦρ* seclusi ut adscriptum olim ad *χαῖρον* (p. 403, 26) | *ἀτμοὺς* F, *αὐτὰρ* P, *αὐτὰς* Patr. ‖ **2** *προπέμψωσι* Aug. | *μαίνομαι* FP Patr.: corr. Canter mrg ‖ **6** *καὶ αὐτὸς* ad orationem traxi | *ὦ δέσποτα* Patr. ‖ **7** *ἀναθυμιάσεσι* Patr. ‖ **8** *καὶ οὐχὶ ὑγιεινὸς* Patr. | *οὐκ ἔτι* FP Patr. ‖ **9** *με* FP¹ Patr., *οὐ* P² mrg: *μὴ* Heeren ex Vat. ‖ **11** *ποιητὰ* suspectum cum recurrat v. 12, fort. ⟨*δέσ*⟩*ποτα* sive *πρύτα*⟨*νι*⟩ | *αὐτόγενε* FP¹, *αὐτογενὲς* P², *αὐτογενῶν* (om. *δαῖμον*) Patr. (*αὐτογενέων δαῖμον* Cant.): corr. Meineke | *τὴν* P¹ ‖ **13** *ἀεὶ*] *τὰ* Meineke ‖ **16** *καὶ ἄρξασα τοῦ ἀπολόγου* Heeren; num *ἀξιουμένη τῆς ἀπολογίας?* ‖ **18** *δεσπότη* Patr. Cant. | *ἡγεμὼν* om. Heeren | *καὶ* add. Meineke Add. ‖ **20** *τὰ* om. F ‖ **21** *ἀλυγιστὸς* Patr. ‖ **22** *ἀπ'* del. Heeren | *ἔπεστι* FP, *ἐπέστι* Patr.: *ἔπεισι* scripsi, *ἐπέστη* Meineke | *καὶ* om. Heeren ‖ **23** *αὕτη* FP Patr.: *αὐτὴ* Meineke ‖ **24.** p. **405**, **1** *ἤδη. ὁ ἐπὶ*

ὑπὸ πάντων· ὁ ἐπιχθόνιός σου κόσμος πεπληρωμένος θεὸν οὐκ ἔχει. πάντα γάρ, ὃ φοβηθῶσιν οὐκ ἔχοντες, παρανομοῦσι καὶ κατ' ἐμῶν, ὦ κύριε, τενόντων πάσῃ πονηρᾷ τέχνῃ καταπίπτουσι. καταβρέχομαι δὲ πᾶσα διαφθειρομένη σωμάτων χυλοῖς. ἐντεῦθεν, κύριε, καὶ τοὺς οὐκ ἀξίους ἀναγκάζομαι χωρεῖν. χωρῆσαι θέλω μεθ' ὧν φέρω πάντων καὶ θεόν. χάρισαι τῇ γῇ κἂν οὐ σεαυτόν, οὐ γάρ σε χωρεῖν ὑπομένω, σαυτοῦ ⟨γε⟩ τινα ἱερὰν ἀπόρροιαν. στοιχείων τιμιωτέραν τῶν ἄλλων τὴν γῆν μεταποίησον. μόνῃ γὰρ αὐχεῖν τῶν ἀπό σου πρέπει τὰ [976] πάντα παρεχούσῃ."

Τοσαῦτα μὲν τὰ στοιχεῖα εἶπεν· ὁ δὲ θεὸς ἱερᾶς ἐν τῷ λέγειν φωνῆς τὰ σύμπαντα πληρώσας, "Πορεύεσθε", εἶπεν, "ἱερὰ καὶ μεγάλου πατρὸς ἄξια τέκνα, καὶ κατὰ μηδένα τρόπον νεωτερίζειν ἐπιχειρεῖτε μηδὲ ἀργὸν τῆς ἐξ αὐτῶν ὑπηρεσίας τὸν σύμπαντά μου κόσμον καταλείπετε. ἑτέρα γὰρ ἐν ὑμῖν τις ἤδη τῆς ἐμῆς ἀπόρροια φύσεως, ὃς δὴ καὶ ὅσιος ἔσται τῶν πραττομένων ἐπόπτης καὶ ζώντων μὲν κριτὴς ἀμεθόδευτος, φρικτὸς δ' οὐ μόνον ἀλλὰ καὶ τιμωρὸς τῶν ὑπὸ γῆν τύραννος. καὶ ἑκάστῳ δὲ τῶν ἀνθρώπων ἀκολουθήσει διὰ γένους μισθὸς ἐπάξιος."

Καὶ οὕτως ἐπαύσατο τῆς ἐντυχίας τὰ στοιχεῖα τοῦ δεσπότου κελεύσαντος καὶ ἐχεμυθίαν εἶχον· καὶ ἕκαστον αὐτῶν τῆς ἰδίας ἐξουσίας ἐκράτει καὶ ἐδέσποζε."

Καὶ ἐκ τούτου εἶπεν Ὧρος· „Ὦ τεκοῦσα, πῶς οὖν τὴν τοῦ θεοῦ ἀπόρροιαν ἔχειν εὐτύχησεν ἡ γῆ;"

πάντων, ὁ FP, ἤδη, ἡ ἀπὸ πάντων, ὁ Patr.: ἤδη ὑπὸ πάντων· ὁ Meineke, ἤδη. ὃ γὰρ πάντων, ὁ Heeren

2 ἃ Patr. Cant. ‖ **3** *μετ' ἐμῶν* Patr. ‖ **5** *χολοῖς* P ‖ **7** *φέρων* P ‖ **8** *χωρεῖν σὲ* Patr. | *σαυτοῦ* F Patr., *ταυτοῦ* P | *δὲ* Patr., om. FP: *γέ* Meineke ‖ **10** *μετεποίησον* Patr., *μετεποίησαν* FP: corr. Heeren ‖ **12** *εἶπον* Patr. ‖ **13** *πορεύεσθαι* P ‖ **15** *ἐπιχειρῆτε* Patr. | *μήτε ἀργὸς* Patr. ‖ **16** *αὐτῶν* FP Patr.: correxi ‖ **16. 17** *καταλείπητε* F: *καταλίπητε* Meineke ‖ **18** *ὡς δὴ* Patr. Cant. ‖ **19** *μὲν* om. Patr. Cant. ‖ **21** *δι' αἰῶνος* Meineke ‖ **23** *ἐπαύσαντο* Heeren ‖ **24. 25** *καὶ οὕτως ἐπαύσατο τῆς* Patr.

Καὶ εἶπεν Ἶσις· „Παραιτοῦμαι γένεσιν ἱστορεῖν· οὐ γὰρ θεμιτὸν σῆς σπορᾶς καταλέγειν ἀρχήν, ὦ μεγαλοσθενὲς Ὧρε, ὡς μήποτε ὕστερον εἰς ἀνθρώπους ἀθανάτων ἔλθῃ γένεσις θεῶν· πλὴν ὅτι γε ὁ μόναρχος θεός, ὁ τῶν συμπάντων κοσμοποιητὴς καὶ τεχνίτης, [τὶ] τὸν μέγιστόν σου πρὸς ὀλίγον ἐχαρίσατο πατέρα Ὄσιριν καὶ τὴν μεγί-
[978] *σιην θεὰν Ἶσιν, ἵνα τῶν πάντων δεομένῳ κόσμῳ βοηθοὶ γένωνται. Οὗτοι βίου τὸν βίον ἐπλήρωσαν· οὗτοι τὸ τῆς ἀλληλοφονίας ἔπαυσαν ἄγριον· τεμένη προγόνοις θεοῖς αὐτοὶ καὶ θυσίας καθιέρωσαν· νόμους οὗτοι καὶ τροφὰς θνητοῖς καὶ σκέπην ἐχαρίσαντο· ‘οὗτοι τὰ κρυπτά’, φησὶν Ἑρμῆς, ‘τῶν ἐμῶν ἐπιγνώσονται γραμμάτων πάντα καὶ διακρινοῦσι καὶ τινὰ μὲν αὐτοὶ κατασχῶσιν, ἃ δὲ καὶ πρὸς εὐεργεσίας θνητῶν φθάνει, στήλαις καὶ ὀβελίσκοις χαράξουσιν· οὗτοι πρῶτοι δείξαντες δικαστήρια εὐνομίας τὰ σύμπαντα καὶ δικαιοσύνης ἐπλήρωσαν· οὗτοι δεξιᾶς καὶ πίστεως ἀρχηγέται γενόμενοι καὶ τὸν μέγιστον θεὸν Ὅρκον εἰσηγάγοντο εἰς τὸν βίον· οὗτοι τοὺς παυσαμένους τοῦ ζῆν, ὡς δέον ἐστίν, ἐδίδαξαν περιστέλλειν· οὗτοι τὸ*
p. 125 C. *τοῦ θανάτου ζητήσαντες ἄγριον ἔγνωσαν, ὡς τοῦ ἔξωθεν πνεύματος φιλυποστρόφου τυγχάνοντος εἰς τὰ τῶν ἀνθρώπων πλάσματα, ἐὰν ὑστερήσῃ ποτέ, ἀνάκτησιν οὐκ ἔχον ἐργάζεται λειποθυμίας· οὗτοι τὸ περιέχον ὅτι δαιμόνων ἐπληρώθη παρὰ Ἑρμοῦ μαθόντες, κρυπταῖς στήλαις ἐχάραξαν· οὗτοι μόνοι τὰς κρυπτὰς νομοθεσίας τοῦ θεοῦ παρὰ Ἑρμοῦ μαθόντες τεχνῶν καὶ ἐπιστημῶν καὶ ἐπιτηδευμάτων ἁπάντων εἰσηγηταὶ τοῖς ἀνθρώποις ἐγένοντο καὶ νομοθέται· οὗτοι παρ’ Ἑρμοῦ μαθόντες ὡς τὰ κάτω συμπαθεῖν τοῖς ἄνω ὑπὸ τοῦ δημιουργοῦ διετάγη, τὰς*
[980] *προσκαθέτους τοῖς ἐν οὐρανῷ μυστηρίοις ἱεροποιίας ἀνέ-*

---

3 *δήποτε* Canter mrg | *ἀνθρώποις* (om. *εἰς*) Patr. ‖ **4** *ἔλθῃ – συμπάντων* (5) om. Patr. Cant. | *γε* om. Gaisford ‖ **5** *τὶ* seclusit Heeren ‖ **7** *δεομένων* FP Patr.: corr. Canter ‖ **10** *αὐτοὶ*] *οὗτοι* Meineke | *νόμον* Patr. Cant. ‖ **13** *κατάσχωσιν* F, *κατέσχωσιν* Patr. (*κατεσχῶσιν* Cant.) ‖ **14** *εὐεργεσίαν* Patr. ‖ **22** *ἔχον* P^2, *ἔχουσαν* FP Patr. ‖ **29** *τοῦ* om. Heeren ‖ **30** *προσκαθέτους* FP: *προκαθέτους* Patr. Cant.

στησαν ἐν γῇ· οὗτοι τὸ φθόριμον τῶν σωμάτων ἐπιγνόντες τὸ ἐν ἅπασι τέλειον τῶν προφητῶν ἐτεχνάσαντο, ὡς μήποτε ὁ μέλλων θεοῖς προσάγειν χεῖρας προφήτης ἀγνοῇ τι τῶν ὄντων· ἵνα φιλοσοφία μὲν καὶ μαγεία ψυχὴν τρέφῃ, σῴζῃ δ' ὅταν τι πάσχῃ ἰατρικὴ σῶμα. Ταῦτα πάντα ποιήσαντες, ὦ τέκνον, Ὄσιρίς τε κἀγώ, τὸν κόσμον πληρέστατον ἰδόντες ἀπητούμεθα λοιπὸν ὑπὸ τῶν τὸν οὐρανὸν κατοικούντων, ἀλλ' οὐκ ἦν ἀνελθεῖν, πρὶν ἐπικαλέσασθαι τὸν μόναρχον, ἵνα δὴ καὶ τῆς θεωρίας ταύτης πλῆρες τὸ περιέχον γένηται αὐτοί τε εὐπαράδεκτον εὐτυχήσωμεν τὴν ἀνάβασιν. * * χαίρει γὰρ ὕμνοις ὁ θεός."

„Ὦ τεκοῦσα", εἶπεν Ὧρος, „κἀμοὶ χάρισαι τὴν τοῦ ὕμνου ἐπίγνωσιν, ὡς μὴ ἀμαθὴς ὑπάρχω". Καὶ εἶπεν Ἶσις· „Πρόσεχε, παῖ".

45 (41 H.) Ἐν ταὐτῷ (p. 32[b] Patr.).

„Σὺ δέ, ὦ παῖ μεγαλόψυχε, εἴ τι θέλεις ἕτερον, ἐπερώτα." Καὶ εἶπεν Ὧρος· „Ὦ πολυτίμητε μῆτερ, εἰδῆσαι θέλω, πῶς γίγνονται βασιλικαὶ ψυχαί;" Καὶ εἶπεν Ἶσις· „Ἡ γιγνομένη, τέκνον Ὧρε, περὶ τὰς βασιλικὰς ψυχὰς διαφορὰ τοιαύτη τίς ἐστιν. Ἐπεὶ γὰρ τόποι τέσσαρές εἰσιν ἐν τῷ παντὶ οἵτινες ἀπαραβάτῳ νόμῳ καὶ προστασίᾳ ὑποπίπτουσιν, ὅ τε οὐρανὸς καὶ ⟨ὁ⟩ αἰθὴρ καὶ ὁ [982] ἀὴρ καὶ ἡ ἱερωτάτη γῆ, [καὶ] ἄνω μέν, ὦ τέκνον, ἐν οὐρανῷ θεοὶ κατοικοῦσιν, ὧν ἄρχει μετὰ καὶ τῶν ἄλλων πάντων ὁ τῶν ὅλων δημιουργός· ἐν δὲ τῷ αἰθέρι ἀστέρες, ὧν ἄρχει ὁ μέγας φωστὴρ ἥλιος· ἐν δὲ τῷ ἀέρι ψυχαὶ δαιμόνιαι, ἃν ἄρχει σελήνη· ἐπὶ δὲ τῆς γῆς ἄνθρωποι καὶ τὰ λοιπὰ ζῷα, ὧν ἄρχει ὁ κατὰ καιρὸν γενόμενος βασιλεύς. Γεννῶσι γάρ, ὦ τέκνον, βασιλεῖς οἱ θεοὶ ἐπαξίους τῆς ἐπιγείου γονῆς καὶ εἰσιν οἱ ἄρχοντες τοῦ βασιλέως ἀπόρ-

---

1 ἐπιγνῶντες Patr. Cant. ‖ **1—5** in his aliquid turbatum ‖ **10** αὐτοὶ δ' Patr. ‖ **11** lacunam statui | χαίρει – θεός ad Hori verba traxit Heeren ‖ **13** ὑπάρχων Patr. ‖ **15** lemma FP in textu habent ‖ **16** εἴ τι ⟨ἔτι⟩ Meineke ‖ **22** ὁ ante αἰθὴρ add. Heeren ‖ **23** καὶ ante ἄνω delet Meineke (aut legit v. 20 εἰσὶ γαρ et delet v. 21 εἰσιν) ‖ **26. 27** δὲ μόναι F, μόναι P Patr.: δαιμόνιαι Meineke (cum Aug. in quo δαιμόνων) ‖ **27** τῆς om. Patr.

ροιαι, ὧν ὁ μᾶλλον ἐκείνῳ πλησίον οὗτος καὶ τῶν ἄλλων βασιλικώτερος. Ὁ μὲν γὰρ ἥλιος, καθὸ ἐγγιόν ἐστι τοῦ θεοῦ, τῆς σελήνης ἐπιμείζων καὶ δυναμικώτερος, ᾧ δευτερεύει ἡ σελήνη καὶ κατὰ τάξιν καὶ κατὰ δύναμιν. Καὶ ὁ μὲν βασιλεὺς τῶν μὲν ἄλλων θεῶν ἐστιν ἔσχατος, πρῶτος δὲ ἀνθρώπων· καὶ μέχρις ὅτου ἐπὶ γῆς ἐστι, τῆς μὲν ἀληθοῦς θειότητος ἀπήλλακται, ἔχει δὲ ἐξαίρετόν τι παρ' ἀνθρώπους, ὃ ὅμοιόν ἐστι τῷ θεῷ. Ἡ γὰρ εἰς αὐτὸν καταπεμπομένη ψυχὴ ἐξ ἐκείνου ἐστὶ τοῦ χωρίου ὃ ὑπεράνω κεῖται ἐκείνων, ἀφ' ὧν εἰς τοὺς ἄλλους καταπέμπονται ἀνθρώπους. Καταπέμπονται δὲ ἐκεῖθεν εἰς τὸ βασιλεύειν διὰ δύο ταῦτα αἱ ψυχαί, ὦ τέκνον. Αἱ γὰρ καλῶς καὶ ἀμέμπτως δραμοῦσαι τὸν ἴδιον αἰῶνα καὶ μέλ-
[984] λουσαι ἀποθεοῦσθαι, ἵνα κἀν τῷ βασιλεύειν τὴν τῶν θεῶν προγυμνασθῶσιν ἐξουσίαν· αἱ ⟨δὲ⟩ θεῖαί τινες ἤδη οὖσαι καὶ ἐπὶ μικρῷ τινι παραθεμιστεύσασαι τὸν ἔνθεον γνώμονα, ἵνα [μὴ] κόλασιν μὲν ἐν τῷ σεσωματίσθαι ὑπομένωσι, δι' ἀδοξίαν ⟨δὲ⟩ καὶ φύσιν μηθὲν ὅμοιον τοῖς ἄλλοις πάσχωσιν ἐνσωματισθεῖσαι, ἀλλ' ὅπερ εἶχον λελυμέναι, τοῦτο καὶ δεθεῖσαι ἔχωσιν.

Αἱ μέντοι περὶ τὰ ἤθη τῶν βασιλευόντων γιγνόμεναι διαφοραὶ οὐκ ἐν τῇ τῆς ψυχῆς κρίσει
p. 126 C. κρίνονται, πᾶσαι γὰρ θεῖαι· ἀλλ' ἐν τῇ τῶν δορυφορησάντων αὐτὴν καταστάσει ἀγγέλων καὶ δαιμόνων. Αἱ γὰρ τοιαῦται καὶ ἐπὶ ⟨τὰ⟩ τοιαῦτα κατερχόμεναι δίχα προπομπῆς καὶ δορυφορίας οὐ κατέρχονται. Οἶδε γὰρ ἡ

---

1 οὗτος P Patr., ἐκεῖνος F | ante τῶν ἄλλων add. ὁ P Patr. ‖ **2** post ἐστι add. οἱ Patr. ‖ **3** ἐπιμείζων P¹ Patr., ἐπὶ μείζων FP² | δυναμικώτερον P Patr. ‖ **8** ἀνθρώποις FP Patr.: corr. Meineke ‖ **9** πεμπομένη Patr. ‖ **11** ἀνθρώπους om. Patr. (καταπέμπονται ἀνθρώπους om. Canter) ‖ **13** ἀγῶνα Meineke Add. p. CCIX ‖ **14** κἂν FP, κᾆν Patr.: correxi ‖ **15** δὲ add. Heeren ‖ **17** μὴ seclusi ‖ **18** δὲ ante καὶ addidi mutata interpunctione | post μηθὲν add. δὲ Heeren ‖ **19** πάσχουσιν FP Patr.: corr. Heeren ‖ **19. 20** λελυμένα P¹ ‖ **20** θεῖσαι P¹ | ἔχουσιν Patr. Cant. ‖ **21** ἤδη F ‖ **23** τῇ τῷ P¹ ‖ **24** αὐτῆς τὴν FP, αὐτοῖς τὴν Patr.: corr. Meineke | κατάστασιν FP Patr.: corr. Heeren ‖ **25** τὰ ante τοιαῦτα add. Meineke

ἄνω Δίκη τὴν ἀξίαν ἑκάστῃ νέμειν, κἂν ἐκ τῆς εὐημερούσης χώρας ἀπωθῶνται. Ὅταν οὖν οἱ κατάγοντες αὐτὴν ἄγγελοι καὶ δαίμονες, τέκνον Ὦρε, πολεμικοὶ ὦσι, τούτων περικρατεῖν τῆς γνώμης ἡ ψυχὴ ἔχει ἣ ἐπιλαθομένη τῶν ἑαυτῆς ἔργων, μᾶλλον δὲ μεμνημένη τούτων μέχρι τῶν τῆς ἑτέρας συνοδίας προσγεγονότων· ὅταν δὲ εἰρηνικοί, τότε καὶ αὐτὴ τὸν ἴδιον δρόμον εἰρηνοποιεῖται· ὅταν δὲ δικαστικοί, τότε καὶ αὐτὴ δικάζει· ὅταν δὲ μουσικοί, τότε καὶ αὐτὴ ᾄδει· ὅταν δὲ φιλαλήθεις, τότε καὶ αὐτὴ φιλοσοφεῖ. Ὡς γὰρ ἐξ ἀνάγκης αἱ ψυχαὶ αὗται τῆς τῶν κατα- [986]
γόντων περικρατοῦσι γνώμης, πίπτουσι γὰρ εἰς τὴν ἀνθρωπότητα τῆς μὲν ἰδίας φύσεως ἐπιλαθόμεναι καὶ παρόσον μακρὰν αὐτῆς ἀπέστησαν, μέμνηνται δὲ τῆς τῶν κατακλεικλεισάντων αὐτὰς διαθέσεως".

„Καλῶς", εἶπεν Ὦρος, „ἅπαντά μοι, ὦ τεκοῦσα, πῶς δὲ εὐγενεῖς γίγνονται ψυχαί, οὐδέπω μοι διηγήσω". „Ὃν τρόπον ἐπὶ γῆς, ὦ τέκνον Ὦρε, εἰσί τινες πολιτεῖαι διαφέρουσαι ἀλλήλων, οὕτως καὶ ἐπὶ τῶν ψυχῶν ἐστι. Καὶ αὗται γὰρ τόπους ἔχουσιν ὅθεν ὁρμῶσι, καὶ ἡ ἀπὸ τοῦ ἐνδοξοτέρου τόπου ὁρμηκυῖα εὐγενεστέρα ἐστὶ τῆς μὴ οὕτως ἐχούσης. Ὅνπερ γὰρ τρόπον ἐπ' ἀνθρώποις ὁ ἐλεύθερος εὐγενέστερος εἶναι δοκεῖ δούλου (τὸ γὰρ ἐν ταῖς ψυχαῖς ὑπερέχον καὶ βασιλικὸν δουλοποιεῖ τὸ ὑπερεχόμενον ἐξ ἀνάγκης), οὕτω δή, ὦ τέκνον, καὶ ⟨ἐπὶ τῶν ψυχῶν ἐστιν⟩".

---

1 ἑκάστῳ Patr. ‖ **2** ἀποθῶνται FP Patr. ‖ **3. 4** expectes παρακρατεῖν τὴν γνώμην, sed nihil mutandum coll. v. 10. 11 et supra p. 403, 2 ‖ **4** ᾗ deleverim | ἐπιλαθομένη F, ἐπιλαθομένους P Patr. ‖ **5** μεμνημένη F, μεμνημένοι P Patr.: μεθιεμένη Heeren ‖ **5. 6** an μέχρι τῶν – προσγεγονότων transponenda post ἔργων (5)? ‖ **8** δικαστικοὶ τότε (quae Cant. om.) habet etiam Patr. ‖ **9** φιλαλήθεις P Patr., φιλαλήθης F ‖ **10** οὕτως γὰρ ἀναγκαίως Patr. (ὡς γὰρ ἀνάγκως Cant.) | καὶ ψυχαὶ αὐταὶ Patr. ‖ **12** ἐπιλαθόμεναι Patr., ἐπιλαθόμενοι FP ‖ **13** ἐπέστησαν P | μέμνηνται Patr., μέμνηται FP | δὲ om. Patr. ‖ **15** ante ὦ τεκοῦσα add. Heeren ἐθήλωσας ‖ **16** post διηγήσω clausula in FP et titulus πῶς γίγνονται εὐγενεῖς ψυχαί ‖ **17** πολιτεία P ‖ **24. 25** ἐπὶ τῶν ψυχῶν ἐστιν addidi (ταῦτ' ἔχει add. Heeren)

〈„Πῶς δέ, ὦ τεκοῦσα,〉 ἀρρενικαὶ καὶ θηλυκαὶ γίγνονται ψυχαί;" „Αἱ ψυχαί, 〈ὦ〉 τέκνον Ὥρε, ὁμοφυεῖς εἰσιν ἑαυταῖς, καθάπερ ἐξ ἑνὸς οὖσαι χωρίου, ἐν ᾧ αὐτὰς διατυποῦται ὁ δημιουργός, καὶ οὔτε εἰσὶν ἄρρενες οὔτε θήλειαι. Ἡ γὰρ τοιαύτη διάθεσις ἐπὶ σωμάτων γίγνεται καὶ οὐκ ἐπὶ ἀσωμάτων. Ἡ δὲ διαφορὰ τοῦ τὰς
[988] μὲν βριμωδεστέρας εἶναι τὰς δὲ εὐαφεῖς ὁ ἀήρ ἐστι, τέκνον Ὥρε, ἐν ᾧ πάντα γίγνεται. Ἀὴρ δὲ ψυχῆς ἐστιν αὐτὸ τὸ σῶμα ὃ περιβέβληται, ὅπερ στοιχείων ἐστὶ φύραμα, γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρός. Ἐπεὶ οὖν τὸ μὲν τῶν θηλειῶν σύγκριμα πλεονάζει μὲν τῷ ὑγρῷ καὶ ψυχρῷ, λείπεται δὲ τῷ ξηρῷ καὶ θερμῷ, παρὰ τοῦτο ἡ εἰς τοιοῦτον πλάσμα συγκλειομένη ψυχὴ δίγυρος γίγνεται καὶ τρυφερά, ὥσπερ ἐπὶ τῶν ἀρρένων τὸ ἐναντίον ἔστι γιγνόμενον εὑρεῖν. Ἐπὶ γὰρ τούτοις πλεονάζει μὲν τὸ ξηρὸν καὶ [τὸ] θερμόν, λείπεται δὲ τὸ ψυχρὸν καὶ ὑγρόν· διὰ τοῦτο αἱ ἐν τοιούτοις σώμασι ψυχαὶ τραχεῖαι καὶ ἐργατικώτεραί εἰσιν.

„Πῶς γίγνονται αἱ ψυχαὶ συνεταί, ὦ τεκοῦσα;" Καὶ ἀπεκρίθη Ἶσις· „Τὸ ὁρατικόν, ὦ τέκνον, περιβέβληται χιτῶσιν. Ὅταν οὖτοι οἱ χιτῶνες πυκνοὶ ὦσι καὶ παχεῖς, ἀμβλυωπεῖ ὁ ὀφθαλμός, ἐὰν δὲ ἀραιοὶ καὶ λεπτοί, τότε ὀξυωπέστατα βλέπει. Οὕτως καὶ ἐπὶ τῆς ψυχῆς. Ἔχει γὰρ καὶ αὕτη ἴδια περιβόλαια ἀσώματα, καθὸ καὶ αὐτὴ ἀσώματός ἐστι. Τὰ δὲ περιβόλαια ταῦτα ἀέρες εἰσίν, οἱ ἐν ἡμῖν. Ὅταν οὗτοι ὦσι λεπτοὶ καὶ ἀραιοὶ καὶ διαυγεῖς,
[990] τότε συνετὴ ἡ ψυχή ἐστιν· ὅταν δὲ τοὐναντίον πυκνοὶ

---

1 πῶς δέ, ὦ τεκοῦσα addidi ‖ 2 post ψυχαί; clausula in FP et titulus πῶς ἀρρενικαὶ καὶ θηλυκαὶ γίγνονται ψυχαί (ψ. om. F.) | ὦ om. FP² ‖ 4 διατυποῦσαι P¹, διετύπωσεν P² ‖ 7 ἐστιν ὦ Patr. ‖ 9 στοιχείων Patr., στοιχεῖον FP ‖ 15 ἐπὶ μὲν γὰρ Patr. | τὸ μὲν Patr. | τὸ ante θερμόν seclusi ‖ 16 ante ὑγρόν add. τὸ Gaisford | αἱ F, καὶ P Patr. ‖ 17 ἐνεργητικωτέραι Patr. Cant. ‖ 18 γίγνεται P ‖ 19 post Ἶσις clausula in F et FP add. πῶς γίγνονται (γίγνεται P) αἱ ψυχαὶ ‖ 21 ὀξυωπεῖ FP, οὐκ ὀξυωπεῖ P² Patr.: ἀμβλυωπεῖ Canter mrg, μυωπεῖ Meineke | βλεπτοὶ P¹ ‖ 22 βλέπουσιν FP Patr.: corr. Meineke ‖ 22. 23 ἔχει γὰρ iterat P¹ ‖ 23 cf. supra p. 385, 5—7 | αὐτὴ (ante ἴδια) FP Patr.: αὕτη scripsi | αὐτὴ Patr. Cant., αὕτη FP ‖ 24 ἀέρες P² Patr., ἄρες FP¹ ‖ 25 ἀραιοὶ καὶ λεπτοὶ Patr.

καὶ παχεῖς καὶ τεθολωμένοι, τότε ὡς ἐν χειμῶνι ἐπὶ μακρὸν οὐ βλέπει, ἀλλὰ ταῦτα ὅσα παρὰ ποσὶ κεῖται."

Καὶ εἶπεν Ὧρος· „διὰ τίνα οὖν αἰτίαν, ὦ τεκοῦσα, οἱ ἔξω τῆς ἱερωτάτης ἡμῶν χώρας ἄνθρωποι ταῖς διανοίαις οὐκ ὄντως εἰσὶ συνετοί, ὡς οἱ ἡμέτεροι"; Καὶ εἶπεν Ἶσις· „Ἡ γῆ μέσον τοῦ παντὸς ὑπτία κεῖται καὶ κεῖται ὥσπερ ἄνθρωπος οὐρανὸν βλέπουσα, μεμερισμένη δὲ καθ' ὅσα μέρη ὁ ἄνθρωπος μελίζεται· ἐμβλέπει δ' οὐρανῷ καθάπερ πατρὶ ἰδίῳ, ὅπως ταῖς ἐκείνου μεταβολαῖς καὶ αὐτὴ τὰ ἴδια συμμεταβάλλῃ. Καὶ πρὸς μὲν τῷ νότῳ τοῦ παντὸς κειμένην ἔχει τὴν κεφαλήν, πρὸς δὲ τῇ ἀπηλιώτῃ ⟨τὸν⟩ δεξιὸν ὦμον, ⟨πρὸς δὲ τῷ λιβὶ τὸν εὐώνυμον⟩, ὑπὸ τῆς ἄρκτου τοὺς πόδας, ⟨τὸν μὲν δεξιὸν ὑπὸ τὴν οὐράν,⟩ τὸν δὲ εὐώνυμον ὑπὸ τὴν κεφαλὴν τῆς ἄρκτου· τοὺς δὲ μηροὺς ἐν τοῖς μετὰ τὴν ἄρκτον· τὰ δὲ μέσα ἐν τοῖς μέσοις. Καὶ τούτου σημεῖόν ἐστι τὸ τοὺς μὲν νοτιαίους τῶν ἀνθρώπων καὶ ἐπὶ τῇ κορυφῇ οἰκοῦντας εὐκορύφους καὶ καλλίτριχας, τοὺς δὲ ἀπηλιωτικοὺς πρὸς μάχην προχείρους εἶναι καὶ τοξικούς (αἰτία γὰρ τούτων ἡ δεξιὰ χείρ ἐστι)· τοὺς δ' ἐν τῷ λιβὶ ἀσφαλεῖς εἶναι [καὶ] ὡς ἐπὶ τὸ πλεῖστον ἀριστερομάχους καὶ ὅσον ἄλλοι τῷ δεξιῷ μέρει ἐνεργοῦσιν αὐτοὺς τῷ εὐωνύμῳ προστιθεμένους· τοὺς δὲ ὑπὸ τὴν ἄρκτον πρωτεύοντας τοὺς πόδας καὶ ἄλλους εὐκνήμους· τοὺς δὲ

p. 127 C.

[992]

---

1 τότε om. Patr. Cant. ‖ **2** παρὰ πᾶσι FP: παρὰ ποσὶ Patr. (Cant. mrg) ‖ **5** οὐχ οὕτως Heeren ‖ **6** μέσῳ Heeren ‖ **7** καὶ κεῖται om. P Patr. ‖ **8** μεμερισμένη FP², μεμερισμένοι P¹, μεμερισμένην Patr. (μεμερισμένον Cant.) | καὶ ὅσα μέλη FP Patr.: καθ' ὅσα μέρη scripsi, ὅσα μέλη καὶ Heeren (τόσα ὅσα μέλη Meineke) | ὁ om. P Patr. ‖ **9** βλέπει δ' ἐν οὐρανῷ FP Patr.: ἐμβλέπει δ' οὐρανῷ Heeren ex Vat. ‖ **10** καὶ αὐτὴ P² Patr., καὶ αὕτη FP¹ | συμμεταβάλλει P Patr. ‖ **12** τὸν add. Heeren ‖ **12. 13** πρὸς δὲ τῷ λιβὶ τὸν εὐώνυμον add. Heeren ‖ **13** ὑπὸ τὰς ἄρκτους FP, ὑπὸ τοὺς ἄρκτους Patr. Cant.: corr. Heeren ‖ **13. 14** τὸν μὲν δεξιὸν ὑπὸ τὴν οὐράν add. Heeren ‖ **18** ante καὶ add. τε Heeren cum Vat. | καὶ καὶ F ‖ **19. 20** τοξικούς P² Patr., τοξιανούς FP¹ ‖ **21** καὶ ante ὡς seclusi ‖ **22** ὅσοι Patr. ‖ **24** πρός τινα τοὺς FP Patr.: πρωτεύοντας τοὺς Heeren | ἄλλως Patr.

μετὰ τούτους καὶ μικρῷ πόρρω τὸ νῦν Ἰταλικὸν κλῖμα ⟨κατοικοῦντας⟩ καὶ τὸ Ἑλλαδικόν, πάντας δὴ τούτους καλλιμήρους εἶναι καὶ εὐπυγοτέρους, ὥστε τῇ τοῦ κάλλους τῶν μερῶν τούτων ὑπερβολῇ καὶ τοὺς ἐνταῦθα ἀνθρώπους καταβαίνειν πρὸς τὴν τῶν ἀρρένων ὁμιλίαν. Πάντα δὲ ταῦτα τὰ μέρη πρὸς τὰ ἄλλα ἀργὰ ὄντα ἀργοτέρους ἤνεγκε καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους. Ἐπειδὴ δὲ ἐν τῷ μέσῳ τῆς γῆς κεῖται ἡ τῶν προγόνων ἡμῶν ἱερωτάτη χώρα, τὸ δὲ μέσον τοῦ ἀνθρωπίνου σώματος μόνης τῆς καρδίας ἐστὶ σηκός, τῆς δὲ ψυχῆς ὁρμητήριόν ἐστι καρδία, παρὰ ταύτην τὴν αἰτίαν, ὦ τέκνον, ⟨οἱ⟩ ἐνταῦθα ἄνθρωποι τὰ
[994] μὲν ἄλλα ἔχουσιν οὐχ ἧττον ὅσα καὶ πάντες, ἐξαίρετον δὲ τῶν πάντων νοεροί εἰσι καὶ σώφρονες, ὡς ἂν ἐπὶ καρδίας γενόμενοι καὶ τραφέντες. Ἄλλως τε ὁ μὲν νότος, ὦ παῖ, δεκτικὸς ὢν τῶν ἐκ τοῦ περιέχοντος συνισταμένων νεφῶν * * (αὐτίκα γοῦν καὶ διὰ τὴν οὕτως αὐτῶν γενομένην ἐκεῖ κατακομιδὴν ἐκεῖθεν ῥεῖν λέγουσιν καὶ τὸν ἡμέτερον πο⟨ταμὸν⟩ λυομένης ἐκεῖ τῆς πάχνης)· ὅπου δ' ἂν ἐμπέσῃ νεφέλη, τὸν ἐπικείμενον ἤχλυσεν ἀέρα καὶ τρόπον τινὰ καπνοῦ κατεκόμισε, καπνὸς δὲ ἡ ἀχλὺς οὐ μόνον ὀμμάτων ἐστὶν ἐμπόδιον, ἀλλὰ καὶ νοῦ. Ὁ δὲ ἀπηλιώτης, ὦ μεγαλόδοξε Ὦρε, τῇ συνεχεῖ τοῦ ἡλίου ἀνατολῇ θορυ-

---

1 ante *τὸ νῦν* add. Heeren *κατὰ* | *κλῖμα* F ‖ **2** *κατοικοῦντας* addidi | post *ἑλλαδικόν* lacunam statuit Meineke ‖ **2. 3** *πάντες δὲ οὗτοι καλλίμηροί εἰσι καὶ εὐπωγονότεροι* FP Patr.: correxi, postquam Barth adv. p. 808 *εὐπυγότεροι* coni. ‖ **3** *εὐκοχωνέστεροι* Meineke ‖ **4** *μηρῶν* FP Patr.: corr. Canter ‖ **6** *τὰ* om. P Patr. | *μέλη* FP Patr.: corr. Heeren ‖ **7** *ἀπ' αὐτῆς* FP Patr.: *ἐπ' αὐτῶν* Heeren | *ἐπεὶ* Heeren ‖ **8** *γῆς* om. P^1 | *κεῖται* om. P Patr. | *ἡμῶν* Patr., *ἡμῖν* FP ‖ **11** *οἱ* add. Heeren ‖ **12** *οὐχ* om. Patr. ‖ **13** *νοερώτεροί* FP Patr.: *νοεροί* scripsi, *νοεροί τε* vel statim *σωφρονέστεροι* Meineke ‖ **14** *γενόμενοι* P^2, *γενάμενοι* FP^1, *γινομένοι* Patr. ‖ **16** lacunam signavit Meineke | *αὐτίκα γε* Heeren | *διὰ τὸ* Patr. ‖ **16. 17** *γενομένων* FP Patr.: corr. Heeren ex Vat. ‖ **17** *καὶ*] *ὡς* Canter mrg ‖ **18** *ποταμὸν πολυομένης* Patr., *πολυομένης* (om. *ποταμὸν*) FP: corr. Meineke | *πάχνης* F Patr., *τέχνης* P ‖ **19** *νεφέλῃ* Heeren ‖ **20** *τινὸς καπνοῦ* vel *τινὰ καπνοῦ* ⟨*δίκην*⟩ Meineke; an *τινὰ καπνὸν*? | *κατεκόμασε* Patr. | *δ' ἡ* Patr. | *μόνων* Patr. ‖ **21** *ὀνομάτων* FP, *ὁρμάτων* Patr.: *ὀμμάτων* Canter mrg et Patr. int. ‖ **22** *συνεχῆ* F Patr.

βούμενος καὶ ἐκθερμαινόμενος, ὁμοίως δὲ καὶ ὁ ἀντικείμενος τούτῳ λίψ μετέχων τῶν αὐτῶν κατὰ δυσμὰς οὐδεμίαν εἰλικρινῆ ἐπίστασιν ποιοῦνται τῶν παρ' αὐτοῖς γεννωμένων ἀνθρώπων. Ὁ δὲ βορέας τῇ συμφώνῳ ψυχρίᾳ ἀποπήσσει μετὰ τῶν σωμάτων καὶ τὸν νοῦν τῶν ὑπ' αὐτὸν ἀνθρώπων. Τὸ δὲ μέσον τούτων εἰλικρινὲς ὂν καὶ ἀτάραχον καὶ αὐτὸ προέχει καὶ τοῖς ἐν αὐτῷ πᾶσι. τῇ γὰρ συνεχεῖ ἀμεριμνίᾳ γεννᾷ καὶ κοσμεῖ καὶ παιδεύει καὶ μόνον τοῖς τοιούτοις ἐρίζει καὶ νικᾷ καὶ ἐπισταμένως τὴν ἰδίαν νίκην ὥσπερ σατράπης ἀγαθὸς τοῖς νενικημένοις καὶ ἐπιδίδωσι."

„Καὶ τοῦτό μοι, κυρία μῆτερ, ἔκθου· παρὰ ποίαν [996]
αἰτίαν ἔτι ζώντων ἀνθρώπων ἐν ταῖς μακραῖς
νόσοις καὶ ὁ λόγος καὶ αὐτὸς ὁ λογισμὸς καὶ
αὐτὴ ἡ ψυχὴ ἔσθ' ὅτε βλάπτεται;" Καὶ ἀπεκρίθη
Ἶσις· „Τῶν ζώντων, ὦ τέκνον, τὰ μὲν ᾠκείωται πρὸς τὸ
πῦρ, τὰ δὲ πρὸς τὸ ὕδωρ, τὰ δὲ πρὸς ἀέρα, τὰ δὲ πρὸς
γῆν, τὰ δὲ πρὸς τούτων δύο ἢ τρία, τὰ δὲ καὶ πρὸς τὰ
ὅλα. Πάλιν αὖ τὰ μὲν ἀπηλλοτρίωται τοῦ πυρός, τὰ δὲ
τοῦ ὑδατος, τὰ δὲ τῆς γῆς, τὰ δὲ τοῦ ἀέρος, τὰ δὲ δύο
τούτων, τὰ δὲ τριῶν, τὰ δὲ τῶν ὅλων. Οἷον ἀκρὶς μέν,
ὦ τέκνον, καὶ πᾶσα μυῖα φεύγει τὸ πῦρ· ἀετὸς καὶ κίρκος
καὶ ὅσα ὑψιπετέστερά ἐστιν τῶν ὀρνέων φεύγει τὸ ὕδωρ·
ἰχθύες ἀέρα καὶ γῆν· ὄφις τὸν ἀέρα τὸν εἰλικρινῆ ἀπο-
στρέφεται. Φιλοῦσι δὲ τὴν μὲν γῆν οἱ ὄφεις καὶ ὅσα
ἕρπει· τὸ δὲ ὕδωρ τὰ νηκτὰ πάντα· τὸν δὲ ἀέρα τὰ
πτηνά, ἐν οἷς καὶ πολιτεύεται, τὸ δὲ πῦρ ὅσα ὑπερπετῆ

---

1 ὁ om. Patr. ‖ 3 τῶν om. P Patr. ‖ 3. 4 γενομένων P Patr. ‖ 5 νοῦν τὸν F ‖ 7 καὶ αὐτῷ Patr., ἑαυτῷ FP: correxi | προλέγει FP Patr.: correxi; προνοεῖ Heeren ‖ 9 τοσούτοις FP Patr.: correxi | ἐπιστάμενον FP Patr.: corr. Heeren, ἐφιστάμενον Meineke ‖ 10. 11 καὶ τοῖς νεν. Heeren, τοῖς νεν. (om. καὶ) Gaisford ‖ 11 ἀποδίδωσι Meineke ‖ 14 καὶ αὐτὸς ὁ λογισμὸς om. Heeren ‖ 16 ζῶν τῶν P: ζῴων Meineke ‖ 19 αὐτὰ FP Patr.: αὖ τὰ Canter mrg ‖ 23 ὑψιπέτερα FP Patr.: corr. Gaisford, ὑψίπτερα Meineke ‖ 25 δὲ] καὶ Patr. ‖ 26 νηκτὰ P² Patr., κινητὰ FP¹ ‖ 27 ἐν οἷς καὶ πολιτεύεται seclusit Meineke | ἐν ᾧ Heeren | πολιτείεται corruptum; scripserim πτιλωτά coll. Arist. an. hist. I 5 p. 490ª 6

p. 128 C. *ἐστι καὶ ἐγγὺς ⟨ἔχει⟩ τὴν δίαιταν. Οὐ μὴν ἀλλὰ καί τινα τῶν ζῴων φιλεῖ τὸ πῦρ· οἷον αἱ σαλαμάνδραι, ἐν γὰρ τῷ πυρὶ καὶ φωλεύουσιν. Ἕκαστον γὰρ τῶν στοιχείων περιβολή ἐστι τῶν σωμάτων. Πᾶσα οὖν ψυχὴ ἐν τῷ σώματι οὖσα βαρεῖται καὶ θλίβεται τοῖς τέτταρσι τούτοις.*

[998] *Καὶ γὰρ εἰκός ἐστι καὶ ταύτην τισὶ μὲν τούτων τέρπεσθαι, τισὶ δὲ ἄχθεσθαι. Διὰ τοῦτο οὖν οὐκ ἔχει αὕτη τὴν ἀκροτάτην εὐδαιμονίαν· ἀλλ' ὡς ἂν φύσει θεία οὖσα, κἂν τούτοις οὖσα μάχεται καὶ νοεῖ, ἀλλ' οὐχ ὅσα ἂν ἐνόησεν ἀσύνδετος οὖσα σωμάτων. Ἐὰν μέντοι καὶ ταῦτα σάλον λάβῃ καὶ ταραχὴν ἤτοι ἀπὸ νόσου ἢ φόβου, τότε καὶ αὕτη ὥσπερεὶ βυθῷ ἀνθέρικος ἐπικυμαίνεται καὶ οὐδὲν ἑσταμένον φέρει.“*

46 (42 H.) *Περὶ τῆς τῶν ψυχῶν διαγωγῆς μετὰ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον· χρησμός.*

Σῶμα λυθὲν ψυχήν τε λιπὸν καὶ ⟨γαῖ⟩α γενηθὲν
οὐκέτι πως βιότοιο παλίνδρομον οἶδε κέλευθον,
[1000] *ἀλλὰ τὸ μὲν λυθέν ἐστι κενὴ ⟨κόνι⟩ς, ἣ δὲ πρὸς αἰθρην*
σκίδναται, ὁππόθεν ἦλθε, μετ' ὀρος εἰς αἰθέρ' ἁπλοῦν.
Ἄλλος δ' ἐξ ἄλλου γεννώμενος ἠδ' ἀναβλαστῶν
ψυχοῦται γονίμου φύσεως ἀροτρεύμασι καινοῖς.

47 (43 H.) *Πλάτωνος ἐκ τοῦ Ἀξιόχου* (p. 371[A]—372[A]).

Εἰ δὲ καὶ ἕτερον βούλει λόγον ἀκοῦσαι, ὃν ἐμοὶ ἤγγειλε Γωβρύης, ἀνὴρ μάγος, [ὃς] ἔφη κατὰ τὴν Ξέρξου διάβασιν τὸν πάππον αὐτοῦ καὶ ὁμώνυμον πεμφθέντα

---

1 ἔχει post ἐγγὺς addidi (post δίαιταν idem add. Heeren) ‖ **2** οἷον] ὧν Patr. Cant. ‖ **7** αὐτῆς FP Patr.: correxi ‖ **9** ὅσα ἃ FP Patr.: corr. Heeren ‖ **11** καὶ φόβου Patr. Cant. ‖ **12** αὐτὴ Patr. | ὥσπερ ἐν FP Patr.: ὡσπερεὶ Meineke | ἄνθρωπος FP Patr.: corr. Meineke ‖ **16** ἀγεννηθὲν FP: γαῖα γενηθὲν Heeren, γῆ γεννηθὲν Grotius ‖ **17** οὐκ ἔτι FP | πρὸς FP: correxi ‖ **18** κενῆς ἡ FP: κενὴ κόνις, ἡ Grotius, κόνις, ψυχὴ Heeren | αἰθραν FP: corr. Meineke ‖ **19** ὁππόθεν P[2], ὁπόθεν FP[1] | εἰς αἰθέρ' ἁπλοῦν FP: εἰς ἀθέρ' ἄχλουν Meineke philol. XX p. 173, αἰθέρ' ἐς ἁπλοῦν Grotius, αἰθερόπλαγκτος Volckmann annal. philol. 81 p. 612; fort. εἰς ἄχυρ' εὔπνους ‖ **20** γεννώμος P[1] ‖ **23** ἀκοῦσαι om. Plat. praeter *V* ‖ **24** ὃς om. Plat. ‖ **25** αὑτοῦ Plat., αὐτῷ FP

εἰς Δῆλον, ὅπως τηρήσειε τὴν νῆσον ἄσυλον ἐν ᾗ ⟨οἱ⟩ δύο θεοὶ ἐγένοντο, ἐκ τινῶν χαλκέων δέλτων, ἃς ⟨ἐξ⟩ Ὑπερβορέων ἐκόμισαν Ὦπις καὶ Ἑκάεργος, ἐκμεμαθηκέναι [τε] μετὰ τὴν τοῦ σώματος λύσιν τὴν ψυχὴν εἰς τὸν ἄδηλον χωρεῖν τόπον καὶ τὴν ὑπόγειον οἴκησιν, ἐν ᾗ βασίλεια Πλούτωνος οὐχ ἥττω τῶν Διός, ἅτε τῆς γῆς μὲν ἐχούσης τὰ μέσα τοῦ κόσμου, τοῦ πόλου δὲ ὄντος σφαιροειδοῦς· οὗ τὸ μὲν ἕτερον ἡμισφαίριον θεοὶ ἔλαχον οἱ οὐράνιοι, τὸ δὲ ἕτερον οἱ ὑπένερθεν, οἳ μὲν ἀδελφοὶ ὄντες, οἳ δὲ ἀδελφῶν παῖδες. Τὰ δὲ προπύλαια τῆς εἰς Πλούτωνος ὁδοῦ σιδηροῖς τείχεσι καὶ κλεισὶ διωχύρωται. Ταῦτα δὲ ἀνοίξαντα ποταμὸς Ἀχέρων ἐκδέχεται, μεθ' ὃν Κωκυτός· οὓς χρὴ πορθμευθέντας ἀχθῆναι ἐπὶ Μίνω καὶ Ῥαδάμανθυν ἐν πεδίῳ ᾧ κλήζεται ἀληθείας. Καθέζονται δὲ δικασταὶ ἀνακρίνοντες τῶν ἀφικνουμένων ἕκαστον, τίνα βίον βεβίωκε καὶ τίσιν ἐπιτηδεύμασιν ἐνῳκίσθη τῷ σώματι. Ψεύσασθαι δὲ ἀμήχανον. Οἷς μὲν οὖν ἐν τῷ ζῆν δαίμων ἀγαθὸς ἐπέπνευσεν, εἰς τὸν τῶν εὐσεβῶν χῶρον λογίζονται, ἔνθα ἄφθονοι μὲν ὧραι παγκάρπου γονῆς βρύουσι, πηγαὶ δὲ ὑδάτων καθαρῶν, παντοῖοι δὲ λειμῶνες εὐάνθεσι ποικίλοις ἀριζόμενοι, διατριβαὶ δὲ ποιητῶν καὶ θέατρα φιλοσόφων καὶ ἐγκύκλιοι χοροὶ καὶ μουσικὰ ἀκούσματα, συμπόσιά τε εὐμελῆ καὶ εἰλαπίναι αὐτοχορήγητοι καὶ ἀκή-

---

1 ἄσυλον om. Plat. | οἱ addidi ex Plat. ‖ **2** ἐξ addidi ex Plat. ‖ **3** ὑπὲρ βορέων FP | ante καὶ add. Plat. τε | Ἑκαέργη Plat. ‖ **4** τε seclusi cum Plat. | μετὰ Plat., κατὰ FP ‖ **5** κατὰ τὴν Plat. ‖ **5. 6** βασιλεία P^1 et Plat. Θ ‖ **6** τῆς τοῦ Διὸς αὐλῆς Plat. | τῆς μὲν γῆς et τοῦ δὲ πόλου (7) Plat. ‖ **8. 9** οἱ οὐράνιοι etiam FP ‖ **10** πρόπυλα vel πρόθυρα Plat. | τῆς Plat., τοῖς FP ‖ **11** ὁδοῦ P^2 Plat., ὁδοῦσι FP^1 | τείχεσι FP, κλείθροις Plat. | ὠχύρωται Plat. ‖ **12** ἐκδέχεται etiam FP ‖ **13** πορθμεύσαντας Plat. ‖ **14** ἐν – κλήζεται] ὃ κλήζεται πεδίον Plat. ‖ **14. 15** ἐνταυθοῖ καθέζονται (om. δὲ) Plat. ‖ **17** δὲ] μὲν οὖν Plat. | ὅσοις Plat. ‖ **18. 19** λογίζονται FP, οἰκίζονται Plat. ‖ **20** καθαρῶν etiam FP | post καθαρῶν add. Plat. ῥέουσι | ἄνθεσι Plat. ‖ **21. 22** διατριβαὶ δὲ φιλοσόφων καὶ θέατρα ποιητῶν Plat. ‖ **22** κύκλιοι Plat. ‖ **23** εὐμελῆ vel ἐμμελῆ Plat., εὐμενῆ FP et Plat. Θ | αὐτοχορήγητοι etiam FP

ρατος ἀλυπία καὶ ἡδεῖα δίαιτα. Οὔτε γὰρ χεῖμα σφοδρὸν οὔτε θάλπος ἐγγίγνεται, ἀλλ' εὔκρατος ἀὴρ χεῖται ἁπαλαῖσιν ἀκτῖσιν ἡλίου ἀνακιρνάμενος· καὶ ἐνταῦθα τοῖς μεμυημένοις ἐστί τις προεδρία· καὶ τὰς ὁσίους ἁγιστείας κἀκεῖ συντελοῦσιν. Πῶς οὖν οὐ σοὶ πρώτῳ μέτεστι τῆς τιμῆς, ὄντι γεννήτῃ τῶν θεῶν; καὶ γὰρ τοὺς περὶ Ἡρακλέα καὶ Διόνυσον κατιόντας εἰς Ἅιδην πρότερον ἐνθάδε λόγος μυηθῆναι καὶ τὸ θάρσος τῆς ἐκεῖσε πορείας παρὰ τῆς Ἐλευσινίας ἐναύσασθαι. Ὅσοις δὲ τὸ ζῆν διὰ κακουργημάτων ἠλάθη, ἄγονται πρὸς Ἐρινύων εἰς ἔρεβος καὶ χάος διὰ ταρτάρου, ἔνθα χῶρος ἀσεβῶν καὶ Δαναίδων ὑδρεῖαι ἀτελεῖς καὶ Ταντάλου δῖψος καὶ Τιτυοῦ σπλάγχνα αἰωνίως ἐσθιόμενα καὶ γεννώμενα καὶ Σισύφου πέτρος ἀνίντυτος· οὗ τὰ τέρματα αὖθις ἄρχεται [τῶν] πόνων· ἔνθα θηρσὶ περιλιχμώμενοι καὶ δασὶν ἐπιμόνως πυρούμενοι Ποινῶν καὶ πᾶσαν αἰκίαν αἰκιζόμενοι ἀιδίοις τιμωρίαις τρύχονται.

48 (44 H.) *Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ* (p. 10 Patrit., 71,7 Parthey.).

Οὐκ ἤκουσας ἐν τοῖς γενικοῖς, ὅτι ἀπὸ μιᾶς ψυχῆς, τῆς τοῦ παντός, πᾶσαι αἱ ψυχαί εἰσιν αὗται, ⟨αἱ⟩ ἐν τῷ παντὶ κόσμῳ κυλινδούμεναι, ὥσπερ ἀπονενεμημέναι; Τούτων τοίνυν τῶν ψυχῶν πολλαὶ αἱ μεταβολαί, τῶν μὲν εἰς τὸ εὐτυχέστερον, τῶν δ' εἰς τὸ ἐναντίον. Αἱ μὲν γὰρ ἑρπετώδεις οὖσαι εἰς ἔνυδρα μεταβάλλουσιν, αἱ δὲ ἔνυδροι

---

2. 3 *ἁπαλαῖς ἡλίου ἀκτῖσιν* Plat. ‖ **3** *ἀνακιρνάμενος* etiam FP | *καὶ τοῖς ἐνταῦθα* FP, *ἐνταῦθα τοῖς* Plat.: correxi ‖ **5** *κἀκεῖσε* Plat. ‖ **6** *γὰρ* om. Plat. ‖ **6. 7** *Ἡρακλέα τε καὶ* Plat. ‖ **7** *Ἅιδου* Plat. ‖ **7. 8** *λόγος ἐνθάδε* Plat. ‖ **10** *ἠλάθη* Plat., *ἠλάσθη* FP | *ἐπ' ἔρεβος* Plat. ‖ **13** *αἰωνίως – γεννώμενα* om. Plat. | *ἐσθιόμενα* P^2, *αἰσθόμενα* P^1, *ἐσθόμενα* F ‖ **14** *ἀρχαὶ* P | *τῶν* om. P Plat. | *πόνῳ* Plat. ‖ **15** *πυρσὶ* P | *περιλιχμώμενοι* P^2 Plat., *περιλιχνώμενοι* FP^1 | *δασὶν* FP, *λαμπάσιν* Plat. ‖ **18** lemma F in textu, P mrg habet ‖ **21** *αὗται* FP Patr., *αἵτε* Herm. cet. | *αἱ* add. Heeren ‖ **22** *ἀπονενεμημέναι* Herm., *ἀπονενεμηκέναι* FP, *ἀπονενεμηκυῖαι* Patr. ‖ **23** *τοίνυν* om. Patr. | *αἱ* om. Herm. praeter Patr. ‖ **23** et **24** *ἐπὶ τὸ* bis Herm. praeter Patr. ‖ **24** *αἱ μὲν οὖν* Herm. praeter Patr. ‖ **25** *μεταβάλλονται* Herm. | *αἱ δὲ τῶν ἐνύδρων* Herm.

εἰς χερσαῖα, αἱ δὲ χερσαῖαι εἰς πετεινά, αἱ δὲ ἀέριαι εἰς [1002]
ἀνθρώπους, αἱ δὲ ἀνθρώπιναι ἀρχὴν ἀθανασίας ἴσχουσαι
εἰς δαίμονας μεταβάλλουσιν, εἶθ' οὕτως εἰς τὸν τῶν θεῶν
χορόν· χοροὶ δὲ δύο θεῶν, ὃ μὲν τῶν πλανωμένων, ὃ δὲ
τῶν ἀπλανῶν. Καὶ αὕτη ψυχῆς ἡ τελειοτάτη δόξα. Ψυχὴ
δὲ εἰς ἀνθρώπους ἐλθοῦσα ἐὰν κακὴ μείνῃ, οὔποτε τεύ-
ξεται ἀθανασίας, παλίσσυντος δὲ τὴν ὁδὸν ὑποστρέψει τὴν
ἐπὶ τὰ ἑρπετά. Καὶ αὕτη καταδίκη ψυχῆς κακῆς. Κακία
δὲ ψυχῆς ἀγνωσία. Ψυχὴ γὰρ μηδὲν ἐπιγνοῦσα τῶν ὄντων
μηδὲ τὴν τούτων φύσιν μηδὲ τὸ ἀγαθόν, τυφλώττουσα
δὲ ἐντινάσσεται τοῖς σωματικοῖς πάθεσι καὶ ἡ κακοδαίμων
ἀγνοήσασα ἑαυτὴν δουλεύει σώμασιν ἀλλοκότοις καὶ μοχ-
θηροῖς ὥσπερ φορτίον βαστάζουσα τὸ σῶμα καὶ οὐκέτ'
ἄρχουσα ἀλλ' ἀρχομένη. Αὕτη κακία ψυχῆς.

49 (45 H.) Τοῦ αὐτοῦ (p. 11[b] Patrit., p. 79, 13 Parthey.).

Ψυχὴ δὲ ἀνθρωπίνη ⟨οὐ⟩ πᾶσα μέν, ἡ δ' εὐσεβὴς
δαιμονία τίς ἐστι καὶ θεία. Καὶ ἡ τοιαύτη καὶ μετὰ τὸ
ἀπαλλαγῆναι τοῦ σώματος τὸν τῆς εὐσεβείας ἀγῶνα ἀγω- p. 129 C. [1004]
νισαμένη (ἀγὼν δὲ εὐσεβείας τὸ γνῶναι τὸ θεῖον καὶ

---

1 *πτηνὰ* Herm. praeter Patr. ‖ **2** *ἀνθρώπειαι* Herm. | *ἀρχὴν* om. Herm. | *ἴσχουσιν* FP, *ἔχουσαι* Herm. *B* Turn., *μετέχουσαι* Herm. cet.: corr. Meineke ‖ **3** *μεταβάλλουσαι* FP, *μεταβάλλονται* Herm.: corr. Meineke | *εἶθ'* Herm. *AB* Patr., *εἶτ'ἂν* FP, *οἱ δ'* Herm. cet.: *εἶτ' αὖ* Meineke | post *τῶν* add. *ἀπλανῶν* Herm. ‖ **4** *χορόν* Herm., *χῶρον* FP | post *χορὸν* add. *χορεύουσι* Herm. | *χοροὶ* Herm., *χῶροι* P[2], *χῶρον* FP[1] ‖ **6** *εἰς ἀνθρώπου σῶμα εἰσελθοῦσα* Herm. ‖ **6. 7** *οὔτε γεύεται* (*γεύσεται* Patr.) *ἀθανασίας οὔτε τοῦ ἀγαθοῦ μεταλαμβάνει* Herm. ‖ **7** *παλίσυρτος* vel *παλίσσυρτος* Herm. ‖ **7. 8** *ὑποστρέφει τὴν εἰς* Herm. ‖ **9** ante *ἀγνωσία* add. Herm. *ἐστιν ἡ*: ibid. add. Heeren *κακῆς* ‖ **10** *μήτε . . . μήτε* Patr. ‖ **11** *δὲ* FP, om. Herm. | *ἐντινάσσει* FP Herm. quid., *ἐκτινάσσει* Herm. *B* Patr.: *ἐντινάσσεται* Tiedemann ‖ **12** *δουλεύει* etiam FP ‖ **13. 14** *οὐ κατάρχουσα* FP, *οὐκ ἄρχουσα* Herm.: *οὐκέτ' ἄρχουσα* Meineke ‖ **14** *αὕτη* Herm., *αὐτὴ* FP: *καὶ αὕτη* Meineke | *κακία* Herm., *κατὰ* FP[1], *καταδίκη* P[2] (et sic vulg.) ‖ **15** lemma F in textu, P mrg habet ‖ **16** *οὐ* (ante *πᾶσα*) om. FP, add. Herm. | post *μὲν* add. *οὐ* Heeren ex Escur. ‖ **17** *τοιαύτη ψυχὴ μετὰ* Herm. | *τὸ* om. P ‖ **18. 19** *ἠγωνισμένη* Herm. | post *ἀγωνισαμένη* add. *θεὸς γίνεται* Herm. cet., *ἡ νοῦς ἢ θεὸς γίνεται* Herm. Patr. ‖ **19** *τὸν θεὸν* Herm.

μηδένα ἀνθρώπων ἀδικῆσαι), ὅλη νοῦς γίγνεται. Ἡ δὲ ἀσεβὴς ψυχὴ μένει ἐπὶ τῆς ἰδίας οὐσίας ὑφ' ἑαυτῆς κολαζομένη καὶ γήινον σῶμα ζητοῦσα εἰσελθεῖν, [εἰς] ἀνθρώπινον δέ· ἄλλο γὰρ σῶμα οὐ χωρεῖ ἀνθρωπίνην ψυχήν, οὐδὲ θέμις ἐστὶν εἰς ἀλόγου ζῴου σῶμα ψυχὴν ἀνθρωπίνην καταπεσεῖν· θεοῦ γὰρ νόμος οὗτος φυλάσσειν ψυχὴν ἀνθρωπίνην ἀπο τῆς τοιαύτης ὕβρεως.

50 (46 H.) *Πορφυρίου ἐκ τῶν περὶ Στυγός.*

Τοῦ δὲ Ἀπολλοδώρου ἐν τῷ εἰκοστῷ τοῦ περὶ τῶν θεῶν συγγράμματος, ὅ ἐστι περὶ τοῦ Ἅιδου (fr. 10 ap. Müller. fr. h. Gr. I p. 429; I p. 391 Heyn.), τάδε περὶ τῆς Στυγὸς λεγόμενα εὕρομεν.

„Ἀρκτέον γὰρ ἀπὸ τούτων, τῆς τε ἐκ τῶν ὀνομάτων
[1006] παρεμφάσεως οὐ καταφρονητέον. Ἐκ γὰρ τοιούτων ὁρμώμενοι πιθανῶς καὶ τοὺς ἐν Ἅιδου νομιζομένους ποταμοὺς κατωνομάκασιν. Ἀχέροντα μὲν διὰ τὰ ἄχη, ὡς καὶ Μελανιππίδης ἐν Περσεφόνῃ (fr. 3 p. 1245[3] Bergk.)·

καλεῖται δ' ἐν κόλποισι γαίας
ἄχεα ⟨βροτ⟩οῖσιν προχέων Ἀχέρων.

Ἐπεὶ καὶ Λικύμνιός φησι (fr. 1 p. 1251[3] Bergk.)·

μυρίαις παγαῖς δακρύων ⟨Ἀχέρων⟩ ἀχέων τε βρύει,

καὶ πάλιν (fr. 2 ibid.)·

Ἀχέρων ἄχεα πορθμεύει βροτοῖσιν·

---

1 ὅλη FP, ἥ δὴ vel ἡ δὲ Herm. ‖ 2 ἀσεβὴς Herm., ἀσεβοῦς FP ‖ 3 εἰσελθεῖν FP, εἰς ὃ εἰσέλθῃ Herm. | εἰς om. Herm.: seclusit Heeren ‖ 3. 4 ἀνθρώπειον Herm. praeter *A* ‖ 4 δὲ om. Herm. ‖ 6 φυλάσσει P ‖ 7 τοσαύτης Herm. ‖ 9 τοῦ δὴ FP: corr. Heeren | εἰκοστῷ τοῖς P, εἰκοστῷ F: corr. Usener ‖ 10 συγγράμματι F, συγγράμμασιν P: corr. Usener ‖ 13 ἀρκτέον – καταφρονητέον (14) Porphyrio tribuit Meineke, ἀρκτέον – κατωνομάκασιν (16) eidem Heyne ‖ 14 παρεκφράσεως Heyne (ταρεκφάσεως Cant.) ‖ 15 πιθανῶν FP: corr. Heyne ‖ 16 supra ἄχη add. P[2] ῥεῖν ‖ 19 ἀχεοῖσι προχέων F, ἀχαιοῖσιν προχέων P: ἄχεα βροτοῖσιν (vel ἄχεσιν ἔπ' ἄχεα) προχέων Bergk, ἄχε' ἀνθρώποισι προχέων Iacobs ep. cr. p. 236, ἄχεα βροτοῖσι ῥέων Emperius ‖ 20 ἔτι καὶ Galeus de script. myth. p. 28 | λικύμνιοι P ‖ 21 πάσαις FP: παγαῖς Grotius et Canter mrg | Ἀχέρων add. Grotius

Ἀχέρων δὲ καὶ Ἀχερουσία λίμνη ταὐτόν, ὡς καὶ Σοφοκλῆς [1008]
ἐν Πολυξένῃ (fr. 478 N.) *τὴν Ἀχιλλέως ψυχὴν εἰσάγει λέγουσαν·*

Ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς
λιποῦσα λίμνης ἧλθον ἄρσενας χοὰς
Ἀχέροντος ὀξυπλῖγας ἠχούσας γόους,

⟨ἀπαίωνας ἀκτὰς⟩ τὰς τῶν νεκρῶν λέγων παιῶν᾽ οὐκ ἐχούσας, ἄρσενας δὲ ⟨χοὰς⟩ τὰς οὐδὲν ἐκτρεφούσας. θήλεα μὲν γὰρ τὰ καρποφόρα, ἄρσενα δὲ τὰ ἄγονα ἔλεγον τῷ τὸν [1010]
μὲν τὸ σπέρμα παρέχειν μόνον, τὴν δὲ καὶ ἐκτρέφειν· ὅθεν καὶ ᾽θῆλυς ἐέρση᾽ (Hom. ε 467) *ἡ πολύγονος καὶ τροφίμη. Διαπεραιοῦσθαι δὲ ὑπὸ τῶν ἀπογενομένων τὸν Ἀχεροντά φασιν εἰκότως· ὁ γὰρ μετηλλαχὼς πάντα τὰν τῷ ζῆν ἄχη σχεδὸν ὑπερῆρκε καὶ ἔστιν ἐν ἀπονίᾳ καὶ ἀλυπίᾳ πάσῃ. Γοργύραν δὲ τοῦ Ἀχέροντος γυναῖκα προσανέπλασαν ἀπὸ τοῦ γοργὰ φαίνεσθαι τοῖς πολλοῖς τὰ ἐν Ἅιδου· καθὸ δὴ καὶ αὐτοῦ τούτου τιθήνην ὁ Σώφρων Μορμολύκαν ὠνόμασεν.“*

Ταῦτ᾽ εἰπὼν περὶ τοῦ Ἀχέροντος Ἀπολλόδωρος ἐπάγει περὶ τῆς Στυγὸς αὐταῖς λέξεσι τάδε· „Στύγα δὲ δεινήν τινα καὶ φοβερὰν ὑποστησάμενοι δαίμονα, θεῶν ὅρκον, ἐν Ἅιδου τε ταύτην κατῴκισαν καὶ τῆς προσηγορίας ταύ-

---

1 *καὶ* (ante *Σοφοκλῆς*) P, *ὁ* F ‖ **2** *τοῦ* FP: *τὴν* Nauck, *τὴν τοῦ* Heeren ‖ **4** *ὦ τὰς* FP: *ἀκτὰς* Iacobs spec. emend. p. 16 et Heyne exc. IX ad Aen. VI p. 803 | *ἀπ᾽ αἰῶνας* FP: corr. Canter | *μελαμβαθεῖς* F, *μελαμβαφεῖς* P ‖ **5** *ἦλθον ἄρσενας χοὰς* FP post *γόους* (6) habent: transposuit Heyne, *λίμνης ἦλθον ἠχούσας γόοις Ἀχέροντος ὀξυπλῆγος ἄρσενας χοὰς* Grotius | *ῥοὰς* Meineke ad Soph. Oed. Col. p. 203 ‖ **6** *ἠχοῦσα* FP: corr. Grotius ‖ **7** *ἀπαίωνας ἀκτὰς* add. Meineke | *τὰς* FP: *⟨ἀκ⟩τὰς* Heeren ‖ **8** *χοὰς* add. Heeren, *ῥοὰς* Meineke ‖ **9** *ἄγονα* F, *ἄγωνα* P: *ἄκαρπα* Gaisford cum Aug. | *ἐλέγοντο* FP: *ἔλεγον τῷ* Meineke, *ἐλέγοντο τῷ* Usener, *ἐλέγοντο διὰ* Heeren ‖ **9. 10** *τὸ μὲν* FP: *τὸν μὲν* Usener ‖ **10** *παρέχον* FP: corr. Heyne ‖ **12** *ἀπογινομένων* FP: corr. R. Münzel ‖ **13. 14** *τὰ τῷ* FP: *τὰν τῷ* Meineke, *τὰ ἐν τῷ* vel *τὰ τοῦ* Heyne ‖ **14** *ὑπερήρηται* FP: *ὑπερῆρκε* scripsi, *ὑπερῆρε* Heyne, *ὑπερῆρται* Heeren, *ὑφήρηται* vel *παρήρηται* Meineke ‖ **16** *γοργῶς* P ‖ **21** *τιν* P | *ὅρκων* P

[1012] *της ἠξίωσαν ἀπὸ τοῦ στυγνάζειν τοῖς πένθεσι καὶ στύγεσθαι τὰ ἐν Ἅιδου, ὅρκον δὲ τῶν θεῶν δι' ἐναντιότητα· ἡ μὲν γὰρ τῶν ὄντων τε καὶ ζώντων φθαρτικὴν ἔχει δύναμιν ὅσον ἐφ' ἑαυτῇ, οἱ δὲ τῇ τε προαιρέσει καὶ τῷ τρόπῳ διεστήκασι.“*

Τοσαῦτα περὶ τῆς Στυγὸς εἰπὼν ἐπάγει· „Κωκυτὸν δὲ ποταμὸν ἀνέπλασαν ἀπὸ τοῦ κωκύειν, ὃς ἐστι Στυγὸς καὶ στυγνάσεως ἀπορρώξ. Τοιούτου δέ ἐστι γένους καὶ ὁ Πυριφλεγέθων. Εἴρηται γὰρ ἀπὸ τοῦ πυρὶ φλέγεσθαι τοὺς τελευτῶντας, ὡς Ὅμηρός (λ 218—221) *φησι·*

Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
δαμνᾷ, ἐπεί κεν πρῶτα λίπῃ λευκὸν ὀστέα θυμός,
ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται.

Ὑποτίθεται γὰρ τὰς ψυχὰς τοῖς εἰδώλοις τοῖς ἐν τοῖς κατόπτροις φαινομένοις ὁμοίας καὶ τοῖς διὰ τῶν ὑδάτων συνισταμένοις, ἃ καθάπαξ ἡμῖν ἐξείκασται καὶ τὰς κινήσεις μιμεῖται, στερεμνιώδη δ' ὑπόστασιν οὐδεμίαν ἔχει εἰς ἀντίληψιν καὶ ἁφήν· ὅθεν αὐτὰς ‘βροτῶν εἴδωλα καμόντων’ (λ 476) *λέγει.“*

[1011] 51 (47 H.) *Ἐν ταὐτῷ.*

p. 130 C. *Ἅπαντες δὲ ὕδωρ ἱστόρησαν τὴν Στύγα ἐπίγειον, φύσιν ἔχον ἀμύνεσθαι τοὺς κατ' αὐτοῦ ψευδῶς ὀμόσαι τολμήσαντας. Διαβόητον μὲν τοίνυν Στυγὸς ὕδωρ κατὰ τὴν Ἀρκαδίαν οἱ ἱστορικοὶ ἀναγεγράφασιν, ὧν ἐστι καὶ Ἡρόδοτος, ὃς ἐν τῇ ἕκτῃ* (c. 74) *τὰ κατὰ Κλεομένην ἀφηγούμενος γράφει ταῦτα· „Ἐντεῦθεν δὲ ἀφικόμενος εἰς τὴν*

---

8 *στυγνώσεως* P ‖ **12** *αἰσθομένοιο* P^1 ‖ **13** *δαμνᾷ* Hom., *δαμνὰ* FP | *λίπῃ* Hom., *λείπῃ* FP ‖ **17. 18** *νικήσεις* P^1 ‖ **18** *στερεμνιάδη* P^1, *στερεμνίαν* P^2 | *οὐδαμῶς* Usener | *ἔχεις* FP^1, *ἔχειν* P^2: *ἔχει* Heeren tamquam ex Vat. ‖ **19** *εἴδωλα* P^2, *εἴδωλον* FP^1 ‖ **21** lemma in textu P, mrg F habet ‖ **22** *(o)ἱ πάντες* F^1, *οἱ πάντες* F^2P: *ἅπαντες* (vel *οἱ πλείους*) Heeren | *ἐπιτήδειον* P^2 ‖ **23** *ὁμῶσαι* P ‖ **25** *ἀχρασίαν* P | *ὧν* FP^2, *ὥ* P ‖ **26** *ὡς* (ante *ἐν*) FP: *ὃς* Canter ‖ **27** *ἐνθεῦτεν δὲ ἀπικόμενος* Her. et quae sunt reliquae dialecti discrepantiae

Ἀρκαδίαν νεώτερα ἔπρησσε πράγματα, συνιστὰς τοὺς Ἀρκάδας ἐπὶ τῇ Σπάρτῃ, ἄλλους τε ὅρκους προσάγων καὶ δὴ καὶ ἐς Νώνακριν πόλιν πρόθυμος ἦν τῶν Ἀρκάδων τοὺς προεστῶτας ἀγινεῖν, ἐξορκῶν τὸ Στυγὸς ὕδωρ.“ Καλ-
5 *λίμαχος δ' ἐν τῷ Περὶ νυμφῶν συγγράμματι* (fr. 100[b] 2 p. 290 Schneid.) *καὶ τὸ ἰδίωμα τοῦ ὕδατος ἀφηγεῖται λέ-* [1016]
γων οὕτω· „Στὺξ ἐν Νωνακρίνῃ τῆς Ἀρκαδίας ὕδωρ ἐστὶ τὸ διακόπτον πάντα τὰ ἀγγεῖα πλὴν τῶν κερατίνων.“

52 (48 H.) *Ἐν ταὐτῷ.*

10 *Ἐπειδὴ περὶ τοῦ Στυγὸς ὕδατος ὁ λόγος ἐστί, δηλῶσαί σοι βούλομαι καὶ ἑτέραν ἱστορίαν περὶ τοῦ αὐτοῦ. Φίλων γὰρ ὁ Ἡρακλεώτης ἐν τῷ Πρὸς Νύμφιν περὶ θαυμασίων ἐν Σκύθαις φησὶν ὄνους γίγνεσθαι κέρατα ἔχοντας, ταῦτα δὲ τὰ κέρατα δύνασθαι τοῦτο τὸ ὕδωρ διαφέρειν· καὶ* [1018]
15 *Ἀλεξάνδρῳ τῷ Μακεδόνι ἐνεχθῆναι ὑπὸ Σωπάτρου κέρας τοιοῦτο, ὃ καὶ ἀνατεθῆναι ἐν Δελφοῖς, ἐφ' οὗ καὶ ἐπιγεγράφθαι·*

Σοὶ τόδ' Ἀλέξανδρος Μακεδὼν κέρας ἄνθετο, Παιάν,
κάνθωνος Σκυθικοῦ, χρῆμά τι δαιμόνιον·
20 *ὁ Στυγὸς ἀχράντῳ Λουσηίδος οὐκ ἐδαμάσθη*
ῥεύματι, βάσταξεν δ' ὕδατος ἠνορέην.

53 (49 H.) *Ἐν ταὐτῷ.*

Περὶ μὲν δὴ τῶν θεῶν εἰρήσθω τοσαῦτα. Λοιπὸν δὲ τὰ περὶ τῶν ψυχῶν ὅπως Ὅμηρος διέταξε τῶν ἐν

---

1 *τοὺς* Her., *τὰς* FP ‖ **2** post *προσάγων* add. Her. *σφι ἦ μὲν ἔψεσθαί σφεας αὐτῷ τῇ ἂν ἐξηγέηται* ‖ **4** *προεστεῶτας* Her. praeter *R* | *ἀγινέων* Her. | *ἐξορκῶν* Her. plur., *ἐξ ὅρκων* FP, *ἐξορκοῦν* Her. A^2 ‖ **5** *περὶ θαυμάτων* vel *θαυμασίων* Hemsterhuys, *πρὸς Νύμφιν* Meineke ‖ **7** *ἐν Νωνάκρι ⟨κρή⟩νη τῆς Ἀρκαδίας, ⟨ἧς⟩* Heeren ‖ **9** lemma P in textu, F mrg habet ‖ **11** *σοι* om. P ‖ **12** *νύμφην* P ‖ **13** *σκυ* F, *σκυθίᾳ* P: *Σκύθαις* Heeren cum Vatic. ‖ **16** *τοιοῦτο* P, *τοιοῦτω* F | *ἀνατεθεῖναι* (supra *ει* ead. m. *η* sprscr.) F, *ἀνατεθεῖναι* P ‖ **18** ante *σοὶ* add. *ἐπίγραμμα* P ‖ **19** *σχῆμα τὸ* Aelian. nat. anim. X 40, ubi epigramma cum narratiuncula iteratur ‖ **20** *ἀχράντου* FP Aelian. l. s.: corr. Brunck anal. III p. 182 ‖ **22** lemma P in textu, F mrg habet

Ἅιδου διαλαβόντες καὶ περὶ μὲν τῶν τιμωρουμένων ἀφηγησάμενοι συνάπτοιμεν ἂν τὸν λόγον ἐπὶ τὴν Στύγα, ἣν ἐπὶ τιμωρίᾳ καθ' Ὅμηρον τῶν ἁμαρτανόντων τετάχθαι δαιμόνων ὑπειλήφαμεν. Πληρώσας γὰρ δὴ πάντα θεῶν καὶ τοῖς τόποις ἀφορίσας τὰς βασιλείας, πάλιν τῶν ψυχῶν
[1020] *ὡς ἀθανάτους εἶναι νενόμικε τόπους τρεῖς εἶναι ὑπείληφεν· ἕνα μὲν τὸν ἐπίγειον κατὰ τὴν οἰκουμένην ταύτην, καθ' ἣν τὰ ζῷα καὶ οἱ ἄνθρωποι διατρίβουσιν· ἕτερον δὲ τοῖς δικαίοις ἀφωρισμένον παρὰ τὸν Ὠκεανόν, ὃν Ἠλύσιον καλεῖ πεδίον καὶ ζῶντας ἔτι εἰς αὐτόν φησιν ἐκπέμπεσθαι. δηλοῖ δὲ ἐπὶ τοῦ Μενελάου τὸ τοιοῦτο λέγων* (δ 561—568)·

Σοὶ δ' οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
Ἄργει ἐν ἱπποβότῳ θανέειν καὶ πότμον ἐπισπεῖν·
ἀλλά σ' Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς·
τῇ περ ῥηϊστη βιοτὴ πέλει ἀνθρώποισιν,
οὐ νιφετὸς οὔτ' ἄρ χειμὼν πολὺς οὔτε ποτ' ὄμβρος·
ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας
Ὠκεανὸς ἀνίησιν, ἀναψύχειν ⟨ἀνθρώπους⟩.

Τούτοις μὲν οὖν καὶ τὰ σώματα παρεῖναι. Τρίτον δὲ τόπον λέγει ὃν ψυχῶν τοῦ σώματος τούτου ἀπολυθεισῶν ὑπείληφεν εἶναι τὸν ἐν Ἅιδου, ταύτας δὲ εὐθὺς μὲν χωρεῖν εἰς Ἅιδου, διατρίβειν δὲ τὰς μὲν τῶν ἀτάφων ἔξω τοῦ Ἀχέροντος κατὰ τὰ ἄλση καὶ τὸν λειμῶνα τῆς Περσε-

---

1 *μὲν* delet Meineke ‖ **3** *τιμωρίᾳ* FP: corr. Meineke ‖ **4** post *ὑπειλήφαμεν* clausula in FP | *πληρώσας* P, *ληρώσας* (litt. init. pro rubr. relicta) F: *κληρώσας* Meineke ex cod. Aug., quod si verum, statim *θεοῖς* corrigendum est | *γὰρ* om. P ‖ **10** *αὐτὴν* FP: corr. Heeren ex Vat. Aug. | *φασιν* P ‖ **11** *τό τοι τὸ* F, *τό τοι* P: *τὸ τοιοῦτον* Heeren ex cod. Aug. | *λέγον* FP: corr. Heeren ex Aug. ‖ **13** *ὦ* om. P^1 ‖ **15** *ἀλλά σ'* P^1 ‖ **17** *ῥηίστη* P^2 Hom., *ῥήστη* FP^1 | *βιοτῇ* P^1 ‖ **18** *οὔτ' ἄρ* P^2 Hom., *οὐ γὰρ* F, *τοὔγαρ* P^1 ‖ **19** *πνείοντας* Hom. ‖ **20** *ἀνθρώπους* om. FP, add. Hom. ‖ **21** *τὰ σῶμα* P (*σῶμα* in ras.) ‖ **22** *λέγει ὃν*] P^2 mrg *ἴσως λογικῶς*

φόνης, ἔσω περᾶσαι κωλυομένας· τὰς δὲ τῶν ταφέντων [1022]
χωρεῖν ἐντός, εἰ μὴ εἶεν κολάσεως ἄξιαι· εἰ δὲ μή, κἂν
ταφῇ τὰ σώματα, ὁμοίως εἴργεσθαι τοῦ ἔνδον. Τὰς τοί-
νυν ἐκτὸς μνήμης μετέχειν τῶν αὐταῖς βεβιωμένων· τὰς
δὲ τὸν ποταμὸν ὑπερβαινούσας ἐπιλανθάνεσθαι τῶν λο-
γισμῶν τῶν περὶ τὰ ἀνθρώπινα μεθείσας. Διὸ καὶ τῶν
ἀδίκων ἐκτὸς εἶναι τὰ κολαστήρια διὰ τοῦ λογισμοῦ καὶ
τῆς μνήμης τῶν βεβιωμένων τὰς κολάσεις ἐχόντων. Φαν- p. 131 C.
τασίας γὰρ λαμβάνειν τῶν δεινῶν ὅσα ἐν τῷ βίῳ δεδρά-
κασι καὶ κολάζεσθαι, τῆς ἁμαρτίας παρεστώσης αὐτοῖς
κατὰ λογισμὸν καὶ τιμωρούσης διὰ τῶν ἀφωρισμένων ταῖς
ἁμαρτίαις κολάσεων, ὅθεν τὰς μέν τινας τῶν ψυχῶν λίθους
βαστάζειν δοκούσας καὶ ὑπὸ τοῦ θλίβεσθαι τιμωρεῖσθαι,
τὰς δὲ δίψης καὶ λιμοῦ αἰωνίου φαντασίας λαμβανούσας,
τὰς δ' ἄλλου τινὸς ὧν ἐν τῷ θνητῷ βίῳ ἐπεφρίκεσαν.
Εἶναι γὰρ καὶ κριτὴν ἐκτὸς τοῦ ποταμοῦ διατρίβοντα,
Μίνω, ὃν κατ' ἀξίαν τῶν ἁμαρτημάτων κολάζειν, τοῖς μὲν
τὸν ἔξω τοῦ ποταμοῦ τόπον ἀφορίσαντα ἐπὶ τὴν δίκην,
τοῖς δὲ περᾶσαι τὸν ποταμὸν ἐπιτρέψαντα, ὃς ἀνάπαυσις
ἦν ταῖς ψυχαῖς τῶν ἀνηνύτων κακῶν διὰ τὴν λήθην.
Τιμωρεῖσθαι δὲ ἐκτὸς ὄντα καὶ τὸν Ἡρακλέα τοὺς ἀδίκους, [1024]
φαντασίας φοβερὰς ἐμποιοῦντα τοῦ βάλλοντος καὶ τοξεύ-
οντος, ὥσπερ ζῶν ἠμύνετο, ἀμυνομένου καὶ ἐν Ἅιδου τοὺς
ἀξίους κολάσεως· οὐ γὰρ δὴ καὶ οὗτος τῶν κολαζομένων
ἐστίν, ὡς Ἀριστάρχῳ ἐδόκει, ἀλλὰ τῶν κολαζόντων. Τῶν
δ' ἐντὸς τοῦ ποταμοῦ καὶ ἀφῃρημένων τὸν λογισμὸν τὸν
ἀνθρώπινον μόνος ὁ Τειρεσίας καὶ τοῦτον ἔχει παρόντα·
οἱ δὲ ἄλλοι ἀλλήλους μὲν γιγνώσκουσι κατ' ἰδιότητα

---

1 περάσαι κωλυομένας P², περάσαιην· λυομένας FP¹ | τὰς om. P¹ ‖ **3** ὅμως Heeren | τοῦ ἔνδον FP: τῶν ἔνδον Gaisford ex Aug. ‖ **5** τῶν in τὸν corr. (ante ποταμὸν) FP ‖ **6** τῶν (ante περὶ) om. P | περὶ FP: πρὶν Valckenaer ‖ **10** αὐτοὺς P ‖ **16** ἐκτὸς τοῦ P², ἐκ τούτου FP¹ ‖ **17** Μίνω ὃν P², Μίνωον FP¹ ‖ **18** τῶν ἔξω FP: corr. Canter ‖ **20** ἦν om. P ‖ **21** Ἡρακλῆν P ‖ **27** μόνον P ‖ **28** καὶ ἰδιότητα FP: corr. Heeren tamquam ex Vat.

φρονήσεως ἣν ἐν Ἅιδου κέκτηνται, τοὺς δὲ ἀνθρώπους οὐκέτι· οὐδ' ἂν φθέγξαιντο περὶ τῶν ἀνθρωπίνων τοῖς ζῶσιν ἔτι ἀνθρώποις, εἰ μὴ ἀτμοῦ μεταλάβοιεν αἵματος καὶ τούτῳ φρενωθεῖεν τὰ ἀνθρώπινα, ἃ δὴ οἱ ἔξω καὶ μὴ πιόντες τοῦ αἵματος φρονοῦσι, κατάστασιν ἔχοντες τῆς ἐξ αἱμοποσίας τῶν θνητῶν ταῖς ψυχαῖς γιγνομένης γνωρίσεως. Τειρεσίας δὲ ἔχει μὲν λογισμὸν τῶν ἀνθρωπίνων, μαντεύεται δ' οὐδ' αὐτὸς περὶ τῶν εἱμαρμένων τοῖς ζῶσι πρὶν πιεῖν τοῦ αἵματος. Οἴεται γὰρ καὶ Ὅμηρος, [καθὰ καὶ πλεῖστοι τῶν μετ' αὐτὸν ὑπέλαβον], ἐν τῷ αἵματι εἶναι τοῖς ἀνθρώποις τὴν περὶ τὰ θνητὰ φρόνησιν, ἐπεὶ καὶ τᾶν μετ' αὐτὸν πολλοὶ τοῦτο πιστοῦνται δεικνύντες ὅτι καὶ ὑπερθερμανθὲν ὑπὸ πυρετοῦ καὶ χολῆς ἀφραίνειν
[1026] ποιεῖ καὶ ἀνοηταίνειν. Ἐμπεδοκλῆς τε οὕτω φαίνεται ὡς ὀργάνου πρὸς σύνεσιν τοῦ αἵματος ὄντος λέγειν (v. 327 —329 Stein.)·

> αἵματος ἐν πελάγεσσι τεθραμμένη ἀντιθρόντος,
> τῇ τε νόημα μάλιστα κυκλίσκεται ἀνθρώποισιν,
> αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα.

Τῶν δὲ ὑπὲρ τὸν ποταμὸν διατριβουσῶν ψυχῶν πρῶται γυναῖκές εἰσι τεταγμέναι (λέγω δὲ πρώτας ⟨τὰς⟩ πλησιαζούσας τοῖς ἔξω), ἐνδοτάτω δὲ αἱ τᾶν ἀνδρῶν, καὶ λοιπὸν οἱ περὶ τὸν Ἅιδην θεοί. Διὸ καὶ πρῶται αἱ γυναῖκες πέμπονται, εἶθ' οἱ ἄνδρες καὶ τούτων οἱ τίμιοι ὕστεροι.

---

6 *αἱμοποδίας* P¹ ‖ **6. 7** *γνωρήσεως* P ‖ **9** *καθὰ – ὑπέλαβον* (10) seclusi cum Meinekio ‖ **10** *αὐτὸ* F ‖ **13** *ὅπερ* FP: *ὅτι* Heeren | *ὑποθερμανθὲν* FP: *ὑπερθερμανθὲν* Valckenaer ‖ **14** post *ἀνοηταίνειν* clausula in FP | *οὕτω φαίνεται*] *αὐτοῦ μέμνηται* Valckenaer, *οὕτω φαίνεται μεμνῆσθαι* Meineke ‖ **15** *λέγων* FP: correxi | post *λέγων* tituli instar unum versum explens P addit *Ἐμπεδοκλέους* ‖ **17** *πελάγεσι* F | *τετραμμένα* FP: *τεθραμμένη* Grotius (ad *κραδίη* referens) | *ἀντιθρῶντος* FP¹, *ἀντιθροῶντος* (i. e. supra *θρ* sprscr. *o*) P² (falso Heeren *ἀντιθροῶντος* testatur): *ἀντιθρόντος* Scaliger ‖ **18** *κικλήσκεται* FP: *κυκλίσκεται* Heeren ex Vat. ‖ **20** *πρῶτα* P ‖ **21** *τὰς* add. Heeren ‖ **22** *τοῖς* FP ‖ **23** *ἄϊδην* FP ‖ **24** *εἶτ'* FP

Τὰ μὲν οὖν κατὰ τοὺς ἀνθρώπους οὕτως αὐτῷ διατέτακται· ὑποθέμενος δὲ τοὺς κοσμικοὺς θεούς, ὧν τὰ γένη διηριθμήκαμεν, οὐ πάντῃ ἀπαθεῖς, ⟨θεοὺς⟩ καλέσας κατὰ παλαιὰν συνήθειαν [ὧν τὰ γένη ἐξεθήκαμεν], κατ' αὐτὸν μεγάλου δαίμονος ὄντος, ὃν καλεῖ Δία καὶ οἷον [1028]
ἄρχοντος τῶν ἄχρις οὐρανοῦ φθανόντων, ὑποθέμενος οὖν τούτους, καθάπερ καὶ λέγονται, ἐμπαθεῖς καὶ διὰ τοῦτο καὶ ἐπιθυμίας μετέχοντας καὶ ὀργῆς καὶ μίσους καὶ ἔχθρας καὶ ὑφ' εἱμαρμένην ὄντας, εἰκότως καὶ ἁμαρτάνειν οἴεται καὶ ψεύδεσθαι καὶ ὀμνύναι καὶ εὐορκεῖν ἢ τοὐναντίον τινὰς πλημμελεῖν εἰς τοὺς ὅρκους. Διὸ καὶ τούτων κολάσεις ὑποτίθεται, οὐ μέντοι ἀναμεμιγμένας τοῖς ἀνθρωπίνοις κολαστηρίοις, ἀλλ' ἅτε μείζονας ὄντας, μείζονος καὶ τιμωρίας πειρᾶσθαι ἀδικήσαντας. Διὸ τῶν μὲν ἀνθρωπίνων ψυχῶν ἐν Ἅιδου τὰ κολαστήρια· τῶν δ' εἰρημένων θεῶν ὑπὸ τὸν Ἅιδην ἐν τῇ Κρόνου ἐπικρατείᾳ κατὰ τὸν Τάρταρον. Διὸ καὶ τῶν Τιτάνων χῶρος οὗτος κέκληται ἀπὸ τῶν ἐν αὐτῷ τίσιν διδόντων θεῶν παρὰ τοῖς p. 132 C.
τιμωροῖς θεοῖς. Ἔνθα ὑποτίθεται καὶ τὴν Στύγα αὐτήν τε τὴν δαίμονα καὶ τὴν πηγὴν τῶν ὑδάτων αὐτῆς. Τὸν [1030]
γὰρ Κωκυτὸν καὶ τὸν Τιταρήσιον ⟨Στυγὸς⟩ ἀπορροὴν εἶναι, ἀλλ' οὐ πηγήν. Εἶναι δὲ ταύτην ἐπὶ τιμωριῶν ἀπαραίτητον ἔχουσαν δύναμιν καὶ φοβερωτάτην· καὶ ὅλως ὅπερ ἡ Ἐρινὺς ταῖς ἀδίκοις ψυχαῖς, τοῦτο τὴν Στύγα τοῖς ἀδικήσασι δαίμοσιν. Ὅτι δ' οἱ ἄταφοι ἔξω τοῦ ποταμοῦ διατρίβουσιν εἴδωλον φέροντες τοῦ σώματος καὶ τῶν ἱματίων τοῦ σώματος, δηλοῖ τὰ τοιαῦτα (Ψ 65—67)·

ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο

---

3 *θεοὺς* addidi, postquam *θεοὺς δὲ* addidit Heeren ‖ **4** *ὧν – ἐξεθήκαμεν* seclusit Meineke cum Heereno qui etiam *κατ' αὐτὸν* (4. 5) seclusit ‖ **5** *δαίμονος ὅσον τόσον* FP: *δαίμονος ὄντος, ὃν* Heeren ‖ **10** *εὐορκεῖν* P ‖ **13** *ἅτε μείζονας* P^2, *ἀτενίζοντας* FP^1 ‖ **17** *Τιτάνων* FP | *οὗ τε* P^1: *οὕτω* Heeren ‖ **21** *Στυγὸς* add. Heeren ‖ **22** *πηγήν* P^2 mrg, *πηγάς* F, *πήγασον* P^1 ‖ **27** *ἁμαρτημάτων* FP: *ἱματίων* scripsi, *ἀμφιεσμάτων* Meineke, *εἱμάτων* Heeren; praestat fort. *γνωρισμάτων* cf. p. 427, 12. 13.

πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' εἰκυῖα,
καὶ φωνήν· καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο.

Εἶτα λέγει (71)·

θάπτε με, ὅττι τάχιστα πύλας Ἀίδαο περήσω.

Εἴρηται δέ, ὅτι τὰ ἔνδον τοῦ ποταμοῦ Ἅιδα προσαγορεύει· καλεῖται δὲ καὶ τὰ ἔξω ποταμοῦ, ὡς ἐδείκνυμεν, [ἐν] Ἅιδου δόμοι·

ἀλλ' αὕτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἅιδος δῶ (Ψ 74).

[1032] *Τί οὖν πάσχουσι, φησίν·*

⟨τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,⟩
οὐδέ μέ πως μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσι (Ψ 72. 73).

Ὅτι δὲ ὑπερβᾶσαι τὸν ποταμὸν οὔτε γνωρίζουσι τοὺς ζῶντας, οὔτε ἐξουσίαν ἔχουσι τούτοις ἐπιφαίνεσθαι, ἐὰν μὴ πεμφθῶσιν, ἐπάγει (Ψ 75. 76)·

καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι, οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀίδαο, ἐπήν με πυρὸς λελάχητε.

Φαίνεται οὖν ἡ ἄταφος μεμνημένη τῶν κατὰ τὸν βίον καὶ γλιχομένη αὐτοῦ καὶ διὰ τοῦτ' ὀδυρομένη· οὕτω δεινὴ ἡ κόλασις τοῖς οὕτω δι' αἰῶνος κολαζομένοις· οὕτω καὶ Ἑλπήνωρ (λ 61)·

ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος ὕπνος.

Καὶ εἰπὼν ἃ πέπονθεν ἀξιοῖ ταφῆναι, ἱκετεύων καὶ δεόμενος (66. 72. 73)·

---

1 *κάλλ'* FP ‖ **2** *τοῖς* F | *ἕστο* P² Hom., *ἔστο* P¹, *ἕστω* (supra *ω* sprscr. *ο*) F ‖ **4** *ὅττι* P² Hom., *ὅτι* FP¹ ‖ **5** *ἄιδα* P², *ἀίδου* FP¹ | post *προσαγορεύει* add. v. 11 FP: transposuit Heeren ‖ **6** *ἐν* seclusit Heeren ‖ **8** h. v. post *πάσχουσί φησιν* (9) habent FP: transposuit Heeren | *εὐρυπυλὲς* Hom., *εὐρυπελὲς* FP | *γᾴιδος* P ‖ **10** *τῆλε – καμόντων* add. Heeren ‖ **11** h. v. hic om. FP, sed habent supra v. 5 ubi vide | *μέ πως* Hom., *τά επω* F (in ras.), *με* P ‖ **13** *ἐξουσίας* FP: corr. Heeren ‖ **14** *πεμφῶσιν* P | *ἐπάγειη* FP: corr. Canter ‖ **16** *νίσσομαι* P, *νίσομαι δ'* F | *λελάχητε* Hom., *λελάχηται* FP ‖ **17** *τῷ κατὰ* F ‖ **19** *οὕτω* ante *δι' αἰῶνος* del. Meineke ‖ **21** *ὕπνος* FP, *οἶνος* Hom.

νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι οὐ παρεόντων, μή μ' ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν, νοσφισθείς, μήτοι τι θεῶν μήνιμα γένωμαι.

54 (49 H.) *Ἐν ταὐτῷ.*

Τὰ μὲν οὖν ἀνθρώπεια καὶ ὅλως τοὺς ζῶντας ἀγνοοῦσιν, ἀλλήλους δὲ ἴσασιν. Εἰ γὰρ μὴ τοῦτο εἶχον, πῶς ἂν ἦλθον σὺν Ἀγαμέμνονι πάντες οἱ ἅμα ἀνηρημένοι; Πῶς δὲ συνελάλει Πάτροκλος καὶ Αἴας καὶ Ἀντίλοχος; [1034] *Πῶς δ' εἴργουσι τοὺς ἀτάφους μὴ πέραν τοῦ ποταμοῦ διελθεῖν; Λέγει δὲ* (Ψ 72)·

τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων.

Συναποτέθειται δ' αὐτοῖς ἅμα τῇ μνήμῃ καὶ τὰ γνωρίσματα τῶν περὶ τὸ σῶμα οἰκείων, ὃ καὶ δῆλον ὅτι διὰ φαντασίας τὰ περὶ τὸ σῶμα δείκνυσι. Διὰ γὰρ μνήμης ἡ φαντασία, ὡς Πλάτων ἐν Φιλήβῳ (p. 39[A]) *φησί· μνήμης δὲ ἀφῃρημένης ἦρται καὶ τὸ φαντασιούμενον, οὗ συνεκλιπόντος καὶ τὰ πάθη τὰ περὶ τὸ σῶμα τῆς ψυχῆς συνεξῆρται. Τούτων δὲ ἐκλελοιπότων καὶ ἡ κόλασις τῆς ψυχῆς πέπαυται, νοερᾶς μόνον οὔσης περὶ αὐτὴν κατάστάσεως καὶ παρὰ τῷ φρονίμῳ θεῷ διατριβούσης.*

Πρὸς δὲ τὰ εἰρημένα ἴσως ἄν τις ἀπορήσειε, πῶς, εἰ μὴ ἀλλήλας ἀγνοοῦσιν, ἔφη (κ 495)·

ταὶ δὲ σκιαὶ ἀίσσουσι.

Πρὸς ὃ ῥητέον, ὅτι σκιαὶ ἀίσσουσι πρὸς τούτους [πρὸς] [1036] *ὧν καὶ τὴν μνήμην ἀφῄρηνται. Πρὸς οὖν τὰ θνητά εἰσι*

---

1 σ' ἐγὼν F | ὄπιθεν Hom., ὄπισθεν FP ‖ **2** ἄκλαυστον P | ὄπισθεν FP ‖ **3** μήτοι τι Hom., μήτι τοι FP ‖ **4** lemma in textu FP habent ‖ **5** ἀνθρώπια FP: corr. Canter, ἀνθρώπινα Heeren cum Vat. Aug. ‖ **6** an ἀλλήλας coll. v. 22? ‖ **7** οἱ om. P[1] | ἅμα om. P ‖ **8** συνεκάλει FP: συνελάλει cum Cant. interp. Heeren (qui etiam servato συνεκάλει coni. Αἴαντα καὶ Ἀντίλοχον) ‖ **9** ἀτάφους P[2], τάφους FP[1] ‖ **10** δὲ PP: γὰρ Heeren (potuit δὴ) ‖ **11** τῆλε Hom., τῆδε FP ‖ **12** an αὐταῖς? ‖ **15** Φιλήφῳ P[1] ‖ **16. 17** συνεκλείποντος FP: corr. Meineke ‖ **18** συνεξήρηται F, συνεξήρηται P: corr. Heeren ‖ **23** τὰς P[1] | σκιὰς P ‖ **24** πρὸς ἃ Heeren | ante σκιαὶ add. αἱ Heeren | πρὸς ante ὧν (25) seclusi

σκιαὶ διὰ τὴν ἀσωματίαν καὶ ἀμνημοσύνην αὐτῶν, ὥς που καὶ πρὸς τὴν παχύτητα τοῦ σώματος ἡ ψυχὴ παραβαλλομένη καπνῷ ὡμοίωται·

ψυχὴ δ' ἠΰτε καπνὸς
ᾠχετο τετριγυῖα (Ψ 100. 101).

Εἰ δὴ τοῖς οἰκείοις ἐντυγχάνοντες οὔτε ὁρῶσιν αὐτοὺς οὔτε προσδιαλέγονται, ἀνενέργητοι δέ εἰσιν αἰσθητικὴν ἐνέργειαν, πρὸς αὐτοὺς ἐοικότες εἶεν ⟨ἂν⟩ ταῖς σκιαῖς· ἡ γοῦν Ἀντίκλεια

p. 133 C. ἦ δ' ἀκέουσ' ἧσται σχεδὸν αἵματος, οὐδὲ ὃν υἱὸν
ἔτλη ἐσάντα ἰδεῖν οὐδὲ προτιμυθήσασθαι (λ 142. 143).

Τὸ δ' αἷμα, ὡς ἔφημεν, ὁλκὸν Ὅμηρος ἡγεῖται τῆς φαντασικῆς καὶ μνημονικῆς ψυχῆς, ἧς καὶ ὁ λογισμός, συναγερμὸς ὢν μνήμης διὰ φαντασιῶν εἰς τὰ καθόλου κρίματα κεφαλαιουμένης. Ἄλλο δ' ἦν τὸ διανοητικόν, εἰς
[1038] ὃ ἀνατρέχει ⟨ἡ⟩ ψυχὴ ἔσω τοῦ Ἀχέροντος γενομένη, ὃν Κωκυτὸς πληροῖ καὶ Πυριφλεγέθων, ἐκ πέτρας ῥέοντες καὶ Στυγείων φόβων ἀπόρροιαι (κ 512 sq.). Ἀποστέλλονται δὲ εἰς τοὺς ἀτμοὺς τοῦ αἵματος ὑπὸ Περσεφόνης· ἀδύνατον γὰρ ἐλθεῖν χωρὶς τοῦ πεμφθῆναι πρὸς τῶν ἐφεστώτων. Διὸ καὶ ἐπεύχεται

ἰφθίμῳ τ' Ἀίδῃ καὶ ἐπαινῇ Περσεφονείῃ (λ 47).

Ἡ δὲ ἀποστέλλει πρώτας τὰς γυναῖκας, ὡς ἂν πλησίον οἰκούσας τοῦ Ἀχέροντος καὶ ἡττωμένας τῶν ἀνδρικῶν

---

2 ταχύτητα P ‖ **4** ἄντε F ‖ **5** τετρηγυῖα FP ‖ **7** ἀνέργητοι P^1 ‖ **8** ἢ ἐν FP: εἶεν Canter mrg | ἂν add. Meineke ‖ **9** ἤγουν FP: ἡ γοῦν Meineke | ἀντικλέα F ‖ **10** η δ' ἀκέουσ' ἦσται Hom., ἡ δὲ κλαίουσα (κλέουσα P) ἔστη FP | ἡ δ' secludit Meineke, sive ἤγουν Ἀντίκλεια (9) delet | post ἡ δ' transponit Gaisford ἤγουν Ἀντίκλεια | οὐδὲ ὃν Hom., οὐδ' ἐὸν FP ‖ **11** ἔτλη Hom., ἔγνω FP | οὐ P | προτιμηθήσασθαι F ‖ **12** ἔφαμεν Meineke | ἡγεῖτο Heeren ‖ **13** καὶ μνημονικῆς om. P ‖ **13. 14** ⟨concinnius esset συναγερτικός⟩ Meineke ‖ **15. 16** εἰς ὃ F, εἰς δὲ P ‖ **16** ἡ add. Heeren | ἔξω FP: corr. Heeren | ἀχερόοντος γενόμενον P ‖ **21** fort. post ἐφεστώτων addendum θεῶν ‖ **22** ἀίδι F ‖ **23** ὡς δὴ malit Meineke ‖ **24** ἡττωμένης τῆς ἀνδρικῆς FP: corr. Heeren

ψυχῶν. Αἱ γὰρ δὴ τῶν ἀνδρῶν ἐν τῷ ἀκραιφνεῖ σκότῳ διάγουσι, πόρρω τοῦ ποταμοῦ καὶ τῶν κολαζομένων οὖσαι. Ὧν πάντων πολλῆς θεοσοφίας γεμόντων ἡμεῖς ἐπιτρέχομεν, διὰ τὸ μὴ νῦν περὶ τούτων εἶναι τὴν πρόθεσιν, χάριν δὲ καὶ τῆς κατὰ τὴν Στύγα ἐξηγήσεως ἀναγκαίως παρειλῆφθαι.

55 (50 H.) *Πορφυρίου ἐκ τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν* (p. 76 Holsten.).

*Ὥσπερ τὸ ἐπὶ γῆς εἶναι ψυχῇ ἐστι, οὐ τὸ γῆς ἐπιβαίνειν ὡς τὰ σώματα, τὸ δὲ προεστάναι σώματος ὃ γῆς ἐπιβαίνει, οὕτω καὶ ἐν Ἅιδου εἶναί ἐστι ψυχῇ, ὅταν προ- [1040]
εστήκῃ εἰδώλου φύσιν μὲν ἔχοντος εἶναι ἐν τόπῳ, σκοτει⟨νὴν⟩ δὲ τὴν ὑπόστασιν κεκτημένου· ὥστ᾽ ἐπεὶ ὁ Ἅιδης ὑπόγειός ἐστι τόπος σκοτεινός, ἡ ψυχὴ καίπερ οὐκ ἀποσπωμένη τοῦ ὄντος ἐν Ἅιδου γίγνεται ἐφελκομένη τὸ εἴδωλον. Ἐξελθούσῃ γὰρ αὐτῇ τοῦ στερεοῦ σώματος τὸ πνεῦμα συνομαρτεῖ, ὃ ἐκ τῶν σφαιρῶν συνελέξατο. Ἐκ δὲ τῆς πρὸς τὸ σῶμα προσπαθείας τὸν λόγον ἔχουσα τὸν μερικὸν προβεβλημένον, καθ᾽ ὃν σχέσιν ἔσχε πρὸς τὸ ποιὸν σῶμα ἐν τῷ βιοῦν, ἐκ τῆς προσπαθείας ἐναπομόργνυται τύπος τῆς φαντασίας εἰς τὸ πνεῦμα καὶ οὕτως ἐφέλκεται τὸ εἴδωλον. Ἐν Ἅιδου δὲ λέγεται, ὅτι τῆς ἀειδοῦς φύσεως ἐτύγχανε τὸ πνεῦμα καὶ σκοτεινῆς.*

Ἐπεὶ δὲ διήκει τὸ βαρὺ πνεῦμα καὶ ἔννυγρον ἄχρι τῶν ὑπογείων τόπων, οὕτω καὶ αὕτη λέγεται χωρεῖν ὑπὸ γῆν· οὐχ ὅτι ἡ ἄυλος οὐσία μεταβαίνει τόπους καὶ ἐν

---

1 *ψυχῆς* F, *ψωνῆς* P: corr. Heeren ‖ **2** *διὰ τοὺς* FP: *διάγουσι* Canter mrg | *ὄντας* FP: *οὖσαι* scripsi, *ὄντων* Heeren ‖ **3** *φιλοσοφίας* F ‖ **7** *νοήματα* FP: corr. Heeren ‖ **9** *ψυχὴ* FP: *ψυχῇ* Holsten, *ψυχῆς* Heeren | *οὐ τῷ* P², *οὕτω* FP¹: *οὐ τὸ* Holsten ‖ **10** *τὸ δὲ* FP¹, *τῷ δὲ* P² ‖ **11** *ὑπερβαίνει* P | *ψυχὴ* FP: *ψυχῇ* Holsten, *ψυχῆς* Heeren ‖ **11. 12** *προεστήκοι* FP: corr. Gaisford, *προεστήκει* Holsten ‖ **12** *τόπῳ* F, *τῷ* P ‖ **12. 13** *σκότει* FP: *σκοτεινὴν* scripsi coll. v. 23, *σκοτώδη* Heeren ‖ **13** *ὥστε εἰ* FP: *ὥστ᾽ ἐπεὶ* scripsi ‖ **14** ante *ὑπόγειος* iterat *ὁ* P ‖ **17** *συνομαρτεῖ* P², *συναμαρτεῖ* FP¹ ‖ **18** *ἐχούση* FP (Holsten): *ἔχουσα* Heeren ‖ **20** *τοιὸν* FP: corr. Meineke ‖ **25** *λέγετου* P¹ ‖ **26** *αὐτὴ* FP: *ἄυλος* scripsi

τόποις γίγνεται, ἀλλ᾽ ὅτι τῶν πεφυκότων σωμάτων τό-
[1042] πους μεταβαίνειν καὶ εἰληχέναι τόπου σχέσεις ἀναδέ-
χεται, δεχομένων αὐτὴν κατὰ τὰς ἐπιτηδειότητας τῶν
τοιούτων σωμάτων ἐκ τῆς κατ᾽ αὐτὴν ποιᾶς διαθέσεως·
ὡς γὰρ ἂν διατεθῇ, εὑρίσκει σῶμα τάξει καὶ τοῖς οἰκείοις
διωρισμένον. Διὸ καθαρώτερον μὲν διακειμένῃ σύμφυτον
τὸ ἐγγὺς τοῦ ἀύλου σῶμα, ὅπερ ἐστὶ τὸ αἰθέριον· προ-
ελθούσῃ δὲ ἐκ λόγου εἰς φαντασίας προβολὴν σύμφυτον
τὸ ἡλιοειδές· θηλυνθείσῃ δὲ καὶ παθαινομένῃ πρὸς τὸ
εἶδος παράκειται τὸ σεληνοειδές· πεσούσης δὲ εἰς σώ-
ματα, ὅταν κατὰ τὸ αὐτῆς ἄμορφον στῇ εἶδος ἐξ ὑγρῶν
ἀναθυμιάσεων συνεστηκότα, ἄγνοια ἕπεται τοῦ ὄντος
τελεία καὶ σκότωσις καὶ νηπιότης. Καὶ μὴν καὶ ἐν τῇ
ἐξόδῳ ἔτι κατὰ τὴν δίυγρον ἀναθυμίασιν τὸ πνεῦμα
ἔχουσα τεθολωμένον, σκιὰν ἐφέλλεται καὶ βαρεῖται, χω-
ρεῖν σπεύδοντος τοῦ τοιούτου πνεύματος εἰς μυχὸν τῆς
γῆς φύσει, ἂν μὴ ἄλλη τις αὐτὸ αἰτία ἀνθέλκῃ. Ὥσπερ
οὖν τὸ γεῶδες ὄστρεον περικειμένῃ ἀνάγκη ἐπὶ γῆς ἐνί-
σχεσθαι, οὕτω καὶ ὑγρὸν πνεῦμα ἐφελκομένῃ εἴδωλον
περικεῖσθαι ἀνάγκη. Ὑγρὸν δὲ ἐφέλκεται, ὅταν συνεχῶς
p. 134 C. μελετήσῃ ὁμιλεῖν τῇ φύσει, ἧς ἐν ὑγρῷ τὸ ἔργον καὶ
ὑπόγειον μᾶλλον. Ὅταν δὲ μελετήσῃ ἀφίστασθαι φύ-
[1044] σεως, αὐγὴ ξηρὰ γίγνεται, ἄσκιος καὶ ἀνέφελος. Ὑγρό-
της γὰρ ἐν ἀέρι νέφος συνίστησι· ξηρότης δὲ ἀπὸ τῆς
ἀτμίδος αὐγὴν ξηρὰν ὑφίστησιν.

56 (51 H.) *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 63 B. C).

Ἐγὼ γάρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ
ᾤμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε
καὶ ἀγαθούς, ἔπειτα παρ᾽ ἀνθρώπους τετελευτηκότας

---

1 num *σωμάτων πεφυκότων*? ‖ **2** *τόπου* FP: *τόπους* vulg. cum Cant. et Holsten ‖ **4** *τοιούτων* om. Heeren ‖ **5** *διετέθη* FP: corr. Meineke ‖ **9** *ὑλοειδὲς* P | *θηλυνθείσῃ* P², *λυθυνθείσῃ* FP¹ ‖ **10—13** cf. Porph. antr. nymph. 11 ‖ **15** *ἐχούσῃ* FP: corr. Canter mrg ‖ **16. 17** post *τῆς γῆς* iterat F *τὸ πνεῦμα* (14) – *τῆς γῆς* (16. 17) ‖ **21** et **22** *μελετήσει* F ‖ **25** *ὑφίστησι* F, *ὑφίστασιν* P ‖ **27** *διμμία* P ‖ **29** ante *παρ᾽* add. *καὶ* Plat.

ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν οὐκ ἀγανακτῶν τῷ θανάτῳ· νῦν δέ, εὖ ἴστε, παρ᾽ ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς· καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διισχυρισαίμην· τὸ μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην ἂν καὶ τοῦτο. Ὥστε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλὰ εὐελπίς εἰμι, ⟨εἶναί τι⟩ τοῖς τετελευτηκόσι· καί, ὥσπερ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς.

57 (52 H.) Ἐν ταὐτῷ (p. 80[D]—82[C]).

Ἡ δὲ ψυχὴ ἆρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα τῇ ἐμῇ ψυχῇ ἰτέον, αὖτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὡς φασιν οἱ πολλοὶ ἄνθρωποι; Πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης τε καὶ Σιμμία, ἀλλὰ πολλῷ μᾶλλον ὧδε ἔχει· ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος συνεφέλκουσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ φεύγουσα αὐτὸ καὶ συνηθροισμένη αὐτὴ εἰς αὑτήν, ἅτε μελετῶσα ἀεὶ τοῦτο, τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως· ἢ οὐ τοῦτ᾽ ἂν εἴη ἡ μελέτη θανάτου; — Παντάπασί γε. — Οὐκοῦν οὕτω μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον, οἷ ἀφικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι, πλάνης καὶ ἀνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ, ὥσπερ δὲ

---

2 post ἴστε add. ὅτι Plat. ‖ 3 διισχυρησαίμην P[2], διισχυρισάμην F, διισχυρησάμην P[1] ‖ 4 τὸ FP, ὅτι Plat. | ἥξειν seclusit Hirschig ‖ 7 ante εὐελπις Gaisford add. καὶ (ex Aug.?) | εἶναί τι add. Gaisford ex Plat. ‖ 10 lemma F mrg, P in textu habet ‖ 14 post αὐτίκα add. καὶ Plat. ‖ 14. 15 δὲ δὴ etiam FP ‖ 19 καθ᾽ αρ᾽ απαλλάττηται P ‖ 21. 22 αὐτὴ εἰς αὑτήν om. Plat. praeter *Ebd* ‖ 22 αὑτὴν Plat., αὐτὴν FP ‖ 24 ἡ om. Plat. ‖ 25 αὐτῇ Plat., αὐτὴ FP ‖ 27 αὐτῇ Plat., αὐτὴ FP Plat. *C* | εὐδαίμων P[1] ‖ 29 ἀνθρωπίνων Plat. *CDE*

λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸ λοιπὸν μετὰ θεῶν διάγουσα; Οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως; — Οὕτω νὴ Δι', ἔφη ὁ Κέβης. — Ἐὰν δέ γε, οἶμαι, μεμιασμένη καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα καὶ τοῦτο θεραπεύουσα καὶ ἐρῶσα καὶ γεγοητευμένη ὑπ' αὐτοῦ ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς ἀλλ' ἢ τὸ σωματοειδές, οὗ τις ἂν ἅψαιτο καὶ ἴδοι καὶ πίοι καὶ φάγοι καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο, τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες καὶ ἀειδές, νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετόν, τοῦτο δὲ εἰθισμένη μισεῖν τε καὶ τρέμειν καὶ φεύγειν, οὕτω δὴ ἔχουσαν οἴει ψυχὴν αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι; — Οὐδ' ὁπωστιοῦν, ἔφη. — Ἀλλὰ διειλημμένην γε οἶμαι ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία τε καὶ συνουσία τοῦ σώματος διὰ τὸ ἀεὶ ξυνεῖναι καὶ διὰ τὴν πολλὴν μελέτην ἐνεποίησε ξύμφυτον; — Πάνυ γε. — Ἐμβριθὲς δέ γε, ὦ φίλε, τοῦτο οἴεσθαι χρὴ εἶναι καὶ βαρὺ καὶ γεῶδες καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη
p. 135 C. ψυχὴ βαρύνεταί τε καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φόβῳ τοῦ ἀειδοῦς τε καὶ Ἅιδου, ὥσπερ λέγεται, περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους κυλινδουμένη, περὶ ἃ δὴ καὶ ὤφθη [καὶ] ἄττα ψυχῶν σκιοειδῆ φάσματα, οἷα περιέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι ἀλλὰ τοῦ ὁρατοῦ μετέχουσαι· διὸ καὶ ὁρῶνται. — Εἰκός γε, ὦ Σώκρατες. — Εἰκὸς μέντοι [γε], ὦ Κέβης· καὶ οὔ τί γε τὰς τῶν ἀγαθῶν ταύτας εἶναι, ἀλλὰ τὰς τῶν φαύλων, αἳ περὶ τὰ τοιαῦτα ἀναγκάζονται πλα-

---

1 τὸν λοιπὸν χρόνον Plat. ‖ **2** post μετὰ add. τῶν Plat. praeter *Eb* | διάτουσα P¹ | ἢ ἄλλως – ὁ Κέβης (3) om. F ‖ **4** ἀπαλάττηται Plat., ἀπηλάττηται FP ‖ **6** τε (τ corr. ex γ) F ‖ **8** ὅστις P ‖ **11** τοῦτο δὲ εἰθισμένη Plat., τὸ δὲ εἰθισμένον FP ‖ **12** οἴη P ‖ **13** ἀπαλλάξασθαι P et Plat. *D* | ἀλλὰ καὶ Plat. praeter *Eb* ‖ **14** αὐτῇ ἡ ὁμιλία Plat., αὕτη ὁμολογία FP ‖ **16** ἐνεποίησε Plat., ἣν ἐποίησε FP ‖ **19** βαρύνεταί γε P ‖ **20** ἀειδοῦς τε Plat., ἀειδούς δε F, ἀειδοὺς δὲ P | ἄλλου F ‖ **22** καὶ post ὤφθη om. Plat.: seclusi | ἄττα Plat. | φαντάσματα Plat. ‖ **23** παρέχονται Plat. ‖ **24** μετέχουσα P¹ ‖ **25** γε (ante ὦ) om. Plat.: seclusi ‖ **26** οὔ τί Plat. *B*, οὔ τι FP² Plat. *CDE*, ὄντι P¹ ‖ **27** αἳ Plat., αἱ F, καὶ P

νᾶσθαι δίκην τίνουσαι ⟨τῆς προτέρας τροφῆς κακῆς οὔσης· καὶ μέχρι γε τούτου πλανῶνται,⟩ ἕως ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα. Ἐνδοῦνται δέ, ὥσπερ εἰκός, εἰς τοιαῦτα ἤθη ὁποῖα ἄττ' ⟨ἂν⟩ καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. — Τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; — Οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβουμένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι· ἢ οὐκ οἴει; — Πάνυ μὲν οὖν εἰκὸς λέγεις. — Τοὺς δέ γε ἀδικίας τε καὶ τυραννίδας καὶ ἁρπαγὰς πάσας προτετιμηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη· ἢ ποῖ ἂν ἄλλοσέ φαμεν τὰς τοιαύτας ἰέναι; — Ἀμέλει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα. — Οὐκοῦν, ἦ δ' ὅς, δῆλα δὴ καὶ τὰ ἄλλα, οἷ ἂν ἕκαστα ἴοι κατὰ τὰς [τῶν] αὐτῶν ὁμοιότητας τῆς μελέτης; — Δῆλον δή, ἔφη· πῶς δ' οὔ; — Οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσὶ καὶ εἰς βέλτιστον τόπον ἰόντες οἱ τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες ἣν δὴ καλοῦσι σωφροσύνην καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν ἄνευ φιλοσοφίας τε καὶ νοῦ; — Πῇ δὴ εὐδαιμονέστατοι; — Ὅτι τούτους εἰκός ἐστιν εἰς τὸ τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικὸν καὶ ἥμερον γένος, ἤ που μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς ταὐτόν γε πάλιν τὸ ἀνθρώπινον γένος, καὶ γίγνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους. — Εἰκός.

---

1 *τείνουσαι* P | *τῆς προτέρας – πλανῶνται* (2) om. FP ‖ **5** *ἄττ' ἂν* Plat., *ἄττα* FP | *καὶ* etiam FP ‖ **6** *δὴ ταῦτα* iterat F ‖ **7** ante *γαστριμαργίας* add. *τὰς* P ‖ **7. 8** *φιλοποσίας* Plat., *φιλοποτίας* FP ‖ **8** *διευλαβημένους* Plat. *b* ‖ **11** *ἔρεις* (*ἔρις* P) *πάσας* FP, *ἁρπαγὰς* Plat. ‖ **12** *ἰκτίνων* P in ras. Plat., *ἐκ τίνων* F ‖ **13** *ποῖ ἂν* Plat., *ποίαν* FP | *ἄλλοσε* Plat., *ἀλλ' ὅσα* FP | *φαμὲν* F Plat., *μὲν* P | *τὰς* om. P | *εἶναι* Plat. praeter *Eb* ‖ **14** *ὦ Κέβης* P | *οὐκοῦν* Plat., *οὐκ ἦν* FP ‖ **15** *δηλαδὴ* FP Plat. ‖ **15. 16** *οἷ ἂν ἕκαστα ἴοι, κατὰ τὰς αὐτῶν* Plat., *ἢ ἂν ἕκαστα ἐοικότα τὰς τῶν αὐτῶν* FP ‖ **18** *τε* om. Plat. praeter *Eb* ‖ **19** *ἣν δὲ* P ‖ **20** *τε καὶ δικαιοσύνην* Plat. ‖ **21** post *δὴ* add. Plat. *οὗτοι* ‖ **22** *ὅτι* etiam Plat. *Eb* Euseb., *ὅτι οὐ* Plat. *BD* | *τούτους* Plat., *τούτοις* FP | *τὸ* om. Plat. ‖ **23** *πολιτικόν τε καὶ* Plat. praeter *E* ‖ **24** *γε* Plat., *τε* FP

— *Εἰς δέ γε θεῶν γένος μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ ἀπιόντι οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ ἢ τῷ φιλομαθεῖ.*

58 (53 H.) Ἐν ταὐτῷ (p. 107[B]—114[D]).

Ἀλλὰ τό γ' ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι ὅτι, εἴπερ ἡ ψυχὴ ἀθάνατος, ἐπιμελείας δὴ δεῖται, οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός, καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. Εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ⟨ἂν⟩ ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι καὶ τῆς αὑτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν δέ, ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ σωτηρία πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. Οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρχεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς, ἃ δὴ καὶ λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. Λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων ὅσπερ ζῶντα εἰλήχει, οὕτως ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον, οἷ δεῖ τοὺς συλλεγέντας διαδικασαμένους εἰς Ἅιδου πορεύεσθαι μετὰ ἡγεμόνος ἐκείνου ᾧ δὴ προστέτακται
p. 136 C. *τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι· τυχόντας δὲ ἐκεῖ ὧν δεῖ τυχεῖν καὶ μείναντας ὃν χρὴ χρόνον ἄλλος δεῦρο πάλιν ἡγεμὼν κομίζει ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. Ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος* (fr. 235

---

1 θεῶν Plat., ὧν FP ‖ **2** ἄλλῳ ἢ etiam Plat. *Ed*, ἀλλ' ἢ Plat. *BCD* ‖ **4** lemma F mrg, P in textu habet ‖ **5** τόδε γ' Plat. praeter *E* ‖ **6** ἀθάνατός ἐστιν Plat. *Ebd* ‖ **8** νῦν δὲ F | δόξει P ‖ **9** ante δεινὸς add. μάλιστα Plat. *E* | ἀμελήσειεν Plat. *Eb* ‖ **10** ἂν addidi e Plat. ‖ **11** κακοῖς Plat., κακῶς FP ‖ **12** αυτῶν Plat. *B*: αὐτῶν FP Plat. *CDE* ‖ **13** αὐτῇ Plat., αὐτῆ (ῆ corr. ex ὴ) F, αὐτὴ P ‖ **17** μέγιστα λέγεται Plat. | μάλιστα P ‖ **20** ὥσπερ etiam Plat. *C*, ὅσπερ Plat. *c* | οὕτος Plat. ‖ **21** δεῖ Plat., δὴ FP ‖ **23** ἐνθένδε P | πορεύεσαι P | ἐκεῖ ὧν Plat. *e*, ἐκεῖνον FP, ἐκείνων ὧν Plat. *BCDE* | δεῖ Plat., δὴ FP ‖ **25** χρόνους P[1], χρόνοις P[2], χρόνων Plat. *E*

Nauck.) λέγει· ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμόν φησιν εἰς Ἅιδου φέρειν, ἣ δ' οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι. Οὐδὲν γὰρ ἂν ἡγεμόνων ἔδει· οὐ γάρ πού τις ἂν ἁμάρτοι οὐδαμόσε μιᾶς οὔσης ὁδοῦ. Νῦν δὲ ἔοικε σχίσεις τε καὶ περιόδους πολλὰς ἔχειν· ἀπὸ τῶν θυσιῶν τε καὶ νομίμων τῶν ἐνθάδε τεκμαιρόμενος λέγω. Ἡ μὲν οὖν κοσμία τε καὶ φρόνιμος ψυχὴ ἕπεταί τε καὶ οὐκ ἀγνοεῖ τὰ παρόντα· ἡ δ' ἐπιθυμητικῶς τοῦ σώματος ἔχουσα, ὅπερ ἐν τῷ ἔμπροσθεν εἶπον, περὶ ἐκεῖνο πολὺν χρόνον ἐπτοημένη καὶ περὶ τὸν ὁρατὸν τόπον, ἄλλα ἀντιτείνασα καὶ πολλὰ παθοῦσα, βίᾳ καὶ μόλις ὑπὸ τοῦ προστεταγμένου δαίμονος οἴχεται ἀγομένη. Ἀφικομένην δὲ ὅθι περ ἄλλαι, τὴν μὲν ἀκάθαρτον καί τι πεποιηκυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην ἢ ἄλλ' ἄττα τοιαῦτα εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑποκρύπτεται καὶ οὔτε ξυνέμπορος οὔτε ἡγεμὼν ἐθέλει γίγνεσθαι· αὕτη δὲ πλανᾶται ἐν πάσῃ ἐχομένη ἀπορίᾳ, ἕως ἂν δή τινες χρόνοι γένωνται, ὧν ἐλθόντων ὑπ' ἀνάγκης φέρεται εἰς τὴν αὐτῇ πρέπουσαν οἴκησιν· ἡ δὲ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα καὶ ξυνεμπόρων καὶ ἡγεμόνων θεῶν τυχοῦσα ᾤκησε τὸν αὐτῇ ἑκάστη τόπον προσήκοντα. Εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι· καὶ αὕτη οὔτε οἷα οὔτε ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπὸ [δέ] τινος πέπεισμαι. — Καὶ ὁ Σιμμίας, Πῶς ταῦτα, ἔφη, λέγεις, ὦ Σώκρατες; περὶ γάρ τοι γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκή-

---

1 ἁπλῆν οἶμον etiam FP ‖ 3 οὐδὲν FP, οὐδὲ Plat. ‖ 4 ἁμάρτῃ P, διαμάρτοι Plat. | οὐδαμόσε Plat., οὐδ' ὁμόσε P, οὐδ' ὁμόσαι F | ὁδοῦ οὔσης Plat. ‖ 5 θυσιῶν etiam Plat. *E, d* mrg, ὁσίων Plat. cet. ‖ 6 μὲν οὖν etiam Plat. *Ebd*, μὲν Plat. cet. ‖ 10 ἄλλα F, ἀλλὰ P, πολλὰ Plat. ‖ 11 μόγις Plat. ‖ 12 ἀφικομένην Plat., ἀφικομένη FP ‖ 12. 13 οἴπερ Cobet ‖ 13 αἱ ἄλλαι Plat. | τὴν μὲν γὰρ P | καί τοι P ‖ 16 τυγχὰν P ‖ 16. 17 ὑπεκτρέπεται Plat. ‖ 18 αὐτὴ Plat. ‖ 22 θεῶν etiam Plat. *Ecd* ‖ 24 καὶ αὐτὴ Plat. | ὅση Plat., αὕτη FP ‖ 25 δέ om. Plat.: seclusi ‖ 27 γῆς etiam Plat. *BCD* | δὴ om. P

κοα, οὐ μέντοι ταῦτα ἅ σε πείθει· ἡδέως οὖν ⟨ἂν⟩ ἀκούσαιμι. — Ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχ ἡ Γλαύκου τέχνη γέ μοι δοκεῖ εἶναι διηγήσασθαι ἅ τε ἐστίν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην, καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ' ἂν οἷός τε εἴην, ἅμα δέ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμός, ὦ Σιμμία, τῷ μήκει οὐκ ἐξαρκεῖν. Τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν πέπεισμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς οὐδέν με λέγειν κωλύει. — Ἀλλ', ἔφη ὁ Σιμμίας, καὶ ταῦτα ἀρκεῖ. — Πέπεισμαι τοίνυν, ἦ δ' ὅς, ἐγώ, ὡς πρῶτον μὲν γῆ ἐστιν ἐν μέσῳ τοῦ οὐρανοῦ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε ἀέρος πρὸς τὸ μὴ πεσεῖν μήτε ἄλλης ἀνάγκης μηδεμιᾶς τοιαύτης, ἀλλ' ἱκανὴν εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ αὐτῷ πάντῃ καὶ τῆς γῆς αὐτῆς τὴν ⟨ἰσορροπίαν⟩· ἰσόρροπον γὰρ πρᾶγμα ὁμοίου τινὸς ἐν μέσῳ τεθὲν οὐχ ἕξει μᾶλλον οὐδ' ἧττον οὐδαμόσε κλιθῆναι, ὁμοίως δ' ἔχον ἀκλινὲς μένει. Πρῶτον μέν, ἦ δ' ὅς, τοῦτο πέπεισμαι. — Καὶ ὀρθῶς γε, ἔφη ὁ Σιμμίας. — Ἔτι τοίνυν, ἔφη, πάμμεγά τι εἶναι αὐτό· καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων στηλῶν ἀπὸ Φάσιδος ἐν μικρῷ τινι μορίῳ, ὥσπερ ἐπὶ τέλμα μύρμηκας ἢ βατράχους, περὶ τὴν θάλατταν οἰκοῦντας, καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖς τοιούτοις τόποις οἰκεῖν. Εἶναι γὰρ πανταχῇ περὶ τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη, εἰς ἃ ξυνερρυηκέναι τό τε ὕδωρ καὶ τὴν ὁμίχλην καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧπερ ἔστι τὰ ἄστρα, ὃν δὴ αἰθέρα ὀνομάζειν τοὺς πολλοὺς τῶν περὶ ταῦτ'

p. 137 C.

---

1 ἅδε P | ἂν addidi ex Plat. ‖ **3** ἅ τε FP, ἅ γ' Plat. *E*, δέ γ' Plat. *B*, δέγ' Plat. *C* ‖ **6** ἐπιστάμην P ‖ **7** post μήκει add. τοῦ λόγου Plat. | ἐξαρκεῖν etiam Plat. *Ed* et Euseb., ἐξαρκεῖ Plat. *BCD* ‖ **9** κωλύει λέγειν Plat. | ὁ om. F ‖ **10** γῆ F, γῆς P, εἰ Plat. ‖ **11** τῷ οὐρανῷ Plat. ‖ **13** ἱκανὴν et αὐτὴν etiam Plat. *BCD* ‖ **14** αὐτῷ FP, ἑαυτῷ Plat. ‖ **15** ἰσορροπίαν add. Gaisford ex Plat. ‖ **16** ἕξει μᾶλλον Plat., ἕξειν ἄλλον FP ‖ **19** τοίν' P | πάμμεγά Plat., πᾶν μέγα FP ‖ **21** σμικρῷ Plat. | περὶ τέλμα Plat. ‖ **27** κιθαρῷ F ‖ **28** τῶν περὶ Plat., τοὺς περὶ FP | ταῦτ' P Plat. *E*, ταῦθ' F, τὰ τοιαῦτα Plat. cet.

εἰωθότων λέγειν· οὗ δὴ ὑποστάθμην ταῦτα εἶναι καὶ ξυρρεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς γῆς. Ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις αὐτῆς λεληθέναι καὶ οἴεσθαι ἄνω ἐπὶ γῆς οἰκεῖν, ὥσπερ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τοῦ πελάγους οἰκῶν οἴοιτο ἐπὶ τῆς θαλάττης οἰκεῖν καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιον καὶ τὰ ἄλλα ἄστρα τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι, διὰ δὲ βραδυτῆτά τε καὶ ἀσθένειαν μηδεπώποτε ἐπὶ τὰ ἄκρα τῆς θαλάττης ἀφιγμένος μηδὲ ἑωρακὼς εἴη, ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον, ὅσον καθαρώτερος καὶ καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσι, μηδὲ ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑωρακότος. Ταὐτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι· οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς διὰ τούτου οὐρανοῦ ὄντος τὰ ἄστρα χωροῦντα· τὸ δὲ εἶναι ταὐτόν, ὑπ' ἀσθενείας καὶ βραδυτῆτος οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον ἀέρα· ἐπεί, εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι ἢ πτηνὸς γενόμενος ἀνάπτοιτο, κατιδεῖν ἀνακύψαντα, ὥσπερ [οἱ] ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν· καί, εἰ ἱκανὴ φύσις ἦν ἀνασχέσθαι θεωροῦσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ ἀληθινὸν φῶς καὶ ἡ ὡς ἀληθῶς γῆ. Ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε διεφθαρμένα ἐστὶ καὶ καταβεβρωμένα, ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης· καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι, σήραγγες δὲ καὶ ἄμμος καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν, ὅπου ἂν ᾖ γῆ· καὶ πρὸς τὰ

---

1 οὗ Plat., οὖν FP ‖ **3** ἐπὶ τῆς γῆς Plat. ‖ **5** οἴοτό τε Plat. | θαλάσσης P ‖ **7** ἡγεῖτο F ‖ **10** ὅσῳ Plat. ‖ **12** δὴ etiam FP ‖ **14** οὐρανοῦ om. F ‖ **17** ante ἀέρα add. τὸν Plat. ‖ **18** γενόμενος Plat., γενάμενος FP | ante ἀνακύψαντα add. ἄν Stephanus | οἱ (ante ἐνθάδε [19]) om. Plat.: seclusi ‖ **21** εἴη Plat. | ἀνασχέσθαι F Plat. *e*, ἀναχέσθαι P, ἀνέχεσθαι Plat. cet. | θεωροῦσα Plat., θεωροῦσαι FP ‖ **22** τὸ ἀληθινὸν etiam Plat. *b* Euseb., τὸ ἀληθῶς Plat. cet. ‖ **23** ἡ δὲ P ‖ **24** καὶ ἐφθαρμένα P ‖ **26** οὐδὲν ἄξιον λόγου Plat. praeter *c* et Euseb. | λεῖον FP ‖ **28** post ἄν add. καὶ Plat.

παρ᾽ ἡμῖν ⟨κάλλη κρίνεσθαι οὐδ᾽ ὁπωστιοῦν ἄξια· ἐκεῖνα δὲ αὖ τῶν παρ᾽ ἡμῖν⟩ πολὺ ἂν ἔτι πλέον φανείη διαφέρειν. Εἰ γὰρ δεῖ καὶ μῦθον λέγειν καλόν, ἄξιον ἀκοῦσαι, ὦ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. — Ἀλλὰ μήν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν. — Λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὕτη ἰδεῖν, ἥ τις ἄνωθεν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλη, χρώμασι διειλημμένη, ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα, οἷς δὴ οἱ γραφεῖς καταχρῶνται· ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων ἢ τούτων· τὴν μὲν γὰρ ἁλουργῆ εἶναι καὶ θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ, τὴν δὲ ὁσηλευκὴ γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων συγκειμένην ὡσαύτως, καὶ ἔτι πλειόνων ⟨καὶ⟩ καλλιόνων ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. Καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς ὕδατός τε καὶ ἀέρος ἔκπλεα ὄντα, χρώματός τι εἶδος παρὰ τὸ εἶδος παρέχεται στίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ, ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς
p. 138 C. ποικίλον φαντάζεσθαι. Ἐν δὲ τοιαύτῃ οὔσῃ τοιαῦτα ἀνάλογον τὰ φυόμενα φύεσθαι, δένδρα τε καὶ ἄνθη καὶ τοὺς καρπούς· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τὴν τελειότητα καὶ τὴν διαφάνειαν καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι ταῦτα ⟨τὰ⟩ ἀγαπώμενα μόρια, σάρδιά τε καὶ ἰάσπιδας καὶ

---

1 ἡμῖν P | κάλλη – παρ᾽ ἡμῖν (2) om. FP ‖ **2** πολὺ etiam Plat. *e*, πολλοῦ Plat. cet. | ἔπι P ‖ **3** δεῖ Plat., δὴ FP | καλὸν om. Plat. (καλὸν καὶ habet Plat. *Eb*, καλὸν Euseb.) ‖ **4** ἐπὶ τῆς γῆς Plat. | τῷ οὐρανῷ Plat., τῶν οὐρανῶν FP ‖ **7** αὐτὴ Euseb. ‖ **8** ἥ τις etiam Plat. *BCD*, εἴ τις Plat. *Ebc* ‖ **9** ποικίλη etiam FP | διειλημμένη etiam FP ‖ **10** post χρώματα add. Plat. ὥσπερ δείγματα ‖ **15** καὶ ante καλλιόνων addidi ex Plat. ‖ **15. 16** καλλῖον P ‖ **16** αὐτὰ Plat., αὐτὸς FP ‖ **17** ἔκπλεα etiam Plat. *BD* ‖ **18** παρὰ τὸ εἶδος om. Plat. | παρέχεται etiam Plat. *BCD*, παρέχεσθαι Plat. *Eb* ‖ **19** ἕν τι F ‖ **20** ταύτῃ οὔσῃ τοιαύτῃ Plat. ‖ **20. 21** ἀνάλογον etiam Plat. ‖ **22** αὖ τὰ Plat., αὐτὰ FP ‖ **23** αὐτοῦ F | τε λειότητα Plat. *Ebcd* Euseb. | διαφάνειαν etiam FP ‖ **25** τὰ post ταῦτα addidi ex Plat.

σμαράγδους καὶ πάντα τὰ τοιαῦτα· ἐκεῖ δὲ οὐδὲν ὃ μὴ τοιοῦτον εἶναι καὶ ἔτι τούτων καλλίω. Τὸ δ' αἴτιον τούτου εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι καθαροί εἰσι καὶ οὐ κατεδηδομένοι οὔτε διεφθαρμένοι ὥσπερ οἱ ἐνθάδε ὑπὸ σηπεδόνος καὶ ἅλμης ὑπὸ τῶν δεῦρο ξυνερρυηκότων, ⟨ἃ⟩ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζῴοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει. Τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ καὶ τοῖς ἄλλοις αὖ τοῖς τοιούτοις. Ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι, ὄντα πολλὰ πλήθει καὶ μεγάλα καὶ πολλαχοῦ τῆς γῆς ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων. Ζῷα δ' ἐπ' αὐτῆς εἶναι ἄλλα τε πολλὰ καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογαίᾳ οἰκοῦντας, τοὺς δὲ περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλατταν, τοὺς δὲ ἐν νήσοις ἃς περιρρεῖν [πρὸς] τον ἀέρα πρὸς τῇ ἠπείρῳ οὔσας, καὶ ἑνὶ λόγῳ, ὅπερ ἡμῖν τὸ ὕδωρ καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέρα, ὃ δὲ ἡμῖν ἀήρ, ἐκείνοις τὸν αἰθέρα. Τὰς δὲ ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην, ὥστε ἐκείνους ἀνόσους εἶναι καὶ χρόνον τε ζῆν πολὺ πλείω τῶν ἐνθάδε, καὶ ὄψει καὶ ἀκοῇ καὶ φρονήσει καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει, ᾗπερ ἀήρ τε ὕδατος ἀφέστηκε καὶ αἰθὴρ ἀέρος πρὸς καθαρότητα. Καὶ δὴ καὶ θεῶν ἄλση τε καὶ ἱερὰ αὐτοῖς εἶναι, ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν καὶ τοιαύτας συνουσίας γίγνεσθαι αὐτοῖς πρὸς αὐτούς· καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι ὑπ' αὐτῶν οἷα τυγχάνει ὄντα, καὶ τὴν ἄλλην εὐδαιμονίαν

---

1 ὅ τι Plat. | μὴ etiam Plat. *Eb*, οὐ Plat. *BCD* ‖ **2** τοιούτων P ‖ **3** εἰσὶ καθαροὶ Plat. ‖ **3. 4** κατεδηδεσμένοι Plat. ‖ **4** οὐδὲ Plat. ‖ **5** ἃ addidi ex Plat. ‖ **7** κεκοσμεῖσθαι P ‖ **8** τε post χρυσῷ om. Plat. praeter *b* ‖ **9** ἄλλοις αὐτοῖς P | γὰρ αὐτοὺς F ‖ **10** πλήθει Plat., πλήθη FP ‖ **11** post εὐδαιμόνων add. θεατῶν Plat. ‖ **12** αὐτῇ Plat. ‖ **13** μεσογαῖα FP | οἰκοῦντας om. P ‖ **14** θάλασσαν P | νήσοις Plat., νόσοις FP | περιρρεῖ F | πρὸς (ante τὸν ἀέρα [14]) om. Plat.: seclusi ‖ **16** post ὕδωρ add. τε Plat. praeter *C* ‖ **17** ὃ FP ‖ **18** αὐτοῖς F Plat. *de*, αὐτὰς P, αὐτῆς Plat. cet. | ἔχειν Plat., ἔχει FP | ὥστε Plat., ὥσπερ FP ‖ **19** ἀνίσους F | καὶ om. P ‖ **22** ἐφέστηνε P ‖ **24** post φήμας add. τε Plat.

τούτων ἀκόλουθον εἶναι. Καὶ ὅλην μὲν δὴ τὴν γῆν οὕτω πεφυκέναι καὶ τὰ περὶ τὴν γῆν· τόπους δὲ ἐν αὐτῇ εἶναι κατὰ τὰ ἔγκοιλα αὐτῆς κύκλῳ περὶ ὅλην πολλούς, τοὺς μὲν βαθυτέρους καὶ ἀναπεπταμένους μᾶλλον ἢ ἐν οἷς ἡμεῖς οἰκοῦμεν, τοὺς δὲ βαθυτέρους ὄντας τὸ χάσμα αὐτοὺς ἔλαττον ἔχειν τοῦ παρ' ἡμῖν τόπου, ἔστι δ' οὓς καὶ βραχυτέρους τῷ βάθει τοῦ ἐνθάδε εἶναι καὶ πλατυτέρους· τούτους δὲ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους συντετρῆσθαί τε πολλαχῇ, καὶ ⟨κα⟩τὰ στενώτερα καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν· ᾗ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους ὥσπερ εἰς κρατῆρας, καὶ ἀεννάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν· πολὺ δὲ πῦρ καὶ πυρὸς μεγάλους ποταμούς, πολλὰ δὲ ὑγροῦ πηλοῦ καὶ καθαρωτέρου καὶ βορβορωδεστέρου, ὥσπερ ἐν Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ, ὧν δὴ καὶ ἑκάστους τόπους πληροῦσθαι, ὡς ἂν ἑκάστοις τύχῃ ἑκάστοτε περιρροὴ γιγνομένη. Ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω ὥσπερ αἰώραν τινὰ ἐνοῦσαν ἐν τῇ γῇ· ἔστι δὲ αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά. Ἔν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον τυγχάνει
p. 139 C. ὂν καὶ διαμπερὲς τετρημένον δι' ὅλης τῆς γῆς, τοῦτο ὅπερ Ὅμηρος εἶπε, λέγων αὐτό (Θ 14)·

τῆλε μάλ' ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον·

ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρταρον κεκλήκασιν. Εἰς γὰρ τοῦτο τὸ χάσμα συρρέουσί τε πάντες οἱ ποταμοὶ καὶ ἐκ τούτου πάλιν πάντες ἐκρέουσι· γίγνονται δ' ἕκαστοι τοιοῦτοι δι' οἵας ἂν καὶ τῆς

---

3 κατὰ Plat., καὶ FP ‖ **4** ἀναπεπταμένους Plat., ἀναπεπλαμένους F, ἀναπεπλασμένους P ‖ **5** αὐτοὺς etiam Plat. *BDE* ‖ **8** ἀλλήλους Plat., ἀλλή (supra ή sprscr. λ) P, ἄλληλα F ‖ **9** καὶ κατὰ Plat., καὶ τὰ FP ‖ **10** ᾗ Plat. *B* (*Ed*), ἢ FP Plat. *CD* ‖ **12. 13** δὲ πῦρ Plat., δὲ πυρὸς FP ‖ **13** πολλοὺς Plat. ‖ **15** ῥέοντος P ‖ **16** ante τόπους add. τοὺς Plat. | ὡς FP (Stallbaum), ὧν Plat. ‖ **17** περιρροῇ F, ἡ περιρροὴ Plat. ‖ **19** post δὲ add. ἄρα Plat. ‖ **20** ἔν τι P ‖ **23** τῆλε μάλ' Hom. Plat., τηλέμαχ' FP ‖ **24** ad h. v. add. F mrg περὶ ταρτάρου ‖ **26** πάντες (ante ἐκρέουσι) om. P Plat.

γῆς ῥέωσιν. Ἡ δὲ αἰτία ἐστὶ τοῦ ἐκρεῖν τε ἐντεῦθεν καὶ εἰσρεῖν πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο. Αἰωρεῖται δὲ καὶ κυμαίνει ἄνω καὶ κάτω, καὶ ὁ ἀὴρ καὶ τὸ πνεῦμα τὸ περὶ αὐτὸν ταὐτὸν ποιεῖ· ξυνέπεται γὰρ αὐτὸ καὶ ὅταν εἰς τὸ ἐπέκεινα τῆς γῆς ὁρμήσῃ καὶ ὅταν εἰς τὸ ἐπὶ τάδε, καὶ ὥσπερ ἐπὶ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀναπνεῖ τὸ πνεῦμα ῥέον, ⟨οὕτω καὶ ἐκεῖ ξυναιωρουμένων τῷ ὑγρῷ τὸ πνεῦμα⟩ δεινούς τινας ἀνέμους καὶ ἀμηχάνους παρέχεται καὶ εἰσιὸν καὶ ἐξιόν. Ὅταν δὲ οὖν ὑποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν δὴ κάτω καλούμενον, τοῖς κατ' ἐκεῖνα τὰ ῥεύματα τῆς γῆς εἰσρεῖ καὶ πληροῖ αὐτὰ ὥσπερ ἐπαντλοῦντες· ὅταν τε αὖ ἐκεῖθεν ἀπολίπῃ, δεῦρο δὴ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις, τὰ δὲ πληρωθέντα ῥεῖ διὰ τῶν ὀχετῶν καὶ διὰ τῆς γῆς, καὶ εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα, εἰς οὓς ἑκάστοις ὁδοποιεῖται, θάλαττάν τε καὶ λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποιεῖ· ἐντεῦθεν δὲ πάλιν κατὰ τῆς γῆς, τὰ μὲν μακροτέρους τόπους περιελθόντα καὶ πλείους, τὰ δὲ ἐλάττους καὶ βραχυτέρους, πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει, τὰ μὲν πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο, τὰ δὲ ὀλίγον· πάντα δὲ ὑποκάτω εἰσρεῖ τῆς ἐκροῆς. Καὶ ἔνια μὲν καταντικρὺ ᾗ ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος· ἔστι δὲ ἃ παντάπασι κύκλῳ περιελθόντα, ἢ ἅπαξ ἢ καὶ πλεονάκις περιελιχθέντα περὶ τὴν γῆν ὥσπερ οἱ ὄφεις,

---

1 ante *ἐντεῦθεν* iterat *καὶ* P ‖ 3 *δὲ* etiam Plat. *C*, *δὴ* Plat. cet. ‖ 4 *κάτων* P | *αὐτὸν* etiam Plat. ‖ 5 *ξυνέπεται – εἰς τὸ* (6) om. P | *αὐτῷ* Plat. ‖ 6 *ἐπὶ τάδε* Plat., *ἔπειτα δὲ* FP | *ἐπὶ* (ante *τῶν* [7]) om. Plat. ‖ 7 *ἐκπνεῖ τε* Plat., *ἐκπνεῖται* FP ‖ 7. 8 *ῥέον τὸ πνεῦμα* Plat. ‖ 8 *οὕτω – πνεῦμα* addidi ex Plat. ‖ 10 *ὅταν τε* Plat. | *ὑποχωρήσει* P ‖ 11 *τὸν* Plat., *τὸ* FP | post *ῥεύματα* add. *διὰ* Plat. ‖ 12 *τε καὶ* Plat. | *οἱ ἐπαντλοῦντες* Plat. ‖ 13 post *ἐκεῖθεν* add. *μὲν* Plat. | *δὲ* Plat. ‖ 16 *ἑκάστοις* P (Mudgius), *ἕκαστος* F, *ἑκάστους* Plat. | *ὁδοποιεῖται* Plat., *ὡδοποιῆται* P, *ὁδοποίηται* F | *θαλάττας* Plat. ‖ 17 post *πάλιν* add. *δυόμενα* Plat. ‖ 20 *κατωτέρω ἢ* Plat., *κατωτέρων* FP ‖ 21 *ἐρροῆς* F ‖ 22 ante *ἐξέπεσεν* add. *εἰσρεῖ* Plat. ‖ 23 *ἃ παντάπασι* Plat. *Eb*, *ἅπαντα πᾶσι* FP Plat. *C* | *καὶ* om. P

εἰς τὸ δυνατὸν κάτω καθέντα πάλιν ἐμβάλλει. Δυνατὸν δ' ἐστὶν ἑκατέρωσε μέχρι τοῦ μέσου καθιέναι, πέρα δ' οὔ· ἄνωντες γὰρ ἀμφοτέροις τοῖς ῥεύμασι τὸ ἑκατέρωθεν γίγνεται μέρος. Τὰ μὲν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ παντοδαπὰ ῥεύματά ἐστι· τυγχάνει δὲ ἄρα ὄντα ἐν τούτοις τοῖς πολλοῖς τέτταρα ῥεύματα, ὧν τὸ μὲν μέγιστον καὶ ἐξωτάτω ῥέον τὰ περὶ κύκλῳ ὁ καλούμενος Ὠκεανός ἐστι, τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέων Ἀχέρων, ὃς δι' ἐρήμων τε τόπων ῥεῖ ἄλλων καὶ δὴ καὶ ὑπὸ γῆν ῥέων εἰς τὴν λίμνην ἀφικνεῖται τὴν Ἀχερουσιάδα οὗ αἱ τῶν τετελευτηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται καί τινας εἱμαρμένους ⟨χρόνους⟩ μείνασαι, αἱ μὲν μακροτέρους, ⟨αἱ δὲ βραχυτέρους,⟩ πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζῴων γενέσεις. Τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει καὶ ἐγγὺς τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν πυρὶ πολλῷ καιόμενον καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν Θαλάττης, ζέουσαν ὕδατος καὶ πηλοῦ· ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς καὶ πηλώδης, περιελιττόμενος δὲ τῇ γῇ ἄλλοσέ τε ἀφικνεῖται καὶ παρ' ἔσχατα τῆς Ἀχερουσίας λίμνης, οὐ συμμιγνύμενος τῷ ὕδατι· περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς ἐμβάλλει κατωτέρω τοῦ Ταρτάρου· οὗτος δ' ἐστὶν ὃν ἐπονομάζουσι Πυριφλεγέθοντα, οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν ὅπῃ ἂν τύχωσι τῆς γῆς. Τούτου δ' αὖ καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς
p. 140 C. τόπον πρῶτον δεινόν τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα ἔχοντα ὅλον οἷον ὁ κυανός, ὃν δὴ ἐπονομάζουσι Στύγιον,

---

2 *πέρα* Plat., *περὰ* P, *περᾶ* F ‖ 3 *ἅπαντες* F | post *γὰρ* add. *πρὸς* Plat. praeter *e* ‖ 4 post *μὲν* add. *οὖν* Plat. ‖ 6 *τέτταρ' ἄττα* Plat. ‖ 7 *ῥέον περικύκλῳ* Plat. ‖ 9 *τε πόνων* P ‖ 10 *γῆν* om. P in quo spat. 4 litt. | *ἀχερουσίδα* P ‖ 12 *εἱμαρμένας* P | *χρόνους* om. FP, add. Plat. ‖ 13 *αἱ δὲ βραχυτέρους* addidi ex Plat. ‖ 15 *εἰσπίπτει* Plat. ‖ 17 *πολλοῦ* P ‖ 19. 20 *ἀχερουσιάδος* Plat. ‖ 21 *κατωτέρω* Plat., *κατωτέρου* FP ‖ 22 *ὀνομάζουσι* F | ad h. v. F mrg *περὶ πυριφλεγέθοντος* ‖ 23 *ὅπῃ ἂν τύχωσι* om. P | *ὅποι* F ‖ 24 *δ' αὐτοῦ* Plat. praeter *be* | *τέταρτος* Plat. cet., *τάρταρος* FP Plat. *C* ‖ 25 *χρῶμα δ'* Plat. ‖ 26 *κυανός* Plat., *κύαμος* FP

καὶ τὴν λίμνην ποιεῖ ὁ ποταμὸς ἐμβάλλων, Στύγα· ὁ δ' ἐμπεσὼν ἐνταῦθα καὶ δεινὰς δυνάμεις λαβὼν ἐν τῷ ὕδατι, δὺς κατὰ τῆς γῆς, περιελιττόμενος χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι καὶ ἀπαντᾷ ἐν τῇ Ἀχερουσίᾳ λίμνῃ ἐξ ἐναντίας· καὶ οὐδὲ τὸ τούτου ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ οὗτος κύκλῳ περιελθὼν ἐμβάλλει εἰς τὸν Τάρταρον ἐναντίως τῷ Πυριφλεγέθοντι· ὄνομα δὲ τούτῳ ἐστίν, ὡς οἱ ποιηταὶ λέγουσι, Κωκυτός. Τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως βιώσαντες καὶ οἱ μή. Καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην, καὶ ἐκεῖ οἰκοῦσί τε καὶ καθαιρόμενοι τῶν τε ἀδικημάτων διδόντες δίκας ἀπολύονται, εἴ τίς τι ἠδίκησε, τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος· οἳ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξεργασάμενοι, ἢ ἄλλ' ὅσα τοιαῦτα τυγχάνει ὄντα, τούτους δὲ ⟨ἡ⟩ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν οὔποτε ἐκβαίνουσιν. Οἳ δ' ἂν ἰάσιμα μὲν μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπ' ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν εἰς τὸν Τάρταρον ἀνάγκη, ἐμπεσόντας δὲ αὐτοὺς καὶ ἐνιαυτὸν ἐκεῖ γενομέ-

---

1 λίμνην ἣν Theodor., sed ἣν om. etiam Plat. ‖ **3** δὶς F | ἐναντίως etiam Plat. *D*, ἐναντίος Plat. cet. ‖ **4** ἀχερουσιάδι Plat. ‖ **7** ad h. v. F mrg περὶ κωκύτου | ἐναντίος Plat. ‖ **16** ἠδίκησεν Plat. *C*, ἠδίκηκε vel ἠδίκηκεν Plat. cet. ‖ **17** ἀνιάτους P ‖ **18** ἢ habet etiam Plat. *Ebd*, Euseb. Theodor., om. Plat. cet. ‖ **19. 20** ἐξεργασάμενοι F, ἐξεργαζόμενοι P, ἐξειργασμένοι Plat. ‖ **20** ἢ etiam FP | an δὴ? ‖ **21** ἡ ante προσήκουσα addidi ex Plat. ‖ **22** ἂν ἰάσιμα μὲν Plat., ἀνιάσιμα μὲν F, ἀνιάσικαμεν P ‖ **24** ὑπ' ὀργῆς Plat., ὑπὸ σιγῆς FP | βίαιόν τι hic etiam FP | μεταμέλλον FP ‖ **25** ἀνδροφόνοι Plat., ἀνδροφόνῳ FP ‖ **26** γένωνται F

νους ἐκβάλλει τὸ ῥεῦμα, τοὺς μὲν ἀνδροφόνους κατὰ τὸν Κωκυτόν, τοὺς δὲ πατραλοίας καὶ μητραλοίας κατὰ τὸν Πυριφλεγέθοντα· ἐπειδὰν δὲ φερόμενοι γένωνται κατὰ τὴν λίμνην τὴν Ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε καὶ καλοῦσιν, οἱ μὲν οὓς ἀπέκτειναν, οἱ δὲ οὓς ὕβρισαν, καλέσαντες δὲ ἱκετεύουσι καὶ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην καὶ δέξασθαι, καὶ ἐὰν μὲν πείσωσιν, ἀποβαίνουσι καὶ λήγουσι τῶν κακῶν, εἰ δὲ μή, φέρονται αὖθις εἰς τὸν Τάρταρον καὶ ἐκεῖθεν πάλιν εἰς τοὺς ποταμούς· καὶ ταῦτα πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν οὓς ἠδίκησαν. αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. Οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι. Τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι. Ἀλλὰ τούτων μὲν χρὴ ἕνεκα ὧν διεληλύθαμεν, ὦ Σιμμία, πᾶν ποιεῖν, ἅστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν· καλὸν γὰρ τὸ ἆθλον καὶ ἡ ἐλπὶς μεγάλη. Τὸ μὲν οὖν ταῦτα διισχυρίσασθαι οὕτως ἔχειν, ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί· ὅτι μέντοι ἢ ταῦτά ἐστιν ἢ τοιαῦτ' ἄττα
p. 141 C. περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπείπερ ἀθάνατος ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν μοι δοκεῖ καὶ ἄξιον κινδυνεῦσαι οἰομένῳ οὕτως ἔχειν· καλὸς γὰρ ὁ κίνδυνος· καὶ χρὴ τὰ τοιαῦτα ὥσπερ ἐπᾴδειν ἑαυτῷ.

---

1 τὸ κῦμα Plat. ‖ **2** καὶ μητραλοίας hab. FP | καὶ F Plat., ἢ P ‖ **7. 8** ἀποβαίνουσι etiam Plat. *BCDe* ‖ **8** τε καὶ Plat. ‖ **9** εἰς τοὺς – πρὶν (10) om. P ‖ **12** δὴ om. P ‖ **13** βιῶναι P | post βιῶναι add. Theod. προκεκρίσθαι | τῶν τόπων τῶν Plat. ‖ **15** δεσμωτηρίων Plat., δὲ σωτηρίων FP ‖ **16** τῆς habet etiam Euseb. Theod., om. Plat. ‖ **20. 21** τούτων δὴ ἕνεκα χρὴ Plat. ‖ **21** πᾶν etiam Plat. *BD* ‖ **23** ταῦτα etiam Plat. *Eb*, τοιαῦτα Plat. cet. ‖ **24** νοῦν Plat, οὖν FP ‖ **26. 27** ἀθάνατόν γε ἡ Plat.

59 (54 H.) *Πορφυρίου.*

Ἡ δὲ τῆς ψυχῆς διαμονὴ καὶ ἀιδιότης ἐν τοῖς μάλιστα τῶν Πυθαγόρου δογμάτων γνώριμόν ἐστι πᾶσι καὶ περιβόητον, ὅνγε πρὸς τὸν εἰπόντα δόξαι κατὰ τοὺς ὕπνους [1046] *ἰδεῖν τεθνεῶτα τὸν πατέρα, φασὶν εἰπεῖν, "οὐκ ἔδοξας, ἀλλ' εἶδες"· τῶν δὲ παραγγελμάτων ἓν εἶναι 'συνδεῖν ὁσημέραι τὸ στρωματόδεσμον', ὡς ἀποδημίαν οὖσαν τὴν τελευτὴν καὶ δεῖν ἀεὶ συνεσκευασμένους ἡμᾶς τὸν καιρὸν περιμένειν τῆς ἐκεῖ⟨σε⟩ πορείας· τὸν δὲ ἀναιροῦντα δικαίως πρὸς τὸ ἀποθνῆσκον τοῦτον τὸν λόγον ἔχειν, ὃν ὁ γεννῶν ἔχει πρὸς τὸ γεννώμενον. Ἑκατέραν γὰρ εἶναι τῆς ψυχῆς μεταβολήν, τὴν μὲν εἰς σῶμα γένεσιν, τὴν δὲ ἀπὸ σώματος θάνατον προσαγορευομένην.*

60 (54 H.) *Τοῦ αὐτοῦ.*

Τὰ δὲ παρ' Ὁμήρου περὶ τῆς Κίρκης λεγόμενα θαυμαστὴν ἔχει τῶν περὶ ψυχὴν θεωρίαν. Λέγεται γὰρ οὕτως (κ 239. 240)·

οἳ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε
καὶ δέμας· αὐτὰρ νοῦς ἦν ἔμπεδος ὡς τὸ πάρος περ.

Ἔστι τοίνυν ὁ μῦθος αἴνιγμα τῶν περὶ ψυχῆς ὑπό τε [1048] *Πυθαγόρου λεγομένων καὶ Πλάτωνος, ὡς ἄφθαρτος οὖσα τὴν φύσιν καὶ ἀίδιος, οὔ τι μὴν ἀπαθὴς οὐδὲ ἀμετάβλητος, ἐν ταῖς λεγομέναις φθοραῖς καὶ τελευταῖς μεταβολὴν ἴσχει καὶ μετακόσμησιν εἰς ἕτερα σωμάτων εἴδη, καθ' ἡδονὴν διώκουσα τὸ πρόσφορον καὶ οἰκεῖον ὁμοιότητι καὶ συνηθείᾳ βίου διαίτης. Ἔνθα δῆ⟨λον⟩ τὸ μετὰ παι-*

---

2 ἓν *μάλιστα* (om. *τοῖς*) Heeren ‖ **3** *Πυθαγορικῶν* FP: correxi ‖ **4** *δόξα* FP: *δόξαι* scripsi, *ἔδοξα* Heeren ex Vat. Aug. ‖ **5** *φησὶν* F ‖ **6** *παρακελμάτων* P | *ἐνεῖναι* FP: *ἓν εἶναι* Canter ‖ **7** *στρῶμα τὸν δεσμὸν* FP: corr. Canter mrg ‖ **7. 8** *ἀποδημίας οὔσης τῆς τελευτῆς* temere Heeren ‖ **9** *ἐκεῖ* FP: corr. Meineke ‖ **10** *ἀποθνῆσκον* (*ον* corr. ex *ειν*) F ‖ **11** *γεννάμενον* P ‖ **14** lemma F in textu, P mrg habet ‖ **15** *ὁμήρου* F, *ὁμήρῳ* P: *Ὅμηρον* Heeren ‖ **16** *τὴν* FP: *τῶν* Heeren | *ψυχῆς* P | *λέγει οὖν* Heeren ‖ **22** *οὔτε μὴν* Heeren ‖ **23** *τελευταίαν* P² ‖ **23. 24** *μεταβολῆς* (?) P² ‖ **25** *πρόσφονον* Aug. unde Meineke *πρόσφωνον* ‖ **26** *δῆ* FP: *δῆλον* scripsi

δείας ἑκάστῳ καὶ φιλοσοφίας ὄφελος, ἂν μνημονεύουσα τῶν καλῶν ἡ ψυχὴ καὶ δυσχεραίνουσα τας αἰσχρὰς καὶ παρανόμους ἡδονὰς δύνηται κρατεῖν καὶ προσέχειν αὑτῇ καὶ φυλάττειν, μὴ λάθῃ θηρίον γενομένη καὶ στέρξασα σώματος οὐκ εὐφυοῦς οὐδὲ καθαροῦ πρὸς ἀρετήν, φύσιν ἄμουσον καὶ ἄλογον καὶ τὸ ἐπιθυμοῦν καὶ θυμούμενον μᾶλλον ἢ τὸ φρόνιμον αὔξοντος καὶ τρέφοντος. Αὐτῆς γὰρ τῆς μετακοσμήσεως εἱμαρμένη καὶ φύσις ὑπὸ Ἐμπεδοκλέους (v. 402 Stein.) δαίμων ἀνηγόρευται,

[1050] ‘σαρκῶν ἀλλογνώτι περιστέλλουσα χιτῶνι,’

καὶ μεταμπίσχουσα τὰς ψυχάς. Ὅμηρος δὲ τὴν ἐν κύκλῳ περίοδον καὶ περιφορὰν παλιγγενεσίας Κίρκην προσηγόρευκεν, Ἡλίου παῖδα τοῦ πᾶσαν φθορὰν γενέσει καὶ γένεσιν αὖ πάλιν φθορᾷ συνάπτοντος ἀεὶ καὶ συνείροντος. Αἰαίη δὲ νῆσος ἡ δεχομένη τὸν ἀποθνήσκοντα μοῖρα καὶ χώρα τοῦ περιέχοντος, εἰς ἣν ἐμπεσοῦσαι πρῶτον αἱ ψυχαὶ πλανῶνται καὶ ξενοπαθοῦσι καὶ ὀλοφύρονται καὶ οὐκ ἴσασιν,

‘ὅπῃ ζόφος,
οὐδ’ ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ’ ὑπὸ γαῖαν’ (κ 190. 191).

Ποθοῦσαι δὲ καθ’ ἡδονὰς τὴν συνήθη καὶ σύντροφον ἐν σαρκὶ καὶ μετὰ σαρκὸς δίαιταν ἐμπίπτουσιν αὖθις εἰς τὸν κυκεῶνα τῆς γενέσεως μιγνύσης εἰς τὸ αὐτὸ καὶ κυκώσης ὡς ἀληθῶς ἀίδια καὶ θνητὰ καὶ φρόνιμα καὶ παθητὰ καὶ ὀλύμπια καὶ γηγενῆ, θελγόμεναι καὶ μαλασσόμεναι ταῖς

---

1 ἂν μνημονεύουσα FP², ἄν μνημονεύσα P¹: ἀναμνημονεύουσα Meineke ‖ **3** δύναται Meineke | αὐτῆς FP: corr. Heeren ‖ **5** ἀφυοῦς FP: corr. Heeren ‖ **6** λόγον P | ἢ θυμούμενον FP: correxi ‖ **7** αὔξοντος P², αὔξαντος FP¹ | τρέφοντος FP², στρέφοντος P¹ ‖ **10** ἀλλογνῶτι (sed γν in ιχ corr. vel vice versa) F¦, ἀλλόγνωτι P, ἀλλογνῶτι Plut. de esu carn. p. 998ᶜ: αἰολόχρωτι Stein, ἀλλόχρωτι Wakefield et Lobeck paral. p. 260, ἀλλογνῆτι Lobeck Phrynich. p. 607 ‖ **11** μετ’ ἀμπέχουσα P | τὴν ἐκύκλῳ P¹ ‖ **19. 20** aliter hos v. interpretatur quaest. Hom. Porph. iuvenis teste Greg. Cor. VII 2 p. 1245 Walz. ‖ **19** ζείφος F ‖ **20** εἶσ’ P² Hom., εἶσ FP¹ ‖ **22** ἐμπίπτουσα FP: corr. Canter mrg ‖ **24** ἕως FP: corr. Canter ‖ **25** ἀγενῆ P | θελγόμενα et μαλασσόμενα FP: corr. Meineke

ἀγούσαις αὖθις ἐπὶ τὴν γένεσιν ἡδοναῖς, ἐν ᾧ δὴ μάλιστα πολλῆς μὲν εὐτυχίας αἱ ψυχαὶ δέονται πολλῆς δὲ σωφροσύνης, ὅπως μὴ τοῖς κακίστοις ἐπισπόμεναι καὶ συνενδοῦσαι μέρεσιν ἢ πάθεσιν αὐτῶν κακοδαίμονα καὶ θηριώδη βίον ἀμείψωσιν. Ἡ γὰρ λεγομένη καὶ νομιζομένη [1052]
τῶν ἐν Ἅιδου τρίοδος ἐνταῦθά που τέτακται περὶ τὰ τῆς p. 142 C.
ψυχῆς σχιζόμενα μέρη, τὸ λογιστικὸν καὶ θυμοειδὲς καὶ ἐπιθυμητικόν, ὧν ἕκαστον ἀρχὴν ἐξ ἑαυτοῦ καὶ ῥοπὴν ἐπὶ τὸν οἰκεῖον βίον ἐνδίδωσι. Καὶ οὐκέτι ταῦτα μῦθος οὐδὲ ποίησις, ἀλλὰ ἀλήθεια καὶ φυσικὸς λόγος. Ὧν μὲν γὰρ ἐν τῇ μεταβολῇ καὶ γενέσει τὸ ἐπιθυμητικὸν ἐξανθοῦν ἐπικρατεῖ καὶ δυναστεύει, τούτοις εἰς νωθῆ [καὶ] σώματα καὶ βίους θολεροὺς καὶ ἀκαθάρτους ὑπὸ φιληδονίας καὶ γαστριμαργίας φησὶ γενέσθαι τὴν μεταβολήν. Ὅταν δὲ φιλονεικίαις σκληραῖς καὶ φονικαῖς ὠμότησιν ἔκ τινος διαφορᾶς ἢ δυσμενείας ἐξηγριωμένον ἔχουσα παντάπασιν ἡ ψυχὴ τὸ θυμοειδὲς εἰς δευτέραν γένεσιν ἀφίκηται, πλήρης οὖσα προσφάτου πικρίας καὶ βαρυφρόνης, ἔρριψεν ἑαυτὴν εἰς λύκου φύσιν ἢ λέοντος, ὥσπερ ὄργανον ἀμυντικὸν τὸ σῶμα τῷ κρατοῦντι προϊεμένη πάθει καὶ περιαρμόσασα. Διὸ δεῖ μάλιστα περὶ τὸν θάνατον, ὥσπερ ἐν τελετῇ, καθαρεύοντα παντὸς ἀπέχειν πάθους φαύλου τὴν ψυχὴν καὶ πᾶσαν ἐπιθυμίαν χαλεπὴν κοιμήσαντα καὶ φθόνους καὶ δυσμενείας καὶ ὀργὰς ἀπωτάτω τιθέμενον τοῦ φρονοῦντος ἐκβαίνειν τοῦ σώματος. Οὕτως ὁ χρυσόρραπις [1054]
Ἑρμῆς (κ 227) ἀληθῶς ὁ λόγος ἐντυγχάνων καὶ δεικνύων

---

2 εὐψυχίας Meineke ‖ **3** ἐπισπώμεναι FP: corr. Canter ‖ **3. 4** συνδοῦσαι P: ἐνδοῦσαι Meineke ‖ **4** αὐτῶν FP: corr. Meineke ‖ **7** σχιζόμενα FP: σχιζομένη vulg. cum Heereno ‖ **8** αὐτοῦ P ‖ **9** μύθοι Heeren ‖ **10** καὶ φυσικός τε P ‖ **12** εἰς νωθῆ καὶ F, ἰσονωθῆ καὶ P: εἰς νωθῆ (del. καὶ) Heeren, εἰς ὀνώδη Canter, recte fort. addito καὶ (vel ἤ) ⟨ὑώδη⟩ coll. infra v. 18. 19 ‖ **15** φοινικαῖς FP: corr. Meineke ‖ **18** βαρυφροσύνης Heeren ‖ **19** λέοντα P ‖ **21** δὴ FP: corr. Canter mrg | τελευτῇ F ‖ **22** φαύλου P², φαῦλην FP¹ ‖ **24. 25** τοὺς φρονοῦντας Heeren; 'debebat certe τὸν φρονοῦντα' Meineke, qui τοῦ φρ. ad ἀπωτάτω refert ‖ **25** οὕτος FP: correxi

ἐναργῶς τὸ καλόν, ἢ παντάπασιν εἴργει καὶ ἀπέχει τοῦ κυκεῶνος, ἢ πιοῦσαν ἐν ἀνθρωπίνῳ βίῳ καὶ ἥθει διαφυλάττει πλεῖστον χρόνον, ὡς ἀνυστόν ἐστι.

61 (55 H.) *Τοῦ αὐτοῦ.*

Πάλιν αἰνιττόμενος, ὅτι ταῖς τῶν εὐσεβῶς βεβιωκότων ψυχαῖς μετὰ τὴν τελευτὴν οἰκεῖός ἐστι τόπος ὁ περὶ τὴν σελήνην, ὑπεδήλωσεν εἰπών (δ 563. 564)·

ἀλλά σ' ἐς ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,

Ἠλύσιον μὲν πεδίον εἰκότως προσειπὼν τὴν τῆς σελήνης ἐπιφάνειαν ὑπὸ ἡλίου καταλαμπομένην, "ὅτ' ἀέξεται ἁλίου αὐγαῖς", ὥς φησι Τιμόθεος (fr. 3 p. 1269 B.)· *πέρατα δὲ γῆς τὰ ἄκρα τῆς νυκτός, ἣν σκιὰν τῆς γῆς εἶναι*
[1056] *λέγουσιν οἱ μαθηματικοὶ πολλάκις ἐπιψαύουσαν τῆς σελήνης, ὡς τοῦτο τῆς γῆς πέρας ἐχούσης οὗ τῇ σκιᾷ μακρότερον οὐκ ἐξικνεῖται.*

62 (56 H.) *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 42^{A-D}).

Πρῶτον μὲν [οὖν] αἴσθησιν ἀναγκαῖον εἴη μίαν πᾶσιν ἐκ βιαίων παθημάτων σύμφυτον γίγνεσθαι, δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα, πρὸς δὲ τούτοις φόβον τε καὶ θυμὸν ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεστηκότα· ὧν εἰ μὲν κρατήσοιεν, δίκῃ βιώσοιντο, κρατηθέντες δὲ ἀδικίᾳ. Καὶ ὃ μὲν εὖ τὸν προσήκοντα χρόνον βιούς, πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα ἔξοι· σφαλεὶς

---

1 *ἀνέχει* P: *ἀναχαιτίζει* Meineke ‖ **2** *κυεῶνος* F | post *κυκεῶνος* add. *τὴν ψυχὴν* Meineke | *ποιοῦσαν* FP: corr. Canter mrg ‖ **2. 3** *διαφυλάττοι* F ‖ **8** *σ' ἐς* P^2 Hom., *σε* P^1, *σ'* F ‖ **9** *ἀθάνατοι* P^2 Hom., *ἀθάνατον* FP^1 ‖ **10** *μὲν* om. P ‖ **11** *αὔξεται* FP: corr. Meineke ‖ **12** *ἡλίου* F, *ἠελίου* P^1, *ἠελίοιο* P^2: corr. Meineke ‖ **15** *οὗ* etiam FP ‖ **18** *οὖν* om. Plat.: seclusi | *εἰς μίαν* P ‖ **20** *ἡδονῇ* P ‖ **20. 21** *φόβον καὶ* Plat. ‖ **22** *κρατήσοιεν* FP^1 Plat. *A*, *κρατήσειεν* P^2 Plat. nonn. | ante *δίκῃ* add. *ἐν* Plat. praeter *A* ‖ **24** *βιοὺς χρόνον* Plat. praeter *A* ‖ **25** post *εὐδαίμονα* add. Plat. *A καὶ συνήθη*

ὀὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβάλοι· μὴ παυόμενός τε ἐν τούτοις ἔτι κακίας τρόπον ὃν κακύνοιτο κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως εἴς τινα τοιαύτην ἀεὶ μεταβάλλοι θήρειον φύσιν, ἀλλάττων τε οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπόμενος τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας, εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως.

63 (57 H.) *Πλάτωνος ἐκ τοῦ Γοργίου* (p. 523ᴬ—524ᴬ).

Ἄκουε δή, φησί, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ μῦθον, ὡς ἐγῷμαι, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω ἃ μέλλω λέγειν. Ὥσπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. Ἦν οὖν νόμος p. 143 C.
ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτ' ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. Τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν. Κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο· ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ ἐκ μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷέν σφισιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι. Εἶπεν οὖν ὁ Ζεύς· ἀλλ' ἐγώ, ἔφη,

---

1 *τούτων* Plat., *τοῦτον* FP ‖ **1. 2** *μεταβαλοῖ* Plat. *A* ‖ **2** *τε* etiam Plat. *A* ‖ **3** *κα* lac. 5 litt. *το* P ‖ **4** *μεταβάλοι* Plat. *A* ‖ **5** *ἐλάττων* P | *οὐ* FP², *καὶ* P¹ ‖ **6** *αὐτῷ* Plat., *αὐτῷ* FP | *ξυνεπισπόμενος* Plat. quid., *ξυνεπισπώμενος* FP ‖ **7** *ὅλον* P ‖ **8** *ἄλογον* Plat., *ἄλλον* FP ‖ **10** *ἐκ τοῦ Γοργίου* F mrg habet, P in textu ‖ **11** *φασί* Plat. | *ἡγήσει* Plat. ‖ **12** *ὡς* FP², *ὦ* P¹ | *ἐγὼ οἶμαι* Plat. ‖ **15** *ἔλαβον* P ‖ **18** *ἐπειδὰν δὲ* P | *εἰς* etiam FP | *μάκαρ* F ‖ **20** *τῆς* etiam in FP ‖ **23** *τῇ* om. Plat. ‖ **25** *οἱ ἐπιμπληταὶ* etiam FP, *οἱ ἐπιμεληταὶ οἱ* Plutarch. ‖ **26** *φυτῶ* P¹, *φυτῶεν* P² | *σφισιν* om. P

παύσω τοῦτο γιγνόμενον. Νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται· ἀμπεχόμενοι γάρ, ἔφη, οἱ κρινόμενοι κρίνονται. Πολλοὶ οὖν, ἢ δ' ὅς, ψυχὰς πονηρὰς ἔχοντες ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες, μαρτυρήσοντες ὡς δικαίως βεβιώκασιν· οἱ οὖν δικασταὶ ὑπό τε τούτων ἐκπλήττονται, καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὑτῶν ὀφθαλμοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. Ταῦτα δὲ αὐτοῖς πάντα ἔμπροσθεν γίγνεται, καὶ τὰ αὐτῶν ἀμφιάσματα καὶ τὰ τῶν κρινομένων. Πρῶτον μὲν οὖν, ἔφη, παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προϊσασι. Τοῦτο μὲν δὴ καὶ εἴρηται τῷ Προμηθεῖ ὅπως ἂν παύσῃ αὐτῶν. Ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. Καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον πάντων τῶν συγγενῶν καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις ᾖ. Ἐγὼ μὲν οὖν ἐγνωκὼς πρότερος ἢ ὑμεῖς ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν, ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν· οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς Τάρταρον. Καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπόρρητόν τι ᾖ τῷ ἑτέρῳ, ἵνα

---

2. 3 post *κρίνονται* add. *ζῶντες γὰρ κρίνονται* Plat. ‖ **8** *πρὸ τῆς* Plat., *πρὸς τῆς* FP | *αὐτῶν* Plat. *B*, *αὐτῶν* FP ‖ **9** *προκεκαλυμμένος* P^1 | *δὴ* Plat. ‖ **10** *ἐπίπροσθεν* Plat. | *αὐτῶν* Plat., *αὐτῶν* FP ‖ **10. 11** *ἀμφιέσματα* Plat. ‖ **13** *μὲν οὖν καὶ δὴ* Plat. ‖ **15** *δεῖ* (ante *κρίνεσθαι*) P Plat., *δὴ* F ‖ **19** post *οὖν* add. *ταῦτα* Plat. ‖ **21** *δύο* – *Ἀσίας* om. F ‖ **23** *ἐν τῇ τριόδῳ* Plat. | *ἐξῆς* P ‖ **24** *φέρετον τὼ ὁδώ* Plat., *ἐφέρετον τῶν ὁδῶν* FP ‖ **25** *τοὺς μὲν* Plat., *τοῦ μὲν* FP ‖ **26** *τοῦ δὲ* P ‖ **27** *ἀπορῆτόν* (sic Meerm., *ἀπόρρητον BT*) *τι τὼ ἑτέρω* (*τῷ ἑτέρῳ T*) Plat. | *τι* om. P

ὡς δικαιοτάτη ᾖ κρίσις περὶ τῆς πορείας τοῖς ἀνθρώποις.

64 (58 H.) *Πλάτωνος Πολιτείας ι'* (p. 614^{B}—616^{C}).

Ἀλλ' οὐ μέντοι σοί, ἦν δ' ἐγώ, Ἀλκίνου γε ἀπόλογον ἐρῶ, ἀλλ' ἀλκίμου μὲν ἀνδρός, Ἠρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου· ὅς ποτε ἐν πολέμῳ τελευτήσας, ἀναιρεθέντων δεκαταίων τῶν νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς μὲν ἀνηρέθη, κομισθεὶς δ' οἴκαδε, μέλλων θάπτεσθαι, δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κείμενος ἀνεβίω, ἀναβιοὺς δ' ἔλεγεν ἃ ἐκεῖ ἴδοι. Ἔφη δέ· ἐπειδὴ οὖ ἐκβῆναι τὴν ψυχήν, πορεύεσθαι μετὰ πολλῶν καὶ ἀφικνεῖσθαι σφᾶς εἰς τόπον τινὰ δαιμόνιον, ἐν ᾧ τῆς τε γῆς δύο εἶναι χάσματα ἐχομένω ἀλλήλοιν καὶ τοῦ οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἄλλα κατ' ἀντικρύ. Δικαστὰς δὲ μεταξὺ τούτων καθῆσθαι, οὓς ἐπειδὴ δικάσειαν, τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ, σημεῖα περιάψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν, τοὺς δὲ ἀδίκους τὴν εἰς ἀριστεράν τε καὶ κάτω, ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα πάντων ὧν ἔπραξαν. Ἑαυτοῦ δὲ προσελθόντος εἰπεῖν, ὅτι δέοι αὐτὸν ἄγγελον ἀνθρώποις γενέσθαι τῶν ἐκεῖ καὶ διακελεύοιντό οἱ ἀκούειν τε καὶ θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ. Ὁρᾶν δὴ ταύτῃ μὲν καθ' ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς ἀπιούσας τὰς ψυχάς, ἐπειδὴ αὐταῖς δικασθείη, κατὰ δὲ τὼ ἕτερω ἐκ μὲν τοῦ ἀνιέναι ἐκ τῆς γῆς μεστὰς αὐχμοῦ τε καὶ κόνεως, ἐκ δὲ τοῦ ἑτέρου καταβαίνειν ἑτέρας ἐκ τοῦ οὐρανοῦ καθαράς. Καὶ τὰς ἀεὶ ἀφικνουμένας ὥσπερ ἐκ πολλῆς

---

1 ἡ κρίσις ᾖ Plat. | post κρίσις clausula in P, qui περὶ τῆς – ἀνθρώποις (2) ad sequentem titulum trahit ‖ 3 lemma F mrg, P in textu habet | ι' om. F ‖ 4 μέντι F ‖ 7 δεκαταίων P^{2} Plat., δὲ καταίων FP^{1} ‖ 8 δ' om. P | μᾶλλον P^{1} ‖ 10 οὖ Plat., οὖν FP ‖ 12 χάσματα F, χάσμετα P ‖ 13 ἄλλα Plat., ἀλλὰ FP ‖ 14 δὲ etiam in FP ‖ 15 διαδικάσειαν Plat. ‖ 16. 17 περιάψαντας Plat., περιᾰστράψαντας F, περιαστράψαντα P ‖ 17 δὲ δικασμένων P ‖ 18 καὶ (ante κάτω) om. P ‖ 23 ἕτερον P | τοῦ iterat P ‖ 24 τὼ ἑτέρω Plat., τῷ ἑτέρῳ FP

πορείας φαίνεσθαι ἴηκειν, καὶ ἀσμένας εἰς τὸν λειμῶνα ἀπιούσας οἷον ἐν πανηγύρει κατασκηνοῦσθαι, καὶ ἀσπάζεσθαί τε ἀλλήλας ὅσαι γνώριμαι, καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν ἑτέρων τὰ ἐκεῖ ⟨καὶ⟩ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ παρ' ἐκείναις. Διηγεῖσθαι δὲ ἀλλήλαις τὰς μὲν ὀδυρομένας τε καὶ κλαιούσας, ἀναμιμνησκομένας ὅσα τε καὶ οἷα πάθοιεν καὶ ἴδοιεν ἐν τῇ ὑπὸ γῆς πορείᾳ (εἶναι δὲ τὴν πορείαν χιλίετιν), τὰς δ' αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι καὶ θέας ἀμηχάνους τὸ κάλλος. Τὰ μὲν οὖν πολλά, ὦ Γλαύκων, πολλοῦ χρόνου διηγήσασθαι· τὸ δ' οὖν κεφάλαιον ἔφη τόδε εἶναι, ὅσα πώποτέ τινα ἠδίκησαν καὶ ὅσους ἕκαστος, ὑπὲρ ἁπάντων δίκην δεδωκέναι ἐν μέρει, ὑπὲρ ἑκάστου δεκάκις· τοῦτο δὲ εἶναι κατὰ ἑκατονταετηρίδα ἑκάστην, ὡς βίου ὄντος τοσούτου τοῦ ἀνθρωπίνου, ἵνα δεκαπλάσιον τὸ ἔκτισμα τοῦ ἀδικήματος ἐκτίνοιεν· καὶ οἷον εἴ τινες πολλοῖς θανάτων ἦσαν αἴτιοι, ἢ πόλεις προδόντες ἢ στρατόπεδα καὶ εἰς δουλείας ἐμβεβληκότες, ἤ τινος ἄλλης κακουχίας μεταίτιοι, πάντων τούτων δεκαπλασίας ἀλγηδόνας κομίσαιντο· καὶ αυ εἴ τινας εὐεργεσίας εὐεργετηκότες καὶ δίκαιοι καὶ ὅσιοι γεγονότες εἶεν, κατὰ ταὐτὰ τὴν ἀξίαν κομίζοιντο. Τῶν δ' εὐθὺς γενομένων καὶ ὀλίγον χρόνον βιούντων πέρι ἄλλα ἔλεγεν οὐκ ἄξια μνήμης. Εἰς δὲ θεοὺς ἀσεβείας τε καὶ εὐσεβείας καὶ γονέας καὶ αὐτόχειρας φόνου μείζους ἔτι τοὺς μισθοὺς διηγεῖτο. Ἔφη γὰρ δὴ καὶ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ ὑπὸ

---

2 κατασκηνοῦσθαι P Plat. quid., κατασκηνοῦσαι F, κατασκηνᾶσθαι Plat. opt. ‖ **3** τε transp. post κατασκηνοῦσθαι (2) P | γνώριμοι F ‖ **4** ἡκούσας etiam FP | καὶ addidi ex Plat. ‖ **6** κλειούσας P, κλαούσας Plat. opt. ‖ **7** οἷα F ‖ **8** χιλίετιν etiam Plat. *A* ‖ **12** ἕκαστοι Plat. ‖ **12. 13** ὑπεραπόντων F ‖ **13** ἐν μέρει om. P | ὅπερ P ‖ **14** ἑκονταετηρίδα P² Plat., ἑκοντατηρίδα FP¹ ‖ **15** τοῦ etiam in FP ‖ **16. 17** πολλῶν Plat. ‖ **19. 20** post ἀλγηδόνας add. ὑπὲρ ἑκάστου Plat. ‖ **21** ὅσοι P ‖ **22. 23** ὀλίγον χρόνον Plat., ὀλίγων χρόνων FP ‖ **25** φόνους P ‖ **26** δὴ Plat., δεῖ FP | καὶ om. F Plat. | παρεγενέσθαι F

ἑτέρου, ὅπου εἴη Ἀρδιαῖος ὁ μέγας. Ὁ δὲ Ἀρδιαῖος οὗτος τῆς Παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει, ἤδη χιλιοστὸν ἔτος εἰς ἐκεῖνον τὸν χρόνον, γέροντά τε πατέρα ἀποκτείνας καὶ πρεσβύτερον ἀδελφόν, ἄλλα τε πολλὰ καὶ ἀνόσια εἰργασμένος, ὡς ἔλεγεν. Ἔφη οὖν τὸν ἐρωτώμενον εἰπεῖν· "οὐχ ἥκει", φάναι, "οὐδ' ἂν ἥξει δεῦρο". Ἐθεασάμεθα γὰρ οὖν δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων. Ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν μέλλοντες ἀνιέναι, καὶ τἆλλα πάντα πεπονθότες, ἐκεῖνον τότε κατείδομεν ἐξαίφνης καὶ ἄλλους σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους· ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων. Οὓς οἰομένους ἤδη ἀναβήσεσθαι οὐκ ἐδέχετο τὸ στόμιον, ἀλλ' ἐμυκᾶτο, ὁπότε τις τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην ἐπιχειροίη ἀνιέναι. Ἐνταῦθα δὴ ἄνδρες, ἔφη, ἄγριοι, διάπυροι ἰδεῖν, παρεστῶτες καὶ καταμανθάνοντες τὸ θέμα, τοὺς μὲν ἰδίᾳ λαβόντες ἦγον, τὸν δὲ Ἀρδιαῖον καὶ ἄλλους συμποδίσαντες χεῖράς τε καὶ πόδας καὶ κεφαλήν, καταβαλόντες καὶ ἐκδείραντες, εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάμπτοντες, καὶ τοῖς ἀεὶ παριοῦσι σημαίνοντες, ὧν ἕνεκά τι, καὶ ὅτι εἰς τὸν Τάρταρον ἐμπεσούμενοι ἄγοιντο. Ἔνθα δὴ φόβων πολλῶν καὶ παντοδαπῶν σφίσι γεγονότων τοῦτον ὑπερβάλλειν, μὴ γένοιτο ἑκάστῳ τὸ φθέγμα ὅτε ἀναβαίνοι, καὶ ἀσμενέστατα σιγήσαντος ἀναβῆναι. Καὶ τὰς μὲν δὴ δίκας τε καὶ τιμωρίας τοιαύτας τινὰς εἶναι, καὶ

---

4 *καὶ ἄλλα δὴ πολλά τε* Plat. ‖ **5** *ἐλέγετο* Plat. ‖ **6** *ἥξει* etiam FP ‖ **9** *ἐκεῖνόν τε* Plat. ‖ **13** post *τῶν* add. *ὄντων* P | *οὕτως* P² Plat., *ὄντως* FP¹ ‖ **14** *μὴ* Plat., *μὴν* FP | *ἐπιχειρεῖν* FP, *ἐπιχειροῖ* Plat.: *ἐπιχειροίη* Meineke ‖ **15** *δὴ* etiam in FP ‖ **16** *φθέγμα* Plat. ‖ **16. 17** *μὲν διαλαβόντες* Plat. opt. ‖ **18** *καταβαλλόντες* P ‖ **19** *ἀσπελάθρων* P, hic in F mrg *φυτὸν ἀκανθῶδες* ‖ **20** *κνάμπτοντες* (vel *κνάπτοντες*) Plat., *κατάμπτοντες* FP ‖ **20. 21** *ὧν ἕνεκά τε ταῦτα ὑπομένοιεν καὶ εἰς ὅτι* (vulgo *καὶ ὅτι*) *εἰς τὸν Τάρταρον* Plat. ‖ **21** *ἐμπεσούμενοι* Plat., *ἐκπεσούμενοι* FP ‖ **22** post *φόβων* add. *ἔφη* Plat. ‖ **23** post *ὑπερβάλλειν* add. *τὸν φόβον* Plat. quid. ‖ **24** *ἀναβαίνει* P | post *ἀσμενέστατα* add. *ἕκαστον* Plat. | *σιγήσαντος* Plat., *σιγήσαντες* FP

αυ τὰς εὐεργεσίας ταύταις ἀντιστρόφους· ἐπειδὴ δὲ τοῖς ἐν τῷ λειμῶνι ἑκάστοις ἑπτὰ ἡμέραι γένοιντο, ἀναστάντας ἐντεῦθεν δεῖν τῇ ὀγδόῃ πορεύεσθαι καὶ ἀφικνεῖσθαι τεταρταίους, ὅθεν καθορᾶν ἄνωθεν διὰ παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον φῶς εὐθύς, οἷον κίονα, μάλιστα τῇ Ἰριδι προσφερῆ, λαμπρότερον δὲ καὶ καθαρώτερον. Εἰς ὃ ἀφικέσθαι προελθόντες ἡμερησίαν ὁδόν, καὶ ἰδεῖν αὐτόθι κατὰ μέσον τὸ φῶς ἐκ τοῦ οὐρανοῦ τὰ ἄκρα αὐτοῦ τῶν δεσμῶν τεταμένα.

65 (59 H.) ⟨*Ἰαμβλίχου ἐκ τοῦ περὶ ψυχῆς.*⟩

Πλωτῖνος δὲ καὶ οἱ πλεῖστοι τῶν Πλατωνικῶν ἀπόθεσιν τῶν παθῶν καὶ τῶν μορφωτικῶν διαγνώσεων, δόξης τε πάσης ὑπεροψίαν [τε] καὶ τῶν ἐνύλων διανοήσεων ἀπόστασιν, πλήρωσίν τε ἀπὸ νοῦ καὶ τοῦ ὄντος, ἀφομοίωσίν τε τοῦ κατανοουμένου πρὸς τὸ κατανοοῦν τὴν
[1058] *τελεωτάτην κάθαρσιν ὑπολαμβάνουσιν. Ἔνιοι δὲ καὶ τούτων πολλάκις ἀποφαίνονται περὶ τὴν ἄλογον ψυχὴν καὶ τὸν δοξαστικὸν λόγον ἐμφύεσθαι τὴν κάθαρσιν· τὸν δὲ λόγον αὐτὸν τὸν οὐσιώδη καὶ τὸν νοῦν τῆς ψυχῆς ἀεὶ ὑπερέχειν τοῦ κόσμου καὶ συνῆφθαι τοῖς νοητοῖς αὐτὸν καὶ οὐδέποτε δεῖσθαι τελειώσεως καὶ ἀπολύσεως τῶν περιττῶν.*

Ἀλλὰ δὴ τὸ μετὰ τοῦτο διελώμεθα, ὑπὸ τίνων ἕκαστα τούτων ἐπιτελεῖται, τὸ τῆς κρίσεως λέγω, τὸ τῆς δίκης ἔργον, τὸ τῆς καθάρσεως. Ὡς μὲν δὴ οἱ πλεῖστοι Πυθαγόρειοι καὶ Πλατωνικοὶ λέγουσιν, ὑπ' αὐτῶν τῶν μεριστῶν ψυχῶν· ὡς δὲ οἱ ἀκριβέστεροι ἐν αὐτοῖς, ὑπὸ τῶν καθολικωτέρων καὶ τελειοτέρων ψυχῶν καὶ τῆς μιᾶς καὶ ὅλης ψυχῆς καὶ τῆς τάξεως τοῦ παντὸς καὶ τοῦ νοῦ τοῦ βασιλεύοντος καὶ τῆς ὅλης διακοσμήσεως·

---

1 *ταύταις* Plat., *ταύτας* FP ‖ **2** *ἀναστάντας* Plat., *ἀναστάντες* FP ‖ **3** *δεῖ* P ‖ **6** *προσφερῆ* etiam Plat. *A* ‖ **7** *προελθόντες* etiam Plat. *A* ‖ **10** lemma quod om. FP (sed in P *πλωτίνου καὶ ἑτέρων*) addidi post Canterum ‖ **13** *τε* ante *καὶ* seclusi ‖ **14** *ἀπόστασιν* Heeren ‖ **16** post *ὑπολαμβάνουσιν* clausula in F ‖ **18** *ἐμφύεσθαι* P, *ἐφίεσθαι* F: *στρέφεσθαι* Usener ‖ **21** *ἔδεσθαι* F, *ἔσεσθαι* P: *δεῖσθαι* Heeren

ὡς δ' οἱ ἀρχαιότεροι διατείνονται, ⟨ὑπὸ⟩ τῶν ἐμφανῶν θεῶν, καὶ μάλιστα δὴ πάντων ἡλίου, τῶν τε δημιουργικῶν αἰτιῶν τῶν ἀφανῶν, τῶν τε κρειττόνων γενῶν πάντων, ἡρώων φημὶ καὶ δαιμόνων καὶ ἀγγέλων καὶ θεῶν, ἐξηγουμένων αὐτῶν τῆς ὅλης συστάσεως. [1060]

Τί ποτε οὖν αὐτῶν ἐστι τὸ τέλος, οὗ ἕνεκα πρώτως [αὐτῶν] ὑφεστήκασι; Κρίσεως μὲν ἄμικτος καθαρότης τῶν ἀγαθῶν, χωριστή τε αὐτῶν τῶν καλῶν τελεότης, ἀφεστηκυῖα τὸ παράπαν ἀπὸ τῶν ἀτελῶν, ὑπερβολή τε ἐξηρημένη τῶν κρειττόνων αὐτὴ ἑαυτῇ, πρὸς ἣν οὐδὲν δύναται συντάττεσθαι τῶν χειρόνων οὐδέποτε. Καὶ ταῦτα τοῖς παλαιοτέροις ἀρέσκει τὰ κεφάλαια αὐτῆς, ἄλλοις δ' ἂν ἴσως εὐταξία καὶ διάστασις τοῦ χείρονος ἀπὸ τοῦ βελτίονος καὶ τὰ τοιαῦτα μᾶλλον ἂν δόξειεν εἶναι κυριώτερα τῆς ὠφελείας αὐτῆς αἴτια. Δίκης δ' ἂν εἴη τὸ τέλεον ἐν τῷ τὰ βελτίονα τῶν χειρόνων ἐπικρατεῖν καὶ ἐν τῷ τὸ κακὸν κολούειν καὶ ἀνατρέπειν καὶ ἀφανίζειν τὸ παράπαν καὶ ἐν τῷ τὴν ἀνάλογον καὶ κατ' ἀξίαν ἰσότητα τοῖς πᾶσιν ἀπεργάζεσθαι. Πρὸς δὴ ταῦτα δοκοῦντα τοῖς πρεσβυτέροις οἳ μὲν τὴν κατ' ἀριθμὸν ἰσότητα ἢ πολλαπλασίοσιν, οἳ δὲ τὸ ἀντιπάσχειν τὰ αὐτὰ ἅπερ οἱ δράσαντες προηδίκησαν, οἳ δὲ τὴν ἀπαλλαγὴν τῆς κακίας, οἳ δὲ ἄλλο τι τοιοῦτον ὑποτίθενται ἀπ' αὐτῆς τὸ λυσιτελοῦν, καὶ περὶ ταύτας τὰς αἱρέσεις ἑλίσσονται οἱ πολλοὶ Πλατωνικοὶ καὶ Πυθαγόρειοι. Καὶ μὴν τῆς γε καθάρσεως ἀφαίρεσις τῶν ἀλλοτρίων, ἀπόδοσις τῆς οἰκείας οὐσίας, τελειότης, ἀποπλήρωσις, αὐτάρκεια, ἄνο- [1062] p. 144 C.

---

1 ὑπὸ add. Heeren ‖ 5 αὐτῶν suspectum ‖ 7 αὐτῶν seclusi, nisi mavis αὗται scribere ‖ 9 τῶν om. P ‖ 10 αὐτὴ ἡ αὐτή FP: αὐτὴ ἑαυτῇ Heeren tamquam ex Vat. Aug. ‖ 11 χειρόνων. οὐδέποτε FP | post οὐδέποτε add. δὲ Heeren | κατὰ FP: Καὶ Usener ‖ 15 δ' ἂν F, κἂν P ‖ 16 δέον FP: τέλεον Usener ‖ 17 καλὸν FP: corr. Canter mrg | κολούειν F, κωλύειν P ‖ 18 fort. melius ἀνὰ λόγον ‖ 19 post ταῦτα add. τὰ Heeren ‖ 20 post πρεσβυτέροις clausula in F | οἶμαι P, ἶμαι F (litt. init. pro rubr. rel.): οἳ μὲν Canter mrg ‖ 25 post Πυθαγόρειοι clausula in FP ‖ 27 ἀναπλήρωσις Heeren

δος ἐπὶ τὴν γεννησαμένην αἰτίαν, συναφὴ πρὸς τὰ ὅλα τῶν μερῶν, δόσις ἀπὸ τῶν ὅλων εἰς τὰ μεριστὰ δυνάμεως καὶ ζωῆς καὶ ἐνεργείας καὶ τὰ τοιαῦτα νοείσθω ὡς πάντων χρησιμώτατα. Οἱ δὲ οὐ πείθονται τοῖς ἀρχαιοτέροις ταῦτα προστησαμένοις αὐτῆς τὰ ὄντως συμφέροντα, λύσιν δὲ ἀπὸ σώματος καὶ ἀπαλλαγὴν τῶν καταδέσμων καὶ φθορᾶς ἐλευθέρωσιν καὶ γενέσεως ἄφεσιν καὶ τὰ τοιαῦτα σμικρὰ τέλη προΐστανται αὐτῆς, ὡς τὰ προέχοντα τῶν ὅλων, ἐν οἷς εἰσιν οἱ πολλοὶ Πλατωνικοὶ καὶ Πυθαγόρειοι, ἄλλοι κατ' ἄλλας αἱρέσεις διεστηκότες.

Ἔτι δὲ τὰ πέρατα τῶν τριῶν τούτων διελώμεθα, μέχρι πόσου δή τινος ἀποτελευτᾷ αὐτῶν ἕκαστον. Κρίνονται μὲν δὴ μέχρι τοῦδε αἱ ψυχαί, μέχρις ὅσου συντάττονται εἰς τὴν γένεσιν καὶ τοῦ παντὸς οὐκ ἀφίστανται καὶ συμμίγνυνταί πως πρὸς τὰ διαφέροντα· αἱ δὲ ἀφει-
[1064] μέναι ἀπόλυτοι καὶ ἀμιγεῖς καὶ ἀδέσποτοι παντελῶς καὶ αὐταὶ ἑαυτῶν οὖσαι καὶ πεπληρωμέναι τῶν θεῶν ὁμοῦ καὶ τῆς κρίσεως παντάπασιν ἀπελύθησαν. Οὐ μὴν ἔτι γε τοῖς ἀρχαιοτέροις περὶ τοῦδε συμφωνοῦσιν οἱ Πλατωνικοὶ καὶ Πυθαγόρειοι, πάσας δὲ αὐτὰς ὑπάγουσιν ὑπὸ τὴν κρίσιν. Ὡσαύτως δὴ οὖν καὶ περὶ τῆς δίκης οἱ μὲν παλαιότεροι τὰς ἀχράντους ψυχὰς καὶ τὰς ὁμονοητικῶς συναφθείσας τοῖς θεοῖς ἐντεῦθεν ἤδη τοῖς θεοῖς ἐντιθέασι καὶ ἐκβαινούσας τῶν σωμάτων ἄνευ τῆς δίκης ἀνάγουσιν εἰς τοὺς θεούς· οἱ δὲ Πλατωνικοὶ πάσας μετὰ τὴν δίκην εἰς τὴν οὐσίαν ἀπὸ τῆς γενέσεως ἀπολύουσι. Γένοιτο δ' ἂν καὶ περὶ τῆς καθάρσεως ἡ

---

5 ὄντα (α corr. in ως) P ‖ 9 οἱ om. Heeren ‖ 11 post διεστηκότες clausula in FP ‖ 12 δὲ om. P ‖ 14 μέχρι τοῦδε αἱ ψυχαί om. Heeren | ὅσου FP: ὅσον vulg. cum Heereno ‖ 15 τὴν om. F ‖ 16. 17 ἀφέμεναι FP: corr. Usener ‖ 17 num ἀπόλυτοι secludendum? ‖ 17. 18 καὶ αὗται FP: corr. Heeren ‖ 18 τῶν θείων Meineke ‖ 19 post ἀπελύθησαν clausula in FP ‖ 22 post κρίσιν clausula in FP | δὴ οὖν καὶ] μὲν οὖν Heeren ‖ 24 αὐτόθεν Usener ‖ 26 post τοὺς θεούς clausula in FP ‖ 28 post ἀπολύουσι clausula in F | καὶ om. Heeren

αὐτὴ ἀμφισβήτησις, ⟨εἰ⟩ οἱ αὐτοὶ μὲν ἄνδρες καὶ ταύτης ὑπερέχειν φασὶ τὰς ψυχὰς ὅσαι θεοῖς συνέπονται, οἱ δ' ἄλλοι πάλιν οἳ μὲν περιόδους τῆς ψυχῆς περικοσμίους καθάρσεως εἶναι διατάττονται, ὥσπερ τινὲς Πλατωνικοί, οἳ δὲ καὶ τούτων αὐτὴν ὑπερέχουσαν προτάττουσιν, ὥσπερ δὴ λέγει Πλωτῖνος.

67 (60 H.) *Ἐν ταὐτῷ.*

*Περὶ τῆς ἐπικαρπίας τῶν ψυχῶν, ἣν νομίζονται εἰσαῦθις, ἐπειδὰν ἐξέλθωσι τοῦ σώματος *, ἰσαγγέλους δὲ καὶ ἀγγελικὰς ψυχὰς *, τὸ ὅλον δὴ τοῦτο οἱ πρεσβύτεροι *. Καὶ τηροῦσι μὲν αὐτὴν ἐπὶ τῆς οἰκείας τάξεως Πλούταρχος καὶ Πορφύριος καὶ οἱ παλαιότεροι· Πλωτῖνος* [1066] *δὲ πάντων τούτων αὐτὴν ἀφίστησιν. Οἱ δ' ἀρχαιότεροι παραπλησίαν τοῖς θεοῖς κατὰ νοῦν διάθεσιν ἀγαθοειδῆ καὶ προστασίαν τῶν τῇδε αὐτῇ ἀπονέμουσι καλῶς, Πορφύριος δὲ καὶ τοῦτο ἀπ' αὐτῆς ἀφαιρεῖ. Τῶν δὲ πρεσβυτέρων τινὲς ὑπερέχειν μὲν αὐτὴν λογισμοῦ φασι, τὰ δὲ ἔργα αὐτῆς οὕτω διηκριβωμένα ἀφορίζονται, ὡς οὐκ ἂν ἐξεύροι τῶν λογισμῶν ὁ καθαρὸς καὶ τελειότατος. Πορφύριος δὲ αὐτὰς ἀφαιρεῖ παντάπασιν ἀπὸ τῆς ἀδεσπότου ζωῆς, ὡς οὔσας συμφυεῖς τῇ γενέσει καὶ πρὸς ἐπικουρίαν δοθείσας τοῖς συνθέτοις ζῴοις. Ὁ δὲ παρὰ Πλάτωνι Τίμαιος ἥπερ ἐσπάρησαν διαφερόντως ὑπὸ τοῦ δημιουργοῦ, ἄλλαι μὲν εἰς ἥλιον, ἄλλαι δὲ εἰς γῆν, ταύτῃ καὶ τὴν ἄνοδον αὐτὰς ἀνάγει, μὴ ὑπερβαινούσας*

---

1 *εἰ* add. Usener | post *οἱ* add. *γὰρ* Heeren ‖ **2** *συνέπονται* FP: *συνάπτονται* Canter ‖ **8** *περὶ τῆς – τοῦ σώματος* (9) tituli instar post *ἐν ταὐτῷ* (7) ponunt FP ‖ **8. 9** *εἰς αὖτις* F ‖ **9. 10** haec mutilata admodum (nam ne *αὐτὴν* [v. 11] quidem habet quo referatur); itaque tres lacunas statui ‖ **9** *δὲ*] *τε* Heeren, del. Meineke vel post *ψυχὰς* (10) add. *ἔλθωσι* | *εἰς ἀγγέλους* FP: *ἰσαγγέλους* Usener ‖ **10** *δὴ τοῦτο*] *διᾴδουσιν* Heeren cum Cantero int. | post *οἱ πρεσβύτεροι* lacunam statuit Meineke ‖ **12** *οἱ Πλατωνικοί* Heeren, debuit certe ⟨*ἄλλ*⟩*οι Πλατωνικοί* | post *παλαιότεροι* in FP clausula ‖ **13** *ἀφίστασιν* P¹ ‖ **15** post *καλῶς* in FP clausula ‖ **16** *τούτους* FP: *τοῦτο* Heeren ‖ **19** *ἐξεύρῃ* F | post *τελειότατος* in FP clausula ‖ **22** post *ζῴοις* clausula in FP ‖ **23** *ᾗ παρεσπάρησαν* Usener | *ἥπερ* FP: corr. Canter ‖ **25** *ὑπερβαίνουσαν* FP: corr. Usener

τὸν ὅρον τῆς οἰκείας ἑκάστην πρόσθεν δημιουργικῆς καταβολῆς.

Ἕνωσιν μὲν οὖν καὶ ταὐτότητα ἀδιάκριτον τῆς ψυχῆς πρὸς τὰς ἑαυτῆς ἀρχὰς πρεσβεύειν φαίνεται Νουμήνιος (fr. 51 p. 70 Theding.), σύμφυσιν δὲ καθ' ἑτέραν οὐσίαν οἱ
[1068] πρεσβύτεροι διασῴζουσι. Καὶ ἀναλύσει μὲν ἐκεῖνοι, συντάξει δὲ οὗτοι προσεοίκασι· καὶ οἱ μὲν ἀδιορίστῳ συναφῇ, οἱ δὲ διωρισμένῃ χρῶνται. Οὐ μέντοι κρατεῖται ὁ διορισμὸς αὐτῶν ὑπὸ τοῦ κόσμου ἢ κατέχεται ὑπὸ τῆς φύσεως, ὥσπερ τινὲς τῶν Πλατωνικῶν ὑπειλήφασιν·
p. 145 C. ἀνεῖται δὲ πάντῃ ἀφ' ὅλων, ὥσπερ ἐπὶ τῶν ἀχωρίστων οὐσιῶν τοῦτο νοοῦμεν. Οἱ δὲ περὶ Πορφύριον ἄχρι τῶν ἀνθρωπίνων βίων * *· τὸ δ' ἀπὸ τούτου ψυχῶν ἄλλο εἶδος τὸ ἀλόγιστον ὑποτίθενται. Ἔτι τοίνυν Πορφύριος μὲν ἀφομοιοῖ τὴν ψυχὴν τοῖς πᾶσι, μένουσαν καθ' ἑαυτὴν ἥτις ἐστίν. Κατὰ δὲ τοὺς Πλατωνικοὺς ἐπιμελοῦνται τῶν ἀψύχων. Ἀπολυθεῖσαι δὲ τῆς γενέσεως κατὰ μὲν τοὺς παλαιοὺς συνδιοικοῦσι τοῖς θεοῖς τὰ ὅλα, κατὰ δὲ τοὺς Πλατωνικοὺς θεωροῦσιν αὐτῶν τὴν τάξιν· καὶ ἀγγέλοις ὡσαύτως κατ' ἐκείνους μὲν συνδημιουργοῦσι τὰ ὅλα, κατὰ δὲ τούτους συμπεριπολοῦσιν.

[1070] 68 (61 H.) Ἑρμοῦ λόγος Ἴσιδος πρὸς Ὧρον (p. 34 b Patrit.).

"Θαυμαστῶς", εἶπεν Ὧρος, "ἕκαστά μοι διηγήσω, ὦ μέγα δυναμένη τεκοῦσα Ἶσι, ὑπὲρ τῆς θαυμαστῆς ψυχο-

---

1 τῆς οἰκείας vulg. cum Heereno post ἑκάστην transp. | ἕκαστον FP: corr. Heeren tamquam ex Aug. | πρὸς τῆς FP: πρόσθεν scripsi, ⟨τάξεως⟩ πρὸς τῆς Heeren ‖ **1. 2** post καταβολῆς clausula in FP ‖ **3** (ἕ)νωσιν F, ἕνωσιν P^2, ἑνῶσι P^1 ‖ **5** σύμφησιν P ‖ **7** προσεοίκασι corruptum ‖ **8** συναφεῖ FP: corr. Heeren | διαχωρισμένῃ F ‖ **9** αὐτῶν om. P | κόσμου in ras. F ‖ **10** πλατωνικῶν in ras. F ‖ **12** post νοοῦμεν clausula in FP ‖ **13** post βίων lacunam statui cum Heereno ‖ **15** μενούσης F ‖ **16** αὐτὴν F | post ἐστίν clausula in FP ‖ **17** num ἐπιμελοῦνται ⟨καὶ⟩? ‖ **19** θεωροῦσιν FP: τηροῦσιν Heeren, qui debuit certe αὐτῶν scribere ‖ **22** ὥρου πρὸς ἴσιν P

ποιίας τοῦ θεοῦ καὶ θαυμάζων διατελῶ· οὔπω δέ μοι ἀπήγγειλας ποῦ τῶν σωμάτων ἀπολυθεῖσαι χωροῦσιν αἱ ψυχαί. Βούλομαι οὖν καὶ τῆς θεωρίας ταύτης μύστης γενόμενος εὐχαριστῆσαι σοὶ μόνῃ, ἀθάνατε μῆτερ."

Καὶ εἶπεν Ἶσις· Πρόσεχε, παῖ· ἀναγκαιοτάτη γὰρ ζήτησις αὕτη· ἀλλ' ὧδε γὰρ ἐρεῖ λόγος ἐμός. Τὸ συνεστὸς καὶ μὴ ἀφανιζόμενον χῶρον ἔχει. Οὐ γάρ, ὦ θαυμαστὲ καὶ μεγάλου πατρὸς Ὀσίρεως μέγα τέκνον, ἀκρίτως καὶ ὁρμηδὸν τῶν σωμάτων προελθοῦσαι εἰς ἀέρα ἀναχύνονταί τε καὶ διασκεδάννυνται μετὰ τοῦ ἄλλου ἀπείρου πνεύματος, ὥστε οὐκέτι δύνασθαι πάλιν τὰς αὐτὰς οὔσας εἰς σώματα παλινδρομῆσαι, ἀλλὰ μηδὲ εἰς ἐκεῖνον ἔτι τὸν χῶρον [εἶναι], ὅθεν ἦλθον τὸ πρότερον, ἀναστρέφειν· καθάπερ οὐδὲ τὸ λαμβανόμενον ἐκ τῶν κάτω ἀγγείων ὕδωρ ἔτι τοὺς αὐτοὺς τόπους ὅθεν ἐλήφθη ἐπέχειν ἐστὶ [1072] δυνατόν, ἀλλ' οὐδ' αὐτὸ παραυτίκα λαμβανόμενον καὶ χεόμενον τὴν ἰδίαν λαμβάνει χώραν, πλὴν ἀναμίγνυται τῷ παντὶ τοῦ ὕδατος χύματι. Ἀλλ' οὐκ ἔχει οὕτως, ὦ μεγαλόφρων Ὥρε. Μύστης δὲ ὥσπερ τῆς ἀθανάτου φύσεως καὐτὴ τυγχάνουσα καὶ ἀδευκυῖα διὰ τοῦ πεδίου τῆς Ἀληθείας διεξελεύσομαί σοι τῶν ὄντων τὸ καθ' ἕκαστον, ἐκεῖνό σοι φήσασα πρῶτον, ὡς δὴ τὸ ὕδωρ σῶμά ἐστιν ἄλογον, ἐκ πολλῶν συγκριμάτων παρατεθλιμμένον εἰς χύσιν, ἡ δὲ ψυχὴ πρᾶγμα ἰδιοφυές, τέκνον, καὶ βασιλικὸν

---

2 ποῖ Meineke ‖ 4 μόνῃ Patr., μόνη FP, quod vulgo ad μῆτερ referunt | ἀθάνατος P ‖ 7 ἀλλ' ὧδε – ἐμός post ἔχει (8) ponunt FP Patr.: huc transposui | γὰρ om. Patr. | post ἐμός clausula in FP, qui tituli instar add. ποῦ τῶν σωμάτων ἀπολυθεῖσαι διατρίβουσιν αἱ ψυχαί. ‖ 8 ὦ om. Patr. ‖ 10 ἐξελθοῦσαι Patr. ‖ 10. 11 ἀναχύνονται FP: ἀναλύονται vulg. cum Cant. et Patr. ‖ 12 ὥστε P^2 mrg, εἶτα FP^1 Patr. ‖ 14 εἶναι seclusit Heeren; num ἔχειν? | τὸ om. Patr. Cant. ‖ 16 εἰς FP, ὡς Patr.: ἔτι (vel εἶτα) Heeren | ἐπιχεῖν Meineke εἰς servato ‖ 17. 18 καὶ χεόμενον om. P Patr. ‖ 18 ἀναλαμβάνει Meineke ‖ 19 χείματι Patr. ‖ 20 μύστας Patr. Cant. | τῆς FP Patr.: τις Gaisford ex Vatic., τις τῆς Heeren tamquam ex Vat. ‖ 24 παραθλιμμένον P Patr.

καὶ ἔργον τῶν τοῦ θεοῦ χειρῶν τε καὶ νοῦ, αὐτό θ' ἑαυτῷ εἰς νοῦν ὁδηγούμενον. Τὸ τοίνυν ἐξ ἑνὸς καὶ οὐκ ἐξ ἄλλου ἀδύνατον ἑτέρῳ ἀναμιγῆναι· ὅθεν δεῖ καὶ τὴν πρὸς τὸ σῶμα αὐτῆς σύνοδον ἁρμονίαν θεοῦ ὑπὸ ἀνάγκης γενομένην εἶναι. Ὅτι δὲ οὔτε εἰς ἕνα καὶ τὸν αὐτὸν τόπον χυδαίως, οὔτε εἰκῇ καὶ ὡς ἔτυχεν, ἀλλὰ ἑκάστη ἐπὶ τὴν ἰδίαν ἀναπέμπεται χώραν, φανερὸν καὶ ἐξ ὧν ἔτι ἐν τῷ σώματι οὖσα καὶ τῷ πλάσματι πάσχει [γὰρ] παρὰ τὴν ἰδίαν φύσιν πεπαχυμμένη.

Ἀλλὰ καὶ πρόσχες, ὦ περιπόθητε Ὥρε, τῷ λεγομένῳ ὁμοιώματι. Φέρε γὰρ εἰς ἓν καὶ τὸ αὐτὸ συσχετήριον ἐγκεκλεῖσθαι ἀνθρώπους τε καὶ ἀετοὺς καὶ περιστερὰς καὶ κύκνους καὶ ἱέρακας καὶ χελιδόνας καὶ στρουθοὺς
[1074] καὶ μυίας καὶ ὄφεις καὶ λέοντας καὶ παρδάλεις καὶ λύκους καὶ κύνας καὶ λαγωοὺς καὶ βόας καὶ ποίμνια καί τινα τῶν τῆς κοινότητος ἐχομένων ζῴων, οἱονεὶ φώκας καὶ ἐνύδρεις καὶ χελώνας καὶ τοὺς ἡμετέρους κροκοδείλους· ἔπειτα τούτους, ὦ τέκνον, ὑπὸ μίαν ῥοπὴν ἀπολυθῆναι τοῦ συσχετηρίου, ⟨οὐ⟩ πάντως τραπήσονται ὁ μὲν ἄνθρωπος εἴς τε ἀγορὰς καὶ στέγας; ὁ δὲ ἀετὸς εἰς τὸν αἰθέρα, ὅπου καὶ φύσιν ἔχει διαιτᾶσθαι; αἱ δὲ περιστεραὶ εἰς τὸν πλησίον ἀέρα; οἱ δὲ ἱέρακες ὑπεράνω τούτων; αἱ δὲ χελιδόνες οὐχὶ ὅπου ἂν οἰκῶσιν ἄνθρωποι; οἱ δὲ στρουθοὶ περὶ τὰ καρποφόρα τῶν δένδρων; οἱ δὲ κύκνοι ὅπου ἔξεστιν αὐτοῖς ᾄδειν, αἱ δὲ μυῖαι περὶ αὐτὴν τὴν γῆν,
p. 146 C. τοσοῦτον αὐτῆς ἀπέχουσαι ὅσον ἀναβῆναι δύνανται ἀνθρώπων τῇ ὀσμῇ (ἀνθρωπόλιχνον γὰρ ἰδίως, ὦ τέκνον, ἐστὶν ἡ μυῖα καὶ χαμαιπετές); οἱ δὲ λέοντες καὶ παρδάλεις οὐκ ἐπὶ τὰ ὄρη; οἱ δὲ λύκοι ἐπὶ τὰς ἐρημίας; οἱ δὲ

---

1 τε om. P Patr. | αὐτῷ FP: αὐτό Patr. Cant. ‖ **3** δὴ FP Patr.: δεῖ Heeren ‖ **6** οὔτε ὡς Patr. | ἑκάστην Patr. Cant. ‖ **7** ἀναπέμπονται Patr. Cant. | ἔτι FP², ἐστιν P¹ Patr. ‖ **8** γὰρ seclusit Heeren, ⟨πάσχει⟩ γὰρ Gaisford ‖ **9** πεπαχυμένη F ‖ **11** συγχετήριον P¹ ‖ **15** καὶ λαγωοὺς om. Patr. Cant. ‖ **16** καινότητος Patr. Cant. ‖ **19** οὐ add. Meineke ‖ **23** οὐχὶ del. Heeren, οὐχ ᾗ Gaisford (om. ὅπου) | ὅπου om. F ‖ **27** an αἱ ὀσμαί? ‖ **29** οὐκ om. Patr. Heer.

κύνες κατ᾽ ἴχνος ἀνθρώπων; ⟨οἱ⟩ λαγωοὶ δὲ ⟨εἰς⟩ δρυμοὺς καὶ ⟨οἱ⟩ βόες ⟨εἰς⟩ αὐλιστήρια καὶ πεδία; καὶ εἰς τὰς νομὰς τὰ ποίμνια; οἱ δὲ ὄφεις εἰς τὰ μύχια τῆς γῆς; ⟨αἱ⟩ φῶκαι δὲ καὶ χελῶναι μετὰ τῶν ὁμοίων εἰς βάθη καὶ νάματα, ὡς μὴ πεδιάδος γῆς στεροῖντο μηδὲ τοῦ συγγενοῦς ἀπολειφθεῖεν ὕδατος, ἑκάστου εἰς τὴν οἰκείαν χώραν ὑπὸ τοῦ ἔνδον κριτηρίου ἀνατρεπομένου; Οὕτως ἑκάστη ψυχὴ καὶ ἀνθρωπευομένη καὶ ἄλλως ἐπιγεΐζουσα οἶδεν ὅπου πορευτέον αὐτῇ ἐστι, πλὴν εἰ μή τις τῶν [1076] Τυφωνίων, ὦ τέκνον, παρελθὼν λέγοι, ὅτι δυνατὸν ταῦρον μὲν ἐν βυθῷ, ἐν δὲ ἀέρι χελώνην διαζῆν. Εἰ δὴ τοῦτο πάσχουσι σαρκὶ καὶ αἵματι βεβαπτισμέναι, ὡς μηδὲν παρὰ τάξιν πράσσειν κἂν κολάζωνται (κόλασις γὰρ αὐταῖς ἡ ἐνσωμάτωσις), πόσου πλέον βαπτισμοῦ καὶ κολάσεως * * καὶ ἐλευθερίας ἰδίας μετασχοῦσαι; Ἔχει δὲ ἡ διάταξις ἡ ἱερωτάτη οὕτως.

Ἤδη ποτὲ ἄνω, μεγαλοφυέστατε παῖ, βλέπε ψυχῶν διατάξεις· τὸ ἀπ᾽ οὐρανοῦ κορυφῆς μέχρι σελήνης θεοῖς καὶ ἄστροις καὶ τῇ ἄλλῃ προνοίᾳ σχολάζει· τὸ δὲ ἀπὸ σελήνης, ὦ τέκνον, ἐφ᾽ ἡμᾶς ψυχῶν ἐστιν οἰκητήριον. Ἔχει μέντοι ἐν ἑαυτῷ ὁδὸν ὁ τοσοῦτος ἀήρ, ὃν ἄνεμον καλεῖν ἔθος ἐστὶν ἡμῖν, ἴδιον μέγεθος ἐν ᾧ κινεῖται πρὸς ἀνάψυξιν τῶν ἐπιγείων, ὃ δὴ καὶ ὕστερον ἐρῶ· κατ᾽ οὐδένα μέντοι τρόπον πρὸς ἑαυτὸν κινούμενος ἐμπόδιον γίγνεται ψυχαῖς· κινουμένου γὰρ τούτου ἐξὸν ψυχαῖς ἀναίσσειν καὶ καταίσσειν, ὡς ἂν τύχῃ, ἀδιακωλύτως.

---

1. 2 οἱ ante λαγωοὶ et εἰς ante δρυμοὺς add. Meineke ‖ 2 καὶ] χἀι Meineke | οἱ (ante βόες) addidi | εἰς ante αὐλιστήρια add. Meineke | καὶ (ante πεδία) add. Patr. P², om. FP¹ ‖ 4 αἱ add. Meineke ‖ 6 ἕκαστον P Patr. ‖ 7 ἀνατρεπόμενον Patr., ἀνατρεπόμενα P² ‖ 8 ψυχὴ ἡ καὶ P ‖ 9 ὅποι Meineke | ἐστιν αὐτῇ P Patr. ‖ 10 τυφωνικῶν Meineke | παρελθών τε Patr. (παρελθὼν δὲ Cant.) ‖ 11 ἐν δὲ P², ἐν P¹ Patr., καὶ ἐν F ‖ 12 σαρκὶ FP Patr.: σαρκικαὶ Meineke cum Aug. ‖ 14 post κολάσεως lacunam statuit Meineke, qui putat excidisse χωρισταὶ; fuit potius ἀπολυθεῖσαι ‖ 21 ἑαυτοῦ P | τοιοῦτος Heeren ‖ 22 μέγεθος corruptum; fort. μὲν κέλευθον ‖ 26 ἀναΐσειν et καταΐσειν F | καὶ καταίσσειν om. P Patr.

[1078] Ῥέουσι γὰρ δι' αὐτοῦ ἀμιγῶς καὶ ἀκολλητί, ὡς δι' ἐλαίου ὕδωρ. Τὸ δὲ διάστημα τοῦτο, ὦ τέκνον Ὥρε, μοιρῶν μέν ἐστι γενικῶν τεσσάρων [εἰδικῶν δὲ χωρῶν ἑξήκοντα]. Ὧν ἡ μὲν ἀπὸ γῆς ἄνω χωρῶν ἐστι τεσσάρων, ὡς τὴν γῆν κατά τινας λόφους καὶ ἀκρωρείας ἀνατεῖναι καὶ φθάνειν ἄχρι τοσούτου· ὑπὲρ γὰρ ταύτας αὐτὴν ἀναβῆναι τὸ ὕψος οὐκ ἔχει φύσιν. Ἡ δ' ἀπὸ ταύτης δευτέρα ἐστὶ χωρῶν ὀκτώ [ἐν αἷς γίγνονται ἀνέμων κινήσεις] (πρόσεχε, παῖ, ἀρρήτων γὰρ ἐπακούεις μυστηρίων γῆς τε καὶ οὐρανοῦ καὶ παντὸς τοῦ μέσου ἱεροῦ πνεύματος), ὅπου ἡ τοῦ ἀνέμου κίνησις καὶ ἡ τῶν ὀρνέων πτῆσις· ὑπὲρ γὰρ ταύτης οὔτε ἀὴρ κινεῖται οὔτε ζῷον βαστάζει. Ἔχει μέντοι παρὰ τῆς φύσεως ταύτην τὴν ἐξουσίαν ὁ ἀὴρ οὗτος, ὥστε καὶ ἐν ταῖς ἰδίαις ὀκτὼ χώραις καὶ ἐν ταῖς τῆς γῆς τέτταρσι περιπολεῖν μεθ' ὧν ἔχει ζῴων, τῆς γῆς εἰς τὰς αὐτοῦ
[1080] ἐπαναβῆναι ⟨μὴ⟩ δυναμένης. Ἡ δὲ τρίτη χωρῶν ἐστιν ἑκκαίδεκα, ἀέρος λεπτοῦ καὶ καθαροῦ πλήρης. Ἡ δὲ τετάρτη ἐστὶ δύο καὶ τριάκοντα, ἐν αἷς ἐστι λεπτότατος καὶ εἰλικρινέστατος ἀὴρ καὶ διαυγής, διορίζων ἐφ' ἑαυτοῦ τοὺς ἄνω οὐρανούς, ἐκπύρους ὄντας τὴν φύσιν. Καὶ ἔστιν ἡ διάταξις αὕτη κατ' εὐθυτενῆ γραμμὴν ἄνωθεν κάτω ἀκολλητὶ τὴν φύσιν, ὡς εἶναι μοίρας γενικὰς μὲν τέσσαρας, διαστηματικὰς δὲ δώδεκα, χώρας δὲ ἑξήκοντα. Ἐν δὲ ταῖς χώραις ταύταις, ἑξήκοντα οὔσαις τὸν ἀριθμόν, οἰκοῦσιν αἱ ψυχαί, ἑκάστη πρὸς ἣν ἔχει φύσιν, μιᾶς μὲν καὶ τῆς αὐτῆς συστάσεως οὖσαι, οὐκέτι δὲ τιμῆς. Ὅσῳ

---

3 *εἰδικῶν – ἑξήκοντα* seclusi | *ἰδικῶν* FP: corr. Meineke | *ἕξ* FP Patr.: *ἑξήκοντα* Canter int. ‖ **4** *ἕως ⟨γὰρ τούτου⟩ τὴν γῆν* Heeren ‖ **5** *ἀκροτηρίας* P, *ἀκροτήρια* Patr. | *φθάνει* Patr. ‖ **6** *αὐτὴν* om. Patr.: an *αὐτῆς*? | *τῷ ὕψει* Heeren ‖ **8** *ἡ* F, om. P Patr.: *ὀκτώ* Canter int. | *ἐν αἷς – κινήσεις* seclusi ‖ **10** *καὶ*] *ἡ* Patr. | post *πνεύματος* add. Patr. *ἔστι χεῖρα* (i. e. *χώρα*) ‖ **12** *ἀὴρ οὗτε* Meineke ‖ **14** *ἡ* FP, *ᾗ* Patr. Cant.: *ὀκτὼ* Heeren ‖ **15** *περιπολεῖν* Patr., *περιπολεῖ* FP | *ἑαυτοῦ* FP, om. Patr.: *αὐτοῦ* Heeren ‖ **16** *μὴ* add. Heeren cum Cant. int. ‖ **17** *ἐκκαίδεκα* FP Patr. ‖ **19** *δι' αὐτῆς* FP Patr.: corr. Usener | *ἐφ'* FP Patr.: *ἀφ'* Canter ‖ **20** *τοὺς* om. Patr. ‖ **22** *ὥστ'* Heeren ‖ **23** *δὲ* ante *δώδεκα*] *δὴ* Patr. ‖ **24** sqq. cf. supra p. 390, 8—10 ‖ **24** *ἕξ* FP Patr.: *ἑξήκοντα* Canter int.

γὰρ ἑκάστη τῶν χωρῶν ἀπὸ γῆς ὑπερβέβηκε τῆς ἑτέρας, τοσούτῳ καὶ ⟨αἱ⟩ ἐν αὐταῖς ψυχαὶ ἑτέρα τὴν ἑτέραν καθ' ὑπεροχὴν λείπει, ὦ τέκνον, χώρᾳ καὶ τύχῃ.

Τίνες μὲν οὖν εἰς ἑκάτερα τούτων ἀναλύουσι ψυχαί, ἐντεῦθέν σοι πάλιν, ὦ μεγαλόδοξε Ὦρε, καταλέγειν ἄρξομαι, ἄνωθεν ἐπὶ τὰ πρόσγεια τὴν τάξιν ποιουμένη.'

69 (61 H.) [περὶ ἐμψυχώσεως καὶ μετεμψυχώσεως]. (p. 35[b] Patr.).

'Τὸ μεταξὺ γῆς καὶ οὐρανοῦ κεχώρισται, τέκνον Ὦρε, [1082] πρὸς μέτρον καὶ ἁρμονίαν. Αἱ δὲ χῶραι αὗται ὑπὸ p. 147 C. τῶν προγόνων καλοῦνται ὑφ' ὧν μὲν ζῶναι, ὑφ' ὧν δὲ στερεώματα, ὑπὸ δὲ ἑτέρων πτυχαί. Ἐν δὲ ταύταις φοιτῶσιν αἵ τε ἀπολελυμέναι τῶν σωμάτων ψυχαὶ αἵ τε μηδέπω ἐνσωματισθεῖσαι. Ἑκάστη δὲ τούτων, ὦ τέκνον, κατὰ τὴν ἀξίαν καὶ χώραν ἔχει· ὥστε τὰς μὲν θείας καὶ βασιλικὰς ἐν τῇ ὑπεράνω πάντων κατοικεῖν, τὰς δὲ ἐλαχίστας κατὰ τιμὴν καὶ τὰς ἄλλας ὅσαι εἰσὶ χαμαιπετεῖς ἐν τῇ ὑποκάτω πάντων, τὰς δὲ μέσας ⟨ἐν⟩ τῇ μέσῃ. Αἱ μὲν οὖν εἰς τὸ ἄρχειν καταπεμπόμεναι, ὦ τέκνον Ὦρε, ἐκ τῶν ὑπεράνω ζωνῶν καταπέμπονται, αἱ καὶ λυθεῖσαι εἰς τὰς αὐτὰς ἢ καὶ ἔτι ὑπεράνω ἀνέρχονται, πλὴν εἰ μή τινές τι εἶεν ⟨παρὰ⟩ τὴν ἀξίαν τῆς ἑαυτῶν φύσεως καὶ [1084] τὴν τοῦ θείου νόμου παραγγελίαν πεπραχυῖαι· ἅσπερ ἡ ἄνω πρόνοια πρὸς μέτρον τῶν ἁμαρτημάτων εἰς τὰς ὑποκάτω χώρας ἐξορίζει, ὥσπερ καὶ τὰς ὑποδεεστέρας δυνάμει τε καὶ ἀξίᾳ * * ἐκ γὰρ κατωτέρων ἐπὶ μείζονας καὶ

---

2 αἱ add. Heeren | ἐν αὐταῖς ψυχαῖς F, ἐν ταῖς ψυχαὶ P: ἐν ταῖς ψυχαῖς Patr. Cant. ‖ 3 λείπειν FP Patr.: corr. Heeren | χώρα καὶ ψυχῇ FP Patr.: correxi coll. p. 466, 17, Heeren delevit ‖ 6 ποιουμένη Patr., ποιούμενος FP ‖ 7 lemma seclusi; nam cohaerent haec cum priore ecl. ‖ 13 αἵ γε (ante ἀπολελυμέναι) FP Patr.: corr. Meineke | αἵ τε (ante μηδέπω v. 14) P[2] Patr., αἱ δὲ FP[1] ‖ 15 χῶρον FP Patr.: corr. Meineke | ὡς γε FP Patr.: corr. Meineke ‖ 17 κατατεμεῖν FP, κάτω τε μεῖναι Patr.: κατὰ τιμὴν Canter mrg, κατωτέρω μεῖναι Heeren ‖ 18 ἐν ante τῇ μέσῃ add. Meineke ‖ 19. 20 cf. supra 408, 8—11 ‖ 21 καὶ ἐπὶ P[1] ‖ 22 ἔτι FP Patr.: τι Meineke | παρα add. Heeren ‖ 23 ἅπερ P ‖ 24 ἁμαρτηκότων Patr. ‖ 26 τε om. Heeren | ἀξίᾳ. ἐκ γὰρ FP Patr.: ἀξίᾳ ἐκ χωρῶν Meineke; hiant haec potius

ὑψηλοτέρας ἀνάγει. Εἰσὶ γὰρ ἄνωθέν οἱ δορυφόροι ⟨δύο⟩ ὄντες τῆς καθόλου προνοίας, ὧν ὃ μὲν ψυχοταμίας, ὃ δὲ ψυχοπομπός· καὶ ὁ μὲν ψυχοταμίας ψυχῶν * *, ὁ δὲ ψυχοπομπὸς ἀποστολεύς τε καὶ διατάκτης τῶν ἐνσεσωματωμένων ψυχῶν. Καὶ ὃ μὲν τηρεῖ, ὃ δὲ προΐησι κατὰ γνώμην τοῦ Θεοῦ. Τῷ οὖν λόγῳ τούτῳ, ὦ παῖ, καὶ τῇ ἄνω τῶν πραγμάτων ἐξαλλαγῇ καὶ ἐπὶ γῆς ἐστιν ἡ Φύσις. πλάστρια γὰρ οὖσα καὶ σκηνοποιὸς ἀγγείῳ εἰσβάλλει τὰς ψυχάς. Παρεστᾶσι δὲ δύο ἐνέργειαι καὶ αὐτῇ, μνήμη καὶ
[1086] ἐμπειρία· καὶ ἡ μὲν μνήμη ἔργον ἔχει τοῦτο, ὅπως ἡ Φύσις τηρῇ καὶ περικρατῇ τοῦ τε ἑκάστου τύπου ἐξ ἀρχῆς καταβεβλημένου καὶ τοῦ φυράματος τοῦ ἄνω γίγνηται *· ἡ δὲ ἐμπειρία, ὅπως πρὸς ἀνάλογον ἑκάστης τῶν καταβαινουσῶν ψυχῶν εἰς τὸ σωματισθῆναι καὶ τὸ πλάσμα [ἐνεργῇ καὶ] γένηται, καὶ ταῖς μὲν ὀξέσι τῶν ψυχῶν ὀξέα γένηται καὶ τὰ σώματα, ταῖς δὲ βραδέσι βραδέα, ταῖς δὲ ἐνεργέσιν ἐνεργῇ καὶ ταῖς νωθραῖς νωθρὰ καὶ ταῖς δυναταῖς δυνατὰ καὶ ταῖς δολίαις δόλια, καὶ ἁπαξαπλῶς ἑκάσταις κατὰ τὸ εἰκός. Οὐ γὰρ ἀσκόπως

---

1 *ἄνωθεν οἱ* FP Patr. vulg. | *δύο* add. Heeren cum Cant. ‖ **2** *ψυχοταμίας* Patr. (Cant.), *ψυχοτομίας* FP ‖ **2. 3** *ὁ δὲ ψυχοπομπὸς – ψυχοταμίας* om. Patr. Cant. ‖ **3** lacunam ante *ὁ δὲ* statuit Heeren, quam sic fere explet Meineke: *οὐκέτι ἐνσεσωματωμένων τηρητής ἐστιν* ‖ **4** *ἀποστολεὺς* P¹ | *τε* om. Patr. | *διατάκτωρ* Patr. ‖ **4. 5** *ἐνσωματωμένων* FP Patr.: corr. Meineke ‖ **5** *πρόεισι* FP Patr.: corr. Meineke ‖ **7** *ἐστιν ἡ* P² Patr., *ἐστι· μὴ* FP¹: inter *ἐστιν* et *ἡ* intercidisse aliquid, fort. *ἴσῃ* statuit Heeren ‖ **8** *πλάστειρα* Heeren | post *σκηνοποιὸς* lacunam signat Meineke | *ἀγγείων* FP Patr.: corr. Meineke; *ἀγγείοις* Heeren ‖ **8. 9** *εἰσβάλλονται* (*ἐν οἷς βάλλονται* P² mrg, *εἰς ἃ βάλλονται* Patr.) *αἱ ψυχαί* FP Patr.: correxi ‖ **9** *παραστᾶσι* P | *δύ'* P Patr. | *καὶ* ante *αὐτῇ* om. vulg. cum Heereno | *αὐτῇ* P² Patr., *αὐτὴ* FP¹ ‖ **10** *μνήμη* Patr., *γνώμη* FP ‖ **11** *τηρῇ* P Patr., *τηρεῖ* F | *περικρατεῖ* F ‖ **12** *τοῦ*] *ὡς* Heeren servato *γίγνεται* ‖ **12. 13** *γίγνηται* Patr., *γίγνεται* FP ‖ **13** post *γίγνηται* add. *εἰκών* Meineke, malim addi *ὁμολογίαν* vel simile vocabulum ‖ **14** *σωματισθῆναι* Patr., *σῶμα κτισθῆναι* FP ‖ **14. 15** *τὰ πλάσματα* Heeren ‖ **15** *ἐνεργῇ καὶ* seclusi ut var. scr. v. corruptorum *ἐναργῇ καὶ* (v. 17) | *ἐνεργεῖ* P: *ἐνεργὲς* Meineke, qui tamen pro *ἐνεργῇ καὶ γένηται* malit *ἐνεργῆται* | *καὶ* (ante *γένηται*) del. Heeren ‖ **17** *ἐνεργῇ* P² Patr., *ἐναργῇ* FP¹ ‖ **18** *καὶ* post *δυνατὰ* om. Patr. ‖ **19** *ἀσκόπως* FP², *ἀσκέπτως* P¹ Patr.

πτηνὰ μὲν ἐπτίλωσε, λογικὰ δὲ περισσαῖς καὶ ἀκριβεστέραις αἰσθήσεσιν ἐκόσμησε, τετραπόδων δὲ τὰ μὲν κέρασι, τὰ δὲ ὀδοῦσι, τὰ δὲ ὄνυξι καὶ ὁπλαῖς ἐκαρτέρωσε, τὰ δὲ ἑρπετὰ εὐχαίτοις σώμασι καὶ εὐυποχωρήτοις ἐμαλάκυνε, καὶ ὅπως μὴ ἡ τοῦ σώματος ὑγρότης τέλεον ἀσθενὴς διαμένῃ, ὧν μὲν τὰ στόματα καὶ τοῖς ὀδοῦσιν ἐχαράκωσεν ὧν δὲ τοὺς ὄγκους ὀξύνας δύναμιν περιέθηκεν (οὕτως τὰ μὲν τῇ τοῦ θανάτου εὐλαβείᾳ ἰσχυρότερα τῶν ἄλλων)· τὰ δὲ νηκτά, δειλὰ ὄντα, ἐνοικεῖν ἔδωκε στοιχείῳ, ἐν ᾧ τὸ φῶς οὐδετέραν ὧν ἔχει δυνάμεων ἐνεργεῖν ἰσχύει (ἐν γὰρ ὕδατι τὸ πῦρ οὔτε φαίνει οὔτε καίει)· ἕκαστον δὲ αὐτῶν ἢ φολίσιν ἢ ἀκάνθαις ἐν ὕδατι νηχόμενον φεύγει ὅπῃ ἂν θέλῃ, τὴν ἰδίαν περιβεβλημένον δειλίαν καὶ σκεπαστήριον ἔχον εἰς τὸ μὴ ὁρᾶσθαι τὸ ὕδωρ. Εἰς γὰρ ἕκαστον τῶν σωμάτων τούτων καθ' ὁμοιότητα ἐγκλείονται αἱ ψυχαί, ὥστε εἰς μὲν ἀνθρώπους χωρεῖν τὰς κριτικάς, εἰς δὲ πτηνὰ τὰς ἀπανθρώπους, εἰς δὲ τετράποδα ⟨τὰς⟩ ἀκρίτους (νόμος γὰρ ἐκείνοις ἐστὶν ἡ ἰσχύς), εἰς δὲ ἑρπετὰ τὰς δολίας (οὐδὲν γὰρ αὐτῶν ἐξ ἐναντίου ἐπεξέρχεται τοῖς ἀνθρώποις, λοχήσαντα δὲ καταβάλλει), εἰς δὲ [τὰ] νηκτὰ τὰς δειλὰς καὶ ὅσα τῶν λοιπῶν στοιχείων ἀπολαύειν ἀνάξια τυγχάνει. Γίγνεται μὲν οὖν καὶ ἐν ἑκάστῳ ⟨εἴδει⟩ εὑρεῖν ζῷον τῇ ἰδίᾳ φύσει μὴ καταχρώμενον.' [1088]

"Πῶς πάλιν, ὦ τεκοῦσα;" εἶπεν Ὧρος.

---

2 τὸ τετραπόδων Patr.: ⟨τῶν⟩ τετραπόδων Heeren | δὲ (ante τὰ μὲν) P^2, μὲν FP^1 Patr. ‖ **3** ὁπλαῖς P^2 Patr., ὁπλᾶς P^1, ὁπλᾶς F | ἐκατέρωσε P, ἐκρατέρωσε Patr. ‖ **4** ἕρποντα FP Patr.: corr. Heeren | εὐχαίτοις corruptum: εὐκάμπτοις Meineke; fort. ἀσχέτοις | εὐυποχωρήτοις FP^2, ἐνυποχωρήτοις P^1 Patr. ‖ **5** μήτε FP Patr.: μὴ ἡ scripsi, μηδὲ Meineke | ἀσθενῇ FP Patr.: corr. Heeren ‖ **7** ὁ δὲ Patr. | ὀξυνίας Patr. Cant. ‖ **7.8** οὕτως – ἄλλων] haec aut manca aut interpolata ‖ **10** ἔχει om. Patr. ‖ **10.11** ἰσχύει· ἐν γὰρ Patr., ἰσχύειν γὰρ FP^1, ἰσχύει· καὶ γὰρ ἐν P^2 ‖ **12** post ἀκάνθαις add. στεγασθὲν vel simile quid Meineke | φεύγῃ F ‖ **14** εἰς P^2 Patr., εἰ FP^1 ‖ **16** χωρεῖν – ἀπανθρώπους (17) om. Patr. ‖ **17** ἀνεδράστους Usener | δὲ om. F | τὰς add. Heeren ‖ **20** τὰ delevi ‖ **21** δειλίας P^1 Patr. | ἢ ὅσα Patr. Cant. | ἀπολαύει F ‖ **22** εἴδει addidi coll. p. 466, 8 ‖ **23** καταχρούμενον Meineke ‖ **24** πάλιν ad εἶπεν trahit Meineke; immo hic et p. 466, 20 ad πῶς spectat ut p. 467, 20

Καὶ ἀπεκρίθη Ἶσις· Ὥστε ἄνθρωπον μέν, ὦ τέκνον, τὸ κριτικὸν ὑπερβῆναι, τετράπουν δὲ τὴν ἀνάγκην παραλ-
p. 148 C. *λάξαι, ἑρπετὸν δὲ τὸ δόλιον ἀπολέσαι, καὶ νηκτὸν τῆς δειλίας καταφρονῆσαι, καὶ πτηνὸν τῆς ἀπανθρωπίας ἐκπεσεῖν. Καὶ τὰ μὲν περὶ τῆς διαθέσεως τῶν ἄνω καὶ τῆς καταβάσεως αὐτῶν καὶ τῆς σωματουργίας τοιαῦτα.*

Συμβαίνει δέ, ὦ τέκνον, ἐν ἑκάστῳ εἴδει εὑρίσκεσθαι καὶ γένει τῶν προκειμένων βασιλικάς τινας ψυχάς, καταβαίνειν δὲ καὶ ἄλλας ἀλλοίους, τὰς μὲν διαπύρους, τὰς
[1090] *δὲ ψυχράς, τὰς δὲ ὑπερηφάνους, τὰς δὲ πραείας, ⟨τὰς δὲ ἐλευθερίους,⟩ τὰς δὲ βαναύσους, τὰς δὲ ἐμπείρους, τὰς δὲ ἀπείρους, τὰς δὲ ἀργάς, τὰς δὲ ἐνεργεῖς, τὰς δὲ ἄλλοτε ἄλλας οὔσας. Συμβαίνει δὲ τοῦτο παρὰ τὴν τῶν τόπων θέσιν, ὅθεν εἰς τὸ ἐνσωματισθῆναι καθάλλονται αἱ ψυχαί. Αἱ μὲν γὰρ ἀπὸ βασιλικοῦ διαζώματος καταπηδῶσι τῆς ὁμοιοπαθοῦς βασιλικῆς τύχης. Πολλαὶ γάρ εἰσι βασιλεῖαι· αἱ μὲν γάρ εἰσι ψυχῶν, αἱ δὲ σωμάτων, αἱ δὲ τέχνης, αἱ δὲ ἐπιστήμης, αἱ δὲ αὖ τῶν καὶ τῶν᾽.*

Πῶς πάλιν; εἶπεν Ὥρος.

Οἷον, ὦ τέκνον Ὥρε, ἀπογεγονότων ἤδη ψυχῶν μὲν Ὀσιρις, ὁ πατήρ σου· σωμάτων δὲ ὁ ἑκάστου ἔθνους

---

2 *ἀνάγκην*] cf. p. 465, 18 ‖ **3** *ἑρπετὰ* FP Patr.: correxi | *τὸ νηκτὸν* Patr. ‖ **4** *ἀφρονῆσαι* Patr. Cant. | *ἀνεδραστίας* Usener ‖ **8** *ἔδει* P^1 ‖ **10** *διαπύρους* P^2 Patr., *διαπύρου* FP^1 ‖ **11. 12** *τὰς δὲ ἐλευθερίους* add. Meineke ‖ **13** *ἐναργεῖς* (α in ε corr.) F | *ἄλλοτε* Patr., *ἄλλο τι* FP ‖ **14** *ἄλλως* FP Patr.: corr. Meineke ‖ **15** *καὶ θάλλονται* F, *καὶ βάλλονται* P^1 Patr., *καταβάλλονται* P^2: *καθάλλονται* Heeren ‖ **16** *αἱ* Heeren | *ἀποβατικοῦ* F ‖ **17** *ὁμοιοπαθεῖς οὖσαι βασιλεύουσι ψυχαί* Heeren | *βασιλικῆς* P^2 Patr., *βασιλευούσης* F, *βασι* et lac. 5 litt. P^1 | *ψυχῆς* FP Patr.: *τύχης* Meineke (qui ante *βασιλεύουσι* scripsit) ‖ **18** *εἰσι* Patr., *εἰς* FP ‖ **18. 19** *τεχνῶν* et *ἐπιστημῶν* Heeren ‖ **19** *αὐτῶν* FP Patr.: *αὖ τῶν καὶ τῶν* ex v. 20 huc tractis v. *καὶ ἑαυτῶν* Usener; *ἀρετῶν* Heeren; *ἑαυτῶν* Gaisfordus ‖ **20** *πάλιν; εἶπεν*] vide supra p. 465, 24 | post Ὥρος add. *καὶ ἑαυτῶν* FP Patr.: ad v. 19 traxit haec Usener; *καλεῖς τούτους;* coni. Heeren ‖ **21** *ὡς* FP Patr.: Ὥρε Meineke | *ἐπιγεγονότων* FP Patr.: corr. Meineke ‖ **22** *ὁ* om. P

ἡγεμών· βουλῆς δὲ ὁ πατὴρ πάντων καὶ καθηγητὴς ὁ τρισμέγιστος Ἑρμῆς· ἰατρικῆς δὲ ὁ Ἀσκληπιὸς ὁ Ἡφαίστου· ἰσχύος δὲ καὶ ῥώμης πάλιν Ὄσιρις, μεθ' ὅν, ὦ τέκνον, αὐτὸς σύ· φιλοσοφίας δὲ Ἀρνεβεσχῆνις, ποιητι- [1092]
κῆς δὲ πάλιν ὁ Ἀσκληπιὸς ⟨ὁ⟩ Ἰμούθης. Καθόλου γάρ, ω τέκνον, εὑρήσεις, ἐὰν ἐξετάζῃς, πολλοὺς καὶ πολλῶν ἄρχοντας καὶ πολλοὺς πολλῶν βασιλεύοντας. Ἀλλ' ὁ μὲν πάντων κρατῶν, τέκνον, ἐκ τῆς ὑπεράνω χώρας ἐστίν, ὁ δὲ τῶν κατὰ μέρος ἐκείνην ἔσχε τάξιν, ἀφ' οὗ τόπου ἐστίν· βασιλικωτέραν ⟨μὲν ..... τοῦ βασιλικοῦ⟩ διαζώματος τετευχότες· ⟨οἱ δὲ ἀπὸ τοῦ πυρώδους⟩ πυρὸς ἐργάται γίγνονται καὶ τροφεῖς· οἱ δὲ ἀπὸ τοῦ ὑγροῦ ἐν ὑγροῖς διαζῶσιν· οἱ δὲ ἀπὸ ⟨τοῦ⟩ ἐπιστημονικοῦ καὶ τεχνιτικοῦ περὶ ἐπιστήμας καταγίγνονται καὶ τέχνας· οἱ δὲ ἀπὸ ⟨τοῦ⟩ ἀργοῦ ἀργῶς καὶ ἐπιῤῥεμβῶς διαζῶσι. Πάντων γὰρ τῶν ἐπὶ γῆς, ὦ τέκνον, διὰ λόγου καὶ ἔργου πραγμάτων ἄνω εἰσὶν αἱ πηγαί, μέτρῳ καὶ σταθμῷ ἐπιχύνουσαι ἡμῖν τὰς οὐσίας, καὶ οὐκ ἔστιν ὃ μὴ ἄνωθεν καταβέβηκε καὶ πάλιν ἀνέρχεται ἵνα καταβῇ".

"Πῶς πάλιν λέγεις τοῦτο, ὦ τεκοῦσα, παράδειξον".

Καὶ ἀπεκρίθη Ἶσις πάλιν· Τῆς παλινδρομίας ἐναργὲς τοῦτο σημεῖον τοῖς ζῴοις ἐνέθηκεν ἡ ἱερωτάτη φύ- [1094]
σις· τοῦτο γὰρ ὃ σπῶμεν ἄνωθεν ἐξ ἀέρος πνεῦμα, τοῦτο

---

3 μεθ' ὧν Patr.: num μεθ' οὗ? ‖ **4** Ἀρνεβασκῆνις Patr. Cant. ‖ **5** ὁ ante Ἰμούθης om. FP, hab. Patr. ‖ **6** ἐξετάσῃς vulg. cum Cantero ‖ **6. 7** an καὶ πολλοὺς πολλῶν ἄρχοντας? ‖ **9** κάτω F | τὴν FP Patr.: τάξιν scripsi, τιμὴν Heeren ‖ **10** βασιλικωτέρου Patr. | post βασιλικωτέραν lacunam statuit Heeren, quam ipse explet μὲν οἱ ἐκ τοῦ βασιλικοῦ, item Meineke nisi quod ἀπὸ τοῦ scribit; ipse malim μὲν δύναμιν κατέχουσιν οἱ τοῦ βασιλικοῦ ‖ **11** οἱ δὲ ἀπὸ τοῦ πυρώδους add. Meineke, οἱ δὲ ἐκ πυρὸς add. Heeren ‖ **12** τροφῆς FP Patr.: corr. Heeren | τοῦ ante ὑγροῦ om. FP ‖ **13** διαζώμασιν FP Patr.: corr. Canter mrg | τοῦ ante ἐπιστημονικοῦ add. Meineke | ἐπιστημονικοῦ καὶ om. Patr. | καὶ om. P ‖ **13. 14** τεχνίτου FP Patr.: corr. Meineke ‖ **14** καταγίνονται F, γίγνονται P Patr. ‖ **15** ἀπὸ ἀργοῦ FP Patr.: corr. Meineke ‖ **18** ἡμῶν F ‖ **22** ἐνεργὲς F | ἐνέθεικεν F, ἐνέθησεν Patr. ‖ **23** ὡς τὸ μὲν P Patr., ὡς τὸ μὴ F: ὃ σπῶμεν scripsi, ὃ πνέομεν Heeren, ᾧ ζῶμεν Meineke | τοῦτο (post πνεῦμα)] τὸ αὐτὸ Usener

πάλιν ἄνω πέμπομεν ἵνα λάβωμεν· καὶ εἰσίν, ὦ τέκνον, τούτου τοῦ ἐνεργήματος τεχνίτιδες ἐν ἡμῖν φῦσαι, αἳ ἐπειδὰν μύσωσι τὰ δεκτικὰ ἑαυτῶν τοῦ πνεύματος στόματα, τότε ἡμεῖς οὐκέτι ὧδέ ἐσμεν, ἀλλ' ἀναβεβήκαμεν.

Προσεπιγίγνεται δέ, ὦ παῖ μεγαλόδοξε, καὶ ἕτερά 5 *τινα ἡμῖν ἐκτὸς ⟨τῆς⟩ τοῦ φυράματος συσταθμίας'.*

"Τί δέ ἐστιν", Ὧρος εἶπε, "τὸ φύραμα τοῦτο, ὦ τεκοῦσα";

Σύνοδός ἐστι καὶ κρᾶσις τῶν τεσσάρων στοιχείων, ἐξ 10 *ἧς κράσεως καὶ συνόδου ἀναθυμιᾶταί τις ἀτμός, ὃς περιειλεῖται μὲν τῇ ψυχῇ, διατρέχει δὲ ἐν ⟨τῷ⟩ σώματι, ἀμφοτέροις μεταδιδοὺς [τουτέστι τῷ σώματι καὶ τῇ ψυχῇ] τῆς ἰδίας ποιότητος· καὶ οὕτως αἱ διαφοραὶ τῶν ψυχικῶν καὶ τῶν σωματικῶν ἐναλλοιώσεων γίνονται. Εἰ μὲν γὰρ* 15 *κατὰ τὴν σωματικὴν διάπηξιν πλεονάσειε τὸ πῦρ, τὸ τηνικαῦτα ἡ ψυχὴ θερμὴ τὴν φύσιν ὑπάρχουσα καὶ ἕτερον θερμὸν προσλαβοῦσα, ἐκπυρωδεστέρα γενομένη, ποιεῖ τὸ ζῷον ἐνεργότερον καὶ θυμικόν, τὸ δὲ σῶμα ὀξὺ καὶ εὐκίνητον· εἰ δὲ πλεονάσειεν ὁ ἀήρ, τὸ τηνικαῦτα καὶ κοῦφον* 20 *καὶ πηδητικὸν καὶ ἀνέδραστον γίνεται τὸ ζῷον καὶ ψυχῇ καὶ σώματι. Εἰ δὲ τὸ ὕδωρ πλεονάσειε, τὸ τηνικαῦτα καὶ τὸ ζῷον τῇ μὲν ψυχῇ γίγνεται εὔρουν τε καὶ εὐφυὲς καὶ εὐπερίχυτον ἱκανῶς τε τοῖς ἄλλοις ἐπιπεσεῖν καὶ κολ-*
[1096] p. 149 C. *ληθῆναι δυνάμενον, διὰ τὸ πρὸς τὰ ἄλλα ἑνωτικὸν καὶ κοινωνικὸν τοῦ ὕδατος· ἐφιζάνει γὰρ πᾶσι, καὶ πολὺ μὲν* 25

---

2 *τεχίτιδες* P¹ | *φύσαι* FP Patr. ‖ **3** *μισῶσι* FP Patr.: corr. Canter mrg | *δεκτηκὰ* P | *στόματι* Patr. Cant. ‖ **5. 6** cf. infra p. 471, 19 ‖ **5** *δὲ* om. P Patr. ‖ **6** *τῆς* addidi ‖ **7** *τοῦτο ὦ* P Patr., *τοῦτ' οὖν* F ‖ **10. 11** *ὃς περιειλεῖται* P², *ὡσπερεί· εἰλεῖται* F, *ὡσπερὰ εἰλεῖται* P¹ (Cant.), *ὥσπερ ἀνειλεῖται* Patr. ‖ **12** *τουτέστι — ψυχῇ* seclusit Meineke ‖ **14** *τῶν* om. F | *ἀναλλοιώσεων* Patr. Cant. | *αἱ μὲν* P¹ ‖ **15** *τὸ* (ante *τηνικαῦτα* [16]) om. Patr. ‖ **17** *προσλαμβοῦσα* P | ante *ἐκπυρωδεστέρα* add. *καὶ* Heeren | *γενομένη* Patr. Cant., *γεναμένη* FP ‖ **18** *ἐνεργότερον* P² Patr., *ἐπεργότερον* FP¹ | *καὶ θυμικὸν* om. P Patr. ‖ **22** *εὔχρουν* FP Patr.: corr. Meineke | *τε* (ante *καὶ*) om. P Patr. ‖ **24. 25** *καὶ κοινωνικὸν* om. P Patr.

ὃν εἰς ἑαυτὸ ἀναλύει καὶ περιλαμβάνει, ὀλίγον δ' ὑπάρχον καὶ καταδῦσαν, ἐκεῖνο γίγνεται ᾧ ἐμίγη. τὰ μέντοι σώματα ὑπὸ πλαδαρότητος καὶ χαυνότητος εἰς περίσφιγξιν οὐκ ἄγεται, ἀλλὰ μικρᾷ τινι νόσου ἀφορμῇ λύεται, καὶ τοῦ ἰδίου συνδέσμου κατ' ὀλίγον ἐκπίπτει. Εἰ δὲ το γεῶδες πλεονάσειε, τὸ τηνικαῦτα ἀμβλεῖα μὲν τοῦ ζῴου ἡ ψυχὴ γίνεται, οὐκ ἔχουσα τὴν σωματικὴν ἀραιότητα εὔλυτον οὐδὲ τὸ δι' οὗ πηδήσεται, πεπαχυμμένων τῶν αἰσθητικῶν μερῶν, ἀλλὰ ἔνδον μένει παρ' ἑαυτῇ ὑπὸ βάρους καὶ πυκνότητος πεδηθεῖσα, τὸ δὲ σῶμα στερεὸν μέν, ἀλλὰ ἀργὸν καὶ βαρὺ καὶ μετὰ βίας ὑπὸ τῆς προαιρέσεως μετακινούμενον. Εἰ δὲ σύμμετρος γένοιτο ἡ πάντων σύστασις, τότε τὸ ζῷον θερμὸν εἰς πρᾶξιν, κοῦφον δὲ εἰς κίνησιν, εὔκρατον δὲ εἰς ἀφήν, γενναῖον δὲ εἰς πῆξιν κατασκευάζεται.

Ὅσα οὖν τῷδε τῷ λόγῳ κεκοινώνηκε πλείονος μὲν πυρὸς καὶ πνεύματος, ταῦτα ἀπωρνέωται καὶ ἄνω παρ' ἐκείνοις πολιτεύεται τοῖς στοιχείοις, ἐξ ὧν καὶ ἐγένετο. Ὅσα δὲ πλείονος μὲν πυρός, ὀλίγου δὲ πνεύματος, ὕδατος δὲ καὶ γῆς ἴσης, ταῦτα ἀπηνθρώπισται, καὶ τῷ ζῴῳ τὸ περισσὸν τοῦ θερμοῦ εἰς σύνεσιν ἐτράπη· ὃ γὰρ ἐν ἡμῖν [1098] νοῦς θερμόν τι χρῆμά ἐστιν, ὃ καίειν μὲν οὐκ οἶδε, διαδύνειν δὲ κατὰ πάντων [καὶ] ἐπίσταται. Ὅσα δὲ πλείονος μὲν ὕδατος, πλείονος δὲ γῆς, μετρίου δὲ πνεύματος, [καὶ]

---

1 ἑαυτὸ P² Patr., ἑαυτὸν FP¹ | ἀπολύει Patr. ‖ **1. 2** ὑπάρχειν P¹ ‖ **2** καταδύσον P² Patr.: num καταδυθέν? | ἐκεῖνο om. Patr. ‖ **3** πλαδωρότητος P¹ ‖ **4** οὐκ P² mrg (ubi ἴσως οὐκ ἄγεται) (Cant. mrg), οὖν FP¹ Patr. ‖ **5** συνδέσ P¹ ‖ **8** οὐδὲ τοῦ FP Patr.: οὐδὲ τὸ scripsi, οὐδὲ τόπον Heeren | post πηδήσεται add. ‡ οὐκ ἔχουσα τὴν σωματικὴν ἀραιότητα ‡ P | πεπαχυμένων FP Patr. ‖ **9** μελῶν FP Patr.: corr. Usener ‖ **12** κινούμενον Patr. Cant. vulg. ‖ **13** στάσις FP Patr.: corr. Meineke ‖ **14** δὲ εἰς πῆξιν P² Patr., διαθῆξιν FP¹: δι' ἐσθῆξιν Cant., δὲ εἰς θῆξιν Meineke; tu cf. infra p. 471, 11 ‖ **20** ἀπηνθρώπωται Meineke ‖ **22. 23** διαδύνει FP Patr.: corr. Heeren ‖ **23** κατὰ] διὰ Gaisford | καὶ del. P², defendit Meineke servato διαδύνει et lacuna post καὶ statuta ‖ **24** τε (ante γῆς) Patr. | καὶ seclusi

ὀλίγου δὲ πυρός, ταῦτ' ἀποτεθηρίωται, τῇ δὲ τοῦ θερμοῦ περιουσίᾳ ἀλκιμώτερα γέγονε τῶν ἄλλων. Ὅσα δὲ γῆς καὶ ὕδατος ἴσων κεκοινώνηκε, ταῦτα ἀφηρπέτωται καὶ τῇ τοῦ πυρὸς στερήσει ἄτολμα γέγονε καὶ ἀπαρρησίαστα, τῇ δὲ τοῦ ὕδατος κοινωνίᾳ ψυχρὰ ἐγένετο, τῇ δὲ τῆς γῆς βαρέα καὶ νωθρά, τῇ δὲ τοῦ πνεύματος εὐκίνητα, εἰ ⟨ἐν⟩ προαιρέσει τὸ κινεῖσθαι. Ὅσα δὲ πλείονος μὲν ὑγροῦ, ὀλίγου δὲ ξηροῦ, ταῦτα ἀπιχθύωται καὶ τῇ μὲν τοῦ θερμοῦ καὶ ἀέρος στερήσει δειλά ἐστι καὶ αὐτά, τῇ δὲ τοῦ ὑγροῦ περιουσίᾳ καὶ τῇ τοῦ γεώδους παρουσίᾳ ἐν λελυμένῃ γῇ καὶ ὕδατι διὰ τὸ συγγενὲς κατοικεῖ. Καὶ πρὸς μὲν τὴν τοῦ ἑκάστου στοιχείου μοῖραν καὶ τῆς μοίρας τὴν περιοχὴν καὶ τὰ σώματα ἡλικιάζεται· καὶ πρὸς τὴν ὀλιγομετρίαν τὰ λοιπὰ ζῷα μεμετροποίηται, πρὸς ἐνέργειαν τὴν ἑκάστῳ τῶν στοιχείων οὐσιομετρίαν.

Καὶ ἔτι, ὦ παῖ περιπόθητε, λέγω, ὅτι ἐκ ταύτης τῆς οὕτω συστάσεως ἡ κατὰ τὴν πρώτην σύνοδον γενομένη
[1100] κρᾶσις καὶ ὁ ἐκ ταύτης ἀναθυμιώμενος ἀτμὸς ἐφ' ὅσον τὴν ἰδίαν τηροῦσιν ἰδιότητα, ὥστε τὸ μὲν θερμὸν ἕτερον μὴ λαβεῖν θερμόν, μηδὲ τὸ ἀερῶδες πνεῦμα ἕτερον, μηδὲ τὸ ὑγρὸν ἑτέραν ὑγρασίαν, μηδὲ τὸ γεῶδες ἑτέραν πυκνότητα, τὸ τηνικαῦτα τὸ ζῷον ὑγιαίνει. Ἐπὰν γὰρ μὴ οὕτως μένῃ, ὦ τέκνον, ἐφ' οἷς ἔσχεν ἐξ ἀρχῆς μέτροις, ἀλλ' ἤτοι

---

1 δὲ (ante *πυρὸς*) del. Heeren | *ταῦτα τεθηρίωται* FP², *ταῦτε θηρίωται* P¹, *ταῦτα θηρίωται* Patr.: *ταῦτ' ἀποτεθηρίωται* Meineke ‖ **3** *ἴσον* P Patr. | *ἐφειρπώθη* FP Patr.: correxi, *ἀφηρπετώθη* Meineke ‖ **4** *ἀπαρρησίασθαι* Patr. ‖ **6** *δυσκίνητα* Canter mrg | *ἐν* add. Meineke ‖ **8** *ἀπιχθύσται* Patr. ‖ **9** *ἄδυτα* FP Patr.: *αὐτὰ* Usener, *ἀδύνατα* Meineke ‖ **10** *περιουσίᾳ* (post *γεώδους*) om. Patr. Cant. vulg.: *παρουσίᾳ* scripsi | *γῇ* om. Patr. ‖ **13—15** haec non expedio: Heerenus hariolatur ‖ **15** *οὐσιομετρίας* F ‖ **16** *ὅτι* FP Patr.: *ὅτε* Heeren | *ταύτης* suspectum ‖ **17** *ἢ* P¹, *ᾗ* Patr. ‖ **20** *καὶ* (ante *τὸ ἀερῶδες*) FP Patr.: *μηδὲ* Meineke, *ἢ* Heeren | post *ἕτερον* add. Meineke *πνεῦμα* 'quod membrorum parilitas postulare videtur'; immo *τὸ ἀερῶδες* subiectum, *πνεῦμα ἕτερον* obiectum est ‖ **21** *ὑγρασίαν* P² Patr., *ἐργασίαν* FP¹ | *μήτε* Patr. ‖ **22** *τὸ* (ante *τηνικαῦτα*) om. Patr. | *ἐπὰν γὰρ* FP¹ Patr., *ἐπὰν δὲ* P² ‖ **23** *ἔσχεν* om. F

πλεονάσῃ ταῦτα, οὐκ ἐνεργείᾳ λέγω ⟨τῇ⟩ κατὰ περιοχὴν οὐδὲ τῇ κατ᾽ αὔξησιν γινομένῃ μεταβολῇ τοῦ γένους καὶ τῶν σωμάτων, ἀλλὰ τῇ ὡς προέφαμεν συστατικῇ τῶν στοιχείων κράσει, ὥστε τὸ μὲν θερμὸν ἐπὶ πλέον αὐξηθῆναι ἢ ἐπὶ πλέον ἐλαττωθῆναι, τὰ δὲ ἄλλα ὁμοίως, ⟨τὸ⟩ τηνικαῦτα [οὕτως] νοσεῖ τὸ ζῷον. Ἐπὰν γὰρ οὕτως διατεθῇ τό τε θερμὸν καὶ τὸ ἀερῶδες, ἃ δὴ σύσκηνά ἐστι τῆς ψυχῆς, τότε ἐν ἀλληγορίαις καὶ ἐκστάσεσι γίγνεται τὸ ζῷον· πεπύκνωται γὰρ τὰ στοιχεῖα, δι᾽ ὧν διαφθείρεται τὰ σώματα. Αὐτὸ μὲν γὰρ τὸ γεῶδές ἐστιν ἡ τοῦ σώματος πῆξις, τὸ δὲ ὑγρὸν ἡ ἐν τούτῳ ἐστὶν εἰς συμπαγίαν περίχυσις, τὸ δὲ ἀερῶδές ἐστι τὸ ἐν ἡμῖν κινητικόν, καὶ τούτων πάντων διεγερτικὸν τὸ πῦρ. Τοιγαροῦν ὁ ἐκ τῆς πρώτης συνόδου καὶ κράσεως τῶν στοιχείων γιγνόμενος ἀτμὸς καὶ ὡσανεὶ ἔξαψις καὶ ἀναθυμίασις[, ὁποῖος ἂν ᾖ,] p. 150 C. παραμιγεὶς τῇ ψυχῇ ἄγει αὐτὴν εἰς ἑαυτόν, ὡς ἂν ἔχῃ φύσεως, εἴτε σπουδαίως, εἴτε μή. Τῇ γὰρ ἐξ ἀρχῆς πρὸς αὐτὸν οἰκειότητι καὶ συντροφίᾳ ἐπιμένουσα ἡ ψυχὴ τὴν [1102] τάξιν διατηρεῖ. Ὅταν δὲ ἐπιπροσγένηται ἤτοι τῷ ὅλῳ συγκράματι ἢ καὶ μέρεσιν ἢ μέρει αὐτοῦ ἐξωθέν τις πλείων μοῖρα τοῦ προκαταβεβλημένου, τότε καὶ ὁ ἐντεῦθεν μεταλλοιούμενος ἀτμὸς μεταλλοιοῖ ἤτοι τὴν τῆς ψυχῆς διάθεσιν ἢ τὴν τοῦ σώματος. Τὸ γὰρ πῦρ καὶ τὸ πνεῦμα, ἀνωφερῆ ὄντα, ἐπὶ τὴν ψυχήν, ὁμοιόχωρον αὐτοῖς ὑπάρ-

---

1 ἐνεργεῖ ἀλλ᾽ ἐγὼ FP¹, ἐνεργεῖ, ἀλλὰ Patr., οἶμαι οὐ λέγω P² mrg: corr. Canter mrg | τῇ add. Meineke ‖ **2** γενομένῃ Patr. ‖ **3** προέφαμεν Patr., προέφημεν FP ‖ **6** τὸ add. Meineke, cf. p. 468, 15. 16. 21; 469, 6; 470, 22 | οὕτως seclusi cum Meinekio | νοσεῖ P², νόει FP¹, νοσήσει Patr. Cant. ‖ **8** ἐν om. Patr. ‖ **11** ἡ ἐν FP, καὶ ἐν Patr. Cant. ‖ **12** τὸ γὰρ FP Patr.: τὸ δὲ Meineke ‖ **13** τούτῳ Patr. | διενεργητικὸν P Patr. | ὥσπερ οὖν ὁ FP Patr.: Τοιγαροῦν ὁ Usener, ὥσπερ οὖν .... ⟨οὕτως⟩ ὁ Meineke | ὁ om. Patr. ‖ **15** ὁποῖος ἂν ᾖ seclusi coll. v. 16. 17 | ὁποῖος ἐὰν FP Patr.: corr. Heeren ‖ **16** ἑαυτὴν FP Patr.: αὐτὴν Meineke | οὕτως ἂν ἔχῃ (immo ἔχοι) Heeren ‖ **17** σπουδαῖος FP Patr.: corr. Usener, σπουδαίας Heeren ex Aug. ‖ **18** ἰδιότητι F ‖ **20** ἢ καὶ μέρει Heeren ‖ **21** πλείω FP: πλείων Patr. Cant. | τὲ FP Patr.: τότε Meineke, om. Heeren ‖ **23** ἢ τὴν] καὶ τὴν Patr. Cant.

χουσαν, ἀνατρέχει· τὸ δὲ ὑγρὸν καὶ τὸ γεῶδες, κατωφερῆ ὄντα, τῷ σώματι, ὁμοιέδρῳ ὄντι, ἐφιζάνει.

CAPVT L (LIII Heeren.; XLII Gaisford. Meinek.)

ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΣ ΚΑΙ ΑΙΣΘΗΤΩΝ ΚΑΙ ΕΙ ΑΛΗΘΕΙΣ ΑΙ ΑΙΣΘΗΣΕΙΣ.

1 (9 L.) ⟨Aetii (IV 8, 2 p. 394, 10 Diels.).⟩

[cod. Laur. p. 164a]

Ἐπίκουρος· τό ⟨τε⟩ μόριόν ἐστιν ἡ αἴσθησις, ἥτις ἐστὶ⟨ν ἡ⟩ δύναμις, καὶ τὸ ἐπαίσθημα, ὅπερ ἐστὶ τὸ ἐνέργημα· ὥστε διχῶς παρ᾽ αὐτῷ λέγεσθαι αἴσθησιν μὲν τὴν δύναμιν, αἴσθησιν δὲ τὸ ἐνέργημα.

2a (1a H. G. M., 10a L.) ⟨Aetii (IV 8, 3 p. 394, 16 Diels.).⟩

Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός· ἡ μὲν γὰρ δύναμις ψυχῆς, τὸ δὲ ὄργανον σώματος, ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν.

2b (1b H. G. M., 10b L.) *Λέγει δὲ ἐν τῷ Φιλήβῳ* (p. 34A) *ὧδε·*

"Τὸ δὲ ἐν ἑνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δὲ τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου φθέγγοιο ἄν; — Ἀληθέστατα λέγεις."

---

2 ὁμοιέδρῳ ὄντι P2, ὁμωέδρῳ ὄντι Patr. Cant., ἐμῶεδρόοντι FP1 ‖ **3** hoc caput iteratum est in superstite parte flor. Laur. *A* 27 f. 164r et v (Sartianae partis II c. 25 s. 9—33), quod longe largiorem materiam suppeditat, cum in FP solae ecl. 2. 19. 27 dein Platonici loci 36—41 legantur, praeterea in P ecl. 5, quam F om.; prima tantum illius ecl. (8 apud Sartium = Aetii IV 8, 1 p. 393, 1 Diels.) non Stobaei est sed ex Plutarcho a gnomologo Laurentiano adscitum, ut nunc ipse Dilesius probavit mus. Rhen. XXXVI p. 349 ‖ **4. 5** titulum om. FPL: addidi ex Photio p. 112b 29 et indice flor. Laur. *A* 27 ‖ **7** τὸ L: τό⟨τε⟩ Usener Epic. fr. 249 p. 183, 31 ‖ **8** ἐστὶ δύναμις L: correxi ex Plut. plac. IV 8 ‖ **10** αἰσθητὸν δὲ L: corr. Usener ibid. p. 183, 33 ‖ **12** lemma πλάτωνος add. P ‖ **16** διὲν L ‖ **18** τὸ δ᾽ ἐν ἑνὶ Plat. Bodl., τῶδε δ᾽ ἐνὶ FP1L, τῷ δ᾽ ἑνὶ P2 Plat. vulg. ‖ **19** δὲ αὖ Plat. ‖ **20** φεύγοιο L

〈3—6 Aetii (IV 8, 4—7 p. 394, 21 Diels.).〉

3 (11 L.) *Κατὰ τοὺς Περιπατητικοὺς τετραχῶς· ἐξ οὗ τὸ ἡγεμονικόν, δι' οὗ τὸ ὄργανον καὶ αἰσθητήριον, καθ' ὃ ἡ ἐνέργεια, καὶ* 〈*οὗ*〉 *ἕνεκα τὸ αἰσθητόν.*

4 (12 L.) *Λεύκιππος, Δημόκριτος τὰς αἰσθήσεις καὶ τὰς νοήσεις ἑτεροιώσεις εἶναι τοῦ σώματος.*

5 (p. 150, 20 Cant., 13 L.) *Ἀριστοτέλης τὴν αἴσθησιν ἑτεροίωσιν αἰσθητοῦ καὶ μεσότητα· κοινὴν δὲ αἴσθησιν τὴν τῶν συνθέτων εἰδῶν κριτικήν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη* 〈*φαντασίας*〉, *ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου εἰς ἕτερον οἷον σχήματος* 〈*καὶ*〉 *κινήσεως σώματος, ἐν μεθορίῳ τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου, μνήμης καὶ νοῦ μετέχουσα, διατείνουσα καὶ ἐπὶ τὰ ἄλογα τῶν ζῴων, καθὸ ποσὴν διανοίας ἀναλογίαν ἔχει· κοινὰ δ' ἐστὶν ὄψεως μὲν καὶ ἁφῆς σχῆμα, ὄψεως δὲ καὶ ἀκοῆς διάστημα, πασῶν δὲ κίνησις καὶ μέγεθος καὶ ἀριθμός.*

6 (14 L.) 〈*Οἱ*〉 *Στωικοὶ τήνδε τὴν κοινὴν αἴσθησιν ἐντὸς ἁφὴν προσαγορεύουσι, καθ' ἣν καὶ ἡμῶν αὐτῶν ἀντιλαμβανόμεθα.*

7 (15 L.) 〈Aetii (IV 10, 3 p. 399, 13 Diels.).〉

† *πελλῆς πλείους αἰσθήσεις εἶναι περὶ τὰ ἄλογα ζῷα.*

---

4 *οὗ* om. L: add. Meineke ‖ **5** *Δημορτ* L: *Δημοκρατης* Sarti ‖ **7—16** hanc ecl. om. F, fortasse quia eius pars infra (c. LI ecl. 3) iteratur ‖ **7** lemma *ἀριστοτέλους* add. P ‖ **8** post *μεσότητα* lacunam signavit Meineke, sed cf. Diels adn. ad p. 395 ‖ **9** *τὴν* om. FP infra | *συνθέτων* FP infra, *συνθέντων* L, om. P hic | *πᾶσαι* FPL infra, *πᾶλαι* PL hic ‖ **10** *ἁπ* lac. 1 litt. *αὶ* P | *τοῖς ἰδίοις* L | *φαντασίας* om. hic PL, add. FPL infra ‖ **11** *καὶ* om. hic PL, add. infra FPL ‖ **12** *ἐν* om. Heeren | *λογικοῦ*] *λόγου* L ‖ **14** *καθὸ πόσην* L, *καθ' ὁπόσην* P: corr. Meineke ‖ **17** *οἱ* om. L rubric.: add. Sarti ‖ **18** *ἄφην* L: corr. Sarti ‖ **20**—p. **474, 5** ecl. 7. 8. 9 Diels ex hoc Aetii capite separavit et decimo eiusdem libri inseruit; sed quamquam forma ad sensuum numerum, de quo illo capite agitur, spectare videtur, ex argumento potius ad hoc referendum est: neque obstaret, si Democriti memoria, quae illic § 4 legitur, hoc loco iteraretur — quae est opinio Dilesii sed ne ea quidem ita probabilis (vide ad v. 21) —; atque ut ecl. 7 etiam ecl. 8 arctiore vinculo cum ecl. 5 copulata est ‖ **21** *πελλῆς* L (prima rubricatori relicta): *Ἀριστοτέλης* (quod errore praefixum sit)

⟨8. 9 Aetii (IV 10, 5. 6 p. 399, 19 Diels.).⟩

8 (16ª L.) *Δημόκριτος πλείους μὲν εἶναι τὰς αἰσθήσεις τῶν αἰσθητῶν, τῷ δὲ μὴ ἀναλογίζειν τὰ αἰσθητὰ τῷ πλήθει λανθάνειν.*

9 (16ᵇ L.) *Οἱ δ' ἄλλοι παρίσους.*

⟨10—16 Aetii (IV 8, 8—14 p. 395, 20 Diels.).⟩

10 (17ª L.) *Οἱ Στωικοὶ σωμάτων τὰς αἰσθήσεις.*

11 (17ᵇ L.) *Οἱ ἀπὸ τῶν ἀρχαίων τῶν περὶ τὰ σώματα ἀσωμάτων λόγων ἅπερ ἤδη σχήματα προσαγορεύουσι.*

12 (18 L.) *Λεύκιππος, Δημόκριτος, Ἐπίκουρος τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι εἰδώλων ἔξωθεν προσιόντων· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος.*

13 (19 L.) *Οἱ ἄλλοι εἰδῶν ⟨ἢ⟩ σχημάτων ἑτεροιώσει ⟨ἢ⟩ ἐν ψυχῇ τυπώσει, ἀπορροίαις πάντως μᾶλλον ἢ εἰδώλοις.*

14 (20 L.) *Οἱ Στωικοὶ πᾶσαν αἴσθησιν εἶναι συγκατάθεσιν καὶ κατάληψιν.*

15 (21 L.) *Οἱ Ἀκαδημαικοὶ μὴ εἶναι τὰς αἰσθήσεις μήτε καταλήψεις μήτε συγκαταθέσεις.*

16 (22 L.) *Οἱ Περιπατητικοὶ οὐκ ἄνευ μὲν συγκαταθέσεως τὰς αἰσθήσεις, οὐ μέντοι συγκαταθέσεις.*

Diels; fort. *Ἐμπεδοκλῆς | πλείους – ζῷα* putat Diels nihil esse nisi iteratum primum versum Aetii IV c. 10 § 4 (= Stob. I 51, 4); crediderim tamen Aetium scripsisse *ἀλλοίας* (*ὁμοίους* Usener) *αἰσθήσεις εἶ. π. τ. ἄ. ζ.*, ut haec opposita sint verbis v. 13. 14 *καὶ ἐπὶ τὰ ἄλογα τῶν ζῴων*

3 *τὸ δὲ* temptat Usener | *ἀναλογεῖν* dubitanter Diels ‖ **5** *παρίσους* habet L ‖ **7** *ἢ* (rubr.) L ‖ **8** *οἱ* (rubr.) L: *οἱ* Diels, om. Sarti, qui hanc ecl. cum priore copulat | *ἀπὸ τῶν ἀρχαίων* L: *ἀπὸ τῶν μαθημάτων* Diels (voluit ni fallor *ἀπὸ τῶν μαθηματικῶν*; cf. Aet. II 31, 2; IV 14, 3); sed omnia sana, significantur enim ei qui philosophiam *τῶν ἀρχαίων* i. e. Platonis Aristotelisve profitentur ‖ **13** *μηδένα γὰρ ἐπιβάλλειν μηδετέρᾳ* Schoemann opusc. acad. IV p. 339 ‖ **14** post *προσπίπτοντος* add. *εἰδώλου* Plut. l. s. ‖ **15** *Κ* (rubr.) *ἄλλοι* L: corr. Sarti | *ἑτεροίωσιν* L: corr. Diels ‖ **16** *ἢ* addidi | *πάσῃ* L: *ψυχῇ* Diels | *πάντα* L: correxi ‖ **18** *οἱ* (rubr.) L ‖ **20** et **22** *Ἡ* (rubr.) L: *οἱ* Sarti

⟨17—24 Aetii (IV 9, 1—8 p. 396, 11 sqq. Diels.).⟩

17 (23 L.) *Πυθαγόρας, Ἐμπεδοκλῆς, Ξενοφάνης, Παρμενίδης, Ζήνων, Μέλισσος, Ἀναξαγόρας, Δημόκριτος, Μητρόδωρος, Πρωταγόρας, Πλάτων ψευδεῖς εἶναι τὰς αἰσθήσεις.*

18 (24 L.) *Οἱ ἀπὸ τῆς Ἀκαδημίας ὑγιεῖς μέν, ὅτι δι' αὐτῶν οἷόν τε λαβεῖν ἀληθινὰς φαντασίας, οὐ μὴν ἀκριβεῖς.*

19 (1ᶜ H. G. M., 25 L.) *Ἀριστοτέλης τὴν αἴσθησιν* [1104] *μὴ πλανᾶσθαι περὶ τὸ ἴδιον, περὶ δὲ τὸ συμβεβηκός.*

20 (26 L.) *Οἱ Στωικοὶ τὰς μὲν αἰσθήσεις ἀληθεῖς, τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς τὰς δὲ ψευδεῖς.* [cod. Laur. p. 164b]

21 (27 L.) *Ἐπίκουρος πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν ἀληθῆ, τῶν δὲ δοξῶν τὰς μὲν ἀληθεῖς τὰς δὲ ψευδεῖς. Καὶ ἡ μὲν αἴσθησις μοναχῶς ψευδοποιεῖται κατὰ νοητά, ἡ δὲ φαντασία διχῶς [νοεῖται]· καὶ γὰρ αἰσθητῶν ἐστι φαντασία καὶ νοητῶν.*

22 (28 L.) *Παρμενίδης, Ἐμπεδοκλῆς, Ἀναξαγόρας, Δημόκριτος, Ἐπίκουρος, Ἡρακλείδης παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι τοῦ οἰκείου, τῶν αἰσθητῶν ἑκάστου ἑκάστῃ ἐναρμόττοντος.*

23 (29ᵃ L.) *Οἱ Περιπατητικοὶ παρὰ τὰς δυνάμεις τῶν αἰσθητηρίων.*

---

2 *θυθαγόρας* (lit. init. rubr.) L | *ἀμπεδοκλῆς* (*ἀ* rubr.) L ‖ **3** *παρμενίδης* iterat L ‖ **4** post *Δημόκριτος* add. *ἡ* L rubr. ‖ **6** *ἡ* L rubr.: *οἱ* Sarti ‖ **7** *οἴονται* L: corr. Usener ‖ **9** lemma *τοῦ αὐτοῦ* add. P | *Ἀριστοτέλης* FL, *ο αὐτὸς* P (qui ecl. 5 praemisit) ‖ **15** *καὶ ἡ μὲν — νοητῶν* (17) glossema referendum ad Stoicos (11. 12) putat Usener ad Epic. frg. 248 p. 183, 27 | *ψευδοποιεῖ τὰ* L: corr. Meineke ex Plut. ‖ **16** *κατανοητὰ* L: corr. Meineke ex Plut. | *νοεῖται* om. Plut. l. s. et recte seclusit Diels, est enim scriptura discrepans voc. *νοητόν* (17) ‖ **16. 17** *αἰσθητόν* et **17** *νοητόν* L: corr. Meineke ex Plut. ‖ **20** *παρὰ* Plut., *περὶ* L ‖ **21** *ἑκάστην* L: *ἑκάστῃ* Meineke ex Plut. ‖ **22** *ἀναρμόττοντος* L: corr. Diels ‖ **23** *ὁ* rubr. L: *οἱ* Sarti | *περὶ* L: *παρὰ* Meineke

24 (29[b] L.) *Οἱ μὲν ἄλλοι φύσει τὰ αἰσθητά, Λεύκιππος δέ, Δημόκριτος καὶ Διογένης νόμῳ, τοῦτο δ' ἐστὶ δόξῃ καὶ πάθεσι τοῖς ἡμετέροις· μηδὲν δ' εἶναι ἀληθὲς μηδὲ καταληπτὸν ἐκτὸς τῶν πρώτων στοιχείων, ἀτόμων καὶ κενοῦ· ταῦτα γὰρ εἶναι μόνα φύσει, τὰ δ' ἐκ τούτων, θέσει καὶ τάξει καὶ σχήματι διαφέροντα ἀλλήλων, συμβεβηκότα.*

25 (30 L.) ⟨Aetii (IV 9, 14 p. 398, 8 Diels.).⟩

Παρμενίδης, Ἐμπεδοκλῆς ἐλλείψει τροφῆς τὴν ὄρεξιν.

⟨26—30 Aetii (IV 9, 9—13 p. 397, 19 sq. Diels.).⟩

26 (31[b] L.) *Οἱ τὰ ἄτομα καὶ οἱ τὰ ὁμοιομερῆ καὶ οἱ τὰ ἀμερῆ καὶ τὰ ἐλάχιστα πάντ' ἐν πᾶσι τὰ αἰσθητὰ ἀναμεμῖχθαι καὶ μηδὲν αὐτῶν εἰλικρινὲς ὑπάρχειν, παρὰ δὲ τὰς ἐπικρατείας ὀνομάζεσθαι τοῖον ἢ τοῖον καὶ παρὰ τὴν πολυαύγειαν.*

27 (1[d] H. G. M., 31 L.) *Πυθαγόρας καὶ Πλάτων καθαρὸν ἕκαστον εἶναι τῶν αἰσθητῶν ἐξ ἑκάστου στοιχείου προερχόμενον. Πρὸς μὲν οὖν τὴν ὅρασιν τὸ αἰθερῶδες πεφυκέναι, πρὸς δὲ τὴν ἀκοὴν τὸ πνευματικόν, πρὸς δὲ τὴν ὄσφρησιν τὸ πυρῶδες, πρὸς δὲ τὴν γεῦσιν τὸ ὑγρόν, πρὸς δὲ τὴν ἁφὴν τὸ γεῶδες.*

28 (32 L.) *Ἐπίκουρος τῶν αἰσθητῶν ⟨τὰς⟩ ἡδονὰς ἴδη καὶ τὰς λύπας.*

29 (33 L.) *Οἱ Περιπατητικοὶ τῶν νοητῶν· οὐ γὰρ πᾶσι φαίνεται τὰ αὐτὰ ἡδέα τε καὶ λυπηρὰ καθάπερ λευκά τε καὶ μέλανα.*

---

5 *κεμοῦ* L | *φύσεις* L: corr. Meineke ‖ **9** *(π)αρμενίδης* L ‖ **10** post *ὄρεξιν* lacunam male signavit Meineke ‖ **12** *ὁμοιομφῆ* L: corr. Meineke ‖ **13** post *ἐλάχιστα* audiendum, sed non addendum *λέγοντες* cf. Diels ad p. 315[a] 1 ‖ **15** *παρὰ* habet L | *τὴν ἐπικράτειαν νομίζεσθαι* Meineke ‖ **16** *παρὰ* habet L ‖ **17** lemma *πυθαγόρου καὶ πλάτωνος* add. P | *(π)υθαγόρας πλάτων* F mrg, non in textu | *θυθαγόρας* (lit. init. rubr.) L | *καὶ* om. etiam L ‖ **18** *(κ)αθαρὸν* F: *καθόλου* Roeth | *αἰσθητικῶν* P ‖ **19** *προσερχόμενον* FPL: corr. Diels ‖ **23** *τὰς* addidi ‖ **25** *ὁ* (rubr.) L: *οἱ* Sarti

30 (34 L.) *Χρύσιππος τὸ μὲν γενικὸν ἡδὺ νοητόν, τὸ δὲ εἰδικὸν καὶ προσπῖπτον ἤδη αἰσθητόν.*

⟨31—35 Aetii (IV 9, 15—20) p. 398, 10 sq. Diels.⟩

31 (35 L.) *Ἐμπεδοκλῆς τὰς ἡδονὰς γίνεσθαι τοῖς μὲν ὁμοίοις [τῶν ὁμοίων], κατὰ δὲ τὸ ἐλλεῖπον πρὸς τὴν ἀναπλήρωσιν, ὥστε τῷ ἐλλείποντι ἡ ὄρεξις τοῦ ὁμοίου· τὰς δ' ἀλγηδόνας τοῖς ἐναντίοις, ἠλλοτριῶσθαι γὰρ πρὸς ἄλληλα ὅσα διαφέρει κατά τε τὴν σύγκρισιν καὶ τὴν τῶν στοιχείων κρᾶσιν.*

32 (36 L.) *Ἀναξαγόρας πᾶσαν αἴσθησιν μετὰ πόνου.*

33 (37 L.) *Οἱ ἄλλοι ἐπιγίγνεσθαι ἤτοι ἡδονὴν ἢ πόνον οὐδὲ συμπεφυκέναι.*

34 (37—39 L.) *Οἱ Στωικοὶ τὸν σοφὸν αἰσθήσει καταληπτὸν ἀπὸ τοῦ εἴδους τεκμηριωδῶς· οἱ Ἀκαδημαικοὶ λόγῳ γνώριμον· Ἐπίκουρος σοφῷ μόνῳ τὸν σοφόν.*

35 (40 L.) *Δημόκριτος τὰ νεκρὰ τῶν σωμάτων αἰσθάνεσθαι.*

36 (2 H. G. M., 41 L.) *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 60B. C).

Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικεν εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν, τῷ ἅμα μὲν αὐτὼ μὴ θέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ

---

1 *ὁρύσιππος* (*ὁ* rubr.) L ‖ **4** *ἀμπεδοκλῆς* (*ἀ* rubr.) L ‖ **5** ⟨*ἐκ*⟩ *τῶν ὁμοίων* Meineke | *τῶν ὁμοίων* seclusit Karsten Emp. p. 461 | *πρὸς*] *παρὰ* Usener ‖ **7** *ἢ ἀλλοτριοῦσθαι* L: corr. Meineke ‖ **8** *ἄλλα* L: corr. Karsten ‖ **12** *K* (rubr.) L: *οἱ* scripsi, om. vulg. ‖ **13** *πόνους* L: *πόνον οὐδὲ* scripsi; post *πόνους* add. *οὐ μέντοι* Meineke ‖ **14** *οἱ* (rubr.) L ‖ **15** *καταληπτὸν* L (quod defendit Hirzel, *Unters.* II p. 776 n. 1): *καταληπτικὸν* Diels ‖ **16** *λόγων* L: corr. Diels | *(ἐ)πίκουρος* L ‖ **17** post *σοφόν* lacunam signat Diels, sed audiendum est *γνώριμον* ‖ **18** ante *τὰ νεκρὰ* add. *καὶ* Diels ‖ **20** *πλάτων* F ‖ **22** *ἔοικέ τι εἶναι* Plat. praeter d^1 ‖ **24** *τῷ ἅμα* etiam Plat. *Ebd*^{2}, *τὸ ἅμα* Plat. *BCd*^{1} | *αὐτὼ* P Plat., *αὐτῷ* FL Plat. d^1 ‖ **25** *θέλειν* FP Plat. *E*, *θεῖειν* L, *ἐθέλειν* Plat. *BCd*^{1}

ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥσπερ ἐκ μιᾶς κορυφῆς ἡμμένω δύ' ὄντε· κἀμοὶ δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἐδύνατο, συνῆψεν εἰς ταὐτὸν αὐτῶν τὰς κορυφάς, καὶ διὰ ταῦτα ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον. Ὥσπερ οὖν καὶ αὐτῷ μοι ἔοικεν, ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει τὸ ἀλγεῖν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ.

37 (3 H. G. M.) *Πλάτωνος ἐκ τοῦ Θεαιτήτου* (p. 152^{C}; 153^{D}—154^{B}).

Φαντασία ἄρα καὶ αἴσθησις ταὐτὸν ἔν τε θερμοῖς καὶ πᾶσι τοῖς τοιούτοις· οἷα γὰρ αἰσθάνεται ἕκαστος, τοιαῦτα ἑκάστῳ καὶ κινδυνεύει εἶναι..... Ὑπόλαβε τοίνυν, ὦ ἄριστε, οὕτωσὶ καὶ τὰ ὄμματα πρῶτον· ὃ δὴ καλεῖς χρῶμα λευκόν, μὴ εἶναι αὐτὸ ἕτερόν τι ἔξω τῶν σῶν ὀμμάτων μηδ' ἐν τοῖς ὄμμασι· μηδέ τιν' αὐτῷ χώραν ἀποτάξῃς· ἤδη γὰρ ἂν εἴη τε ἄν που ἐν τάξει καὶ μένον καὶ οὐκ ἂν ἐν γενέσει γίγνοιτο. — Ἀλλὰ πῶς; — Ἑπόμεθα τῷ ἄρτι λόγῳ, μηδὲν αὐτὸ καθ' αὑτὸ ἓν ὂν τιθέντες· καὶ ἡμῖν οὕτω μέλαν τε καὶ λευκὸν καὶ ὁτιοῦν ἄλλο χρῶμα ἐκ τῆς προσβολῆς τῶν ὀμμάτων πρὸς τὴν προσήκουσαν φορὰν φανεῖται γεγενημένον, καὶ ὃ δὴ ἕκαστον εἶναί φαμεν χρῶμα, οὔτε τὸ προσβάλλον οὔτε τὸ προσβαλλόμενον ἔσται, ἀλλὰ μεταξύ τι ἑκάστῳ ἴδιον γεγονός· ἢ σὺ διισχυρίσαι'

---

1 ἀεὶ om. Plat. praeter *E* ‖ **2** μιᾶς etiam FPL | συνημμένω Plat. praeter *Ed*^{2} ‖ **2.3** δύ' ὄντε Plat., δυοῖν τε FPL ‖ **3** καί μοι FL Plat. | νενόησεν F, ἐννενόησεν L ‖ **5** ἐδύνατο etiam FPL | εἰς ταὐτὸν om. P | αὐτοῖς Plat. praeter *E* ‖ **6** ᾧ Plat., ὧν FPL ‖ **7** ἐπακολουθεῖ etiam FPL ‖ **7.8** καὐτῷ μοι P, καὶ ἀντώμενον L ‖ **8** δεσμοῦν L | τῷ (ante ἀλγεῖν) F ‖ **9** ἀλγεινὸν Plat. praeter *E* ‖ **12** φαντασία – κινδυνεύει εἶναι (14) om. FP ‖ **14** ὑπόλαβε Plat., ἀπόλαβε PL (α rubr.), πόλαβε F (ἀ m. x add.) ‖ **15** κατὰ τὰ Plat. praeter *B* ‖ **16** σεμνῶν L ‖ **17** τιν' Plat., τὴν FPL ‖ **18** μένοι Plat. ‖ **18.19** ἐν γενέσει etiam FPL ‖ **19** ἐπώμεθα Plat. ‖ **20** αὐτὸ καθ' αὑτὸ ἓν ὂν Plat., αὐτῷ καθαυτῷ ἑνὸν FPL | ἡμεῖς P ‖ **25** διισχυρίσαι' Plat., διισχυρίσαι FPL

ἂν ὡς οἷον σοὶ φαίνεται ἕκαστον χρῶμα, τοιοῦτον καὶ κυνὶ καὶ ὀτῳοῦν ζῴῳ; — Μὰ Δί' οὐκ ἔγωγε. — Τί; ἄλλῳ ἀνθρώπῳ ἆρ' ὅμοιον καὶ σοὶ φαίνεται ὁτιοῦν, ἔχεις τοῦτο ἰσχυρῶς, ἢ πολὺ μᾶλλον, ὅτι οὐδὲ σοὶ ταὐτὸν διὰ τὸ μηδέποτε ὁμοίως αὐτὸν σεαυτῷ ἔχειν; — Τοῦτο μᾶλλον δοκεῖ μοι ἢ ἐκεῖνο. — Οὐκοῦν εἰ μὲν ᾧ παρεμετρούμεθα, ἢ οὗ ἐφαπτόμεθα, μέγα ἢ λευκὸν ἢ θερμὸν ἦν, οὐκ ἄν ποτε ἄλλῳ προσπεσὸν ἄλλο ἂν ἐγεγόνει, αὐτό γε μηδὲν μεταβάλλον· εἰ δὲ αὖ τὸ παραμετρούμενον ἢ τὸ ἐφαπτόμενον ἕκαστον ἦν τούτων, οὐκ ἂν αὖ ἄλλου προσελθόντος ἤ τι παθόντος αὐτὸ μηδὲν παθὸν ἂν ἄλλο ἐγένετο.

38 (4 H. G. M.) Ἐν ταὐτῷ (p. 157 C).

Μὴ τοίνυν ἀπολίπωμεν ὅσον ἐλλεῖπον αὐτοῦ. Λείπεται δὲ ἐνυπνίων τε πέρι καὶ νόσων τε τῶν ἄλλων καὶ μανίας, ὅσα τε παρακούειν ἢ παρορᾶν ἤ τι ἄλλο παραισθάνεσθαι λέγεται. Οἶσθα γάρ που ὅτι ἐν πᾶσι τούτοις ὁμολογουμένως ἐλέγχεσθαι δοκεῖ ὃν ἄρτι διῆμεν λόγον, ὥστε παντὸς μᾶλλον ἂν ἡμῖν ψευδεῖς αἰσθήσεις ἐν αὐτοῖς p. 151 C. γιγνομένας, καὶ πολλοῦ δεῖ τὰ φαινόμενα ἑκάστῳ ταῦτα καὶ εἶναι, ἀλλὰ πᾶν τοὐναντίον οὐδὲν ὃν φαίνεται εἶναι. — Ἀληθέστατα λέγεις, ὦ Σώκρατες. — Τίς δὴ οὖν, ὦ παῖ, λείπεται λόγος τῷ τὴν αἴσθησιν ἐπιστήμην τιθεμένῳ καὶ τὰ φαινόμενα ἑκάστῳ ταῦτα εἶναι τούτῳ ᾧ φαίνεται;

---

1 ὡς om. L ‖ **2** ὁτωσοῦν L, ὅτῳ ἂν F | τί δ' Plat. ‖ **3** ἄλλο PL | ἄρ' P ‖ **4** τοῦτο Plat., τούτοις FPL | ᾗ FP | post σοὶ add. αὐτῷ Plat. ‖ **5** σεαυτῷ etiam FPL ‖ **6** μοι δοκεῖ Plat. ‖ **7** ἢ οὗ Plat., ἢ ᾧ FPL ‖ **8** προσπεσὸν Plat., προέπεσον FPL | ἄλλο (ante ἄν) Plat., ἄλλ' ὃ FPL | ἐγεγόνειν Plat. ‖ **9** αὖ τὸ Plat., αὐτὸ FPL | τὸ (ante ἐφαπτόμενον) om. Plat. ‖ **11** ἄλλο ἄν Plat., ἂν ἄλλως P ‖ **13** lemma F mrg, PL in textu habent ‖ **14** ἀπολίπομεν F ‖ **15** νόσων τῶν τε Plat. ‖ **16** ἤ τι Plat., ὅτι FPL ‖ **19** ὡς Plat. | παντὸς Plat., πάντως FPL | ἂν om. Plat. ‖ **20** δὴ F ‖ **21** ὃν etiam Plat. *B*, ὢν Plat. *T* ‖ **22** ἀληθέστατα Plat., ἀληθὲς ταῦτα FP, ἀληθῶς ταῦτα L | δὲ P ‖ **24** post ταῦτα add. καὶ Plat. | τούτῳ om. FP | ᾧ Plat., ᾗ FPL

39 (5 H. G. M.) Ἐν ταὐτῷ (p. 179[A. B; C]).

Μετρίως ἄρα ἡμῖν πρὸς τὸν διδάσκαλόν σου εἰρήσεται, ὅτι ἀνάγκη αὐτῷ ὁμολογεῖν σοφώτερόν τε ἄλλον ἄλλου εἶναι καὶ τὸν μὲν τοιοῦτον μέτρον εἶναι, ἐμοὶ δὲ τῷ ἀνεπιστήμονι μηδὲ ὁπωστιοῦν ἀνάγκην εἶναι μέτρῳ γίγνεσθαι. . . . . Πολλαχῇ οὖν, ὦ Θεόδωρε, καὶ ἄλλῃ ἂν τό γε τοιοῦτον ἀλοίη μὴ πᾶσαν πάντως ἀληθῆ δόξαν εἶναι· περὶ δὲ τὸ παρὸν ἑκάστῳ πάθος, ἐξ ὧν αἱ αἰσθήσεις καὶ αἱ κατὰ ταύτας δόξαι γίγνονται, χαλεπώτερον ἐλεῖν ὡς οὐκ ἀληθεῖς.

40 (6 H. G. M.) Ἐν ταὐτῷ (p. 183[B]).

Οὐκοῦν, ὦ Θεόδωρε, τοῦ τε σοῦ ἑταίρου ἀπηλλάγ-
[1106] *μεθα, καὶ οὔπω συγχωροῦμεν αὐτῷ πάντ' ἄνδρα πάντων χρημάτων μέτρον εἶναι.*

41 (7 H. G. M.) *Πλάτωνος ἐν Τιμαίῳ* (p. 37[B]).

Λόγος δὲ ὁ κατὰ ταὐτὸν γιγνόμενος, περί τε θάτερον ὢν καὶ περὶ τὸ ταὐτόν, ἐν τῷ κινουμένῳ ὑφ' αὑτοῦ φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται καὶ ὁ τοῦ θατέρου κύκλος ὀρθὸς ἰὼν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δὲ αὖ περὶ τὸ λογιστικὸν ᾖ καὶ ὁ τοῦ ταὐτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, νοῦς ἐπιστήμη τε ἐξ ἀνάγκης ἀποτελεῖται, τούτῳ δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίγνεσθον, ἄν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν εἴπῃ, πᾶν μᾶλλον ἢ τἀληθὲς ⟨ἐρεῖ⟩.

---

1 lemma P mrg, FL in textu habent ‖ **5** *ἀνάγκην* Plat., *ἀνάγκη* FPL ‖ **6** *οὖν* om. Plat. ‖ **7** *ἄλοίη* Plat., *ἀλλ' οἴει* FPL | *παντὸς* Plat. ‖ **8** *αἱ* (ante *αἰσθήσεις*) om. FP ‖ **9** *ταύτας* Plat., *ταῦτα* FPL ‖ **11** lemma F mrg, P in textu habent, om. L ‖ **13** *οὕτω* Plat. *B* ‖ **15** lemma F mrg, PL in textu habent | ante *Τιμαίῳ* add. *τῷ* Gaisford ‖ **16** *κατὰ ταὐτὸν* Plat., *κατ' αὐτὸν* FPL | ante *γιγνόμενος* add. *ἀληθὴς* Plat. ‖ **17** *ὑφ' αὑτοῦ* Plat., *ὑπ' αὐτοῦ* FPL ‖ **19** *ὢν* Plat. Par. *A* ‖ **21** *λογιστικὸν* etiam FPL ‖ **23** *τούτῳ* Plat., *τοῦτο* FPL ‖ **25** *ἐρεῖ* om. FP

CAPVT LI (LIV Heeren., XLIII Gaisford. Meinek.).

ΠΟΣΑΙ ΕΙΣΙΝ ΑΙ ΑΙΣΘΗΣΕΙΣ ΚΑΙ ΠΟΙΑΣ ΟΥΣΙΑΣ ΚΑΙ ΕΝΕΡΓΕΙΑΣ ΕΚΑΣΤΗ.

1 (42 L.) *Σιμύλου.* [cod. Laur. p. 165 b]

Πέντ' εἰσὶν ἃς ἄνθρωπος αἰσθήσεις ἔχει·
[ἁφὴν ὅρασιν ἀκοὴν γεῦσιν ὄσφρησιν]
τούτων ἁπασῶν κυριωτάτη μία
ἀκοή· φαγὼν γὰρ οὐδὲ εἷς ἔφυ σοφός
οὐδ' ἁψ⟨άμενος οὐδ' ὀσφρ⟩όμενος οὐδ' εἰσιδὼν
τὸ λυσιτελές . . . . . .
ἐκ τοῦ δ' ἀκούειν μανθάνειν τε τἀγαθὰ
πολλοὶ φρόνιμοι γεγόνασι· ταύτην γὰρ μίαν
ὁ νοῦς ἑαυτῷ κατέλιπεν διδάσκαλον·
. . . . . .
ὥσπερ δικαστὴν ἢ κριτὴν ἢ κύριον.

⟨2. 3 Aetii (IV 10, 1. 2 p. 399, 3 Diels.).⟩

2 (43 L.) *Οἱ Στωικοὶ πέντε τὰς εἰδικὰς αἰσθήσεις· ὅρασιν, ἀκοήν, ὄσφρησιν, γεῦσιν, ἁφήν.*

---

1 huius capitis FP solas ecl. 3. 5. 6 habent; totum caput superstes in flor. Laur. *A* 28 (part. II c. 25 ecl. 42—48 Sart.) ‖ **2. 3** titulum om. FPL: addidi ex Photio p. 112^{b} 30 et indice flor. Laur. ‖ **2** *περὶ τῶν αἰσθήσεων πόσαι εἰσίν* L ‖ **4** *Μιμύλου* (*M* rubr.) L; sed rec. m. mrg add. *Σ* | Simyli didactici versus tractavit olim Meinekius Com. Gr. I p. XIV, rectius in proleg. Stob. flor. vol. IV p. XLII ‖ **6** *ἁφὴν – ὄσφρησιν* seclusi cum Meinekio, qui olim *ἀκοὴν* in finem traiecit | post *ὄσφρησιν* add. L *μία*, quod transposui in v. 7 post *κυριωτάτη*, eodem post *τούτων* transposuit olim Meineke, nunc cum reliquis secludit ‖ **7** post *ἁπασῶν* add. L *ἐστὶ*, quod delevi ‖ **8** *οὐδὲ εἷς* habet L | *ἔτι* L: *ἔφυ* Nauck, *ἐστὶν* Meineke quaest. scen. III p. 59 ‖ **9** *ἁψόμενος* L: *ἁψάμενος οὐδ' ὀσφρόμενος* Meineke | *οὐδεὶς ἰδὼν* L: corr. Iacobs lect. Stob. p. 152 ‖ **10** *τε* L: *τὸ* Iacobs | lacunam nunc signat Meineke, quam ita fere expleverit: *οὐκ ἄν ποθ' εὕροι τῷ βίῳ* ‖ **13** *ἑαυτῷ* habet L | *κατέλιπε* L ‖ **14** 'versum intercidisse sententia clamat: non mens auditum ut iudicem aut censorem suum agnoscit, sed mentem omnes sensus' Usener ‖ **17** *'ἰδικάς* L: corr. Meineke

3 (1ª H. G. M., 44 L.) *Ἀριστοτέλης ἕκτην μὲν οὐ λέγει, κοινὴν δὲ αἴσθησιν ⟨τὴν⟩ τῶν συνθέτων εἰδῶν κριτικήν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη φαντασίας, ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου πρὸς ἕτερον, οἱονεὶ σχήματος καὶ κινήσεως.*

4 (45 L.) ⟨Aetii (IV 10, 4 p. 399, 15 Diels.).⟩ *Δημόκριτος πλείους εἶναι αἰσθήσεις περὶ τὰ ἄλογα ζῷα καὶ περὶ τοὺς σοφοὺς καὶ περὶ τοὺς θεούς.*

5 (1ᵇ H. G. M., 46 L.) ⟨Didymi (epit. phys. fr. 15 p. 455 Diels.).⟩

[1108] *Ἀριστοτέλους. Τὸ δὲ αἰσθητικόν, ὃ δὴ κοινῶς ἁπάντων τῶν ζῴων ἴδιον (αἰσθήσει γὰρ διαφέρειν τὸ ζῷον τοῦ φυτοῦ), πενταπλοῦν ἐοικέναι. Τοῦτο γὰρ τὸ μὲν ὅρασιν, τὸ δ' ἀκοήν, τὸ δ' ὄσφρησιν, τὸ δὲ γεῦσιν, τὸ δ' ἁφήν. Ὑπάρχειν δέ τινα καὶ σύνθετον αἴσθησιν, ἐν ᾗ τό τε φανταστικὸν πᾶν γίγνεσθαι καὶ ⟨τὸ⟩ μνημονευτικὸν καὶ τὸ δοξαστικόν, ὅπερ οὖν οὐδ' ἄμοιρον τοῦ νοῦ τυγχάνειν. Αἰσθάνεσθαι δὲ ἡμᾶς παθούσης τι τῆς αἰσθήσεως.*

6 (2 H. G. M., 47 L.) *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 96ᴮ).

Ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν, κατὰ ταῦτα γίγνεσθαι ἐπιστήμην.

1—5 Heeren ea quae supra c. 50 ecl. 5 leguntur, ubi ipse omisit, cum his copulavit ita ut v. 1 scriberet *Ἀρ. τὴν αἴσθησιν ἑτεροίωσιν αἰσθητοῦ καὶ μεσότητα· ἕκτον δὲ μὲν οὐ λέγει*, in fine post *κινήσεως* (v. 5) adderet *σώματος μεθορίῳ – ἀριθμός* (supra p. 473, 12—16): quod invito scriptore factum esse vidit Diels collato Plut. plac. IV 10 ‖ **1** *Ἀριστοτέλης* om. P, ubi mrg *ἀριστοτλ'* | *ἕκτον* FPL: corr. Gaisford ex Plut. l. s. ‖ **2** *τὴν* om. hic FPL, add. Plut. l. s., PL c. 50 | *συνθέντων* L ‖ **7** *πλείους* explicat Krische theolog. p. 154 ‖ **11** *Ἀριστοτέλους* F, *ἀριστοτέλ* L, *τοῦ αὐτοῦ* P: om. vulg. | *τὸ δὴ* FPL: *τὸ δὲ* Diels ‖ **12** *τῶν* om. L ‖ **13** *ταὐτὸ γὰρ τοτὲ μὲν . . . τοτὲ δ' κτλ.* Usener ‖ **16** *τὸ* ante *μνημονευτικὸν* om. FPL: add. Heeren ‖ **17** *ἄμοιρον* FL, *ἄμοιρα* P ‖ **18** *τυγχάνει* FPL: corr. Usener ‖ **25** *κατὰ* L Plat., *καὶ* FP | *ταὐτὰ* Heindorf

7 (48 L.) Ἐμπεδοκλῆς (v. 333. 334 Stein.).
Γαίᾳ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀίδηλον.

CAPVT LII (LV Heeren., XLIV Gaisford. Meinek.).

ΠΕΡΙ ὌΡΑΣΕΩΣ ΚΑΙ ΚΑΤΟΠΤΡΙΚΩΝ ἘΜΦΑΣΕΩΝ.

1 ⟨Aetii (IV 13, 1. 2ª p. 403, 2) Diels.).⟩
Λεύκιππος Δημόκριτος Ἐπίκουρος κατὰ εἰ- [cod. Laur. p. 110a]
δώλων εἴσκρισιν οἴονται τὸ ὁρατικὸν συμβαίνειν πάθος.
[*Καὶ κατά τινων ἀκτίνων ἔκκρισιν μετὰ τὴν πρὸς τὸ*
ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν
ὄψιν.]
⟨2—8 Aetii (IV 13, 6—12 p. 403, 22 Diels.).⟩
2 *Τιμαγόρας, εἷς τῶν παραχαραξάντων ἐν συχνοῖς*
τὴν Ἐπικούρειον αἵρεσιν, ἀντὶ τῶν εἰδώλων ταῖς ἀπορροί-
αις χρῆται.
3 *Στράτων χρώματά φησιν ἀπὸ τῶν σωμάτων φέ-*
ρεσθαι συγχρώζοντ' αὐτοῖς τὸν μεταξὺ ἀέρα.
4 *Ἀρίσταρχος σχήματα συνδιατυποῦντά πως αὐτοῖς*
τὸν ἀέρα.
5 *Ἵππαρχος ἀφ' ἑκατέρου φησὶ τῶν ὀφθαλμῶν*
ἀποτεινομένας ⟨ἀκτῖνας⟩ τοῖς πέρασιν αὐτῶν, οἱονεὶ χει-

---

1 ἀμπεδοκλῆς L (ἀ rubr.) ‖ **2** *γαίῃ* Arist. de anim. I 2 al., *καῖα* (κ rubr.) L | *ὕδατι* Arist. l. s., *ὕδατα* L ‖ **3** *δίαν* L: correxi ex Arist. ‖ **4** huius capitis FP servarunt solas ecl. 7 et 9 Platonicosque locos 19. 20; totum caput praebet flor. Laur. O 14 (part. I c. 17 s. 1—21 Sart.) ‖ **5** titulum om. FPL: add. Heeren ex Phot. p. 112ᵇ 31. 32 ‖ **8** *εἰσκρίσιν* L ‖ **9** *Καὶ κατά – ὄψιν* (11) seclusit ut ex Plut. plac. IV 13 a gnomologo Laur. addita nunc Diels mus. Rhen. XXXVI p. 349 | *ἔκκρισιν* Plut., *ἔγκρισιν* L ‖ **13** *Δημαγόρας* L (*Δ* rubr.) ‖ **14** *τὸ* L: *τὴν* Sarti ‖ **16** *Ἀτράτων* (*Ἀ* rubr.) L: corr. Meineke ‖ **17** *συνχρώζονθ' αὐτοῖς* malit Meineke | *συνχροίζοντ'* L: corr. Meineke ‖ **18** *Ἀρισταγόρας* L: corr. Diels Add. p. 853 | *αὐτοῖς* L: corr. Meineke ‖ **20** post *Ἵππαρχος* add. *ἀκτῖνας* Diels coll. Plut. l. s. ‖ **21** *ἀκτῖνας* add. Meineke | *αὐτῶν* L: corr. Meineke

ρῶν ἐπαφαῖς, περικαθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι.

6 *Ἔνιοι καὶ Πυθαγόραν τῇ δόξῃ ταύτῃ συνεπιγράφουσιν, ἅτε δὴ βεβαιωτὴν τῶν μαθημάτων· καὶ πρὸς τούτῳ Παρμενίδην ἐμφαίνοντα τοῦτο διὰ τῶν ποιημάτων.*

7 (1ª H. G. M.) *Πλάτων συναύγειαν τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ*
p. 152 C. *ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα, εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον, συντεινομένου τῷ πυρώδει τῆς ὄψεως. αὕτη λέγεται Πλάτωνι ἡ συναύγεια.*

8 *Ἀλκμαίων κατὰ τὴν τοῦ διαφανοῦς ἀντίληψιν.*

9 (1ᵇ H. G. M.) ⟨Didymi (epit. phys. fr. 17 p. 456 Diels.).⟩

[1110] *Ἀριστοτέλους. Ὁρᾶν ἡμᾶς κατὰ κίνησιν τοῦ κατ' ἐνέργειαν διαφανοῦς· διαφανὲς δὲ οὐ μόνον εἶναι τὸν ἀέρα ἀλλὰ καὶ τὸ ὕδωρ καί τινα τῶν συνισταμένων ποθέν, οἷον ὕαλον καὶ κρύσταλλον καί τινας τῶν λαμπρῶν λίθων. Ἀκούειν δὲ κατ' ἐνέργειαν τοῦ μεταξὺ διηχοῦς· διηχὲς δ' εἶναι καὶ τὸν ἀέρα καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ καί τινα τῶν συγκριμάτων.*

⟨10—13 Aetii (IV 13, 2ᵇ—5 p. 403, 7 Diels.).⟩

10 (10ª L.) *Τῶν Ἀκαδημαικῶν τινες κατά τινων ⟨ἀκτίνων⟩ ἔκχυσιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν.*

---

1 *περικαθαπτούσας* habet L ‖ 5 *τούτῳ* habet L | *τοῦτο* L: *ταὐτὸ* Meineke ‖ 7 lemma *τοῦ αὐτοῦ* add. P in quo antecedit c. 51 ecl. 6 | *Πλάτων* FL, *ὁ αὐτὸς* P | ante *συναύγειαν* add. *κατὰ* Plut. l. s. | *τοῦ* F, *του* L, om. P ‖ 10 *εὔτρεπον* PL ‖ 11 *αὕτη — συναύγεια* (12) seclusit Heeren | *αὕτη* Plut. l. s., *ταύτη* FPL ‖ 11. 12 *Πλατωνικὴ* FPL et Plut. l. s.: *Πλάτωνι ἡ* Usener ‖ 13 *ἀντίλαμψιν* Diels proleg. p. 223 ‖ 15 *Ἀριστοτέλης* FL et P, qui tamen lemma *ἀριστοτέλους* add. ‖ 17 *ποθὲν* etiam in F ‖ 19 *τοῦ μεταξὺ διηχοῦς* om. L, qui dein *τιεχὲς δ'* (*τ* rubr.) habet | *διηχοῦς* P¹, *διεχοῦς* F, *δι' ἐχοῦς* P¹ ‖ 20 *διηχὲς* P², *διεχὲς* FP¹ ‖ 21 *τινω* F ‖ 24 *ἀκτίνων* post *τινων* add. Sarti cf. supra ecl. 1 (*κατ' ἀκτίνων* Meineke)

11 (10[b] L.) *Ποσειδώνιος ⟨αὐ⟩γῶν αὐτὴν σύμφυσιν ὀνομάζει.*

12 (11 L.) *Ἐμπεδοκλῆς καὶ πρὸς τὸ διὰ τῶν ἀκτίνων καὶ πρὸς τὸ διὰ τῶν εἰδώλων ἐκδοχὰς παρέχεται· πλείους δὲ πρὸς ⟨τὸ⟩ δεύτερον· τὰς γὰρ ἀπορροίας ἀποδέχεται.*

13 (12 L.) *Ἑστιαῖος ὁ Περίνθιος τοῖς εἰδώλοις τὰς ἀκτῖνας ἀνέμιξε, προσαγορεύσας τὸ γιγνόμενον ἀκτινείδωλον.*

⟨14—16 Aetii (IV 14, 1—4 p. 405, 3 sqq. Diels.).⟩

14 (13 L.) *Ἐμπεδοκλῆς κατ' ἀπορροίας τὰς συνισταμένας μὲν ἐπὶ τῆς ἐπιφανείας τοῦ κατόπτρου, πιλουμένας δ' ὑπὸ τοῦ ἐκκρινομένου ἐκ τοῦ κατόπτρου πυρώδους καὶ τὸν προκείμενον ἀέρα, εἰς ὃν φέρεται τὰ ῥεύματα, συμμεταφέροντος.*

15 (14 L.) *Λεύκιππος, Δημόκριτος, Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ἐμφάσεις, ἅ τινα φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατ' ἀντιπεριστροφήν.*

16 (15 L.) *⟨Οἱ⟩ ἀπὸ Πυθαγόρου καὶ τῶν μαθηματικῶν κατ' ἀνάκλασιν τῆς ὄψεως. Φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκόν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ λείῳ πληχθεῖσαν ὑποστρέφειν αὐτὴν ἐφ' ἑαυτήν, ὅμοιόν τι πάσχουσαν τῇ ἐκτάσει τῆς χειρὸς καὶ τῇ ἐπὶ τὸν ὦμον ἀντεπιστροφῇ.* [cod. Laur. p. 110 b]

---

1 *γοῦν* L: *αὐγῶν* scripsi; post *γοῦν* add. *αὐγῶν* Diels Add. p. 853 ‖ **3** *ὀπεδοκλῆς* (*ὁ* rubr.) L ‖ **5** *τὸ* add. Diels | *δεύτερον* habet L ‖ **7** *Ὅστιαῖος* (*Ὅ* rubr.) L ‖ **8** *προσέμιξε* (sed *προσ* corr. in *ἀν*) L, *ἀνέμιξε* Plut. l. s. ‖ **8. 9** *ἀκτίν' εἰδώλων* L: corr. Meineke ‖ **11** *Ἀμπεδοκλῆς* (*Ἀ* rubr.) L ‖ **13** *ἐκ τοῦ* L: *αὐτοῦ* Sarti, *ἀπὸ τοῦ* Meineke ‖ **15** *συντρέφοντος* L: corr. Meineke ex Plut. plac. IV 14 ‖ **18** *ἐμφάσεις* L, *ὑποστάσεις* Plut., *ἐπιστάσεις* Gal.: *ἀποστάσεις* Usener, cum *ἐμφάσεις* inlatum sit ex superioribus; cf. Epicur. fr. 320 p. 221, 20; *ἐνστάσεις* Meineke ‖ **19** *ἀντεπιστροφήν* L: correxi e Plut. ‖ **20** *οἱ* add. Plut. l. s., om. L: *οἱ πλεῖστοι τῶν* addiderit Usener ‖ **22** *τεταμένην* Plut. l. s., *τεταγμένην* L ‖ **24. 25** *τῆς* et *ἀντεπιστροφῆς* L: corr. Meineke e Plut.

[*Δύναται δέ τις πᾶσι τούτοις τοῖς κεφαλαίοις χρήσασθαι ἐπὶ τοῦ πῶς ὁρῶμεν.*]

⟨Aetii (IV 15, 1—3 p. 405, 26 sqq. Diels.).⟩

17 (16 L.) *Σφαῖρος ὁ Στωικὸς ὁρατὸν εἶναι τὸ σκότος, ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα εἰς αὐτὸ αὐγήν.*

[(17 L.) *Οἱ Στωικοὶ ὁρατὸν εἶναι τὸ σκότος· ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα ἐπ' αὐτὸ αὐγήν. Καὶ οὐ ψεύδεται ἡ ὅρασις, βλέπεται γὰρ ταῖς ἀληθείαις ὅτι ἔστι σκότος.*]

18 *Χρύσιππος κατὰ συνέντασιν* [*τὰ ὄντα*] *τοῦ μεταξὺ ἀέρος ὁρᾶν ἡμᾶς, νυγέντος μὲν ὑπὸ τοῦ ὀπτικοῦ πνεύματος, ὅπερ ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῆς κόρης διήκει, κατὰ δὲ τὴν πρὸς τὸν περικείμενον ἀέρα ἐπιβολὴν ἐντείνοντος αὐτὸν κωνοειδῶς, ὅταν ᾖ ὁμογενὴς ὁ ἀήρ· προχέονται δ' ἐκ τῆς ὄψεως ἀκτῖνες πύριναι, οὐχὶ μέλαιναι καὶ ὁμιχλώδεις· διόπερ ὁρατὸν εἶναι τὸ σκότος.*

(19 2 H. G. M.) *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 45^{B}—46^{B}).

Τῶν δὲ ὀργάνων πρῶτον μὲν φωσφόρα συνετεκτήναντο ὄμματα, τοιᾶδε ἐνδήσαντες αἰτίᾳ· τοῦ πυρὸς ὅσον τὸ μὲν καίειν οὐκ ἔσχε, τὸ δὲ παρέχειν φῶς ἥμερον, οἰκεῖον ἑκάστης ἡμέρας, σῶμα ἐμηχανήσαντο γίγνεσθαι. Τὸ γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν ὂν τούτου πῦρ εἰλικρινὲς ἐποίησαν διὰ τῶν ὀμμάτων ῥεῖν λεῖον καὶ πυκνὸν ὅλον μέν,

---

1 *δύναται* – *ὁρῶμεν* (2) leguntur etiam ap. Plut. l. s., videntur tamen antiquitus ex glossemate exorta ‖ **6** *αὐτὴν* L: corr. Gaisford ‖ **7** *Οἱ Στωικοὶ* – *σκότος* (10) seclusit Diels mus. Rhen. XXXVI p. 350 ut ex Plut. in Laur. illata | *Ὁ* rubr.: *Οἱ* Sarti ‖ **8** *αὐγήν* Plut., *αὐτήν* L ‖ **11** *Ὁρύσιππος* (*Ὁ* rubr.) L | post *κατὰ* add. *τὴν* Plut. l. s. et Sarti | *συνέντασιν* Plut., *συνένστασιν* L | *τὰ ὄντα* om. Plut. l. s.: *τὰ ὄντα* fuerit olim *τῷ ὄντι* ad *ταῖς ἀληθείας* (supra v. 9) adscriptum' Diels, qui seclusit ‖ **12** *νυγέντος* Plut. l. s., *νυγέντες* L | *ὀπτικοῦ* L ‖ **16. 17** *μελαναὶ* L ‖ **20** *φωσφόρου* FP ‖ **21** *τοιᾷδε* Plut. cet., *τοιάδε* FPL et Plut. Par. *A* | *ἐνδύσαντες* F ‖ **22** *ἥμερον* Plut., *ἡμερινὸν* FPL

μάλιστα δὲ τὸ μέσον ξυμπιλήσαντες τῶν ὀμμάτων, ὥστε τὸ μὲν ἄλλο ὅσον παχύτερον στέγειν πᾶν, τὸ τοιοῦτον δὲ μόνον αὐτὸ καθαρὸν διηθεῖν. Ὅταν οὖν μεθημερινὸν ἧ φῶς περὶ τὸ τῆς ὄψεως ῥεῦμα, τότε ἐκπῖπτον ὅμοιον πρὸς ὅμοιον, συμπαγὲς γενόμενον, ἓν σῶμα οἰκειωθὲν συνέστη κατὰ τὴν τῶν ὀμμάτων εὐθυωρίαν, ὅπηπερ ἂν ἀντερείδῃ τὸ προσπῖπτον ἔνδοθεν πρὸς ὃ τῶν ἔξω συνέπεσεν. Ὁμοιοπαθὲς δὴ δι' ὁμοιότητα πᾶν γενόμενον, ὅτου τε ἂν αὐτό ποτε ἐφάπτηται, καὶ ὃ ἂν ἄλλο ἐκείνου, τούτων τὰς κινήσεις διαδιδὸν εἰς ἅπαν τὸ σῶμα μέχρι τῆς ψυχῆς αἴσθησιν παρέσχετο ταύτην, ἣ δὴ ὁρᾶν φαμεν. Ἀπελθόντος δὲ εἰς νύκτα τοῦ ξυγγενοῦς πυρὸς ἀποτέτμηται· πρὸς γὰρ ἀνόμοιον ἐξιὸν ἀλλοιοῦταί τε αὐτὸ καὶ κατασβέννυται, ξυμφυὲς οὐκέτι τῷ πλησίον ἀέρι γιγνόμενον, ἅτε πῦρ οὐκ ἔχοντι. Παύεταί τε οὖν ὁρῶν, ἔτι τε ἐπαγωγὸν ὕπνου γίγνεται· σωτηρίαν γὰρ ἣν οἱ θεοὶ τῆς ὄψεως ἕνεκα ἐμηχανήσαντο, τὴν τῶν βλεφάρων φύσιν, ὅταν ταῦτα συμμύσῃ, καθείργνυσι τὴν τοῦ πυρὸς ἐντὸς δύναμιν, ἣ δὲ διαχεῖται καὶ ὁμαλύνει τὰς ἐντὸς κινήσεις, ὁμαλυνθεισῶν δὲ ἡσυχία γίγνεται, γενομένης δὲ πολλῆς μὲν ἡσυχίας βραχυόνειρος ὕπνος ξυμπίπτει, καταλειφθεισῶν δέ τινων κινήσεων μειζόνων, οἷαι καὶ ἐν οἵοις ἂν τόποις λίπωνται, τοιαῦτα καὶ τοσαῦτα παρέσχον τὰ ἀφομοιωθέντα ἐντὸς ἔξωθέν τε ἐγερθεῖσιν ἀπομνημονευόμενα φαντάσματα. Τὸ δὲ περὶ τὴν τῶν κατόπτρων εἰδωλοποιίαν,

---

1 *ξυμπλήσαντες* P ‖ **5** *ἐν* P ‖ **6** *τῶν ὀμμάτων* om. FP | *ἀντερείδει* (om. *ἄν*) Plat. *A* ‖ **7** *τῶν ἔξω* etiam Plat. *A* ‖ **8** *δὴ* om. L ‖ **9** *ἐὰν* Plat. *A* ‖ **10** *διαδιδὸν* Plat., *διαδίδον* FP, *διαδίδου* L ‖ **11** *ᾗ δὴ* Plat., *ᾗδη* FL P corr. (fuit *ᾗ διορᾶν*) ‖ **14** *ἐρι* P^1 ‖ **15** *τε* (ante *οὖν*) om. P ‖ **15. 16** *ἐπαγωγῆ* L ‖ **16** *γίγνεται ὕπνου* Plat. praeter *A* ‖ **17** *ἕνεκα* om. Plat. *A* | *τὴν* iterat L ‖ **18** *ξυμμύσῃ* Plat., *συμβύσῃ* L, *συμμυήσει* P^1, *συμμυνήσῃ* F, *συμμυνήσει* P^2 | *ἐντὸς* om. P | *ἡ* P^2 Plat., *εἰ* FP^1 L ‖ **19** *διαχεῖ τε καὶ* Plat. ‖ **19. 20** *ὁμαλυνθεῖσι* L ‖ **21** *βραχυόνειρος* Plat., *βραχὺ ὄνειρος* FL, *βραχὺς ὄνειρος* P | *ἐμπίπτει* Plat. | *καταλειφθεισῶν* FP Plat., *καταληφθεισῶν* L corr. ‖ **22** *ἐν οἵοις* Plat., *ἐν οἵαις* FL, *ἐνενοίαις* P ‖ **23** *λείπωνται* Plat. | *παρέσχον τὰ* etiam Plat. *A*, *παρέχον τὰ* P, *παρέσχοντο* Plat. cet. ‖ **24** *ἔξω* Plat.

καὶ πάντα ὅσα ἐμφανῆ καὶ λεῖα κατιδεῖν οὐδὲν ἔτι χαλεπόν· ἐκ γὰρ τῆς ἐντὸς ἐκτός τε τοῦ πυρὸς ἑκατέρου κοινωνίας ἀλλήλοις, ἑνός τε αὖ περὶ τὴν λειότητα ἑκάστοτε γενομένου καὶ πολλαχῇ μεταρρυθμισθέντος, πάντα τὰ τοιαῦτα ἐξ ἀνάγκης ἐμφαίνεται, τοῦ περὶ τὸ πρόσωπον πυρὸς τῷ περὶ τὴν ὄψιν πυρὶ περὶ τὸ λεῖον καὶ λαμπρὸν ξυμπαγεῖ γιγνομένῳ.

[cod. Laur. p. 111 a]

20 (3 H. G. M.) ⟨Ἐν ταὐτῷ⟩ p. 67^{C}—68^{D})· [εἰς τὸ περὶ χρωμάτων].

Ἔστι γένος ἡμῖν αἰσθητικόν, ὃ διελέσθαι δεῖ συχνὰ ἐν αὑτῷ ποικίλματα κεκτημένον, ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων ἀπορρέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν· ὄψεως δ' ἐν τοῖς πρόσθεν αὐτὸ περὶ τῶν αἰτίων τῆς γενέσεως ἐρρήθη· τῇδ' οὖν τῶν χρωμάτων πέρι μάλιστα εἰκὸς πρέποι τ' ἂν τὸν ἐπιεικῆ λόγῳ διεξελθεῖν, τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μόρια ἐμπίπτοντά τε εἰς τὴν ὄψιν, τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω, τὰ δὲ ἴσα τῆς αὐτῆς ὄψεως μέρεσιν εἶναι. Τὰ μὲν οὖν ἴσα ἀναίσθητά τε δὴ διαφανῆ λέγομεν, τὰ δὲ μείζω καὶ ἐλάττω, τὰ μὲν συγκρίνοντα, τὰ δὲ διακρίνοντα αὐτὴν τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς

---

2 τοῦ om. P | ἑκατέρου Plat., ἑκάτερον FPL ‖ **3** ἑκάστοτε etiam FPL ‖ **4** μεταρυθμιθέντος P ‖ **5** ἐφαίνεται F ‖ **6** τῷ (ante περὶ) L Plat., τὸ FP ‖ **7** ξυμπαγεῖ etiam Plat. *A*, ξυμπαγοῦς Plat. cet. | γιγνομένῳ Plat. *A*, γιγνόμενον FPL, γιγνομένου Plat. cet. ‖ **8** ἐν ταὐτῷ add. (tacite) Gaisford ‖ **8. 9** εἰς τὸ περὶ χρωμάτων seclusi, ut ab antiquo lectore scriptum qui hanc ecl. ad libr. I c. 16 περὶ χρωμάτων pertinere observavit, ubi revera tota (praeter extrema verba) iteratur | εἰς PF^{2}, ἰς F^{1}, ὃς (ὃ rubr.) L ‖ **10** ἔστι F (in quo ἔ man. x add.) PL (in quo ἔ rubr.), τέταρτον δὴ λοιπὸν ἔτι Plat. et Stob. supra ‖ **11** αὐτῷ FPL, ἑαυτῷ Plat. ‖ **14** ἔμπροσθεν (sed ἔμ del.) L | αὐτὸ etiam Plat. *A*, αὐτῶν Plat. cet. ‖ **14. 15** ante ἐρρήθη add. ὀλίγα Plat. *A* ‖ **15** τῇδ' Plat., τί FPL | πρέποι Plat., πρέπει FPL ‖ **16** τὸν om. Plat. praeter *A* | ἐπιεικῆ λόγον Plat. *A*, ἐπιεικεῖ λόγῳ Plat. cet. ‖ **17** μόρια ἐμπίπτοντά τε etiam Plat. *A* ‖ **18** τῆς αὐτῆς FPL, τοῖς αὐτῆς τῆς Plat. ‖ **19** αἰσθητὰ P | τε δὴ L, τε FP, ἃ δὴ καὶ Plat.

καὶ τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς καὶ ὅσα θερμαντικὰ ὄντα δριμέα ἐκαλέσαμεν ἀδελφὰ εἶναι, ταῦτα εἴη ἂν τά τε λευκὰ καὶ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει ταὐτά, φανταζόμενα δὲ ἄλλα διὰ ταύτας αἰτίας. Οὕτως οὖν αὐτὰ προσρητέον· τὸ μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ' ἐναντίον αὐτοῦ μέλαν, τὴν δὲ ὀξυτέραν φορὰν καὶ γένους πυρὸς ἑτέρου προσπίπτουσαν καὶ διακρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀφθαλμῶν, αὐτάς τε τῶν ὀμμάτων τὰς διεξόδους βίᾳ διωθοῦσαν, πῦρ μὲν ἀθρόον καὶ ὕδωρ, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν, αὐτὴν δὲ οὖσαν πῦρ, ἐξ ἐναντίας ἀπαντῶσαν, καὶ τοῦ μὲν ἐκπηδῶντος πυρὸς οἷον ἀπ' ἀστραπῆς, τοῦ δ' εἰσιόντος καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου, παντοδαπῶν ἐν τῇ κυκλήσει ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν, τὸ δὲ τοῦτο ἀπεργαζόμενον λαμπρόν τε καὶ στίλβον ἐπωνομάσαμεν. Τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένῃ χρῶμα ἔναιμον παρασχομένῃ τοὔνομα ἐρυθρὸν λέγομεν. Λαμπρὸν δὲ ἐρυθρῷ λευκῷ τε μιγνύμενον ξανθὸν γέγονε. Τὸ δὲ ὅσον μέτρον ὅσον οὔ, οὐδ' εἴ τις εἰδείη, νοῦν ἔχει τὸ λέγειν, ὧν μήτε τινὰ ἀνάγκην μήτε τὸν εἰκότα λόγον καὶ μετρίως ἂν τις εἰπεῖν εἴη δυνατός. Ἐρυθρὸν δὲ δὴ μέ-

---

1 καὶ τὴν περὶ τὴν FP ‖ **2** ταῦτα εἴη ἂν om. Plat. | ταῦτα om. L ‖ **3** καὶ τὰ μέλανα Plat. ‖ **4** ταὐτὰ (vel τὰ αὐτὰ) Plat., ταῦτα FPL | post ταύτας add. τὰς Plat. ‖ **5** αὐτὰ προσρητέον F Plat., αὐτὰς προσρητέον L, καταπροσρητέον P ‖ **7** πυρὸς Plat., πρὸς FPL ‖ **8** μέχρι τῶν ὀμμάτων Plat. ‖ **9** τε τῶν ὀφθαλμῶν τὰς Plat. | post διωθοῦσαν add. Plat. καὶ τήκουσαν ‖ **9. 10** μὲν ἀθρόον καὶ ὕδωρ Plat. *A*, μὲν καὶ ὕδωρ ἀθρόον Plat. cet. ‖ **10** δάκρυον etiam FPL ‖ **13** περὶ τὸ νοτερὸν Plat., περιτονώτερον FPL ‖ **14** κυκήσει Plat. | γιγνομέναν L ‖ **16** ἐπωνομάζομεν P¹ ‖ **18. 19** τῇ δὲ L Plat., τῆς δὲ FP ‖ **19** τῆς (ante νοτίδος) om. P | αὐγῇ Plat., αὐτῇ FPL | μιγνυμένου Plat. Flor. *x* ‖ **20** παραχομένῃ P ‖ **20. 21** λαμπρόν τε Plat., λαμπρῷ δὲ L ‖ **22** ὅσον οὐ FL, ὅσον (om. οὐ) P, ὅσοις Plat. | νοῦν ἔχει Plat. cet., νοῦν ἔχει Plat. *A*, νουνεχῆ FPL

λανι λευκῷ τε κραθὲν ἁλουργόν, ὄρφνινον δέ, ὅταν τούτοις μεμιγμένοις καυθεῖσί τε μᾶλλον συγκραθῇ μέλαν. Πυρρὸν δὲ ξανθοῦ καὶ φαιοῦ κράσει γίγνεται, φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος, τὸ δὲ ὠχρὸν λευκοῦ ξανθῷ μιγνυμένου. Λαμπρῷ τε λευκὸν συνελθὸν καὶ ἐς μέλαν κατακορὲς ἐμπεσὸν κυανοῦν χρῶμα ἀποτελεῖται, κυανοῦ δὲ λευκῷ κεραννυμένου γλαυκόν, πυρροῦ δὲ μέλανι πράσινον. Τὰ δ' ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι διασῴζοι τὸν εἰκότα μῦθον. Εἰ δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι, τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον, ὅτι θεὸς μὲν τὰ πολλὰ εἰς ἓν [μὲν] συγκεραννύναι καὶ πάλιν ἐξ ἑνὸς εἰς πολλὰ διαλύειν ἱκανῶς ἐπιστάμενος ἅμα καὶ δυνατός, ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων ἱκανὸς οὔτ' ἔστι νῦν, οὔτ' εἰσαῦθίς ποτ' ἔσται.

[cod. Laur. p. 111 b]

21 Ἀριστομβρότου Περὶ ὄψιος.

Ὄψις καὶ φάος καὶ ἀὴρ φυσικὰν ἔχει σύγκρασίν τε καὶ συγγένειαν ποτ' ἄλλαλα * * λαμπρῶς ὁρᾶ· καὶ ἀὴρ πᾶς τῷ λαμπρῷ διορᾶται. συμβέβακε δὲ καὶ τὰν ὄψιν καὶ τὸν ἀέρα εἶμεν * * ἀλλὰ τὰν μὲν ὄψιν μέλαιναν καὶ ὑγράν, τὸν δὲ ἀέρα μέλανα καὶ ἀραιόν· ἐννυπόκειται δὲ καὶ τᾷ ὄψι καὶ τῷ ἀέρι [καὶ] τὸ δυνάμι διαφανές, ἀλλὰ τᾷ μὲν ὄψι τὸ συγγενὲς φάος, τῷ δὲ ἀέρι τὸ ἀπὸ τῶ ἁλίω. Ὅτι δὲ ἃ ὄψις ὑγρὰ ἔασσα φάος ἔχει συγγενές,

---

1 ἁλουργόν etiam Plat. *A* | ὄρφνινον Plat., ὀρφνειὸν FPL ‖ **3** τε καὶ Plat. ‖ **4** δὲ ὑγρὸν λευκῷ ξανθοῦ L | μεμιγμένον Plat. ‖ **5** λαμπρὸν (om. τε) L | δὲ Plat. ‖ **7** γλαυκόν om. P, in quo lac. 5 litt. | πράσιον Plat. ‖ **10** λαμβάνοιτο τῆς Plat. *A* ‖ **12** μὲν om. Plat.: seclusi ‖ **13** ἱκανῶς FPL, ἱκανὸς ὡς Plat. ‖ **14** δυνατός P² Plat., δυνατῶς FLP¹ ‖ **16** ὄψεως L: correxi, ceteras doricas formas per hanc ecl. revocavit Meineke ‖ **17** ὄψις (ὅ rubr.) L | φῶς L | φυσικὴν L ‖ **18** ἄλλα L: corr. Gaisford | lacunam statuit Gaisford ‖ **19** συμβέβηκε L | τὴν L ‖ **20** post εἶμεν putat Meineke διαφανέα intercidisse | τὴν L ‖ **21** μέλαινα L: μέλανα Sarti, γλαυκὸν Meineke ‖ **22** τῇ (supra ᾗ sprscr. ὰ) ὄψει L | καὶ (ante τὸ δυνάμι) seclusit Meineke | δυνάμει L ‖ **23** ὄψει L | φῶς L ‖ **23. 24** τῶν ἄλιω (ἄνω testatur Schöll) L: corr. Meineke ‖ **24** δ' L | ἔασσα L

*δείξαιτο κά τις ἐκ τῶνδε· πρᾶτον μὲν τῷ διαφανέα καὶ λαμπρὰν εἶμεν· πᾶν γὰρ τὸ διαφανὲς καὶ λαμπρὸν οὐκ ἄνευ τινὸς φάεος * * ἐκ τᾶς ὄψιος ἢ διά τινος παραθλίψιος ἢ καὶ παρατρίψιος.*

CAPVT LIII (LVI 1. 2 Heeren.; XLV 1. 2 Gaisford. Meinek.).

ΠΕΡΙ ἈΚΟΗΣ.

⟨1—4 Aetii (IV 16, 1—4 p. 406, 16 Diels.).⟩

1 (49 L.) *Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίνεσθαι κατὰ τὴν πρόσπτωσιν πνεύματος τῷ χόνδρῳ, ὅνπερ φησὶν ἐξηρτῆσθαι ἐντὸς τοῦ ὠτός, κώδωνος δίκην αἰωρούμενον καὶ τυπτόμενον.* [cod. Laur. p. 166 b]

2 (50 L.) *Ἀλκμαίων ἀκούειν ἡμᾶς τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτός· τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος εἰσβολήν· πάντα γὰρ τὰ κοῖλα ἠχεῖ.*

3 (51 L.) *Διογένης τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου καὶ κινουμένου.*

4 (1 H. G. M., 52 L.) *Οἱ ἀπὸ Πλάτωνος πλήττεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα, τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὰ ἡγεμονικὰ καὶ γίγνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.*

5 (2 H. G. M., 53 L.) *Πλάτωνος ἐν Τιμαίῳ* (p. 67^{A-C}).

Τὸ δὲ αἰσθητικὸν ἐν ἡμῖν μέρος ἐπιζητοῦσι τὸ περὶ τὴν ἀκοήν, δι' ἃς αἰτίας τὰ περὶ αὐτὸ συμβαίνει παθή-

---

1 *δειξάτω καί τις* L: corr. Meineke | *τῶδε* L: *τῶνδε* Meineke | *πρᾶττον* L | *διαφανέαν* L ‖ **3** *φάος* L: corr. Meineke, qui post *φάεος* supplendum fere *ἔντι· προχέονται δὲ ἀκτῖνες* putat ‖ **3. 4** *παραθλίψεως* L ‖ **4** *παρατρίψεως* L ‖ **5** huius capitis FP solas ecl. 4. 5 habent, totum praebet flor. Laur. *A* 30 (part. II c. 25 ecl. 49—53 Sart.) ‖ **6** titulum om. FPL: addidi ex Photio p. 112^{b} 32 et ind. Laur. ‖ **8** *ἀμπεδοκλῆς* (*ἀ* rubr.) L ‖ **8. 9** *καὶ τὴν* L: *κατὰ τὴν* coll. Plutarch. plac. IV 16, ubi *κατὰ*, Meineke | **9** *πρόσπτωσιν* Plut. l. s., *πρόπτωσιν* L ‖ **13** *διηχοῦν* Plut., *διηθοῦν* L ‖ **17** lemma *πλατωνικῶν* add. P | *ἡ* (rubr.) L: *οἱ* Gaisford ‖ **19** *τὴν* habent PL, om. F ‖ **22** *τρίτον δὲ* Plat. | *ἐπισκοποῦσι* Plat. ‖ **23** *αὐτὸ* Plat. *A*, *αὐτὰ* FPL Plat. cet.

ματα, λεκτέον. Ὅλως μὲν οὖν φωνὴν θῶμεν τὴν δι' ὥτων ὑπ' ἀέρος ἐγκεφάλου τε καὶ αἵματος μέχρι ψυχῆς πληγὴν διαδιδομένην, τὴν δὲ ὑπ' αὐτῆς κίνησιν ἀπὸ κεφαλῆς μὲν ἀρχομένην, τελευτῶσαν δὲ περὶ τὴν τοῦ ἥπατος ἕδραν ἀκοήν· ὅση δὲ αὐτῆς ταχεῖα, ὀξεῖαν, ὅση δὲ βραδυτέρα,
p. 153 C. *βαρυτέραν· τὴν δὲ ὁμαλὴν λείαν· τὴν δὲ ἐναντίαν τραχεῖαν· μεγάλην δὲ τὴν πολλήν, ὅση δ' ἐναντία, σμικράν. Τὰ δὲ περὶ ξυμφωνίας αὐτῶν ἐν τοῖς ὕστερον λεχθησομένοις ἀνάγκη ῥηθῆναι.*

CAPVT LIV (LVI 3 Heeren.; XLV 3 Gaisford. Meinek.).

ΠΕΡΙ ὈΣΦΡΗΣΕΩΣ.

1. 2 ⟨Aetii (IV 17, 1. 2 p. 407, 2 Diels.)⟩

[cod. Laur. p. 112a] 1 *Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικόν· τούτῳ οὖν ὀσφραίνεσθαι ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς.*

2 *Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύματος συνεισκρίνεσθαι τὴν ὀσμήν· ὅταν γοῦν ἱ ἀναπνοὶ βαρεῖα γένηται, κατὰ τραχύτητα μὴ συναισθάνεσθαι, ὡς ἐπὶ τῶν ῥευματιζομένων.*

3 ⟨Didymi (fr. phys. 17 p. 456 Diels.)⟩

Ἀριστοτέλους. Ὀσφραίνεσθαι τοῦ μεταξὺ σώματος ἀναπιμπλαμένου τῶν ὀσφραντῶν.

[1112] 4 (56, 3 H., 45, 3 G. M.) *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 66^{D}—67^{A}).

---

1 *ἄλλως* P ‖ **3** *τὴν δὲ – ἀρχομένην* (4) om. P | post *ἀπὸ* add. *τῆς* Plat. ‖ **5** *ὅση* Plat., *ὅσα* (sed *α* eras.) L, *ὅσα* FP | *δὲ* ante *βραδυτέρα* om. F | *βραδυτέρα* Plat., *βραδυτέραν* FPL ‖ **6** *βαρυτέρα* P | ante *ὁμαλὴν* add. Plat. *Α ὁμοίαν* | post *ὁμαλὴν* add. Plat. *τε καὶ* ‖ **10** huius capitis FP habent solam ecl. 4, totum iteravit flor. Laur. *O* 16 f. 111^{v} (part. I c. 18, 1—4 Sart.) ‖ **11** titulum om. FP: addidi ex L et Photio p. 112^{b} 32 | *ὀσφρήσεων* L ‖ **14** *τούτῳ* Plut. plac. IV 17, *τούτων* L ‖ **17** *ἀναπνοὴ* Plut. l. s., *πνοὴ* L sed ante *πνοὴ* in charta foramen, quo *ἀνα* haustum fuerit ‖ **18** *τραχύτητα* Plut., *παχύτητα* L ‖ **21** *Ἀριστοτέλης* L: correxi

Περὶ δὲ τὴν τῶν μυκτήρων δύναμιν ⟨εἴδη μὲν⟩ οὐκ ἔνι. Τὸ γὰρ τῶν ὀσμῶν πᾶν ἡμιγενές, εἴδει δὲ οὐδενὶ συμβέβηκε συμμετρία πρὸς τό τινα ἔχειν ὀσμήν. Ἀλλ' ἡμῶν αἱ περὶ ταῦτα φλέβες πρὸς μὲν τὰ γῆς ὕδατός τε γένη στενώτεραι ξυνέστησαν, πρὸς δὲ τὰ πυρὸς ἀέρος τε εὐρύτεραι. Διὸ τούτων οὐδεὶς οὐδενὸς ὀσμῆς πώποτε ἥσθετό τινος, ἀλλ' ἢ βρεχομένων ἢ σηπομένων ἢ τηκομένων ἢ θυμιωμένων γίγνονταί τινων· μεταβάλλοντος γὰρ ὕδατος εἰς ἀέρα ἀέρος τε εἰς ὕδωρ ἐν τῷ μεταξὺ τούτων γεγόνασιν, εἰσί τε ὀσμαὶ ξύμπασαι καπνὸς ἢ ὁμίχλη. Τούτων δὲ τὸ μὲν ἐξ ἀέρος εἰς ὕδωρ ἰὸν ὁμίχλη, τὸ δ' ἐξ ὕδατος εἰς ἀέρα καπνός. Ὅθεν λεπτότεραι μὲν ὕδατος, παχύτεραι δὲ ὀσμαὶ ξύμπασαι γεγόνασιν ἀέρος. Δηλοῦται δέ, ὁπόταν τινὸς ἀντιφραχθέντος περὶ τὴν ἀναπνοὴν ἄγῃ τις βίᾳ τὸ πνεῦμα εἰς αὐτόν· τότε γὰρ ὀσμὴ μὲν οὐδεμία ξυνδιηθεῖται, τὸ δὲ πνεῦμα τῶν ὀσμῶν ἐρημωθὲν αὐτὸ μόνον ἔπεται. Δι' οὖν ταῦτα ἀνώνυμα τούτων ποικίλματα γέγονεν, οὐκ ἐκ πολλῶν οὐδὲ ἁπλῶν εἰδῶν ὄντα, ἀλλὰ διχῇ τό τε ἡδὺ καὶ τὸ λυπηρὸν αὐτόθι μόνω διαφανῆ λέγεσθον, τὸ μὲν τραχῦνόν τε καὶ βιαζόμενον τὸ κύτος ἅπαν, ὅσον ἡμῶν μεταξὺ κορυφῆς τοῦ τε ὀμφαλοῦ κεῖται, τὸ δὲ ταὐτὸν τοῦτο καταπραῦνον καὶ πάλιν ᾗ πέφυκεν ἀγαπητῶς ἀποδιδόν.

---

1 *περὶ δὲ δὴ* Plat. | *δὲ τὴν* om. L | *εἴδη μὲν* add. Plat. ‖ **2** *εἴδει* etiam in FPL ‖ **3** *σχεῖν* Plat., sed *ἔχειν A* pr. m. ‖ **4** *ἀλλ' ἡμῶν* Plat., *ἀλλήλων* FPL | *ταῦτα* FL Plat., *ταύτην* P ‖ **6** *ὀσμῆς* om. L ‖ **7** *ἢ* (ante *βρεχομένων*) etiam Plat. *A*, *ἀεὶ* Plat. cet. ‖ **7. 8** *ἢ τηκομένων ἢ σηπομένων* PL ‖ **10** *εἰσὶν δὲ* Plat. *A* ‖ **11** *τούτων – ὁμίχλη* (12) om. Gaisford, qui primus totum hunc locum Platonicum descripsit ‖ **13** *λεπτόμεραι* P | *ξύμπασαι ὀσμαὶ* L | *ξύμπασι* F ‖ **14** *δηλοῦνται* Plat. ‖ **15** *ἄγῃ* Plat., *ἄγει* FPL ‖ **16** *ξυνδιηθεῖσαι* P ‖ **18** *δύ' οὖν* Plat. | ante *τούτων* add. *τὰ* Plat. ‖ **19** *οὐδὲ ἁπλῶν* om. P | *τε* om. Plat. praeter *A* in quo *θ'* ‖ **20** *μόνον* FP ‖ **21** *τραχύνονται καὶ* P | *κῦτος* F, *κοῖτος* P, *κῆτος* L ‖ **22** *τοῦ δὲ* (ante *ταὐτὸν*) FP ‖ **23** *ᾗ* Plat., *ἧ* FPL ‖ **24** *ἀποδιδόναι* L

CAPVT LV (LVI 4—6 Heeren.; XLV 4—6 Gaisford. Meinek.).

ΠΕΡΙ ΓΕΥΣΕΩΣ.

1 (56, 4 H., 45, 4 G. M.) Didymi (epit. phys. fr. 17 p. 456 Diels.).

Ἀριστοτέλους. Γεύεσθαι διὰ τοῦ μεταξὺ τῶν γευστῶν ὑγρῶν.

2 (56, 5 H., 45, 5 G. M.) *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 65^{C}—66^{D}).

Πρῶτον οὖν ὅσα τῶν χυμῶν πέρι λέγοντες ἐν τοῖς πρόσθεν ἀπελίπομεν, ἴδια ὄντα παθήματα περὶ τὴν γλῶτταν, ἐμφανιστέον εἰ δυνατόν. Φαίνεται δὲ καὶ ταῦτα, ὥσπερ οὖν καὶ τὰ πολλά, διὰ συγκρίσεών τέ τινων καὶ διακρίσεων γίγνεσθαι, πρὸς δὲ αὐταῖς κεχρῆσθαι μᾶλλόν τι τῶν ἄλλων τραχύτησί τε καὶ λειότησιν. Ὅσα μὲν γὰρ εἰσιόντα περὶ τὰ φλέβια, οἷόν περ δοκίμια τῆς γλώττης τεταμένα ἐπὶ τὴν καρδίαν, εἰς τὰ νοτερὰ τῆς σαρκὸς καὶ ἁπαλὰ ἐμπίπτοντα γήινα μέρη κατατηκόμενα ξυνάγει τὰ φλέβια καὶ ἀποξηραίνει, τραχύτερα μὲν ὄντα στρυφνά, ἧττον δὲ τραχύνοντα αὐστηρὰ φαίνεται. Τὰ δὲ τούτων τε ῥυπτικὰ καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα πέρα μὲν τοῦ μετρίου τοῦτο δρῶντα καὶ προσεπιλαμβανόμενα, ὥστε ἀποτήκειν αὐτῆς τῆς φύσεως, οἷον ἡ τῶν νίτρων δύναμις, πικρὰ πάνθ' οὕτως ὠνόμασται· τὰ δ' ὑποδεέστερα τῆς νιτρώδους ἕξεως ἐπὶ τὸ μέτριόν τε τῇ ῥύψει χρώμενα ἁλυκὰ ἄνευ πικρότητος τραχείας καὶ φίλα μᾶλλον ἡμῖν φαντάζεται. Τὰ δὲ τοῦ στόματος θερμότητι κοινωνήσαντα καὶ λίαν μὲν ὑπ' αὐτοῦ συνεκπυ-

---

3 titulum om. FP: addidi ex Phot. p. 112^{b} 33 et indice flor. Laur., ubi *Γ* 12 iteratus est; de argumento cf. Aet. IV 18 ‖ **6** *ἀριστοτέλους* F mrg, qui in textu om.: *Ἀριστοτέλης* vulgo ‖ **10** *πρῶτον μὲν οὖν* Plat. ‖ **11** *ἰδία* P ‖ **12** *ᾗ δυνατόν* Plat. ‖ **24** *λίτρων* Plat. *A* ‖ **25** *νιτρώδεως* F, *νιτρώδεος* P, *λιτρώδους* Plat. *A* ‖ **26** *ταραχείας* P ‖ **27** *φαντάζεται* etiam FP | ante *τοῦ* add. *τῇ* Plat. | *στόματος* Plat., *σώματος* FP ‖ **28** *καὶ λειαινόμενα ὑπ'* Plat.

ρούμενα καὶ πάλιν αὐτὰ ἀντικάοντα τὸ διαθερμῆναν, φερόμενά τε ὑπὸ κουφότητος ἄνω πρὸς τὰς κεφαλῆς αἰσθήσεις, τέμνοντα πάνθ' ὅσοις ἂν προσπίπτῃ, διὰ ταύτας τὰς δυνάμεις δριμέα πάντα τὰ τοιαῦτα ἐλέχθη. Τῶν δὲ αὐτῶν προλελεπτυσμένων μὲν ὑπὸ σηπεδόνος, εἰς δὲ τὰς στενὰς φλέβας ἐνδυομένων, καὶ τοῖς ἐνοῦσιν αὐτόθι μέρεσι γεώδεσι καὶ ὅσα ἀέρος ξυμμετρίαν ἔχοντα, ὥστε κινήσαντα περὶ ἄλληλα ποιεῖν κυκᾶσθαι, κυκώμενα δὲ περιπίπτειν τε, καὶ εἰς ἕτερα ἐνδυόμενα ἕτερα κοῖλα ἀπεργάζεσθαι, περιγιγνόμενα τοῖς εἰσιοῦσιν· ἃ δὴ νοτίδος περὶ ἀέρα κοίλης περιταθείσης, τοτὲ μὲν γεώδους, τοτὲ δὲ καθαρᾶς, νοτερὰ ἀγγεῖα ἀέρος ὕδατα κοῖλα περιφερῆ τε γενέσθαι, καὶ τὰ μὲν τῆς καθαρᾶς διαφανεῖς περιστῆναι, κληθείσας ὄνομα πομφόλυγας, τὰ δὲ τῆς γεώδους, ὁμοῦ κινουμένης τε καὶ ἀναιρουμένης, ζέσιν τε καὶ ζύμωσιν ἐπικληθῆναι· τὸ δὲ τούτων αἴτιον τῶν παθημάτων ὀξὺ προσρηθῆναι. Ξύμπασι δὲ περὶ ταῦτα εἰρημένοις πάθος ἐναντίον ἀπ' ἐναντίας ἐστὶ προφάσεως, ὁπόταν ἡ τῶν εἰσιόντων σύστασις ἐν ὑγροῖς, οἰκεία τῇ τῆς γλώττης ἕξει πεφυκυῖα, λειαίνῃ μὲν ἐπαλείφουσα τὰ τραχυθέντα, τὰ δὲ παρὰ φύσιν συνεστῶτα ἢ κεχυμένα τὰ μὲν συνάγῃ, τὰ δὲ χαλᾷ, καὶ πάνθ' ὅτι μάλιστα ἱδρύῃ κατὰ φύσιν, ἡδὺ καὶ προσφιλὲς πάντῃ πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον, κέκληται γλυκύ. Καὶ τὰ μὲν ταύτῃ ταῦτα.

---

1 ἀντικάοντα Plat., ἀντικάαντα FP ‖ **2** φερόμενά Plat., φερόμενόν FP | post τὰς add. τῆς Plat. ‖ **3** τέμνοντά τε Plat. | ὁπόσοις Plat. *A* | προσπίπτει P ‖ **4** ἐλέγχθη F ‖ **5** προλελεπτισμένων FP | μὲν om. P ‖ **10** περιτεινόμενα Plat. ‖ **11** τὸ μὲν P ‖ **11. 12** τότε δὲ P ‖ **12** ante καθαρᾶς add. καὶ Plat. praeter *A* corr. ‖ **14** ὄνομα Plat., ὀνόματα FP | τὰ Plat., τὰς FP ‖ **15** τε habet etiam Plat. *A* | αἰρομένης Plat. ‖ **16** ἐπίκλην λεχθῆναι Plat. ‖ **17** post δὲ add. τοῖς Plat. ‖ **19** ἡ τῶν Plat., ἢ τῶν FP ‖ **19. 20** γλώσσης F ‖ **20** λειαίνῃ Plat. (λεαίνῃ A), λεῖαι ἡ F, λεῖα ἡ P ‖ **20. 21** τραχυνθέντα Plat. ‖ **22** ξυνάγῃ Plat., συνάγει FP | ἱδρύῃ Plat., ἱδρύει FP ‖ **23** παντὶ πᾶν Plat.

3 (56, 6 H., 45, 6 G. M.) *Πλάτωνος ἐκ τοῦ Τιμαίου* (p. 75$^{D. E}$).

Τὴν δὲ δὴ τοῦ στόματος ἡμῶν δύναμιν ὀδοῦσι καὶ γλώττῃ καὶ χείλεσιν ἕνεκα τῶν ἀναγκαίων καὶ τῶν ἀρίστων διεκόσμησαν οἱ διακοσμοῦντες, ᾗ νῦν διατέτακται, τὴν μὲν εἴσοδον τῶν ἀναγκαίων μηχανώμενοι χάριν, τὴν δ' ἔξοδον τῶν ἀρίστων· ἀναγκαῖον μὲν γὰρ πᾶν ὅσον εἰσέρχεται τροφὴν διδὸν τῷ σώματι, τὸ δὲ λόγων νᾶμα ἔξω ῥέον καὶ ὑπηρετοῦν φρονήσει κάλλιστον καὶ ἄριστον πάντων ναμάτων.

CAPVT LVI (LVI 7 Heeren.; XLV 7 Gaisford. Meinek.).

ΠΕΡΙ ΑΦΗΣ.

1 (56, 7 H., 45, 7 G. M.) ⟨Didymi (phys. fr. 17 p. 456 Diels.).⟩

Ἀριστοτέλους. Ἅπτεσθαι δὲ διὰ τοῦ μεταξὺ σώματος τῆς σαρκὸς καὶ τοῦ ἁπτοῦ. τὸ δὴ τοιοῦτον ⟨ἢ τὸν⟩ ἀέρα ἢ τὸ ὕδωρ ὑπάρχειν, ἢ ἐκ τούτων τι κοινόν. Λανθάνειν δὲ ἐπί τε τῆς γεύσεως καὶ τῆς ἁφῆς διὰ τὸ μὴ διὰ μακροῦ γίγνεσθαι, καθάπερ ἐπὶ τῶν ὁρατῶν καὶ ἀκουστῶν καὶ ὀσφραντῶν. Τοῦ δὲ κινητικοῦ κατὰ τόπον ὃ δὴ προσείπομεν ὁρμητικόν, τὸ πρῶτον κινοῦν, καὶ ἐν ἡμῖν καὶ ἐν τοῖς ἄλλοις ζῴοις ἀκίνητον εἶναι.

---

1. 2 lemma F mrg, P in textu habet ‖ **4** *ἕνεκα* F Plat., *ἕκαστα* P ‖ **5** *ᾗ* Plat., *ἣ* FP ‖ **6** post *μὲν* add. *δὴ* Plat. praeter *A* ‖ **7. 8** *εἰσέρχεται* etiam FP ‖ **8** *λογωνᾶμα* P ‖ **10** *ναμάτων* om. P ‖ **12** titulus, quem habent F mrg, P in textu, iteratur etiam in flor. Laur. *A* 96 ‖ **15** *ἀριστοτέλους* F mrg, P in textu habet ‖ **16** *τὸ ἀπὸ τούτου* FP: *τοῦ ἁπτοῦ* Diels, *τοῦ ἁπτομένου* Heeren ‖ **16. 17** *ἢ τὸν* add. Meineke ‖ **18** *λανθάνειν τε* FP: corr. Heeren ‖ **20** *νικητικοῦ* FP: corr. Diels (*κινητοῦ* Canter) ‖ **21** *ὃν* FP: *ὃ* Diels ‖ **22** *ἡμῖν* P

CAPVT LVII (XLVI Gaisford. Meinek.).

ΠΕΡῚ ΦΩΝΗ̂Σ ΚΑῚ ΕἸ ἈΣΏΜΑΤΟΣ Ἡ ΦΩΝῊ ΚΑῚ ⟨ΠΌΘΕΝ ΑἸΣΘΗΤΙΚῊ Ἡ ΨΥΧῊ ΚΑῚ⟩ ΤΊ ἌΥΤΗ̂Σ ΤῸ ἩΓΕΜΟΝΙΚΌΝ.

⟨Aetii (IV 19, 11 p. 407, 13 Diels.).⟩

Πλάτων τὴν φωνὴν ὁρίζεται πνεῦμα διὰ στόματος ἀπὸ διανοίας καὶ πληγὴν ὑπ' ἀέρος δι' ὤτων καὶ ἐγκεφάλου καὶ αἵματος μέχρι ψυχῆς διαδιδομένην.

Λέγεται δὲ καὶ καταχρηστικῶς ἐπὶ τῶν ἀλόγων ζῴων [1114]
φωνὴ καὶ τῶν ἀψύχων, ὡς χρεμετισμοὶ καὶ ψόφοι. Κυρίως δὲ φωνὴ ἔναρθρός ἐστιν, ἔστι γὰρ φωτίζουσα τὸ νοούμενον.

CAPVT LVIII (XLVII Gaisford. Meinek.).

ΠΕΡῚ ΦΑΝΤΑΣΊΑΣ ΚΑῚ ΚΡΙΤΗΡΊΟΥ.

⟨Didymi (epit. phys. fr. 16 p. 456 Diels.).⟩

Ἀριστοτέλους. Φαντασίαν δ' εἶναι πάθος τι καὶ κίνησιν τῆς κατ' ἐνέργειαν αἰσθήσεως. Ὠνομάσθαι δ' ἀπὸ μιᾶς τῶν αἰσθήσεων τῆς ὁράσεως· τὸ ⟨γὰρ⟩ φαίνεσθαι παρὰ τὸ φάος ἔχειν τὴν ἐπίρρησιν. τοῦτο δ' οἰκεῖον εἶναι τῆς ὄψεως, διατείνειν δὲ ⟨εἰς⟩ πάσας τὰς αἰσθήσεις καὶ τὰς διανοητικὰς κινήσεις· καὶ γὰρ ταύτας ὁμωνύμως λέγεσθαι φαντασίας. Κριτήρια δ' εἶναι τῆς τούτων γνώσεως τόν τε νοῦν καὶ τὴν αἴσθησιν, τὸν μὲν τῶν νοητῶν, τὴν δὲ τῶν αἰσθητῶν. Οὔτε γὰρ τὸ καθόλου δύναιτ' ἂν αἴσθησις ἐπικρίνειν οὔτε τὸ καθ' ἕκαστον νοῦς. Πάντα δ' ἐκ τούτων συνεστάναι καὶ διὰ τούτων.

---

2 ἡ φωνὴ om. P ‖ **2. 3** πόθεν – ψυχὴ καὶ addidi (cf. Proleg.) ‖ **5** lemma πλάτωνος P in textu add. ‖ **7** διαδεδομένην Heeren ‖ **9** χλεμετισμοὶ F ‖ **13** titulum om. FP: addidit Heeren ex Phot. p. 112b 35 ‖ **15** lemma ἀριστοτ. P add. | ἀριστοτέλης FP: corr. Diels ‖ **17** τὸ FP: τὸ γὰρ Diels, τῷ Heeren ‖ **19** ante εἶναι add. μὲν Heeren | εἰς add. Heeren ‖ **24** αἰσθήσεις FP: corr. Heeren | νοῦς om. P, in quo lacuna 4 litt.

CAPVT LIX (XLVIII Gaisford. Meinek.).

ΠΕΡΙ ΔΟΞΗΣ.

1 *Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ* (p. 263^{E}—264^{B}).

Τί δὲ δή; διάνοιά τε καὶ δόξα καὶ φαντασία, μῶν οὐκ ἤδη δῆλον ὅτι ταὐτά γε ψευδῆ τε καὶ ἀληθῆ πάνθ' ἡμῶν ἐν ταῖς ψυχαῖς ἐγγίγνεται; Ὧδ' εἴσει ῥᾷον, ⟨ἂν⟩ πρῶτον λάβῃς αὐτά, τί ποτ' ἔστι καὶ τί διαφέρουσιν ἕκαστα ἀλλήλων. — Δίδου μόνον. — Οὐκοῦν διάνοια μὲν καὶ λόγος ταὐτόν· πλὴν ὁ μὲν ἐντὸς τῆς ψυχῆς πρὸς αὑτὴν διάλογος ἄνευ φωνῆς γιγνόμενος τοῦτ' αὐτὸ ἡμῖν ἐπωνομάσθη διάνοια; — Πάνυ μὲν οὖν. — Τὸ δ' ἀπ' ἐκείνης ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ φθόγγου κέκληται λόγος; — Ἀληθῆ. — Καὶ μὴν ἐν λόγοις γε αὐτὸ ἴσμεν ἐνόν. — Τὸ ποῖον; — Φάσιν τε καὶ ἀπόφασιν. — Ἴσμεν. — Ὅταν οὖν τοῦτο ἐν ψυχῇ κατὰ διάνοιαν ἐγγίγνηται μετὰ σιγῆς, πλὴν δόξης ἔχεις ὅ τι προσείπῃς αὐτό; — Καὶ πῶς; — Τί δ' ὅταν δόξα μὴ καθ' αὑτὴν ἀλλὰ δι' αἰσθήσεως παρῇ τινι τὸ τοιοῦτον αὖ πάθος, οἷόν τε ὀρθῶς εἰπεῖν ἕτερόν τι πλὴν φαντασίαν; — Οὐδέν. — Οὐκοῦν ἐπείπερ λόγος ἀληθὴς ἦν καὶ ψευδής, τούτων δ' ἐφάνη διάνοια μὲν αὐτῆς πρὸς ἑαυτὴν ψυχῆς διάλογος, δόξα δὲ διανοίας ἀποτελεύτησις, φαίνεται δὲ ὃ λέγομεν
p. 154 C. *σύμμιξις αἰσθήσεως καὶ δόξης, ἀνάγκη δὴ καὶ τούτων τῶν λόγων συγγενῶν ὄντων, ψευδῆ τε αὐτῶν ἔνια καὶ ἐνίοτε εἶναι; — Πῶς δ' οὔ; — Κατανοεῖς οὖν, ὅτι πρότερον εὑρέθη ψευδὴς δόξα καὶ λόγος.*

---

2 titulus iteratur in indice flor. Laur. *Δ* 34 ‖ **5** *ταῦτα τὰ γένη ψευδῆ* Plat. ‖ **6** post *ἐγγίγνεται* add. Theaeteti interrogationem *πῶς* Plat. | *εἰσὶ* P | *ἂν* add. Plat., om. FP ‖ **7** *αὐτὰ* om. Plat. ‖ **8** *Δίδου* Plat., *αἰδοῦ* FP ‖ **9** *αὐτὴν* Plat., *αὐτὴν* FP ‖ **10** *αὐτὸ ἡμῖν* Plat., *αὐτόν μιν* FP ‖ **11** *τὸ δέ γ'* Plat. ‖ **13** *γε αὐτὸ ἴσμεν* Plat., *γε αὖ οἷς μὲν* FP ‖ **14** *ὄν* Plat. ‖ **16** *προσεῖπε* P ‖ **17** *δόξα* om. Plat. | *αὐτὴν* Plat., *αὐτὸ* FP ‖ **18** ante *οἷόν* add. *ἆρ'* Plat. ‖ **19** *φαντασίαν* etiam FP ‖ **22** *δὲ* (ante *διανοίας*) om. P | *φαίνεται* Plat., *φαίνεσθαι* FP ‖ **23. 24** *τῷ λόγῳ* Plat. ‖ **25** *πρότερον* Plat., *πραότερον* FP ‖ **26** *εὑρέθη* Plat., *εὑρὲ* F, *εὗρε* P

2 *Πλάτωνος ἐκ τοῦ Συμποσίου* (p. 219^{A}).

Ἤτοι τῆς διανοίας ⟨ὄψις ἄρχεται⟩ ὀξὺ βλέπειν, ὅταν [1116]
ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ.

3 *Πλάτωνος Πολιτείας γ΄* (p. 412^{E}—413^{A}).

Φαίνεταί μοι δόξα ἐξιέναι ἐκ διανοίας ἢ ἑκουσίως ἢ ἀκουσίως, ἑκουσίως μὲν ἡ ψευδὴς τοῦ μεταμανθάνοντος, ἀκουσίως δέ πᾶσα ἡ ἀληθής. — Τὸ μὲν τῆς ἑκουσίου, ἔφη, μανθάνω, τὸ δὲ τῆς ἀκουσίου [οὐ] δέομαι μαθεῖν. — Τί δαί; οὐ καὶ σὺ ἡγῇ, ἔφην ἐγώ, τῶν μὲν ἀγαθῶν ἀκουσίως στέρεσθαι τοὺς ἀνθρώπους, τῶν δὲ κακῶν ἑκουσίως; ἢ οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν, τὸ δὲ ἀληθεύειν ἀγαθόν; ἢ οὐ τὸ τὰ ὄντα δοξάζειν ἀληθεύειν δοκεῖ σοι εἶναι; — Ἀλλ᾽, ἦ δ᾽ ὅς, ὀρθῶς λέγεις, καί μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι.

CAPVT LX (XLIX Gaisford. Meinek.).

ΠΕΡΙ ΑΝΑΠΗΝΗΣ ΚΑΙ ΠΑΘΩΝ.

Πλάτωνος ἐκ τοῦ Τιμαίου (p. 79^{A}—81^{A}).

Πάλιν δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, αἷς χρώμενον αἰτίαις τοιοῦτον γέγονεν οἷόνπερ τὰ νῦν ἐστιν. Ὧδ᾽ οὖν. Ἐπειδὴ κενὸν οὐδέν ἐστιν, εἰς ὃ τῶν φερομένων δύναιτ᾽ ἂν εἰσελθεῖν τι, τὸ δὲ πνεῦμα φέρεται παρ᾽ ἡμῶν

---

2 *ἤτοι* etiam F (sed *ἤ* man. x add.) et P: *ἤ τοι* Stephanus | *ὄψις ἄρχεται* add. Plat., om. FP ‖ **3** *ἐπιχειρεῖ* F ‖ **4** eadem ecl. legitur in FP post II 7, 4^{b} (p. 57, 12) in FP inscripta *περὶ δόξης πλάτωνος πολιτείας γ΄*, cuius loci discrepantias hic adieci addito II | *πλάτωνος* F, *τοῦ αὐτοῦ* P ‖ **6. 7** *μεταμανθάνοντος* P^{2}FII PII Plat., *μετὰ θάνοντος* F, *μεταθανόντος* P^{1} ‖ **8** *οὐ* om. Plat.: seclusi ‖ **9** *δὲ* F et FII | *ἡγεῖ* Plat. ‖ **10** *ἀκουσίως* Plat. FIIPII, *ἑκουσίως* FP ‖ **11** *ἑκουσίως* Plat. FIIPII, *ἀκουσίως* FP ‖ **12** *ἢ οὐ* FP et FIIPII ‖ **14** *λέγει* PII | *καὶ μοι – στερίσκεσθαι* (15) om. FIIPII ‖ **17** titulum om. FP: add. ex Photio p. 112^{b} 36 Heeren, qui tamen *περὶ τῶν τῆς ἀναπνοῆς παθῶν* maluit; iteratur etiam in ind. flor. Laur. *A* 53 ‖ **18** *πλάτωνος* F, *τοῦ αὐτοῦ* P | *ἐκ τοῦ Τιμαίου* habet F mrg ‖ **21** *εἰς* om. F

ἔξω, τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον ὡς οὐκ εἰς κενόν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ· τὸ δ' ὠθούμενον ἐξελαύνει τὸ πλησίον ἀεί, καὶ κατ' αὐτὴν τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα, εἰσιὸν ἐκεῖσε καὶ ἀναπληροῦν αὐτὴν ξυνέπεται τῷ πνεύματι, καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται διὰ τὸ κενὸν μηδὲν εἶναι. Διὸ δὴ τῶν μὲν στηθῶν καὶ τοῦ πνεύμονος ἔξω μεθιὲν τὸ πνεῦμα πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανιῶν τῶν σαρκικῶν δυομένου καὶ περιελαυνομένου, γίγνεται πλῆρες· αὖθις δὲ ἀποτρεπόμενος ὁ ἀὴρ καὶ διὰ τοῦ σώματος ἔξωθεν ἰὼν εἴσω τὴν ἀναπνοὴν περιωθεῖ κατὰ τὴν στόματος καὶ τὴν τῶν μυκτήρων δίοδον. Τὴν δ' αἰτίαν τῆς ἀρχῆς αὐτῶν θετέον τήνδε. Πᾶν ζῷον αὐτοῦ τὰ ἐντὸς περὶ τὸ αἷμα καὶ τὰς φλέβας θερμότατα ἔχει, οἷον ἐν αὐτῷ πηγήν τινα ἐνοῦσαν πυρός· ὃ δὴ καὶ προσεικάζομεν τῷ τοῦ κύρτου πλέγματι κατὰ μέσον διατεταμένον ἐκ πυρὸς πεπλέχθαι πᾶν, τὰ δὲ ἄλλα, ὅσα ἔξωθεν, ἀέρος. Τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν αὐτοῦ χώραν ἔξω πρὸς τὸ ξυγγενὲς ὁμολογητέον ἰέναι. Δυοῖν δὲ ταῖν διεξόδοιν οὔσαιν, τῆς μὲν κατὰ τὸ σῶμα ἔξω, τῆς δὲ αὖ κατὰ στόμα καὶ τὰς ῥῖνας, ὅταν μὲν ἐπὶ θάτερα ὁρμήσῃ, θάτερα περιωθεῖ· τὸ δὲ περιωσθὲν εἰς τὸ πῦρ ἐμπῖπτον θερμαίνεται, τὸ δ' ἐξιὸν ψύχεται. Μεταβαλλούσης δὲ τῆς θερμότητος καὶ τῶν κατὰ τὴν ἑτέραν ἔξοδον θερμοτέρων γιγνομένων πάλιν ἐκείνῃ ῥέπον αὖ τὸ θερμότερον μᾶλλον, πρὸς τὴν αὐτοῦ φύσιν φερόμενον, περιωθεῖ τὸ κατὰ θάτερα· τὸ

---

2 τὸ δ' – κατ' αὐτὴν (3) om. P ‖ **3** κατὰ ταύτην τὴν Plat. ‖ **7** δὴ τὸ τῶν στηθῶν Plat. ‖ **8** καὶ τὸ τοῦ Plat. (sed in *A* τὸ del. | πλεύμονος Plat. *A*, πνεύματος P ‖ **9** σαρκῶν Plat. ‖ **11** ἔξω Plat. ‖ **12** κατὰ τὴν τοῦ Plat. ‖ **14** ἑαυτοῦ Plat., αὐτοῦ FP | ταὐτὸς Plat. ‖ **14. 15** περὶ τὰς φλέβας καὶ τὸ αἷμα F ‖ **15** θερμότατα Plat. quid., θερμότητα FP Plat. vulg. | ἐν ἑαυτῷ Plat. *A*, ἐν αὐτῷ F, ἐν τῷ P^1, ἐντὸς P^2 ‖ **16** προσηκάζομεν Plat. *A* ‖ **19** αὑτοῦ Plat., αὐτοῦ FP ‖ **20** εἶναι P | δυεῖν Plat. ‖ **21** μὲν κατὰ στόμα P | ante στόμα add. τὸ Plat. ‖ **22. 23** περισθεῖ et περισθὲν P ‖ **24** τῆς θερμότητος Plat., τῆς ψυχρότητος FP ‖ **27** αὑτοῦ Plat., αὐτοῦ F

δὲ τὰ αὐτὰ πάσχον καὶ τὰ αὐτὰ ἀνταποδιδὸν ἀεί, κύκλον ἀεὶ σαλευόμενον, ἔνθα καὶ ἔνθα ἀπειργασμένον ὑπ᾽ ἀμφοτέρων τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν γίγνεσθαι παρέχεται.

Καὶ δὴ καὶ τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων αἴτια καὶ τὰ τῆς πόσεως τά τε τῶν ῥιπτουμένων, ὅσα ἀφεθέντα μετέωρα καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ διωκτέον, καὶ ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς, ὀξεῖς τε καὶ βαρεῖς φαίνονται, τοτὲ μὲν ἀνάρμοστοι φερόμενοι δι᾽ ἀνομοιότητα τῆς ἐν ἡμῖν ὑπ᾽ αὐτῶν κινήσεως· τοτὲ δὲ ξύμφωνοι δι᾽ ὁμοιότητα. Τὰς γὰρ τῶν προτέρων καὶ θαττόνων οἱ βραδύτεροι κινήσεις ἀποπανομένας ἤδη τε εἰς ὅμοιον ἐληλυθυίας, αἷς ὕστερον αὐτοὶ προσφερόμενοι κινοῦσιν ἐκείνας, καταλαμβάνουσι, καταλαμβάνοντες δὲ οὐκ ἄλλην ἐπεμβάλλοντες ἀνετάραξαν κίνησιν, ἀλλ᾽ ἀρχὴν βραδυτέρας φορᾶς [καὶ] κατὰ ⟨τὴν⟩ τοῦ θάττονος, ἀπολῃγούσης δὲ ὁμοιότητα προσάψαντες μίαν ἐξ ὀξείας καὶ βαρείας συνεκεράσαντο πάθην· ὅθεν ἡδονὴν μὲν τοῖς ἄφροσιν, εὐφροσύνην δὲ τοῖς ἔμφροσι διὰ τὴν τῆς θείας ἁρμονίας κίνησιν ἐν θνηταῖς γενομένην φοραῖς παρέσχον. Καὶ δὴ καὶ τὰ τῶν ὑδάτων πάντα ῥεύματα, ἔτι τε τὰ τῶν κεραυνῶν πτώματα καὶ τὰ θαυμαζόμενα ἠλέκτρων περὶ τῆς ἕλξεως καὶ τῶν Ἡρακλείων λίθων, πάντων τούτων ὁλκὴ μὲν οὐκ ἔστιν οὐδενί ποτε· τὸ δὲ κενὸν εἶναι μηδὲν περιωθεῖν τε αὐτὰ ταῦτα εἰς ἄλληλα, [τὰ] τὸ δὲ διακρινόμενα καὶ συγκρινόμενα πρὸς τὴν αὐτῶν διαμειβόμενα ἕδραν ἕκαστα ἰέναι πάντα, τούτοις τοῖς παθήμασι πρὸς ἄλληλα συμπλεχθεῖσι τεθαυματουργημένα τῷ κατὰ τρό- p. 155 C.

---

1 ἀποδιδὸν F ‖ **1. 2** κύκλῳ (κύκλον *A*) οὕτω σαλευόμενον Plat. ‖ **4** σιτίας P^1 ‖ **5** καταπόσεως Plat. *A* ‖ **6** ἐπὶ γῆς Plat., ἐκ πηγῆς FP ‖ **7. 8** ταχεῖς τε καὶ Plat. ‖ **11** καὶ θαττόνων οἱ βραδύτεροι om. P | θαττόνων οἱ βραδύτεροι Plat., θαττόνων καὶ βραδυτέρων F ‖ **12. 13** προσφερόμενοι P ‖ **15** φορᾶς κατὰ τὴν τῆς θάττονος Plat., φορᾶς καὶ κατὰ τοῦ θάττονος FP ‖ **18** τῆς εὐθείας P ‖ **19** μίμησιν Plat. ‖ **20** ἔτι δὲ Plat. ‖ **22** ἕλξεως Plat., λέξεως FP ‖ **23** ἔστ᾽ οὐδενὶ P, ἔστι δ᾽ οὐνὶ F ‖ **24** αὐτὰ Plat., αὐτὰ FP | τὰ τόδε FP, τὸ (sprscr. τα) τε (sprscr. δὲ) Plat. *A*, τότε Plat. cet. ‖ **25** αὐτῶν Plat., αὐτῶν FP ‖ **27** τεθαυματουργημένα Plat. cet., τεθαυματουργημέναι FP Plat. *A* | ante τῷ add. τε P

που φανήσεται ζητοῦντι. Καὶ δὴ καὶ τὸ τῆς ἀναπνοῆς (ὅθεν ὁ λόγος ὥρμησε) κατὰ ταὐτὰ καὶ διὰ τούτων γέγονεν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν εἴρηται, τέμνοντος μὲν τὰ σῖτα τοῦ πυρός, αἰωρουμένου δὲ ἐντὸς τῷ πνεύματι συνεπομένου, τὰς φλέβας δ' ἐκ τῆς κοιλίας τῇ συναιωρήσει πληροῦντος τῷ τὰ τετμημένα αὐτόθεν ἐπαντλεῖν καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ σῶμα πᾶσι τοῖς ζῴοις τὰ τῆς τροφῆς νάματα οὕτως ἐπίρρυτα γεγονέναι. Νεότμητα δὲ καὶ ἀπὸ ξυγγενῶν ὄντα, τὰ μὲν καρπῶν, τὰ δὲ χλόης, ἃ ὁ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν, εἶναι τροφήν, παντοδαπὰ μὲν χρώματα ἔχει διὰ τὴν σύμμιξιν, ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὰ χρόα διαθεῖ, τῆς τοῦ πυρὸς τομῆς τε καὶ ἐξομόρξεως ἐν ὑγρῷ δεδημιουργημένη φύσις. Ὅθεν τοῦ κατὰ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἷαν ὄψιν διειληλύθαμεν, ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος τοῦ σώματος, ὅθεν ὑδρευόμενα ἕκαστα πληροῖ τὴν τοῦ κενουμένου βάσιν.

---

1 *ζητοῦντι φανήσεται* Plat. | *τὸ* om. P ‖ **2** *ταὐτὰ* Plat. *A*, *ταῦτα* FP ‖ **3** *πρόσθεν* Plat. ‖ **4** *σιτία* Plat. ‖ **5** *δ'*] *τε* Plat. *A* ‖ **7** *τὰ* om. P ‖ **10** *ὁ* om. Plat. ‖ **11** *ἴσχει* Plat. ‖ **12** *αὐτὸ* Plat. ‖ **13** ad *ἐξομόρξεως* F ead. man. mrg: *ἐξόμορξιν οἱονεὶ ἐναπόθεσιν τῆς αὐτοῦ ποιότητός τε καὶ δυνάμεως* | *φύσις* Plat., *φύσει* FP ‖ **14** *κατὰ τὸ σῶμα* Plat. ‖ **17** *βάσιν* etiam FP | in P subscribitur: *τέλος τοῦ* et spatio vacuo intermisso *πρώτου βιβλίου*

Lipsiae, typis I. B. Hirschfeldii.

Verlag der Weidmannschen Buchhandlung in Berlin.

STUDIEN
zu den
GRIECHISCHEN FLORILEGIEN
von
CURT WACHSMUTH.
(216 S.) gr. 8. geh. M. 12. —

GRIECHISCHE
LITERATURGESCHICHTE
von
THEODOR BERGK.
Erster Band.
(IV u. 1024 S.) gr. 8. geh. M. 9. —
Zweiter Band.
Aus dem Nachlass herausgegeben
von
GUSTAV HINRICHS.
(XI u. 544 S.) gr. 8. geh. M. 6. —

ÜBER DIE
AUSSPRACHE DES GRIECHISCHEN
von
FRIEDRICH BLASS.
Zweite vollständig umgearbeitete Auflage.
(VIII u. 109 S.) gr. 8. geh. M. 3. —

Verlag der Weidmannschen Buchhandlung in Berlin.

Philologische Untersuchungen

herausgegeben

von

A. Kiessling und **U. von Wilamowitz-Möllendorff.**

Erstes Heft:

Aus Kydathen.

Mit einer Tafel.

(VIII u. 236 S.) gr. 8. geh. M. 4. —

Zweites Heft:

Zu Augusteischen Dichtern.

(VI u. 122 S.) gr. 8. geh. M. 2. 40 Pf.

Drittes Heft:

De biographis graecis quaestiones selectae.

(169 S.) gr. 8. geh. M. 3 —.

Viertes Heft:

Antigonos von Karystos.

(VIII u. 356 S.) gr. 8. geh. M. 6. —

Fünftes Heft:

BILD und LIED.

Archäologische Beiträge zur Geschichte der griechischen Heldensage

von

CARL ROBERT.

Mit acht in den Text gedruckten Abbildungen.

(VIII u. 258 S.) gr. 8. geh. M. 5. —

Sechstes Heft:

Analecta Eratosthenica

scripsit

ERNESTUS MAASS.

(153 S.) gr. 8. geh. M. 3. —